ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

16 Β.

1. ΥΠΟΜΝΗΜΑ ΣΤΙΣ ΠΡΑΞΕΙΣ
(Ὁμιλίες ΜΕ΄—ΝΕ΄)

ΥΠΟΜΝΗΜΑ ΣΤΗΝ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ
(Ὁμιλίες Α΄—Ι΄)

ΚΕΙΜΕΝΟ — ΜΕΤΑΦΡΑΣΗ — ΣΧΟΛΙΑ
ΤΟΥ ΥΠΟΜΝΗΜΑΤΟΣ ΣΤΙΣ ΠΡΑΞΕΙΣ
Ἀπὸ τὸν
ΕΛΕΥΘΕΡΙΟ Γ. ΜΕΡΕΤΑΚΗ
Θεολόγο
καὶ
ΤΟΥ ΥΠΟΜΝΗΜΑΤΟΣ
ΣΤΗΝ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ
Ἀπὸ τὸν
ΣΠΥΡΟ ΜΟΥΣΤΑΚΑ
Θεολόγο - Φιλόλογο

Ἐπόπτες

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς ἐκδόσεως

ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεολογίας



ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1984

1. ΥΠΟΜΝΗΜΑ ΣΤΙΣ ΠΡΑΞΕΙΣ
(Ὁμιλίες ΜΕ΄—ΝΕ΄)

ΟΜΙΛΙΑ ΜΕ΄
(Πράξ. 20, 32 - 21, 16)

«Καὶ τανῦν παρατίθεμαι ὑμᾶς, ἀδελφοί, τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ ἐποικοδομῆσαι, καὶ δοῦναι κληρονομίαν ὑμῖν ἐν πᾶσι τοῖς ἡγιασμένοις».

1. Ὅπερ ἐπιστέλλων ποιεῖ, τοῦτο καὶ συμβουλεύων· ἀπὸ παραινέσεως εἰς εὐχὴν τελευτᾷ. Ἐπειδὴ γὰρ αὐτοὺς σφόδρα ἐφόβησε, λέγων ὅτι «Λύκοι βαρεῖς εἰς ὑμᾶς εἰσελεύσονται», ἵνα μὴ καταπλήξῃ τῇ διανοίᾳ καὶ ἀπολέσῃ, ὅρα τὴν παραμυθίαν. «Καὶ τανῦν», φησίν. Οὕτως εἶπε, δηλῶν διὰ τούτου ὅτι ὥσπερ ἀεὶ «παρατίθεμαι ὑμᾶς, ἀδελφοί, τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ», τουτέστι, 'τῇ χάριτι αὐτοῦ'. Καὶ καλῶς οὕτως εἶπεν· οἶδε γὰρ ὅτι ἡ χάρις σώζει. Συνεχῶς αὐτοὺς ἀναμιμνήσκει τῆς χάριτος, σπουδαιοτέρους ποιῶν ὡς ὀφειλέτας, καὶ πείθων θαρρεῖν.

«Τῷ δυναμένῳ ὑμᾶς ἐποικοδομῆσαι». Οὐκ εἶπεν, 'Οἰκοδομῆσαι', ἀλλ' «ἐποικοδομῆσαι», δεικνὺς ὅτι ἤδη ᾠκοδομήθησαν. Εἶτα τῆς ἐλπίδος ἀνέμνησε τῆς μελλούσης, εἰπών· «Καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν πᾶσι τοῖς ἡγιασμένοις».

Εἶτα πάλιν παραίνεσις. «Ἀργυρίου», φησίν, «ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα». Τὴν ῥίζαν ἀναιρεῖ τῶν κακῶν, τὴν φιλαργυρίαν. «Ἀργυρίου», φησίν, «ἢ χρυσίου». Οὐκ εἶπεν, 'Οὐκ ἔλαβον', ἀλλ' «οὐδὲ ἐπεθύμησα». Οὔπω μέγα τοῦτο, τὸ δὲ μετὰ τοῦτο μέγα.

1. Πράξ. 20, 29

ΟΜΙΛΙΑ ΜΕ΄
(Πράξ. 20, 32 - 21, 16)

«Καὶ τώρα, ἀδελφοί, σᾶς ἀφιερώνω στὸ Θεὸ καὶ στὸ λόγο τῆς χάριτος αὐτοῦ, ὁ ὁποῖος ἔχει τὴ δύναμη νὰ στερεώσει τὴν οἰκοδομὴ τῆς πίστεώς σας καὶ νὰ σᾶς δώσει κληρονομία μεταξὺ ὅλων τῶν ἁγιασμένων».

1. Ἐκεῖνο ἀκριβῶς ποὺ κάμνει στέλλοντας ἐπιστολή, αὐτὸ κάμνει καὶ συμβουλεύοντας· μετὰ ἀπὸ τὴ συμβουλὴ ποὺ δίνει τελειώνει τὸ λόγο μὲ εὐχή. Ἐπειδὴ δηλαδὴ φόβησε αὐτοὺς πάρα πολύ, λέγοντας ὅτι «Λύκοι φοβεροὶ θὰ ἐμφανισθοῦν ἀνάμεσά σας»[1], γιὰ νὰ μὴ καταπλήξει τὴ διάνοιά τους καὶ τὴν καταστρέψει, πρόσεχε τὴν παρηγοριά. «Καὶ τώρα», λέγει. Αὐτὸ τὸ εἶπε, γιὰ νὰ δείξει μ' αὐτὸ ὅτι, ὅπως ἀκριβῶς πάντοτε «Ἀφιερώνω, ἀδελφοί, ἐσᾶς στὸ Θεὸ καὶ στὸ λόγο τῆς χάριτος αὐτοῦ», δηλαδή, στὴ χάρη του. Καὶ πολὺ σωστὰ τὸ εἶπε αὐτό· διότι γνωρίζει ὅτι ἡ χάρη σώζει. Συνέχεια τοὺς ὑπενθυμίζει τὴ χάρη, κάνοντάς τους νὰ φροντίζουν περισσότερο σὰν ὀφειλέτες καὶ προτρέποντάς τους νὰ ἔχουν θάρρος.

«Ὁ ὁποῖος ἔχει τὴ δύναμη νὰ ἐδραιώσει τὴν οἰκοδομὴ τῆς πίστεώς σας». Δὲν εἶπε, 'Νὰ οἰκοδομήσει', ἀλλὰ «Νὰ ἐποικοδομήσει», γιὰ νὰ δείξει ὅτι ἤδη οἰκοδομήθηκαν. Ἔπειτα ὑπενθύμισε τὴ μέλλουσα ἐλπίδα, λέγοντας· «Καὶ νὰ σᾶς δώσει κληρονομία μεταξὺ ὅλων τῶν ἁγιασμένων».

Ἔπειτα πάλι ἀκολουθεῖ συμβουλή. «Δὲν ἐπιθύμησα», λέγει, «κανενὸς τὰ χρήματα, ἢ τὸ χρυσάφι ἢ τὰ ἐνδύματα». Καταστρέφει τὴ ρίζα τῶν κακῶν, τὴ φιλαργυρία. «Χρήματα», λέγει, «ἢ χρυσάφι». Δὲν εἶπε, 'Δὲν ἔλαβα', ἀλλ' «Οὔτε κἂν ἐπιθύμησα». Δὲν εἶναι ἀκόμα αὐτὸ σπουδαῖο, ἐκεῖνο ὅμως ποὺ λέγει στὴ συνέχεια εἶναι πολὺ σπουδαῖο.

«Ὑμεῖς ἐπίστασθε ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων». Ὅρα αὐτὸν τῷ ἔργῳ κεχρημένον, καὶ οὐχ ἁπλῶς, ἀλλὰ κοπιῶντα. «Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται». Τοῦτο ἐντρεπτικῶς. Καὶ ὅρα πῶς ἀξίως· οὐ γὰρ εἶπε, 'Χρημάτων γενέσθαι κρείττους', ἀλλὰ τί; «Ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων». Οὐχ ἁπλῶς πάντων, ἀλλὰ τῶν ἀσθενῶν.

«Μνημονεύειν τε τοῦ λόγου τοῦ Κυρίου, ὃν εἶπεν, ὅτι μακάριόν ἐστι μᾶλλον διδόναι ἢ λαμβάνειν». Ἵνα μή τις νομίσῃ πρὸς ἐκείνους εἰρῆσθαι, καὶ τύπον διδόναι αὐτόν, ὅπερ ἀλλαχοῦ φησίν, «Τύπον διδόντες ὑμῖν», ἐπήγαγε τὴν ἀπόφασιν τοῦ Χριστοῦ, λέγοντος· «Μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν».

Ἐπηύξατο αὐτοῖς παραινῶν, δείκνυσιν αὐτὸ καὶ ἔργῳ. «Καὶ ταῦτα εἰπών, θεὶς τὰ γόνατα αὐτοῦ σὺν πᾶσιν αὐτοῖς, προσηύξατο»· οὐχ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς κατανύξεως. Πολλὴ ἡ παράκλησις καὶ τῷ εἰπεῖν δέ, «Παρατίθεμαι ὑμᾶς τῷ Κυρίῳ», παρακαλεῖ.

«Ἐγένετο δὲ κλαυθμὸς ἱκανὸς πάντων, καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον τοῦ Παύλου, κατεφίλουν αὐτόν, ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λόγῳ, ᾧ εἰρήκει, ὅτι οὐκέτι μέλλουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν. Προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον». Εἶπεν ὅτι «εἰσελεύσονται λύκοι βαρεῖς», εἶπεν ὅτι «καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων»· ταῦτα ἑκάτερα φοβερὰ καὶ ἱκανὰ λυπῆσαι, μάλιστα δὲ πλέον πάντων τοῦτο αὐτοὺς ὠδίνησε, τὸ μηκέτι ὁρᾶν ἀκοῦσαι αὐτόν, καὶ τοῦτο ἐποίει τὸν πόλεμον χαλεπόν. Προέπεμπον δέ», φησίν, «αὐτὸν εἰς τὸ πλοῖον». Οὕτως ἐφίλουν αὐτόν, οὕτω διέκειντο περὶ αὐτόν.

------

2. Φιλ. 3, 17 καὶ Β΄ Θεσ. 3. 8 3. Πράξ. 20, 29
4. Πράξ. 20, 26

«Σεῖς γνωρίζετε πολὺ καλὰ ὅτι τὶς ἀνάγκες τὶς δικές μου καὶ τῶν συντρόφων μου τὶς ἐξυπηρέτησαν τὰ χέρια μου αὐτά. Μὲ κάθε τρόπο σᾶς ἔδειξα ὅτι ἔτσι μὲ τόν κόπο τῆς ἐργασίας σας πρέπει νὰ βοηθᾶτε τοὺς ἀδυνάτους». Πρόσεχε αὐτόν ποὺ κάνει χρήση τῆς ἐργασίας καὶ ὄχι ἁπλῶς ἐργάζεται, ἀλλὰ κοπιάζει. «Τίς ἀνάγκες τὶς δικές μου καὶ τῶν συντρόφων μου τὶς ἐξυπηρέτησαν τὰ χέρια αὐτά». Αὐτὸ τὸ λέγει σὰν προτροπή, καὶ πρόσεχε πῶς τὸ λέγει μέ τρόπο κατάλληλο' διότι δὲν εἶπε, 'Νὰ γίνετε ἀνώτεροι χρημάτων', ἀλλὰ τί; «Νὰ βοηθᾶτε τοὺς ἀδυνάτους». Ὄχι ἁπλῶς ὅλους, ἀλλὰ τοὺς ἀδυνάτους.

«Καὶ νὰ θυμᾶσθε τὰ λόγια τοῦ Κυρίου ποὺ εἶπε, ὅτι μακάριο εἶναι μᾶλλον νὰ δίνει κανείς, παρὰ νὰ παίρνει». Γιὰ νὰ μὴ νομίσει κάποιος ὅτι λέχθηκε πρὸς ἐκείνους καὶ ὅτι δίνει τὸν ἑαυτό του σὰν παράδειγμα, πράγμα ποὺ ἀλλοῦ λέγει, «δίνοντας τὸν ἑαυτό μου παράδειγμα σὲ σᾶς»[2], πρόσθεσε τὴν ἀπόφαση τοῦ Χριστοῦ, λέγοντας· «Μακάριο εἶναι μᾶλλον νὰ δίνει κανείς, παρὰ νὰ παίρνει».

«Προσευχήθηκε μὲ αὐτοὺς προτρέποντάς τους νὰ κάνουν τὸ ἴδιο, γιὰ νὰ δείξει αὐτὸ καὶ ἔμπρακτα. «Καὶ ἀφοῦ εἶπε αὐτά, γονάτισε μαζὶ μὲ ὅλους καὶ προσευχήθηκε» ὄχι ἔτσι ἁπλά, ἀλλὰ μὲ πολλὴ κατάνυξη. Μεγάλη ἡ παρηγοριά· καὶ μὲ τὸ νὰ πεῖ, «Σᾶς ἀφιερώνω στὸν Κύριο», παρηγορεῖ.

«Ὅλοι τότε ἔκλαιαν καί, ἀγκαλιάζοντας τὸν Παῦλο, τὸν φιλοῦσαν, ἦταν δέ πολὺ λυπημένοι πρὸ πάντων μὲ ἐκεῖνο ποὺ εἶπε, ὅτι δέν θὰ δοῦν πλέον τὸ πρόσωπό του. Τὸν συνόδεψαν δὲ μέχρι τὸ πλοῖο». Εἶπε ὅτι «Θὰ ἐμφανισθοῦν ἀνάμεσά τους λύκοι φοβεροί»[3], εἶπε ὅτι «Ἐγὼ εἶμαι καθαρὸς ἀπὸ τὸ αἷμα ὅλων»[4]· καὶ τὰ δύο αὐτὰ ἦταν φοβερὰ καὶ ἱκανὰ νὰ τοὺς λυπήσουν, πολὺ περισσότερο ὅμως ἀπὸ ὅλα αὐτὸ τοὺς ἔκανε νὰ πονέσουν ὑπερβολικά, τὸ ὅτι ἄκουσαν ὅτι δὲν θὰ τὸν δοῦν πλέον, καὶ αὐτὸ ἔκαμνε τὸν ἀγώνα φοβερό. «Συνόδευαν αὐτόν», λέγει, «μέχρι τὸ πλοῖο». Τόσο πολὺ ἀγαποῦσαν αὐτόν, τέτοια ἦταν ἡ ψυχικὴ διάθεσή τους πρὸς αὐτόν.

«Ὡς δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ' αὐτῶν, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶν, τῇ δὲ ἑξῆς εἰς Ρόδον, κἀκεῖθεν εἰς Πάταρα. Καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην, ἐπιβάντες ἀνήχθημεν. Ἀναφανέντες δὲ τὴν Κύπρον, καὶ καταλιπόντες αὐτὴν εὐώνυμον, ἐπλέομεν εἰς Συρίαν, καὶ κατήχθημεν εἰς Τύρον». Ὅρα, ἦλθεν εἰς Λυκίαν, καί, διαπερῶν εἰς Φοινίκην, τὴν Κύπρον ἀφείς, εἰς Τύρον κατέπλευσεν· ἐκεῖσε γὰρ ἦν τὸ πλοῖον ἀποφορτιζόμενον τὸν γόμον. Τοῦτο αἰτία τοῦ ἀπελθεῖν εἰς Τύρον.

«Καὶ εὑρόντες τοὺς μαθητάς, ἐπεμείναμεν πρὸς αὐτοὺς ἡμέρας ἑπτά· οἵτινες τῷ Παύλῳ ἔλεγον διὰ τοῦ Πνεύματος μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἱερουσαλήμ». Ὅρα, προφητεύουσι κἀκεῖνοι τὰς θλίψεις. Οἰκονομεῖται καὶ δι' ἐκείνων λεχθῆναι, ἵνα μή τις νομίσῃ ἁπλῶς ταῦτα λέγειν τὸν Παῦλον καὶ κομπάζειν. Πάλιν δὲ ἐκεῖ προσευχόμενοι διαλύονται ἀπ' ἀλλήλων.

«Ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόντες ἐπορευόμεθα, παραπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις ἕως ἔξω τῆς πόλεως, καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλόν, προσηυξάμεθα. Καὶ ἀσπασάμενοι ἀλλήλους, ἐνέβημεν εἰς τὸ πλοῖον· ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια. Ἡμεῖς δέ, τὸν πλοῦν διανύσαντες ἀπὸ Τύρου, κατηντήσαμεν εἰς Πτολεμαΐδα· καὶ ἀσπασάμενοι τοὺς ἀδελφούς, ἐμείναμεν ἡμέραν μίαν παρ' αὐτοῖς. Τῇ δὲ ἐπαύριον ἐξελθόντες, ἤλθομεν εἰς Καισάρειαν, καὶ εἰσελθόντες εἰς τὸν οἶκον τοῦ Φιλίππου τοῦ Εὐαγγελιστοῦ, ὄντος ἐκ τῶν ἑπτά, ἐμείναμεν παρ' αὐτῷ». Εἰς Καισάρειαν, φησίν, ἐλθόντες, παρὰ Φιλίππῳ τῷ ἐκ τῶν ἑπτὰ ἐμείναμεν.

«Τούτῳ δὲ ἦσαν θυγατέρες παρθένοι τέσσαρες προφητεύουσαι». Ἀλλ' οὐχ αὗται προλέγουσι τῷ Παύλῳ, καίτοι προφητεύουσαι, ἀλλ' Ἄγαβος· καὶ

«Ἀφοῦ τοὺς ἀποχωρισθήκαμε καὶ ἀναχωρήσαμε, ἤρθαμε κατ' εὐθεία στὴν Κῶ, τὴν ἑπόμενη ἡμέρα στὴ Ρόδο, καὶ ἀπὸ ἐκεῖ στὰ Πάταρα. Ἐκεῖ βρήκαμε πλοῖο ποὺ θὰ πήγαινε στὴ Φοινίκη, στὸ ὁποῖο ἐπιβιβασθήκαμε καὶ ἀναχωρήσαμε. Ἀντικρύζοντας τὴν Κύπρο, τὴν ἀφήσαμε ἀριστερὰ καί, πλέοντας πρὸς τὴ Συρία, προσεγγίσαμε στὴν Τύρο». Πρόσεχε, ἦρθε στὴ Λυκία, καί, ἔχοντας σκοπὸ νὰ περάσει στὴ Φοινίκη, ἀφοῦ ἄφησε τὴν Κύπρο, κατέπλευσε στὴν Τύρο· διότι ἐκεῖ τὸ πλοῖο ἐπρόκειτο νὰ ξεφορτώσει τὸ ἐμπόρευμα. Αὐτὴ ἦταν ἡ αἰτία τοῦ νὰ μεταβεῖ στὴν Τύρο.

«Ἐκεῖ βρήκαμε τοὺς μαθητὲς καὶ μείναμε ἑφτὰ ἡμέρες· οἱ μαθητὲς αὐτοὶ ἐμπνεόμενοι ἀπὸ τὸ Πνεῦμα ἔλεγαν στὸν Παῦλο νὰ μὴ ἀνεβεῖ στὴν Ἰερουσαλήμ». Πρόσεχε, προφητεύουν καὶ ἐκεῖνοι τὶς θλίψεις. Ρυθμίζεται ἀπὸ τὴν πρόνοια τοῦ Θεοῦ καὶ ἀπὸ ἐκείνους νὰ λεχθοῦν, γιὰ νὰ μὴ νομίσει κάποιος ὅτι αὐτὰ τὰ λέγει ὁ Παῦλος τυχαῖα καὶ γιὰ νὰ καυχηθεῖ. Πάλι δέ, ἀφοῦ προσευχήθηκαν ἐκεῖ, ἀποχωρίζονται ἀναμεταξύ τους.

«Ὅταν ὅμως συμπληρώσαμε τὶς ἡμέρες διαμονῆς μας ἐκεῖ, ἀναχωρήσαμε καὶ μᾶς συνόδευαν μέχρι ἔξω ἀπὸ τὴν πόλη ὅλοι τους μαζὶ μὲ τὶς γυναῖκες καὶ τὰ παιδιά τους· στὸ ἀκρογιάλι γονατίσαμε καὶ προσευχηθήκαμε, καί, ἀφοῦ ἀποχαιρετήσαμε ὁ ἕνας τὸν ἄλλο, μπήκαμε στὸ πλοῖο, ἐνῶ ἐκεῖνοι ἐπέστρεψαν στὰ σπίτια τους. Ἐμεῖς δέ, ἀφοῦ πλεύσαμε τὸ διάστημα ἀπὸ τὴν Τύρο καὶ πέρα, φθάσαμε στὴν Πτολεμαΐδα, ὅπου χαιρετήσαμε τοὺς ἀδελφοὺς καὶ μείναμε μαζί τους μία ἡμέρα. Τὴν ἄλλη ἡμέρα ἀναχωρήσαμε καὶ ἤρθαμε στὴν Καισάρεια, πήγαμε δὲ στὸ σπίτι τοῦ Φιλίππου τοῦ Εὐαγγελιστῆ, ποὺ ἦταν ἕνας ἀπὸ τοὺς ἑφτὰ καὶ μείναμε μαζί τους». Στὴν Καισάρεια, λέγει, ἤρθαμε καὶ μείναμε κοντὰ στὸν Φίλιππο, ποὺ ἦταν ἕνας ἀπὸ τοὺς ἑφτά.

«Αὐτὸς εἶχε τέσσερις θυγατέρες παρθένους ποὺ προφήτευαν». Ὅμως δὲν προλέγουν στὸν Παῦλο αὐτές, ἂν καὶ προφητεύουν, ἀλλὰ ὁ Ἄγαβος, καὶ πῶς ἄκουε.

«Ἐπιμενόντων δὲ ἡμῶν ἡμέρας πλείους, ἦλθεν ἀπὸ τῆς Ἰουδαίας προφήτης, ὀνόματι Ἄγαβος· καὶ ἐλθὼν πρὸς ἡμᾶς, καὶ ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας τε αὐτοῦ χεῖρας καὶ πόδας, εἶπε· Τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον· Τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν ἐν Ἱερουσαλὴμ οἱ Ἰουδαῖοι, καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν». Ὁ πάλαι τὸν λιμὸν μηνύσας, οὗτος, «τὸν ἄνδρα», φησί, «τοῦτον, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν». Ὅπερ οἱ προφῆται ἐποίουν, ὄψει τὰ γενόμενα ὑπογράφοντες, ὅταν περὶ αἰχμαλωσίας ἔλεγον, ὡς ὁ Ἰεζεκιήλ, τοῦτο καὶ οὗτος ἐποίησε. Καὶ τὸ δὴ χαλεπόν, ὅτι «εἰς χεῖρας ἐθνῶν παραδώσουσιν».

«Ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἱερουσαλήμ». Καὶ πολλοὶ παρεκάλουν μὴ ἀπελθεῖν, καὶ οὐδὲ οὕτως ὑπήκουσεν.

«Ἀπεκρίθη δὲ ὁ Παῦλος· Τί ποιεῖτε κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; Ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς Ἱερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ. Μὴ πειθομένου δὲ αὐτοῦ, ἡσυχάσαμεν, εἰπόντες· Τὸ θέλημα τοῦ Κυρίου γενέσθω». Ὁρᾷς; ἵνα μὴ ἀκούσας νομίσῃς ἀνάγκης εἶναι τὸ «δεδεμένος τῷ Πνεύματι πορεύομαι», μηδὲ ἀγνοοῦντα αὐτὸν ἐμπεσεῖν, διὰ τοῦτο ταῦτα προλέγεται. Ἀλλ' οἱ μὲν ἔκλαιον, αὐτὸς δὲ παρεκάλει, ἀλγῶν ἐπὶ τοῖς δάκρυσι τοῖς ἐκείνων· «Τί ποιεῖτε» γάρ, φησί, «κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν;». Οὐδὲν Παύλου φιλοστοργότερον· ὅτι ἑώρα δακρύοντας ἤλγει ὁ μὴ πάσχων ἐπὶ τοῖς οἰκείοις πειρασμοῖς. Ἐμὲ ἀδικεῖτε τοῦτο, φησί, ποιοῦντες· μὴ γὰρ ἐγὼ ἀλγῶ; Τότε ἐπαύσαντο, ὅτε εἶπε· «Τί ποιεῖτε συνθρύπτοντές μου τὴν καρδίαν;». Ἐφ' ὑμῖν κλαίω, φησίν, οὐκ ἐπὶ τοῖς

------

5. Πράξ. 20, 22

«Εἴχαμε μείνει ἐκεῖ ἀρκετὲς ἡμέρες ὅταν κατέβηκε ἀπὸ τὴν Ἰουδαία κάποιος προφήτης ὀνομαζόμενος Ἄγαβος, ὁ ὁποῖος, ὅταν μᾶς ἐπισκέφθηκε, πῆρε τὴ ζώνη τοῦ Παύλου, τοῦ ἔδεσε τὰ χέρια καὶ τὰ πόδια καὶ εἶπε· Αὐτὰ λέγει τὸ Πνεῦμα τὸ ἅγιο· Ἔτσι θὰ δέσουν στὴν Ἰερουσαλὴμ τὸν ἄνδρα στὸν ὁποῖο ἀνήκει ἡ ζώνη αὐτὴ καὶ θὰ τὸν παραδώσουν στὰ χέρια τῶν ἐθνικῶν». Ἐκεῖνος ποὺ παλαιότερα προεῖπε τὴν πείνα, αὐτός, λέγει, «ὅτι ἔτσι θὰ δέσουν τὸν ἄνδρα αὐτόν, στὸν ὁποῖο ἀνήκει αὐτὴ ἡ ζώνη». Ἐκεῖνο ἀκριβῶς ποὺ ἔκαμναν οἱ προφῆτες, περιγράφοντας μὲ ὅραμα ἐκεῖνα ποὺ θὰ γίνονταν, ὅταν μιλοῦσαν γιὰ αἰχμαλωσία, ὅπως ὁ Ἰεζεκιήλ, αὐτὸ καὶ αὐτὸς ἔκανε. Καὶ τὸ φοβερὸ βέβαια εἶναι ποὺ εἶπε ὅτι «Θὰ τὸν παραδώσουν στὰ χέρια τῶν ἐθνικῶν».

«Μόλις ἀκούσαμε αὐτά, ἐμεῖς καὶ οἱ ἐντόπιοι τὸν παρακαλούσαμε νὰ μὴ ἀνεβεῖ στὴν Ἰερουσαλήμ». Καὶ πολλοὶ τὸν παρακαλοῦσαν νὰ μὴ ἀναχωρήσει, καὶ οὔτε καὶ ἔτσι ὑπάκουσε.

«Ἀποκρίθηκε δὲ ὁ Παῦλος καὶ εἶπε· Ποιὸ τὸ ὄφελος ἀπὸ τὸ ὅτι κλαῖτε καὶ μοῦ ραγίζετε τὴν καρδιά; Διότι ἐγὼ εἶμαι πρόθυμος ὄχι μόνο νὰ φυλακισθῶ, ἀλλὰ καὶ νὰ πεθάνω στὴν Ἰερουσαλὴμ γιὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Ἐπειδὴ ὅμως δὲν πειθόταν ἡσυχάσαμε καὶ εἴπαμε· Ἂς γίνει τὸ θέλημα τοῦ Κυρίου». Βλέπεις; Γιὰ νὰ μὴ νομίσεις ἀκούοντας, «Ἐγὼ δεμένος ἀπὸ τὸ Πνεῦμα πηγαίνω»[5], ὅτι αὐτὸ γίνεται ἀναγκαστικά, οὔτε ὅτι περιέρχεται στοὺς κινδύνους ἀγνοώντας αὐτούς, γι' αὐτὸ προλέγει αὐτά. Ἀλλ' ἐκεῖνοι μὲν ἔκλαιαν, ἐνῶ αὐτὸς τοὺς παρηγορεῖ, ὑποφέροντας γιὰ τὰ δάκρυα ἐκείνων· διότι λέγει, «Ποιὸ τὸ ὄφελος ποὺ κλαῖτε καὶ μοῦ ραγίζετε τὴν καρδιά;». Δὲν ὑπάρχει τίποτε πιὸ φιλόστοργο ἀπὸ τὸν Παῦλο· ἐπειδὴ τοὺς ἔβλεπε νὰ δακρύζουν πονοῦσε ὑπερβολικὰ ἐκεῖνος ποὺ δὲν λυπόταν γιὰ τὶς δικές του δοκιμασίες. Ἐμένα, λέγει, ἀδικεῖτε κάμνοντας αὐτό· διότι μήπως ἐγὼ πονῶ; Τότε σταμάτησαν, ὅταν εἶπε· «Τί εἶναι αὐτὸ ποὺ κάνετε καὶ μοῦ ραγίζετε τὴν καρδιά;». Γιὰ σᾶς κλαίω, λέγει, ὄχι γιὰ τὰ παθήματά μου· διότι ὅσο ἀφορᾶ

παθήμασιν· ὑπὲρ γὰρ ἐκείνων καὶ ἀποθανεῖν βούλομαι. Ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα.

2. «Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ», φησίν, «οὐδενὸς ἐπεθύμησα· αὐτοὶ γινώσκετε ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται» Οὐκ ἄρα ἐν Κορίνθῳ τοῦτο εἰργάσαντο μόνον οἱ διαφθείροντες τοὺς μαθητάς, ἀλλὰ καὶ ἐν Ἀσίᾳ. Οὐδαμοῦ τοῦτο ὀνειδίζει τοῖς Ἐφεσίοις γράφων. Τί δήποτε; Ὅτι οὐκ ἐνέπεσεν εἰς ἀνάγκην. Ἀλλὰ καὶ Κορινθίοις λέγει· «Οὐκ ἐφράγη τὸ καύχημά μου ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας». Καὶ οὐκ εἶπεν, 'Οὐκ ἐδώκατέ μοι', ἀλλ' «ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐκ ἐπεθύμησα», ἵνα μὴ δόξῃ ἐκείνων εἶναι τὸ μὴ δοῦναι. Καὶ οὐκ εἶπεν, 'Οὐδενὸς ἐπεθύμησα τῶν ἀναγκαίων', ἵνα μὴ δόξῃ πάλιν κατηγορία εἶναι ἐκείνων, ἀλλὰ τοῦτο αἰνίττεται, ὅτι εἰκότως οὐκ ἔλαβεν, ὁπότε καὶ ἑτέρους ἔτρεφεν. Ὅρα πῶς εἰργάζετο μετὰ σπουδῆς ἄνθρωπος νύκτα καὶ ἡμέραν διαλεγόμενος μετὰ δακρύων, ἕνα ἕκαστον νουθετῶν.

«Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων». Τοῦτο εἰπών, πάλιν ἐφόβησεν. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· 'Οὐκ ἔχετε εἰς ἄγνοιαν καταφυγεῖν· ὑπέδειξα διὰ τῶν ἔργων, ὅτι οὕτω κοπιῶντας δεῖ ἐργάζεσθαι'. Καὶ οὐκ εἶπεν ὅτι 'κακὸν τὸ λαβεῖν', ἀλλὰ 'βέλτιον τὸ μὴ λαβεῖν'.

«Μνημονεύειν τε τὸν λόγον», φησί, «τοῦ Κυρίου, ὃν εἶπε· Μακάριόν ἐστι μᾶλλον διδόναι ἢ λαμβάνειν». Καὶ ποῦ εἶπεν· Ἴσως ἀγράφως παρέδωκαν οἱ Ἀπόστολοι, ἢ ἐξ ὧν ἄν τις συλλογίσαιτο δῆλον· καὶ γὰρ ἔδειξε τὴν παρρησίαν τὴν πρὸς τοὺς κινδύνους, τὴν συμπάθειαν τὴν πρὸς τοὺς ἀρχομένους, τὴν διδασκαλίαν τὴν μετὰ παρρησίας, τὴν ταπεινοφροσύνην, τὴν ἀκτημοσύνην· τοῦτο δὲ καὶ ἀκτημοσύνης μεῖζον·

6. Β΄ Κορ. 1, 10

ἐκεῖνα ἐπιθυμῶ καὶ νὰ πεθάνω. Ἀλλὰ ἂς ἐξετάσομε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα λέχθηκαν.

2. «Δὲν ἐπιθύμησα», λέγει, «κανενὸς τὰ χρήματα ἢ τὸ χρυσάφι ἢ τὰ ἐνδύματα· σεῖς οἱ ἴδιοι γνωρίζετε ὅτι τὶς ἀνάγκες τὶς δικές μου καὶ τῶν συντρόφων μου τὶς ἐξυπηρέτησαν τὰ χέρια μου αὐτά». Ἄρα αὐτὸ δὲν τὸ ἔκαναν μόνο στὴν Κόρινθο ἐκεῖνοι ποὺ ἤθελαν νὰ βλάψουν τοὺς μαθητές, ἀλλὰ καὶ στὴν Ἀσία. Πουθενὰ δὲν ἀποδίδει αὐτὴν τὴν κατηγορία γράφοντας στοὺς Ἐφεσίους. Γιατί τέλος πάντων; Διότι δὲν βρέθηκε σὲ τέτοια ἀνάγκη. Ἀλλὰ καὶ στοὺς Κορινθίους λέγει· «Δὲν μοῦ ἀποκλείσθηκε τὸ καύχημά μου στὰ μέρη τῆς Ἀχαΐας»[6]. Καὶ δὲν εἶπε, 'Δὲν μοῦ δώσατε', ἀλλὰ «Δὲν ἐπιθύμησα κανενὸς τὰ χρήματα ἢ τὸ χρυσάφι ἢ τὰ ἐνδύματα», γιὰ νὰ μὴ φανεῖ ὅτι ἐκεῖνοι ἦταν ποὺ δὲν ἔδιναν. Καὶ δὲν εἶπε, 'Δὲν ἐπιθύμησα τίποτε ἀπὸ τὰ ἀναγκαῖα', γιὰ νὰ μὴ φανεῖ πάλι ὅτι ἀποτελεῖ κατηγορία ἐκείνων, ἀλλ' ὑπαινίσσεται αὐτό, ὅτι πολὺ δικαιολογημένα δὲν ἔλαβε ἀπὸ κανένα, τὴ στιγμὴ ποὺ καὶ ἄλλους ἔτρεφε. Πρόσεχε πῶς ἐργαζόταν μὲ μεγάλη φιλοπονία ἄνθρωπος ποὺ νύχτα καὶ ἡμέρα μιλοῦσε μὲ δάκρυα, συμβουλεύοντας τὸν καθένα ξεχωριστά.

«Μὲ κάθε τρόπο σᾶς ἔδειξα, ὅτι ἔτσι μὲ τὸν κόπο τῆς ἐργασίας σας πρέπει νὰ βοηθᾶτε τοὺς ἀδυνάτους». Λέγοντας αὐτὸ πάλι τοὺς φόβησε. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· 'Δὲν μπορεῖτε νὰ καταφύγετε σὲ ἄγνοια· σᾶς ἔδειξα ἔμπρακτα ὅτι ἔτσι πρέπει μὲ κόπο νὰ ἐργάζεσθε'. Καὶ δὲν εἶπε ὅτι 'εἶναι κακὸ τὸ νὰ παίρνει κάποιος', ἀλλ' 'εἶναι προτιμότερο νὰ μὴ παίρνει'.

«Καὶ νὰ θυμᾶσθε», λέγει, «τὰ λόγια τοῦ Κυρίου ποὺ εἶπε· Μακάριο εἶναι πολὺ περισσότερο τὸ νὰ δίνει κάποιος παρὰ νὰ παίρνει». Καὶ ποῦ τὸ εἶπε; Ἴσως τὸ παρέδωσαν οἱ Ἀπόστολοι προφορικά, ἢ γίνεται φανερὸ ἀπὸ αὐτὰ ποὺ θὰ μποροῦσε κάποιος νὰ σκεφθεῖ· καθόσον ἔδειξε τὸ θάρρος πρὸς τοὺς κινδύνους, τὴ συμπάθεια πρὸς τοὺς ἀρχομένους, τὴ μὲ θάρρος διδασκαλία, τὴν ταπεινοφροσύνη, τὴν ἀκτημοσύνη· ἀλλ' αὐτὸ εἶναι μεγαλύτερο ἀπὸ τὴν

εἰ γὰρ ἐκεῖ, «Πώλησόν σου», φησί, «τὰ ὑπάρχοντα, εἰ θέλεις τέλειος εἶναι», ὅταν πρὸς τὸ μηδὲν λαμβάνειν καὶ ἑτέρους τρέφῃ, τί τούτου ἴσον; Εἷς βαθμὸς τοίνυν ῥῖψαι τὰ αὑτοῦ, δεύτερος ἑαυτῷ ἐπαρκεῖν, τρίτος καὶ ἑτέροις, τέταρτος τὸ κηρύττοντα καὶ ἐξουσίαν ἔχοντα λαμβάνειν μὴ λαμβάνειν· ὥστε πολὺ τῶν ἀκτημόνων οὗτος βελτίων ἦν. Καὶ καλῶς εἶπεν, «Οὕτω δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων»· τοῦτο μὲν γὰρ συμπαθείας τῆς πρὸς τοὺς ἀσθενεῖς, τὸ ἐκ τῶν ἰδίων κόπων διδόναι, τὸ δὲ ἐκ τῶν ἀλλοτρίων οὐ μόνον οὐ καλόν, ἀλλὰ καὶ ἐπισφαλές.

«Καὶ ἐπιπεσόντες τῷ τραχήλῳ», φησίν, «αὐτοῦ ἔκλαιον». Τοῦτο τὴν διάθεσιν τὴν πρὸς αὐτὸν δείκνυσιν. Ἐπέπεσον δὲ ἐπὶ τὸν τράχηλον, ἅτε ὑστέρας περιπλοκὰς περιπλεκόμενοι, καὶ πολλὴν ἀπὸ τῆς δημηγορίας λαβόντες τὴν ἀγάπην καὶ τὸ φίλτρον· εἰ γὰρ ἁπλῶς ἡμεῖς, απ' ἀλλήλων διαλυόμενοι, στένομεν, καίτοι εἰδόντες ὅτι ἀποληψόμεθα ἀλλήλους, πῶς ἂν ἐκεῖνοι τότε Παύλου ἀπαθῶς ἀπεσπάσθησαν; Ἐγὼ καὶ τὸν Παῦλον οἶμαι κλαίειν.

«Ἀποσπασθέντες», φησί. Δείκνυσι καὶ τὴν βίαν τῷ εἰπεῖν, «Ἀποσπασθέντες ἀπ' αὐτῶν». Καὶ εἰκότως· εἰς γὰρ τὴν θάλασσαν λοιπὸν ἐμβῆναι αὐτοὺς οὐκ ἐνῆν.

Τί ἐστιν, «Εὐθυδρομήσαντες ἤλθομεν εἰς Κῶν»; Ἀντὶ τοῦ 'οὐ περιήλθομεν οὐδὲ διετρίψαμεν ἐν ἑτέροις τόποις'. «Τῇ δὲ ἑξῆς», φησίν, «εἰς Ῥόδον». Ὅρα αὐτὸν ἐπειγόμενον.

«Καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην». Ἴσως ἐκεῖνο αὐτόθι διέτριβε· διὸ ἐν αὐτῷ ἐπιβαίνουσιν, οὐχ εὑρόντες ἄλλο εἰς Καισάρειαν ἀπερχόμενον.

«Ἀναφανέντες δὲ τὴν Κύπρον, καὶ καταλιπόντες αὐτὴν εὐώνυμον». Τοῦτο οὐχ ἁπλῶς εἴρηται,

---

7. Ματθ. 19, 21

ἀκτημοσύνη· διότι, ἐὰν ἐκεῖ λέγει, «Πούλησε τὰ ὑπάρχοντά σου, ἂν θέλεις νὰ εἶσαι τέλειος»[7], ὅταν καὶ χωρὶς νὰ παίρνει κανεὶς τίποτε τρέφει καὶ ἄλλους, τί θὰ μποροῦσε νὰ ἐξισωθεῖ μὲ αὐτό; Ἕνας βαθμὸς λοιπὸν τὸ ὅτι ἐγκατέλειψε τὰ δικά του, δεύτερος τὸ ὅτι ἦταν αὐτάρκης, τρίτος τὸ ὅτι ἐπαρκοῦσε καὶ γιὰ ἄλλους, τέταρτος τὸ ὅτι, ἂν καὶ κήρυττε καὶ εἶχε ἐξουσία νὰ παίρνει ἀπὸ ἐκείνους στοὺς ὁποίους κήρυττε, δὲν ἔπαιρνε· ὥστε αὐτὸς ἦταν ἀνώτερος ἀπὸ τοὺς ἀκτήμονες. Καὶ πολὺ καλὰ εἶπε, «Ἔτσι πρέπει νὰ βοηθᾶτε τοὺς ἀδυνάτους»· διότι αὐτὸ εἶναι δεῖγμα συμπάθειας πρὸς τοὺς ἀδυνάτους, τὸ νὰ δίνει κανεὶς ἀπὸ τοὺς δικούς του κόπους, ἐνῶ τὸ νὰ δίνει ἀπὸ τοὺς ξένους ὄχι μόνο δὲν εἶναι καλό, ἀλλὰ καὶ ἐπικίνδυνο.

«Καὶ τὸν ἀγκάλιαζαν», λέγει, «καὶ ἔκλαιαν». Αὐτὸ δείχνει τὴ διάθεσή τους πρὸς αὐτόν. Ἔπεσαν ἐπάνω στὸν τράχηλό του, ἐπειδὴ τὸν ἀγκάλιαζαν γιὰ τελευταία φορά, καὶ αὐξήθηκε πολύ, ἐξ αἰτίας τῆς ὁμιλίας του, ἡ ἀγάπη καὶ ἡ στοργή τους. Διότι, ἐὰν γενικὰ ἐμεῖς, ἀποχωριζόμενοι ἀναμεταξύ μας, ἀναστενάζομε, ἂν καὶ γνωρίζομε ὅτι θὰ συναντήσομε ὁ ἕνας τὸν ἄλλο, πῶς θὰ μποροῦσαν τότε ν' ἀποχωρισθοῦν μὲ ἀπάθεια; Ἐγὼ νομίζω ὅτι καὶ ὁ Παῦλος ἔκλαιε.

«Ἀφοῦ ἀποχωρισθήκαμε», λέγει. Δείχνει καὶ τὴ βία μὲ τὸ νὰ πεῖ, «Ἀφοῦ ἀποχωρισθήκαμε ἀπ' αὐτούς». Καὶ πολὺ σωστά· διότι δὲν μποροῦσαν πλέον νὰ μποῦν αὐτοὶ στὴ θάλασσα.

Τί σημαίνει, «Εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶν»; Λέγεται ἀντὶ τοῦ 'Δὲν μεταβήκαμε, οὔτε παραμείναμε σὲ ἄλλους τόπους'. «Τὴν ἄλλη ἡμέρα», λέγει, «ἤρθαμε στὴ Ρόδο». Πρόσεχε αὐτὸν ποὺ βιάζεται.

«Ἐκεῖ βρήκαμε πλοῖο ποὺ θὰ πήγαινε στὴ Φοινίκη». Ἴσως ἐκεῖνο νὰ βρισκόταν ἐκεῖ· γι' αὐτὸ ἀνεβαίνουν σ' αὐτό, ἐπειδὴ δὲν βρῆκαν ἄλλο ποὺ νὰ φεύγει γιὰ τὴν Καισάρεια.

«Ὅταν ἀντικρύσαμε τὴν Κύπρο, τὴν ἀφήσαμε ἀριστερά μας». Αὐτὸ δὲν λέχθηκε τυχαῖα, ἀλλὰ γιὰ νὰ δείξει,

ἀλλ' ἵνα δείξῃ ὅτι οὐδὲ ἐγγὺς αὐτῆς γενέσθαι ἠξίωσε, κατευθὺ πλέοντες τῆς Συρίας· οὕτως ἔσπευδεν. «Εἶτα καὶ κατήχθημεν εἰς Τύρον», φησί, «καὶ εὑρόντες τοὺς μαθητάς, ἐμείναμεν πρὸς αὐτούς». Ὅτε πλησίον ἦσαν Ἱεροσολύμων, οὐκ ἔτι τρέχουσιν, ἀλλὰ καὶ μένουσι παρὰ τοῖς ἀδελφοῖς ἑπτὰ ἡμέρας. Ἴδε μοι λοιπὸν καὶ τὰς ἡμέρας Μετὰ τὰ Ἄζυμα εἰς Τρῳάδα ἦλθον δι' ἡμερῶν πέντε, εἶτα ἐκεῖ ἑπτά, τὰς πάσας δώδεκα εἶτα εἰς τὴν Ἄσσον, εἰς Μυτιλήνην (ἀντικρὺ Χίου), εἰς Τρωγύλιον, εἰς Σάμον καὶ εἰς Μίλητον· δέκα ὀκτὼ ἡμέραι αἱ πᾶσαι. Εἶτα εἰς Κῶν, εἰς Ρόδον, εἰς Πάταρα, εἴκοσι καὶ μία· εἶτα ἐκεῖθεν δι' ἡμερῶν πέντε εἰς Τύρον, ἓξ καὶ εἴκοσι· λοιπὸν ἐκεῖ ἑπτὰ τριάκοντα καὶ τρεῖς· εἶτα εἰς Πτολεμαΐδα μίαν, τριάκοντα τέσσαρες· εἶτα εἰς Καισάρειαν πλείους μένει τῶν ἄλλων· καὶ τότε λοιπὸν ἐκεῖθεν αὐτοὺς ἀνάγει ὁ Προφήτης. Οὕτως ἡ Πεντηκοστὴ πληροῦται, καὶ ἐκεῖ αὐτὴν ποιεῖ.

Ὅρα αὐτὸν ὅτε τὸ Πνεῦμα οὐκ ἐκώλυε πειθόμενον. Εἶπον, «Μὴ δῷς σαυτὸν εἰς τὸ θέατρον», καὶ οὐκ ἔδωκε· πολλάκις αὐτὸν ἐξήγαγον, καὶ ἐπείσθη· διὰ θυρίδος πάλιν ἔφυγε· καὶ νῦν ὡς εἰπεῖν μυρίων παρακαλούντων, (καὶ τῶν ἐν Τύρῳ καὶ τῶν ἐν Καισαρείᾳ), καὶ κλαιόντων, καὶ μυρία προλεγόντων δεινά, οὐκ ἀνέχεται. Καὶ μὴν οὐχ ἁπλῶς τὰ δεινὰ προέλεγον, ἀλλὰ διὰ τοῦ Πνεύματος προέλεγον. Εἰ τοίνυν τὸ Πνεῦμα ἐκέλευσε, διὰ τί ἀντεῖπον; Ὅτι οὐκ ᾔδεσαν ἅπερ ἐδόκει τῷ Πνεύματι, καὶ ἄλλως δὲ οὐ-

---

8. Πράξ. 20, 6
9. Πράξ. 20, 13
10. Πράξ. 20, 14
11. Πράξ. 20, 15
12. Πράξ. 19, 31
13. Πράξ. 7, 14
14. Β' Κορ. 11, 33

ὅτι δὲν εἶχε τὴν ἀξίωση οὔτε κἂν νὰ πλησιάσουν σ' αὐτήν, ἐφόσον ἔπλεαν κατ' εὐθεία γιὰ τὴ Συρία τόσο πολὺ βιαζόταν.

«Στὴ συνέχεια», λέγει, «προσεγγίσαμε στὴν Τύρο, καὶ ἀφοῦ βρήκαμε τοὺς μαθητές, μείναμε μαζί τους». Ὅταν πλησίασαν στὰ Ἱεροσόλυμα, δὲν τρέχουν πιά, ἀλλὰ καὶ μένουν κοντὰ στοὺς ἀδελφοὺς ἐφτὰ ἡμέρες. Πρόσεξε βέβαια σὲ παρακαλῶ καὶ τὶς ἡμέρες. Μετὰ τὴν ἑορτὴ τῶν Ἀζύμων ἦρθαν σὲ πέντε ἡμέρες στὴν Τρωάδα, καὶ στὴ συνέχεια ἔμειναν ἐκεῖ ἐφτὰ ἡμέρες[8], ποὺ συνολικὰ γίνονται δώδεκα. Ἔπειτα ἔρχονται στὴν Ἄσσο[9], στὴ Μυτιλήνη[10] (ἀντίκρυ ἀπὸ τὴν Χίο), στὸ Τρωγύλιο, στὴ Σάμο καὶ τὴ Μίλητο[11]· συνολικὰ γίνονται δέκα ὀχτὼ ἡμέρες. Ἔπειτα πηγαίνουν στὴν Κῶ, στὴ Ρόδο, στὰ Πάταρα, ποὺ γίνονται εἴκοσι μία ἡμέρες· στὴ συνέχεια ἀπὸ ἐκεῖ σὲ πέντε ἡμέρες στὴν Τύρο, ποὺ γίνονται εἴκοσι ἕξι· ἐκεῖ μένουν στὴ συνέχεια ἐφτὰ ἡμέρες καὶ γίνονται τριάντα τρεῖς ἡμέρες· ἔπειτα πηγαίνουν στὴν Πτολεμαΐδα καὶ μένουν μιὰ ἡμέρα, καὶ γίνονται τριάντα τέσσερις· ἔπειτα στὴν Καισάρεια μένει περισσότερες ἡμέρες ἀπὸ ὅ,τι ἔμεινε στὶς ἄλλες· καὶ τότε πλέον ἀπὸ ἐκεῖ ὁ προφήτης γίνεται ἀφορμὴ νὰ ἀνεβοῦν στὰ Ἱεροσόλυμα. Ἔτσι συμπληρώνεται ἡ Πεντηκοστὴ καὶ ἑορτάζει αὐτὴν ἐκεῖ.

Πρόσεχε αὐτὸν ποὺ πείθεται ὅταν τὸ Πνεῦμα δὲν ἐμπόδιζε. Εἶπαν, «Νὰ μὴ μεταβεῖ καὶ ἐκθέσει τὸν ἑαυτό του στὸ θέατρο»[12], καὶ δὲν τὸν ἐξέθεσε· πολλὲς φορὲς τὸν ἀπομάκρυναν κρυφά, καὶ πείσθηκε[13]· πάλι τὸν φυγάδευσαν ἀπὸ ἕνα παράθυρο[14] καὶ τώρα, ὅπως θὰ λέγαμε, ἂν καὶ τὸν παρακαλοῦν ἄπειροι (καὶ ἀπὸ τοὺς ἀδελφοὺς τῆς Τύρου καὶ ἀπὸ τοὺς ἀδελφοὺς τῆς Καισάρειας), καὶ κλαῖνε, καὶ προλέγουν ἄπειρα κακά, δὲν δέχεται. Καὶ βέβαια δὲν πρόλεγαν τὰ κακὰ ἔτσι τυχαῖα, ἀλλὰ τὰ πρόλεγαν ἐμπνεόμενοι ἀπὸ τὸ Πνεῦμα. Ἐὰν λοιπὸν τὸ Πνεῦμα πρόσταξε, γιατί πρόβαλαν ἀντίρρηση; Διότι δὲν γνώριζαν ἐκεῖνα ποὺ ἦταν ἀρεστὰ στὸ Πνεῦμα, καὶ ἄλλωστε οὔτε τὴ προτροπὴ τὴν ἔκαμναν μὲ τὸ Πνεῦμα· διότι δὲν

δὲ τὴν παραίνεσιν διὰ τοῦ Πνεύματος ἐποιοῦντο· οὐ γὰρ ἁπλῶς αὐτῷ τὰ δεινὰ προὔλεγον, ἀλλ' ὅτι ἀναβῆναι οὐ χρή, φειδόμενοι αὐτοῦ.

3. «Μετὰ δὲ τὸ ἐξαρτίσαι τὰς ἡμέρας», φησί· τουτέστι, πληρῶσαι· ἡμέρας δὲ λέγει τὰς τεταγμένας· «προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις». Ὅρα πόση ἡ παράκλησις ἦν· καὶ πάλιν εὐχόμενοι διαλύονται. Καὶ ἐν Πτολεμαΐδι μίαν μένουσιν ἡμέραν, ἐν δὲ Καισαρείᾳ πλείους. Καὶ ὅτε ἤκουσεν ὅτι μυρία δεινὰ ἔχει παθεῖν, τότε ἐπείγεται, οὐκ ἐπὶ τοὺς κινδύνους ῥίπτων ἑαυτόν, ἀλλ' ἡγούμενος τοῦ Πνεύματος εἶναι τὸ πρόσταγμα.

«Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἐπισκευασάμενοι», φησίν, «ἀναβαίνομεν εἰς Ἱεροσόλυμα»· τουτέστι, 'τὰ πρὸς τὴν ὁδοιπορίαν λαβόντες'.

«Συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν, ἄγοντες παρ' ᾧ ξενισθῶμεν, Μνάσωνί τινι Κυπρίῳ, ἀρχαίῳ μαθητῇ. Γενομένων δὲ ἡμῶν εἰς Ἱεροσόλυμα, ἀσμένως ἐδέξαντο ἡμᾶς οἱ ἀδελφοί». Καὶ ὅρα, οὐκ εἶπεν Ἄγαβος ὅτι Παῦλον δήσουσιν, ἵνα μὴ δόξῃ ἐκ συνθήκης λέγειν, ἀλλὰ «τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη». Ἄρα καὶ ζώνην εἶχεν. Ἐπειδὴ δὲ οὐκ ἴσχυον πεῖσαι, διὰ τοῦτο ἔκλαιον, εἶτα ἡσύχασαν. Ὁρᾷς φιλοσοφίαν; ὁρᾷς φιλοστοργίαν; «Ἡσυχάσαμεν», φησίν, «εἰπόντες· Τὸ θέλημα τοῦ Κυρίου γενέσθω».

«Ἄγοντες», φησί, «παρ' ᾧ ξενισθῶμεν». Ἄρα οὐκ εἰς τὴν Ἐκκλησίαν· τότε μὲν γάρ, ὅτε ὑπὲρ δογμάτων ἀνῄεσαν, ἐν τῇ Ἐκκλησίᾳ ξενίζονται, νῦν δὲ παρὰ μαθητῇ τινι ἀρχαίῳ. Δείκνυσι πολὺν τοῦ κηρύγματος τὸν χρόνον λοιπόν· ὅθεν μοι δοκεῖ πολλὰ ἔτη ἐπιτέμνειν ἐν ταῖς Πράξεσιν οὗτος, τὰ κατεπείγοντα μόνον λέγων.

Τί ἐστι, «Τὸ θέλημα τοῦ Κυρίου γενέσθω»; Κύ-

πρόλεγαν σ' αὐτὸν ἁπλῶς τὰ κακά, ἀλλ' ὅτι δὲν πρέπει ν' ἀνεβεῖ, εὐσπλαχνιζόμενοι αὐτόν.

3. «Μετὰ δὲ τὸ ἐξαρτίσαι τὰς ἡμέρας», λέγει δηλαδή, μετὰ τὴ συμπλήρωση αὐτῶν· ἡμέρες ὀνομάζει τὶς καθορισμένες ἀπὸ πρίν· «Φύγαμε ἐνῶ μᾶς συνόδευαν ὅλοι μαζὶ μὲ τὶς γυναῖκες καὶ τὰ παιδιά τους». Πρόσεχε πόση ἦταν ἡ παρηγοριά· καὶ πάλι ἀποχωρίζονται ἀφοῦ προσευχήθηκαν. Καὶ στὴν Πτολεμαΐδα μένουν μία ἡμέρα, ἐνῶ στὴν Καισάρεια περισσότερες. Καὶ ὅταν ἄκουσε ὅτι πρόκειται νὰ πάθει ἀμέτρητα κακά, τότε βιάζεται, ὄχι ρίχνοντας τὸν ἑαυτό του στοὺς κινδύνους, ἀλλὰ θεωρώντας τὸ πρόσταγμα ὅτι εἶναι τοῦ Πνεύματος.

«Μετὰ ἀπὸ τὶς ἡμέρες αὐτές, ἀφοῦ ἑτοιμασθήκαμε», λέγει, «ἀρχίσαμε ν' ἀνεβαίνομε πρὸς τὰ Ἱεροσόλυμα»· δηλαδή, ἀφοῦ πήραμε τὰ ἀναγκαῖα γιὰ τὴν ὁδοιπορία.

«Μαζί μας ἦρθαν καὶ μερικοὶ ἀπὸ τοὺς μαθητὲς τῆς Καισάρειας, φέροντας μαζί τους καὶ κάποιον Μνάσωνα Κύπριο, παλιὸ μαθητή, στὸ σπίτι τοῦ ὁποίου ἐπρόκειτο νὰ φιλοξενηθοῦμε. Ὅταν φθάσαμε στὰ Ἱεροσόλυμα οἱ ἀδελφοὶ μᾶς ὑποδέχθηκαν μὲ πολλὴ χαρά». Καὶ πρόσεχε δὲν εἶπε ὁ Ἄγαβος ὅτι θὰ δέσουν τὸν Παῦλο, γιὰ νὰ μὴ φανεῖ ὅτι τὸ λέγει μετὰ ἀπὸ συμφωνία, ἀλλὰ «Τὸν ἄνδρα στὸν ὁποῖο ἀνήκει ἡ ζώνη αὐτή». Ἄρα καὶ ζώνη εἶχε. Ἐπειδὴ ὅμως δὲν μποροῦσαν νὰ τὸν πείσουν, γι' αὐτὸ ἔκλαιαν ἀλλὰ στὴ συνέχεια ἡσύχασαν. Βλέπεις φιλοσοφικότητα; Βλέπεις φιλοστοργία; «Ἡσυχάσαμε», λέγει, «καὶ εἴπαμε· Ἂς γίνει τὸ θέλημα τοῦ Κυρίου».

«Φέροντας», λέγει, «μαζί τους κάποιον στὸ σπίτι τοῦ ὁποίου ἐπρόκειτο νὰ φιλοξενηθοῦμε». Ἄρα δὲν θὰ φιλοξενοῦνταν στὴν Ἐκκλησία· διότι τότε μέν, ὅταν πήγαιναν νὰ διδάξουν, φιλοξενοῦνταν στὴν Ἐκκλησία, ἐνῶ τώρα σὲ κάποιον παλιὸ μαθητή. Δείχνει πλέον ὅτι ὑπῆρξε πολὺς ὁ χρόνος τοῦ κηρύγματος· ἀπὸ αὐτὸ μοῦ φαίνεται ὅτι αὐτὸς παραλείπει στὶς Πράξεις πολλὰ ἔτη, ἀναφέροντας μόνο τὰ πιὸ ἐπείγοντα.

Τί σημαίνει, «Ἂς γίνει τὸ θέλημα τοῦ Κυρίου»; Ὁ

ριος, φησίν, αὐτὸς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσει. Ἡσυχάζουσι δὲ ἐκεῖνοι, καὶ οὐκ ἀναγκάζουσιν. Ἴσως συνεῖδον ὅτι τὸ θέλημα ἦν Θεοῦ, ἀπὸ τῆς Παύλου προθυμίας τοῦτο στοχασάμενοι· οὐ γὰρ ἂν οὕτω Παῦλος προεθυμήθη, οὔτε Θεὸς ἂν εἴασεν, ὁ ἀεὶ κινδύνων ἐξαρπάζων αὐτόν. Οὕτως οὐκ ἐβούλοντο βαρεῖν τὴν Ἐκκλησίαν, ὄντος ἑτέρου τοῦ ξενίζοντος αὐτούς, οὐδὲ ἀξίωμα ἀπήτουν.

«Ἀσμένως ἡμᾶς», φησίν, «ἀπεδέξαντο οἱ ἀδελφοί». Λοιπὸν εἰρήνης ἦν μεστὰ τὰ πράγματα τὰ ἐν Ἰουδαίοις, καὶ οὐχ ὡς πρότερον πόλεμος ἦν.

«Ἄγοντες ἡμᾶς», φησί, «παρ' ᾧ ξενισθῶμεν». Παῦλον ἐξένισεν ἐκεῖνος. Τάχα τις ὑμῶν ἐρεῖ· Εἴ τις κἀμοὶ Παῦλον ἔδωκε ξενίσαι, ἑτοίμως ἂν καὶ μετὰ πολλῆς τῆς προθυμίας τοῦτο ἐποίησα. Ἰδοὺ τὸν Παύλου Δεσπότην ἔξεστί σοι ξενίσαι, καὶ οὐ βούλει· «ὁ γὰρ δεχόμενος», φησίν, «ἕνα τῶν ἐλαχίστων, ἐμὲ δέχεται». Ὅσῳ ἂν ἐλάχιστος ᾖ ὁ ἀδελφός, τοσούτῳ μᾶλλον ὁ Χριστὸς δι' αὐτοῦ παραγίνεται· ὁ μὲν γὰρ τὸν μέγαν δεχόμενος, πολλάκις καὶ διὰ κενοδοξίαν ποιεῖ, ὁ δὲ τὸν μικρόν, καθαρῶς διὰ τὸν Χριστόν. Ἔξεστί σοι καὶ τὸν Πατέρα ξενίσαι τοῦ Χριστοῦ, καὶ οὐ βούλει· «Ξένος γὰρ ἤμην», φησί, «καὶ συνηγάγετέ με», καὶ πάλιν· «Ἐφ' ὅσον ἑνὶ τούτων τῶν ἐλαχίστων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε». Κἂν μὴ Παῦλος ᾖ, πιστὸς δὲ ᾖ καὶ ἀδελφός, κἂν ἐλάχιστος ᾖ, ὁ Χριστὸς δι' αὐτοῦ παραγίνεται. Ἄνοιξον τὴν οἰκίαν, ὑπόδεξαι. «Ὁ δεχόμενος προφήτην», φησί, «μισθὸν προφήτου λήψεται». Οὐκοῦν καὶ ὁ Χριστὸν δεχόμενος λήψεται μισθὸν τοῦ τὸν Χριστὸν ξενίζοντος.

15. Πράξ. 21, 17
16. Λουκᾶ 9, 48
17. Ματθ. 25, 35
18. Ματθ. 25, 40
19. Ματθ. 10, 41

ίδιος ὁ Κύριος, λέγει, θὰ κάνει ὅ,τι εἶναι ἀρεστὸ σ' αὐτόν. Ἡσυχάζουν ἐκεῖνοι καὶ δὲν τὸν ἐξαναγκάζουν νὰ μείνει. Ἴσως ἀντιλήφθηκαν ὅτι ἦταν τὸ θέλημα τοῦ Θεοῦ, συμπεραίνοντας αὐτὸ ἀπὸ τὴν προθυμία τοῦ Παύλου· διότι δὲν θὰ ἦταν δυνατὸ ὁ Παῦλος νὰ ἔδειχνε τόση μεγάλη προθυμία, οὔτε ὁ Θεὸς θὰ τὸν ἄφηνε, αὐτὸς ποὺ πάντοτε τὸν ἄρπαζε μέσα ἀπὸ τοὺς κινδύνους καὶ τὸν ἔσωζε. Τόσο πολὺ δὲν ἤθελαν νὰ γίνονται βαρετοὶ στὴν Ἐκκλησία, ἐφόσον ὑπῆρχε ἄλλος ποὺ θὰ τὸν φιλοξενοῦσε, οὔτε ἀξίωμα ζητοῦσαν νὰ λάβουν.

«Μὲ μεγάλη χαρά», λέγει, «μᾶς ὑποδέχθηκαν οἱ ἀδελφοί»[15]. Τότε τὰ πράγματα τῶν Ἰουδαίων ἦταν γεμάτα ἀπὸ εἰρήνη, καὶ δὲν ὑπῆρχε, ὅπως προηγουμένως, πόλεμος.

«Φέροντας μαζί τους», λέγει «κάποιον στὸν ὁποῖο ἐπρόκειτο νὰ φιλοξενηθοῦμε». Τὸν Παῦλο φιλοξένησε ἐκεῖνος. Ἴσως κάποιος ἀπὸ σᾶς πεῖ· Ἐὰν κάποιος μοῦ ἔδινε νὰ φιλοξενήσω τὸν Παῦλο, μὲ εὐχαρίστηση καὶ πολλὴ προθυμία θὰ τὸ ἔκανα. Νὰ σοῦ εἶναι δυνατὸ νὰ φιλοξενήσεις τὸν Κύριο τοῦ Παύλου, καὶ δὲν θέλεις· «Διότι ἐκεῖνος ποὺ δέχεται», λέγει, «ἕνα ἀπὸ τοὺς ἀσήμαντους, ἐμένα δέχεται». Ὅσο πιὸ ἀσήμαντος συμβαίνει νὰ εἶναι ὁ ἀδελφός, τόσο περισσότερο ὁ Χριστὸς προσέρχεται μέσω αὐτοῦ· διότι ἐκεῖνος ποὺ δέχεται τὸν σπουδαῖο, πολλὲς φορὲς τὸ κάνει αὐτὸ καὶ ἀπὸ ματαιοδοξία, ἐνῶ ἐκεῖνος ποὺ δέχεται τὸν ἀσήμαντο, τὸ κάνει ὁλοκάθαρα γιὰ τὸ Χριστό. Σοῦ εἶναι δυνατὸ καὶ τὸν Πατέρα τοῦ Χριστοῦ νὰ φιλοξενήσεις, καὶ δὲν θέλεις· διότι, λέγει, «Ξένος ἤμουν καὶ μὲ πήρατε στὸ σπίτι»[17]· καὶ πάλι· «Ἐφόσον τὸ κάνατε σὲ ἕναν ἀπὸ αὐτοὺς τοὺς ἀσήμαντους, σ' ἐμένα τὸ κάνατε»[18]. Καὶ ἂν ἀκόμα δὲν εἶναι ὁ Παῦλος, ἀλλ' εἶναι κάποιος πιστὸς καὶ ἀδελφός, καὶ ἂν ἀκόμα εἶναι ἀσήμαντος, ὁ Χριστὸς προσέρχεται μέσω αὐτοῦ. Ἄνοιξε τὴν οἰκία σου καὶ ὑποδέξου τον. «Ἐκεῖνος ποὺ δέχεται», λέγει, «προφήτη, θὰ λάβει μισθὸ προφήτη»[19]. Ἑπομένως καὶ ἐκεῖνος ποὺ δέχεται τὸν Χριστὸ θὰ λάβει τὸν μισθὸ ἐκείνου ποὺ φιλοξενεῖ τὸν Χριστό.

Μὴ ἀπίστει τοῖς ῥήμασιν αὐτοῦ, ἀλλὰ γενοῦ πιστός· αὐτὸς εἶπεν ὅτι 'δι' αὐτῶν ἐγὼ παραγίνομαι'· καὶ ἵνα μὴ ἀπιστῇς, καὶ τιμωρίας ὁρίζει τοῖς μὴ δεχομένοις, καὶ τιμὰς τοῖς δεχομένοις, οὐκ ἂν τοῦτο ποιήσας, εἰ μὴ καὶ ὁ τιμηθεὶς καὶ ὁ ὑβρισθεὶς αὐτὸς ἦν. Ἐδέξω με, φησίν, εἰς τὸ σὸν καταγώγιον, δέξομαί σε εἰς τὴν βασιλείαν τοῦ Πατρός μου· ἔλυσάς μοι τὸν λιμόν, λύσω σοι τὰ ἁμαρτήματα· εἶδές με δεδεμένον, ὁρᾶσθαί σε ποιῶ λελυμένον· εἶδές με ξένον, ποιῶ σε πολίτην τῶν οὐρανῶν· ἔδωκάς μοι ἄρτον, δίδωμί σοι βασιλείαν ὁλόκληρον, ὥστε κληρονομῆσαι καὶ κατασχεῖν («δεῦτε» γάρ, φησί, «κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν»· οὐκ εἶπε, 'Λάβετε', ἀλλὰ «κληρονομήσατε», ὅπερ ἐπὶ τῶν κυρίως κτωμένων λέγεται, ὡς, ὅταν λέγωμεν· 'Τόδε ἐκληρονόμησα)· ἐποίησας εἰς ἐμὲ ἐν κρυπτῷ, ἐγὼ κηρύξω ἐν φανερῷ· καὶ τὰ μὲν σὰ λέγω ὅτι χάριτος ἦν, τὰ δὲ ἐμὰ ὀφειλῆς· ἐπειδὴ γὰρ σύ, φησίν, ἦρξω, ἐγὼ ἕπομαι καὶ ἀκολουθῶ· οὐκ αἰσχύνομαι ὁμολογῆσαι τὰς εἰς ἐμὲ γενομένας εὐεργεσίας, οὐδὲ τίνων με ἀπήλλαξας, λιμοῦ καὶ γυμνότητος καὶ πλάνης.

Εἶδές με δεδεμένον, οὐκ ὄψει τὸ τῆς γεέννης πῦρ· εἶδες με ἀρρωστοῦντα, οὐκ ὄψει τὰ βασανιστήρια, οὐδὲ τὰς τιμωρίας. Ὢ χεῖρες ὄντως εὐλογημέναι, αἱ τοιαύταις οἰκονομίαις διακονούμεναι, αἱ καταξιούμεναι ὑπηρετεῖν τῷ Χριστῷ! Πόδες εἰς δεσμωτήρια βαδίζοντες διὰ τὸν Χριστόν, εὐκόλως κατατολμῶσι τοῦ πυρός· οὐ λαμβάνουσι πεῖραν τῶν δεσμῶν χεῖρες, αἱ δεδεμένον αὐτὸν ἰδοῦσαι. Ἐνέδυσας ἱμάτιον, καὶ ἐνδύῃ ἱμάτιον σωτηρίου· ἐγένου ἐν δεσμωτηρίῳ μετ' αὐτοῦ, καὶ γίνῃ ἐν βασιλείᾳ μετ' αὐτοῦ. Ταῦτα ὁμολογεῖ οὐκ αἰσχυνόμενος, ἀλλ' εἰδὼς ὅτι αὐτὸν ἐπεσκέψω. Οὐκ ᾔδει ἀγγέλους ξενίζων ὁ πατριάρχης, καὶ ἐξένιζεν. Αἰσχυνθῶμεν, παρακαλῶ·

------

20. Γεν. 18, 3

Μὴ δείχνεις ἀπιστία στὰ λόγια, ἀλλὰ γίνε πιστός˙ αὐτὸς εἶπε ὅτι 'ἐγὼ βρίσκομαι παρὼν μέσω αὐτῶν˙ καὶ γιὰ νὰ μὴ ἀπιστεῖς καὶ τιμωρία ὁρίζει γιὰ ἐκείνους ποὺ δὲν τὸν δέχονται καὶ τιμὲς γιὰ ἐκείνους ποὺ τὸν δέχονται˙ δὲν θὰ τὸ ἔκαμνε αὐτὸ ἂν δὲν ἦταν αὐτὸς καὶ αὐτὸς ποὺ τιμήθηκε καὶ αὐτὸς ποὺ περιφρονήθηκε. Μὲ δέχθηκες, λέγει, στὸ δικό σου κατάλυμα, θὰ σὲ δεχθῶ στὴ βασιλεία τοῦ Πατέρα μου˙ μὲ ἀπάλλαξες ἀπὸ τὴν πείνα, θὰ σ' ἀπαλλάξω ἀπὸ τὰ ἁμαρτήματά σου˙ μὲ εἶδες φυλακισμένο, σὲ κάμνω νὰ βλέπεσαι ἐλεύθερος˙ μὲ εἶδες ἐνῶ ἤμουν ξένος, σὲ κάμνω πολίτη τῶν οὐρανῶν˙ μοῦ ἔδωσες ψωμί, σοῦ δίνω ὁλόκληρη τὴ βασιλεία, ὥστε νὰ τὴν κληρονομήσεις καὶ νὰ γίνεις κύριος αὐτῆς (διότι, λέγει, «Ἐλᾶτε καὶ κληρονομήσατε τὴ βασιλεία ποὺ ἔχει ἑτοιμασθεῖ γιὰ σᾶς»[20]˙ δὲν εἶπε, 'Λάβετε', ἀλλὰ «κληρονομήσατε», πράγμα ποὺ λέγεται γιὰ ἐκεῖνα ποὺ ἀποκτοῦμαι πλήρη δικαιώματα, ὅπως ὅταν λέμε˙ 'Αὐτὸ ἐδῶ τὸ κληρονόμησα)˙ ἔκανες κάτι γιὰ μένα στὰ κρυφά, ἐγὼ θὰ τὸ διακηρύξω φανερά˙ καὶ τὰ μὲν δικά σου λέγω ὅτι ἦταν πράξεις εὐεργεσίας, ἐνῶ τὰ δικά μου πράξεις ὀφειλῆς˙ διότι, ἐπειδὴ σὺ ἄρχισες, λέγει, ἐγὼ ἔρχομαι ἀπὸ πίσω καὶ ἀκολουθῶ˙ δὲν ντρέπομαι νὰ ὁμολογήσω τὶς εὐεργεσίες ποὺ ἔκανες σ' ἐμένα, οὔτε ἀπὸ ποιὰ μὲ ἀπάλλαξες, ἀπὸ τὴν πείνα δηλαδή, τὴ γυμνότητα καὶ τὴν περιπλάνηση.

Μὲ εἶδες δεμένο, δὲν θὰ δεῖς τὸ πῦρ τῆς γέεννας˙ μὲ εἶδες ἄρρωστο, δὲν θὰ δεῖς τὰ βασανιστήρια, οὔτε τὶς τιμωρίες. Πώ, πὼ χέρια πραγματικὰ εὐλογημένα, ποὺ προσφέρετε τέτοιες ὑπηρεσίες, ποὺ ἀξιωθήκατε νὰ ὑπηρετεῖτε τὸ Χριστό! Πόδια ποὺ βαδίζετε στὶς φυλακὲς γιὰ τὸν Χριστό, ποὺ εὔκολα τολμοῦν νὰ πέσουν στὴ φωτιά˙ δὲν δοκιμάζουν τὰ δεσμὰ τὰ χέρια ἐκεῖνα ποὺ εἶδαν αὐτὸν δεμένο. Τὸν ἔντυσες μὲ ἔνδυμα, καὶ σὲ ντύνει μὲ ἔνδυμα σωτήριο˙ βρέθηκες στὴ φυλακὴ μαζὶ μ' αὐτόν, θὰ βρεθεῖς καὶ στὴ βασιλεία του μαζί του. Δὲν γνώριζε ὁ πατριάρχης ὅτι φιλοξενεῖ ἀγγέλους, καὶ τοὺς φιλοξενοῦσε[21]. Ἂς ντραποῦμε, παρακαλῶ˙ μέσα στὸ καταμεσήμερο

ἐν μεσημβρίᾳ ἐκάθητο ἐπ' ἀλλοτρίας ὤν, ὅπου οὐδὲ βῆμα ποδὸς εἶχε· ξένος ἦν, καὶ ξένους ἐξένιζεν ὁ ξένος· πολίτης γὰρ ἦν τῶν οὐρανῶν. Διὰ τοῦτο οὐδὲ ἐπὶ γῆς ὤν, ξένος ἦν. Ἡμεῖς ἐκείνου τοῦ ξένου μᾶλλον ξένοι, μὴ δεχόμενοι ξένους. Οὐκ εἶχεν οἰκίαν, καὶ καταγώγιον ἦν αὐτῷ ἡ σκηνή. Καὶ ὅρα τὸ δαψιλές· μόσχον ἔθυε, καὶ ἄλευρα ἔφυρεν. Ἄκουε καὶ τὸ πρόθυμον· δι' ἑαυτοῦ καὶ τῆς γυναικὸς τοῦτο ποιεῖ. Σκόπει καὶ τὸ ἄτυφον· προσκυνεῖ καὶ παρακαλεῖ.

4. Πάντα γὰρ ταῦτα δεῖ τὸν ξενίζοντα ἔχειν· τὸ πρόθυμον, τὸ φαιδρόν, τὸ ἄφθονον. Ἡ γὰρ τοῦ ξένου ψυχὴ ἐρυθριᾷ καὶ αἰσχύνεται· κἂν μὴ μεθ' ὑπερβολῆς ἐπιδείξῃ χαράν, ὡς ἀλογηθεὶς ἀπαλλάσσεται, καὶ λοιπὸν χεῖρον γέγονε τοῦ μὴ ὑποδέξασθαι τὸ οὕτως ὑποδεχθῆναι. Διὰ τοῦτο προσκυνεῖ, διὰ τοῦτο τῷ λόγῳ δέχεται, διὰ τοῦτο τῇ καθέδρᾳ. Τίς γὰρ ἂν ἠπορήθη, εἰδὼς ὅτι τοῦτο ἔργον αὐτῷ ἦν; Ἀλλ' οὐκ ἐπὶ ξένης ἐσμὲν ἡμεῖς; Ἀλλ' ἐὰν θέλωμεν, δυνησόμεθα αὐτὸν μιμήσασθαι. Πόσοι ξένοι εἰσὶ τῶν ἀδελφῶν; Ἔστιν οἴκημα κοινὸν ἡ Ἐκκλησία, ὃν ξενῶνα καλοῦμεν· περιεργάζεσθε καὶ ὑμεῖς, καθέζεσθε παρὰ τὰς θύρας, τοὺς ἐρχομένους ὑποδέχεσθε· κἂν μὴ εἰς τὰς οἰκίας ὑμῶν βούλησθε, ἀλλ' ἑτέρως τὰ πρὸς τὰς χρείας αὐτοῖς χορηγοῦντες.

Τί γάρ; Ἡ Ἐκκλησία οὐκ ἔχει; φησίν. Ἔχει· ἀλλὰ τί τοῦτο πρὸς ὑμᾶς; μὴ τὸ ἀπὸ τῶν κοινῶν τῆς Ἐκκλησίας τρέφεσθαι χρημάτων αὐτούς, τοῦτο ὑμᾶς ὠφελῆσαι δύναται; μὴ γάρ, ἂν ἕτερος εὔχηται, σὺ οὐκ ὀφείλεις εὔχεσθαι; διὰ τί μὴ λέγεις· 'Τί γάρ; οὐκ εὔχονται οἱ ἱερεῖς; ἐγὼ τί εὔχομαι;'. Ἀλλ' ἐγώ, φησί, δίδωμι τῷ μὴ δυναμένῳ καταχθῆναι ἐκεῖ. Δὸς κἂν ἐκείνῳ· τὸ γὰρ σπουδαζόμενον ἡμῖν τοῦτό ἐστι.

---

22. Γεν. κεφ. 18

καθόταν στὸ δρόμο, ἂν καὶ βρισκόταν σὲ ξένη χώρα, καὶ δὲν εἶχε μέρος οὔτε ἑνὸς βήματος ποδιοῦ· ξένος ἦταν καὶ ὁ ξένος φιλοξενοῦσε ξένους· διότι ἦταν πολίτης τῶν οὐρανῶν. Γι' αὐτὸ οὔτε ἦταν ξένος ἐνῶ βρισκόταν στὴ γῆ. Ἐμεῖς εἴμαστε περισσότερο ξένοι ἀπὸ ἐκεῖνον τὸν ξένο, ὅταν δὲν δεχόμαστε ξένους. Δὲν εἶχε οἰκία καὶ κατάλυμα ἦταν γι' αὐτὸν ἡ σκηνή. Καὶ πρόσεχε τὴν ἀφθονία τῶν προσφερθέντων· μοσχάρι ἔσφαξε καὶ ἀλεύρι ζύμωσε. Ἄκου καὶ τὴν προθυμία του· μόνος του καὶ μὲ τὴ γυναίκα του τὸ κάμνει αὐτό. Πρόσεχε καὶ τὴν ἔλλειψη ὑπερηφάνειας· προσκυνεῖ καὶ παρακαλεῖ»[22].

4. Ὅλα αὐτὰ πρέπει νὰ τὰ ἔχει ἐκεῖνος ποὺ φιλοξενεῖ· τὴν προθυμία δηλαδή, τὴ χαρά, τὴν προσφορὰ μὲ ἀφθονία. Διότι ἡ ψυχὴ τοῦ ξένου κοκκινίζει καὶ ντρέπεται, καὶ ἂν δὲν δείξει ὑπερβολικὴ χαρὰ ἐκεῖνος ποὺ φιλοξενεῖ φεύγει σὰν περιφρονημένος, καὶ ἐπομένως ὑπῆρξε χειρότερη ἡ τέτοια ὑποδοχὴ ἀπὸ τὸ νὰ μὴ τὸν εἶχε ὑποδεχθεῖ. Γι' αὐτὸ προσκυνεῖ, γι' αὐτὸ τοὺς δέχεται μὲ τὰ λόγια, γι' αὐτὸ τοὺς δίνει κάθισμα νὰ καθίσουν. Διότι ποιὸς θὰ ἦταν δυνατὸ νὰ ἀπορήσει, γνωρίζοντας ὅτι αὐτὸς εἶχε αὐτὸ σὰν ἔργο; Ἀλλὰ δὲν εἴμαστε ἐμεῖς σὲ ξένη χώρα; Ὅμως ἂν θέλομε, θὰ μπορέσομε νὰ τὸν μιμηθοῦμε. Πόσοι ἀπὸ τοὺς ἀδελφοὺς εἶναι ξένοι; Ὑπάρχει κοινὸ οἴκημα στὴν Ἐκκλησία, ποὺ τὸ ὀνομάζομε ξενώνα· ἀφιερῶστε καὶ σεῖς τὸν καιρό σας στὸ ἔργο αὐτό, καθῆστε δίπλα στὶς πόρτες, ὑποδέχεσθε ἐκείνους ποὺ ἔρχονται· καὶ ἂν δὲν θέλετε στὰ σπίτια σας, κάντε αὐτὸ μὲ ἄλλο τρόπο, δίνοντας σ' αὐτοὺς τὰ ἀναγκαῖα.

Τί λοιπόν; δὲν ἔχει, λέγει, ἡ Ἐκκλησία; Ἔχει, ἀλλὰ τί σχέση ἔχει αὐτὸ μὲ σᾶς; μήπως τὸ νὰ τρέφονται αὐτοὶ ἀπὸ τὰ κοινὰ χρήματα τῆς Ἐκκλησίας, αὐτὸ μπορεῖ νὰ ὠφελήσει ἐσᾶς; μήπως δηλαδή, ἂν ἄλλος προσεύχεται, σὺ δὲν πρέπει νὰ προσεύχεσαι; γιατί δὲν λὲς· Τί λοιπόν; δὲν προσεύχονται οἱ ἱερεῖς; ἐγὼ γιατί νὰ προσεύχομαι; Ἀλλ' ἐγώ, λέγει, δίνω σ' ἐκεῖνον ποὺ δὲν μπορεῖ νὰ φιλοξενηθεῖ ἐκεῖ. Δῶσε ἔστω καὶ σ' ἐκεῖνον· διότι τὸ ἐπιδιω-

τὸ ὅλως δοῦναι. Ἄκουσον τί φησιν ὁ Παῦλος· «Ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ, καὶ μὴ βαρῆται ἡ Ἐκκλησία». Ὅπως βούλει ποίησον, μόνον ποίησον. Ἐγὼ δὲ οὐ λέγω, «Ἵνα μὴ βαρῆται ἡ Ἐκκλησία»· ἀλλ' ἵνα μὴ βαρῇ'· τῷ γὰρ λογισμῷ τούτῳ οὐδὲν ἐργάσῃ, πάντα ἐπιτρέπων αὐτῇ. Διὰ τοῦτο κοινὸν οἴκημά ἐστιν ὑπὸ τῆς Ἐκκλησίας ἀφωρισμένον, ἵνα μὴ ταῦτα λέγῃς.

Ἀλλ' ἔχει δαπανήματα ἡ Ἐκκλησία, φησί, χρήματα ἔχει καὶ προσόδους. Εἰπέ μοι, ἀναλώματα δὲ οὐκ ἔχει; δαπάνην δὲ οὐκ ἔχει καθημερινήν; Ναί, φησί. Τί οὖν οὐ βοηθεῖς τῇ μετρίᾳ; Αἰσχύνομαι μὲν ταῦτα λέγων, πλὴν ἀλλ' οὐδὲν ἀναγκάζω. Εἴ τις νομίζει χρηματισμὸν εἶναι τὰ λεγόμενα, ποιήσει ἑαυτῷ ξενοδοχεῖον ἐπὶ τῆς οἰκίας· στῆσον ἐκεῖ κλίνην, στῆσον ἐκεῖ τράπεζαν καὶ λυχνίαν· πῶς γὰρ οὐκ ἄτοπον, εἰ μὲν στρατιῶται ἔλθοιεν, ἔχειν ὑμᾶς ἀποτεταγμένα οἰκήματα, καὶ πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλειαν, καὶ πάντα παρέχειν αὐτοῖς, ἐπειδὴ τὸν πόλεμον ὑμῖν ἀμύνουσι τοῦτον τὸν αἰσθητόν, τοὺς δὲ ξένους μὴ ἔχειν ὅπου καταμείνοιεν;

Νίκησον τὴν Ἐκκλησίαν. Βούλει ἀνατρέψαι ἡμᾶς; Τοῦτο ποίησον· ὑπερβαλοῦ τῇ φιλοτιμίᾳ· ἔχε οἴκημα, ἔνθα Χριστὸς παραγίνεται· εἰπέ· «Τοῦτο τὸ κελλίον τοῦ Χριστοῦ· ἡ οἰκία αὕτη αὐτῷ ἀφώρισται'. Κἂν καταγώγιον ᾖ καὶ εὐτελές, οὐκ ἀπαξιοῖ· γυμνὸς καὶ ξένος ὁ Χριστὸς περίεισι, μόνον σκέπης δεόμενος· κἂν τούτῳ πάρεχε. Μὴ ὠμὸς ἔσο μηδὲ ἀπάνθρωπος, μηδὲ ἐν μὲν τοῖς βιωτικοῖς οὕτω σφοδρὸς ἔσο, ἐν δὲ τοῖς πνευματικοῖς ψυχρός. Ἔστω καὶ τῶν οἰκετῶν ὁ πιστότερος τοῦτο ἐγκεχειρισμένος, καὶ τοὺς ἀναπήρους, τοὺς πτωχούς, τοὺς ἀστέγους εἰσαγέτω.

Ταῦτα λέγω πρὸς ἐντροπήν· ἔδει μὲν γὰρ ἄνω ἐπὶ τῆς οἰκίας αὐτοὺς δέχεσθαι, εἰ δὲ μὴ βούλει, κἂν

---

23. Α' Τιμ. 5, 16

κόμενο εἶναι αὐτό, τό νά δώσεις ὁπωσδήποτε. Ἄκουσε τί λέγει ὁ Παῦλος· «Γιά νά εἶναι ἐπαρκής ἡ βοήθεια πρός τίς χῆρες καί νά μή ἐπιβαρύνεται ἡ Ἐκκλησία»[33]. Ὅπως θέλεις δῶσε, μόνο δῶσε. Ἐγώ δέν λέγω, «Γιά νά μή ἐπιβαρύνεται ἡ Ἐκκλησία», ἀλλά ‛γιά νά μή ἐπιβαρύνεσαι σύ΄ διότι μέ αὐτή τή σκέψη δέν θά κάνεις τίποτε, ἀναθέτοντας τά πάντα σ' αὐτήν. Γι' αὐτό ὑπάρχει κοινό οἴκημα καθορισμένο ἀπό τήν Ἐκκλησία, γιά νά μή λές αὐτά.

Ἀλλ' ἔχει ἡ Ἐκκλησία, λέγει, νά δαπανήσει, ἔχει χρήματα καί ἔσοδα. Πές μου, ἔξοδα δέν ἔχει; δέν ἔχει καθημερινή δαπάνη; Ναί, λέγει. Γιατί λοιπόν δέν βοηθᾶς ὅσο μπορεῖς; Ντρέπομαι αὐτά νά τά λέγω, πλήν ὅμως τίποτε δέν ἐξαναγκάζω. Ἐάν κάποιος νομίζει ὅτι αὐτά τά λόγια προσφέρουν κέρδος, ἄς κάνει στό σπίτι του δικό του ξενοδοχεῖο· τοποθέτησε ἐκεῖ κρεββάτι, τοποθέτησε τραπέζι καί λυχνία· διότι πῶς δέν εἶναι παράλογο, ἐάν μέν συμβεῖ νά ρθοῦν στρατιῶτες, νά παραχωρεῖτε οἰκήματα σ' αὐτούς, νά καταβάλλετε μεγάλη φροντίδα γι' αὐτούς, καί νά παρέχετε τά πάντα σ' αὐτούς, ἐπειδή ἀπομακρύνουν ἀπό σᾶς τόν πόλεμο αὐτό τόν αἰσθητό, οἱ δέ ξένοι νά μή ἔχουν ποῦ νά μείνουν;

Νίκησε τήν Ἐκκλησία. Θέλεις νά μᾶς κάνεις νά ντραποῦμε; Κάνε αὐτό· ξεπέρασέ μας μέ τή γενναιοδωρία σου· νά ἔχεις οἴκημα, μέσα στό ὁποῖο νά βρίσκεται ὁ Χριστός· πές· Αὐτό τό κελλί εἶναι τοῦ Χριστοῦ· αὐτή ἡ οἰκία εἶναι χωρισμένη γι' αὐτόν. Καί ἄν ἀκόμα εἶναι κατάλυμα ταπεινό, δέν ἀπαξιεῖ· γυμνός καί ξένος περιφέρεται ὁ Χριστός, ἔχοντας ἀνάγκη μόνο ἀπό στέγη· πρόσφερε τουλάχιστο σ' αὐτόν ἔστω καί αὐτήν. Μήν εἶσαι σκληρός, οὔτε καί ἀπάνθρωπος, οὔτε καί νά εἶσαι γιά μέν τά κοσμικά πράγματα τόσο πολύ ἐνεργητικός, ἐνῶ γιά τά πνευματικά τόσο ἀδιάφορος. Ἄς ἀνατεθεῖ αὐτό στόν πιό πιστό ἀπό τούς ὑπηρέτες, τό νά δέχεται δηλαδή τούς ἀνάπηρους, τούς φτωχούς, τούς ἄστεγους.

Αὐτά τά λέγω γιά νά ντραπεῖτε· διότι ἔπρεπε νά τούς δέχεσθε ἐπάνω στήν οἰκία, ἐάν ὅμως δέν θέλεις, δέξου

κάτω, κἂν ἔνθα αἱ ἡμίονοι, κἂν ἔνθα οἱ οἰκέται δέξαι τὸν Χριστόν. Τάχα φρίττετε ἀκούοντες. Τί οὖν, ὅταν μηδὲ ταῦτα ποιῆτε; Ἰδοὺ παραινῶ, ἰδοὺ λέγω· ‘Ἔστω ὑμῖν τοῦτο περισπούδαστον’. Ἀλλ' οὐ βούλεσθε οὕτως; Οὐκοῦν ἑτέρως ποιήσατε. Εἰσὶ πολλοὶ πένητες καὶ πενιχραί· ἀφορίσατε δι' ὅλου μένειν ἐκεῖ τινα· ἔστω κἂν φύλαξ τῆς οἰκίας ὁ πένης· ἔστω σοι τειχίον καὶ περίφραγμα, ἀσπὶς καὶ δόρυ. Ἔνθα ἐλεημοσύνη, οὐ τολμᾷ προσελθεῖν ὁ διάβολος, οὐδὲ ἄλλο τι τῶν δεινῶν. Μὴ δὴ περιΐδωμεν τοσοῦτον κέρδος. Νῦν δὲ ὀχήματος μὲν τόπος ἐστὶν ἀφωρισμένος, καὶ βαστερνίοις ἕτερος, τῷ δὲ Χριστῷ πλανωμένῳ οὐδὲ εἷς. Ὁ Ἀβραάμ, ἔνθα αὐτὸς ἔμενε, τοὺς ξένους ὑπεδέχετο· καὶ ἡ μὲν γυνὴ ἐν τάξει θεραπαινίδος εἱστήκει, ἐκεῖνοι δὲ ἐν τάξει δεσποτῶν. Οὐκ ᾔδει ὅτι τὸν Χριστὸν ἐδέχετο· οὐκ ᾔδει ὅτι ἀγγέλους· ὡς, εἴ γε ᾔδει, πάντα ἂν ἐκένωσεν. Ἡμεῖς δέ, καίπερ εἰδότες ὅτι τὸν Χριστὸν δεχόμεθα, οὐδὲ τοσαύτην ἐπιδεικνύμεθα τὴν σπουδήν, ὅσην ἐκεῖνος, ὁ νομίζων ἀνθρώπους δέχεσθαι.

Ἀλλ' ἐπιθέται εἰσί, φησί, πολλοὶ καὶ ἀγνώμονες. Καὶ τούτου σοι μείζων ὁ μισθός, ὅταν διὰ τὸ ὄνομα τοῦ Χριστοῦ δέχῃ· εἰ μὲν γὰρ οἶδας ὄντας ἐπιθέτας, μὴ δέχου εἰς τὴν οἰκίαν, εἰ δὲ οὐκ οἶδας, τί ἁπλῶς κατηγορεῖς; Διὰ τοῦτο λέγω εἰς τὸ ξενοδοχεῖον ἀπιέναι. Ποία δὲ ἀπολογία, ὅταν, μηδὲ οὓς ἴσμεν, μηδὲ τούτους δεχόμεθα, ἀλλ' ἀποκλείωμεν πᾶσι τὰς θύρας; Ἔστω τὸ τοῦ Χριστοῦ πανδοχεῖον ἡμῶν ἡ οἰκία· ἀπαιτῶμεν αὐτοὺς τὸν μισθόν, μὴ ἀργύριον, ἀλλὰ τὸ ποιῆσαι ἡμῖν δοχεῖον τοῦ Χριστοῦ τὴν οἰκίαν· περιτρέχωμεν πανταχοῦ, ἕλκωμεν, ἁρπάζωμεν τὴν θήραν· μείζονα εὐεργετούμεθα ἢ εὐεργετοῦμεν.

Οὐ κελεύω καταθῦσαι μόσχον· ἄρτον δὸς πεινῶν-

τὸν Χριστὸ ἔστω καὶ κάτω, ἔστω καὶ ἐκεῖ ποὺ εἶναι οἱ ἡμίονοι, ἔστω καὶ ἐκεῖ ποὺ μένουν οἱ ὑπηρέτες. Ἴσως νιώθετε φρίκη ἀκούοντας αὐτά. Τί λοιπόν, ὅταν οὔτε καὶ αὐτὰ κάμνετε; Νὰ σᾶς συμβουλεύω καὶ σᾶς λέγω· "Ἂς εἶναι αὐτὸ τὸ ἀντικείμενο τῆς ὅλης φροντίδας σας". Ἀλλὰ δὲν θέλετε ἔτσι; Ἐνεργῆστε λοιπὸν κατ' ἄλλο τρόπο. Ὑπάρχουν πολλοὶ φτωχοὶ καὶ φτωχές· ξεχωρίστε κάποιον ποὺ νὰ μένει γιὰ πάντα ἐκεῖ· ἂς εἶναι ὁ φτωχὸς ἔστω καὶ φύλακας τῆς οἰκίας· ἂς σοῦ εἶναι τεῖχος καὶ φράχτης, ἀσπίδα καὶ δόρυ. Ὅπου ὑπάρχει ἐλεημοσύνη, δὲν τολμᾶ νὰ πλησιάσει ὁ διάβολος, οὔτε κάτι ἄλλο ἀπὸ τὰ κακά. Ἂς μὴ λοιπὸν παραβλέψομε τόσο μεγάλο κέρδος. Σήμερα ὑπάρχει μὲν τόπος ξεχωριστὸς γιὰ τὸ ὄχημα, καὶ ἄλλος γιὰ τὰ κάρρα, ἐνῶ γιὰ τὸ Χριστὸ ποὺ περιπλανιέται οὔτε ἕνας. Ὁ Ἀβραάμ, ἐκεῖ ποὺ ἔμενε αὐτός, ὑποδεχόταν τοὺς ξένους· καὶ ἡ μὲν γυναίκα του στεκόταν στὴ θέση τῆς ὑπηρέτριας, ἐνῶ ἐκεῖνοι στὴ θέση τῶν κυρίων. Δὲν γνώριζε ὅτι ὑποδεχόταν τὸν Χριστό· δὲν γνώριζε ὅτι ὑποδεχόταν ἀγγέλους· διότι, βέβαια, ἐὰν τὸ γνώριζε, ὅλα θὰ τὰ πρόσφερνε. Ἐμεῖς ὅμως, ἂν καὶ γνωρίζομε ὅτι δεχόμαστε τὸν Χριστό, δὲν δείχνομε οὔτε τόση φροντίδα, ὅση ἔδειξε ἐκεῖνος, ποὺ νόμιζε ὅτι δεχόταν ἀνθρώπους.

Ἀλλά, λέγει, πολλοὶ εἶναι ἀπατεῶνες καὶ ἀγνώμονες. Καὶ ἐξ αἰτίας αὐτοῦ ὁ μισθός σου εἶναι μεγαλύτερος, ὅταν τοὺς δέχεσαι γιὰ τὸ ὄνομα τοῦ Χριστοῦ· διότι, ἐὰν μὲν γνωρίζεις ὅτι εἶναι ἀπατεῶνες, μὴ τοὺς δέχεσαι στὴν οἰκία σου, ἐὰν ὅμως δὲν γνωρίζεις, γιατί ἔτσι τυχαῖα τοὺς κατηγορεῖς; Γι' αὐτὸ λέγω νὰ πηγαίνουν στὸ ξενοδοχεῖο. Ποιὰ ὅμως ἀπολογία θὰ ἔχομε, ὅταν δὲν δεχόμαστε οὔτε αὐτοὺς ποὺ γνωρίζομε, ἀλλὰ κλείνομε σ' ὅλους τὶς πόρτες; Ἂς εἶναι τὸ σπίτι μας τὸ πανδοχεῖο τοῦ Χριστοῦ· ἂς ζητᾶμε ἀπ' αὐτοὺς τὸ μισθό, ὄχι φυσικὰ χρήματα, ἀλλὰ τὸ νὰ κάνουν τὸ σπίτι μας τόπο ὑποδοχῆς τοῦ Χριστοῦ· ἂς τρέχομε παντοῦ, ἂς προσελκύομε, ἂς ἁρπάζομε τὸ θήραμα· περισσότερο εὐεργετούμαστε, παρὰ εὐεργετοῦμε.

Δὲν δίνω ἐντολὴ νὰ σφάξεις μοσχάρι· ψωμὶ δῶσε στὸν

τι, ἱμάτιον γυμνῷ, σκέπην τῷ ξένῳ. Ἵνα δὲ μὴ ταῦτα προφασίζῃ, 'Ἔστιν οἴκημα κοινὸν τὸ τῆς Ἐκκλησίας', ἐκεῖ κατάβαλε, καὶ σὺ ὑπεδέξω· ἐπεὶ καὶ τῶν διὰ τῶν οἰκετῶν γινομένων ἐκεῖνος εἶχε τὸν μισθόν. Οὕτως ἦσαν πεπαιδευμένοι καὶ οἱ παῖδες αὐτοῦ· ἔτρεχον καὶ οὐκ ἐγόγγυζον καθάπερ οἱ ἡμέτεροι· εὐλαβεῖς γὰρ αὐτοὺς ἦν πεποιηκώς. Εἰς πόλεμον εἷλκε, καὶ οὐκ ἐγόγγυζον· οὕτως ἦσαν φιλόσοφοι. Πάντων γὰρ ὁμοίως ἐπεμελεῖτο ὥσπερ ἑαυτοῦ· μονονουχὶ γὰρ κατὰ τὸν Ἰὼβ ἔλεγεν ὅτι «ὁμοίως ἐπλάσθημεν ἐν τῇ αὐτῇ γαστρί».

Τοίνυν καὶ ἡμεῖς φροντίζωμεν ἑαυτῶν τῆς σωτηρίας, καὶ πολλὴν ποιώμεθα τῶν οἰκετῶν τὴν ἐπιμέλειαν, ὅπως ἔσονται χρηστοὶ καὶ ἐπιμελεῖς· καὶ ἔστω καὶ ὁ οἰκέτης ἡμῶν πεπαιδευμένος τὰ τοῦ Θεοῦ. Οὐκ ἔσται δύσκολος ἡμῖν ἡ ἀρετὴ λοιπόν, ἐὰν ἐκείνους ῥυθμίσωμεν. Καθάπερ ἐν πολέμῳ, στρατιωτῶν ὄντων εὐτάκτων, ὁ στρατηγὸς ῥᾳδίως πολεμεῖ, τοὐναντίον δὲ γίνεται, ὅταν μὴ τοῦτο ᾖ, καὶ ναυτῶν δὲ ὁμονοούντων, ὁ κυβερνήτης εὐκόλως τοὺς οἴακας μεταχειρίζεται, οὕτω καὶ ἐνταῦθα, ἐὰν οὕτως ὦσι πεπαιδευμένοι οἱ οἰκέται, οὐ παροξυνθήσῃ ῥᾳδίως, οὐκ ἐγκαλέσεις, οὐκ ὀργισθήσῃ, οὐ λοιδορήσεις. Ἔστιν ὅπου καὶ ἐντραπήσῃ τοὺς οἰκέτας, ἐὰν ὦσι θαυμαστοί, καὶ συναντιλήψονταί σοι, καὶ παραινέσουσι τὰ χρηστά. Ἀπὸ δὲ τούτων πάντων πάντα ἔσται τὰ τῷ Θεῷ δοκοῦντα, καὶ οὕτω πᾶσα ἡ οἰκία εὐλογίας πληρωθήσεται, καί, τὰ τῷ Θεῷ ἀρέσκοντα διαπραττόμενοι, πολλῆς ἀπολαύσομεν τῆς ἄνωθεν συμμαχίας, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

------

24. Δηλαδὴ ὁ Ἀβραὰμ

25. Ἰὼβ 31. 15

πεινασμένο, ἔνδυμα στὸν γυμνό, στέγη στὸν ξένο. Γιὰ νὰ μὴ προβάλλεις αὐτὲς τὶς δικαιολογίες, ''Υπάρχει κοινὸ οἴκημα, τὸ οἴκημα τῆς Ἐκκλησίας', ἐκεῖ δῶσε τὴν προσφορά σου, καὶ σὺ νὰ ὑποδέχεσαι· καθόσον καὶ γιὰ ἐκεῖνα ποὺ γίνονταν ἀπὸ τοὺς ὑπηρέτες, ἐκεῖνος ἔπαιρνε τὸ μισθό[21]. Ἔτσι ἦταν ἀσκημένοι καὶ οἱ ὑπηρέτες αὐτοῦ· ἔτρεχαν καὶ δὲν γόγγυζαν ὅπως οἱ δικοί μας· διότι τοὺς εἶχε κάνει εὐλαβεῖς. Σὲ πόλεμο τοὺς ὁδηγοῦσε καὶ δὲν γόγγυζαν· τόσο μεγάλη ἦταν ἡ εὐσέβειά τους. Διότι γιὰ ὅλους φρόντιζε τὸ ἴδιο, ὅπως ἀκριβῶς γιὰ τὸν ἑαυτό του· σὰν δηλαδὴ νὰ ἔλεγε ἐκεῖνο ποὺ ἔλεγε ὁ Ἰώβ, ὅτι «Κατὰ τὸν ἴδιο τρόπο πλασθήκαμε μέσα στὴν ἴδια κοιλιά»[22].

Λοιπὸν καὶ ἐμεῖς ἂς φροντίζομε γιὰ τὴ σωτηρία μας καὶ ἂς δείχνομε μεγάλη φροντίδα γιὰ τοὺς ὑπηρέτες μας, μὲ σκοπὸ νὰ γίνουν καλοὶ καὶ προσεκτικοί· καὶ ἂς εἶναι καὶ ὁ ὑπηρέτης μας διδαγμένος τὰ τοῦ Θεοῦ. Δὲν θὰ εἶναι γιὰ μᾶς πλέον δύσκολη ἡ ἀρετή, ἐὰν ρυθμίσομε ἐκείνους. Ὅπως ἀκριβῶς σὲ πόλεμο, ἐὰν οἱ στρατιῶτες εἶναι πειθαρχημένοι, ὁ στρατηγὸς εὔκολα πολεμεῖ, τὸ ἀντίθετο δὲ γίνεται, ὅταν δὲν εἶναι πειθαρχημένοι, καὶ οἱ ναῦτες, ὅταν ἔχουν ὁμόνοια, ὁ κυβερνήτης εὔκολα διευθύνει τὸ πηδάλι, ἔτσι καὶ ἐδῶ, ἐὰν εἶναι ἔτσι ἀσκημένοι οἱ ὑπηρέτες· δὲν θὰ θυμώσεις εὔκολα, δὲν θὰ κατηγορήσεις, δὲν θὰ ὀργισθεῖς, δὲν θὰ πεῖς κακὸ λόγο. Θὰ συμβεῖ βέβαια καὶ νὰ ντραπεῖς τοὺς ὑπηρέτες, ἐὰν εἶναι θαυμαστοί, καὶ θὰ σοῦ προσφέρουν τὴ βοήθειά τους καὶ θὰ σοῦ δώσουν ὠφέλιμες συμβουλές. Ἐξ αἰτίας ὅλων αὐτῶν θὰ εἶναι ἀρεστὰ στὸ Θεὸ ὅλα ὅσα θὰ συμβαίνουν, καὶ ἔτσι ὅλη ἡ οἰκία θὰ γεμίσει ἀπὸ εὐλογία, καὶ κάμνοντας ἐκεῖνα ποὺ ἀρέσουν στὸ Θεό, θ' ἀπολαύσομε τὴν οὐράνια βοήθεια, τὴν ὁποία εὔχομαι ὅλοι μας νὰ ἐπιτύχομε μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως δὲ καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμὴ τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΣΤ΄
(Πράξ. 21, 18 - 38)

«Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον, πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι. Καὶ ἀσπασάμενος αὐτούς, ἐξηγεῖτο καθ' ἓν ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ».

1. Οὗτος ὁ ἀδελφὸς ἦν τοῦ Κυρίου καὶ ἐπίσκοπος τῶν Ἱεροσολύμων, ἀνὴρ μέγας καὶ θαυμαστός. Πρὸς τοῦτον εἰσέρχεται Παῦλος, ὥσπερ καὶ πρὸ τούτου καὶ πρὸς αὐτὸν πέμπεται· καὶ ὅπως, ἄκουε. «Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ», φησίν, «εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον». Ὅρα τὸ ἄτυφον. «Πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι· καὶ ἀσπασάμενος αὐτούς, ἐξηγεῖτο καθ' ἓν ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ». Πάλιν αὐτοῖς τὰ τῶν ἐθνῶν διηγεῖται, οὐ κενοδοξῶν, μὴ γένοιτο! ἀλλὰ τοῦ Θεοῦ θέλων τὴν φιλανθρωπίαν ἐνδείξασθαι, καὶ πολλῆς αὐτοὺς ἐμπλῆσαι χαρᾶς. Ὅρα γοῦν πῶς ἀκούσαντες καὶ ἐδόξαζον τὸν Θεόν. Οὐκ ἐκεῖνον ἐπῇρον, οὐδὲ ἐθαύμαζον, ἀλλὰ «τὸν Θεὸν ἐδόξαζον»· οὕτω γὰρ διηγήσατο ὡς ἀνατιθέμενος αὐτῷ.

Οἱ δὲ ἀκούσαντες ἐδόξαζον τὸν Θεόν, εἰπόντες αὐτῷ· Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων· καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι. Κατηχήθησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋσέως τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν». Ὅρα καὶ αὐτοὶ μεθ' ὅσης ὑποστολῆς φασιν. Οὐχ ὡς ἐπίσκοπος αὐθεντικῶς διαλέγεται, ἀλλ' αὐτὸν παραλαμ-

ΟΜΙΛΙΑ ΜΣΤ´
(Πράξ. 21, 18 - 38)

«Τὴν ἑπόμενη ἡμέρα πῆγε ὁ Παῦλος μαζὶ μὲ μᾶς νὰ ἐπισκεφθεῖ τὸν Ἰάκωβο, καὶ ἦρθαν καὶ ὅλοι οἱ πρεσβύτεροι. Ἀφοῦ τοὺς χαιρέτησε, τοὺς διηγήθηκε μὲ λεπτομέρεια ὅλα ὅσα ἔκανε ὁ Θεὸς στοὺς ἐθνικοὺς μὲ τὴ δική του ὑπηρεσία».

1. Αὐτὸς ἦταν ὁ ἀδελφὸς τοῦ Κυρίου καὶ ἐπίσκοπος Ἱεροσολύμων, ἄνδρας μεγάλος καὶ θαυμαστός. Πρὸς αὐτὸν πηγαίνει ὁ Παῦλος, ὅπως ἀκριβῶς καὶ πρὶν ἀπ' αὐτὸ καὶ στέλλεται πρὸς αὐτόν· καὶ πῶς στέλλεται, ἄκου· «Τὴν ἑπόμενη ἡμέρα», λέγει, «πῆγε ὁ Παῦλος μαζὶ μὲ μᾶς νὰ ἐπισκεφθεῖ τὸν Ἰάκωβο». Πρόσεχε τὴν ἔλλειψη ὑπερηφάνειας. «Καὶ ἦρθαν ὅλοι οἱ πρεσβύτεροι. Ἀφοῦ τοὺς χαιρέτησε, τοὺς διηγήθηκε ὅλα ὅσα ἔκανε ὁ Θεὸς στοὺς ἐθνικοὺς μὲ τὴ δική του ὑπηρεσία». Πάλι διηγεῖται σ' αὐτοὺς τὰ ὅσα ἔκανε στοὺς ἐθνικούς, ὄχι ἀπὸ ματαιοδοξία, μακριὰ μιὰ τέτοια σκέψη! ἀλλὰ θέλοντας νὰ δείξει τὴ φιλανθρωπία τοῦ Θεοῦ καὶ νὰ τοὺς γεμίσει μὲ μεγάλη χαρά. Πρόσεχε λοιπὸν πῶς, ὅταν τὰ ἄκουσαν αὐτά, δόξαζαν τὸ Θεό. Δὲν ἐπαινοῦσαν ἐκεῖνον, οὔτε τὸν θαύμαζαν, ἀλλὰ «Δόξαζαν τὸ Θεό»· διότι ἔτσι τὰ διηγήθηκε ὅλα, σὰν νὰ τὰ ἀπέδιδε στὸ Θεό.

«Αὐτοὶ ὅταν τὰ ἄκουσαν δόξαζαν τὸ Θεό, λέγοντας σ' αὐτόν· Βλέπεις, ἀδελφέ, πόσες χιλιάδες εἶναι οἱ Ἰουδαῖοι ποὺ ἔχουν πιστέψει, καὶ ὅλοι εἶναι ζηλωτὲς τοῦ νόμου. Πληροφορήθηκαν ὅμως γιὰ σένα, ὅτι διδάσκεις στοὺς Ἰουδαίους, ποὺ ζοῦν μεταξὺ τῶν Ἰουδαίων, ἀποστασία ἀπὸ τὸν Μωυσῆ, λέγοντας σ' αὐτοὺς νὰ μὴ περιτέμνουν τὰ τέκνα τους, οὔτε νὰ τηροῦν τὰ ἔθιμα». Πρόσεχε καὶ αὐτοὶ μὲ πόση συστολὴ ὁμιλοῦν. Δὲν ὁμιλεῖ σὰν ἐπίσκοπος μὲ τρόπο αὐθεντικό, ἀλλὰ παίρνουν καὶ αὐτὸν συμ-

βάνουσι κοινωνὸν τῆς γνώμης· ὥσπερ ἄν, εἰ εὐθέως καὶ ἀπὸ προοιμίων ἀπολογούμενοι ὅτι 'οὐκ ἐβουλόμεθα'. 'Ορᾷς τοῦ πράγματος τὴν ἀνάγκην, «θεωρεῖς πόσαι», φησί, μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων». Καὶ οὐκ εἶπον, 'Πόσας μυριάδας κατηχήσαμεν', ἀλλ' «εἰσί». «Καὶ οὗτοι», φησί, «πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι». Δύο αἰτίαι, καὶ τὸ πλῆθος καὶ ἡ γνώμη· οὔτε γάρ, εἰ ὀλίγοι ἦσαν, καταφρονῆσαι ἐχρῆν, οὔτε εἰ πολλοί, καὶ μὴ πάντες τοῦ νόμου ἀντείχοντο, περὶ πολλοῦ ποιεῖσθαι. Εἶτα καὶ τρίτη αἰτία. «Καὶ αὐτοὶ πάντες κατηχήθησαν», φησί, «περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋσέως τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν». Οὐκ εἶπον, '"Ηκουσαν', ἀλλὰ «κατηχήθησαν», τουτέστιν, ἐδιδάχθησαν καὶ ἐπίστευσαν «ὅτι ἀποστασίαν ἀπὸ Μωϋσέως διδάσκεις, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν». Τοῦτο εἰπών, ἐπήγαγε· «Τίς οὖν ἐστι; Πάντως δεῖ πλῆθος συνελθεῖν· ἀκούσονται γὰρ ὅτι ἐλήλυθας. Τοῦτο οὖν ποίησον, ὅ σοι λέγομεν». 'Ως συμβουλεύοντες ταῦτα λέγουσιν, οὐχ ὡς ἐπιτάττοντες.

«Εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες, εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν. Τούτους παραλαβών, ἁγνίσθητι σὺν αὐτοῖς, καὶ δαπάνησον ἐπ' αὐτοῖς, ἵνα ξυρήσωνται τὴν κεφαλήν, καὶ γνῶσι πάντες ὅτι ὧν κατήχηνται περὶ σοῦ οὐδέν ἐστιν, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς φυλάσσων τὸν νόμον». Ἔργῳ τὴν ἀπολογίαν ποιῆσαι αὐτῷ συμβουλεύουσιν, οὐ λόγῳ. «Ἵνα ξυρήσωνται», φησί, «καὶ γνῶσι πάντες ὅτι ὧν κατήχηνται περὶ σοῦ οὐδέν ἐστιν». Οὐκ εἶπον ὅτι 'διδάσκεις' ἀλλὰ «κατήχηνται», πάλιν τὸ 'ἐδιδάχθησαν' διὰ τούτου δηλοῦντες, καὶ ὅτι «στοιχεῖς», τουτέστιν, 'ἐκ περιουσίας καὶ αὐ-

μέτοχο τῆς γνώμης τους, ὅπως δηλαδὴ θὰ μποροῦσαν νὰ ποῦν, ἐὰν ἀπολογοῦνταν εὐθὺς ἐξ ἀρχῆς 'δὲν θέλαμε'. Βλέπεις τὴν ἀνάγκη τοῦ πράγματος· διότι λέγουν· «Βλέπεις πόσες χιλιάδες ἀπὸ τοὺς Ἰουδαίους ἔχουν πιστέψει». Καὶ δὲν εἶπαν, 'Πόσες χιλιάδες κατηχήσαμε', ἀλλὰ πόσες χιλιάδες «ὑπάρχουν». Καὶ ὅλοι αὐτοί, λέγει, «εἶναι ζηλωτὲς τοῦ νόμου». Δύο αἰτίες ἀναφέρονται, καὶ τὸ πλῆθος καὶ ἡ γνώμη· διότι οὔτε, ἐὰν ἦταν λίγοι, ἔπρεπε νὰ τοὺς περιφρονήσετε, οὔτε ἐὰν ἦταν πολλοὶ καὶ δὲν ἦταν ὅλοι προσηλωμένοι στὸ νόμο, νὰ τοὺς περιβάλλατε μὲ τόση φροντίδα. Στὴ συνέχεια ἀναφέρεται καὶ τρίτη αἰτία. «Καὶ ὅλοι αὐτοί», λέγει, «πληροφορήθηκαν γιὰ σένα, ὅτι διδάσκεις σ' ὅλους τοὺς Ἰουδαίους, ποὺ ζοῦν μεταξὺ τῶν ἐθνικῶν, ἀποστασία ἀπὸ τὸ Μωϋσῆ, λέγοντας σ' αὐτοὺς νὰ μὴ περιτέμνουν τὰ τέκνα τους, οὔτε νὰ τηροῦν τὰ ἔθιμα». Δὲν εἶπαν, 'ἄκουσαν', ἀλλὰ «κατηχήθηκαν», δηλαδή, διδάχθηκαν καὶ πίστεψαν «ὅτι διδάσκεις ἀποστασία ἀπὸ τὸ Μωυσῆ, λέγοντας σ' αὐτοὺς νὰ μὴ περιτέμνουν τὰ τέκνα τους, οὔτε νὰ τηροῦν τὰ ἔθιμα». Ἀφοῦ εἶπε αὐτό, πρόσθεσε· «Τί συμβαίνει λοιπόν; Ὁπωσδήποτε θὰ μαζευθεῖ πλῆθος, διότι θ' ἀκούσουν ὅτι ἦρθες. Κάνε λοιπὸν αὐτὸ ποὺ σοῦ λέμε». Αὐτὰ τὰ λένε μὲ τὴν πρόθεση νὰ συμβουλέψουν καὶ ὄχι σὰν προσταγή.

«Ἔχομε τέσσερις ἄνδρες, ποὺ ἔχουν κάνει τάξιμο γιὰ τὸν ἑαυτό τους. Πάρε λοιπὸν αὐτούς, κάνε μαζί τους τοὺς προβλεπόμενους ἀπὸ τὸ νόμο καθαρισμοὺς καὶ πλήρωσε τὰ ἔξοδα δαπάνης ποὺ ἀπαιτοῦνται γιὰ τὸ ξύρισμα τῆς κεφαλῆς τους, καὶ ἔτσι ὅλοι θὰ μάθουν, ὅτι τίποτε ἀπὸ τὰ ὅσα ἔχουν πληροφορηθεῖ δὲν εἶναι ἀληθές, ἀλλ' ὅτι καὶ σὺ ἐξακολουθεῖς νὰ φυλάσσεις τὸ νόμο». Ἔμπρακτα τὸν συμβουλεύουν ν' ἀπολογηθεῖ καὶ ὄχι μὲ λόγια. «Γιὰ νὰ ξυρίσουν», λέγει, «τὸ κεφάλι τους καὶ νὰ μάθουν ἔτσι ὅλοι, ὅτι τίποτε ἀπὸ ὅσα ἔχουν πληροφορηθεῖ γιὰ σένα δὲν εἶναι ἀληθινά». Δὲν εἶπαν ὅτι 'διδάσκεις', ἀλλ' ὅτι «ἔχουν κατηχηθεῖ», δηλώνοντας καὶ πάλι μὲ αὐτὸ τὸ 'διδάχθηκαν', καὶ ὅτι «στοιχεῖς», δηλαδὴ 'καὶ ὁ ἴδιος τὸ

τὸς φυλάττεις· οὐ γὰρ δὴ τοῦτο μόνον ἦν τὸ σπουδαζόμενον, εἰ μὴ ἑτέρους διδάσκει, ἀλλ' ὅτι καὶ αὐτὸς τηρεῖ.

Τί οὖν, ἂν τὰ ἔθνη μάθωσιν, οὐ σκανδαλισθήσονται; φησί. Πῶς; ὅπου καὶ ἡμεῖς οἱ τῶν Ἰουδαίων διδάσκαλοι ἐπέμψαμεν πρὸς αὐτούς. «Περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν, κρίναντες μηδὲν τοιοῦτον τηρεῖν αὐτούς, εἰ μὴ φυλάσσεσθαι αὐτοὺς τὸ εἰδωλόθυτον, καὶ τὸ αἷμα, καὶ τὸ πνικτόν, καὶ πορνείαν». Ἐνταῦθα ἐντρεπτικῶς. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· Ὥσπερ ἡμεῖς ἐκείνοις ἐπετάξαμεν, καίτοι γε Ἰουδαίοις κηρύττοντες, οὕτω καὶ σύ, καίτοι ἔθνεσι κηρύττων, σύμπραξον ἡμῖν. Ὅρα τὸν Παῦλον, οὐ λέγει, 'Καὶ μὴν δύναμαι Τιμόθεον παραγαγεῖν, ὃν περιέτεμον, καὶ μὴν δύναμαι πεῖσαι τῷ λόγῳ', ἀλλ' ἐπείσθη αὐτοῖς, καὶ πάντα ἐποίησε· καὶ γὰρ οὕτω συνέφερεν· οὐ γὰρ ἦν ἴσον εἰς ἀπολογίαν καταστῆναι, καί, οὐδενὸς εἰδότος, ποιῆσαι ταῦτα. Ἀνύποπτον ἦν τὸ καὶ δαπανᾶσθαι. «Τότε παραλαβὼν ὁ Παῦλος τοὺς ἄνδρας, καὶ τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσῄει εἰς τὸ ἱερόν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά». «Διαγγέλλων», τουτέστι, 'καταγγέλλων'· ὥστε αὐτὸς ἦν ὁ δῆλον ἑαυτὸν ποιῶν.

2. «Ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι». Ὅρα πῶς μάλιστα δὴ αὐτοῖς ἐγχρονίζει. «Οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι, θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ, συνέχεον πάντα τὸν ὄχλον, καὶ ἐπέβαλον ἐπ' αὐτὸν τὰς χεῖρας, κράζοντες· Ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε· οὗτός ἐστιν ὁ ἄνθρωπος, ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχοῦ διδάσκων· ἔτι τε καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερόν,

τηρεῖς περισσότερο ἀπὸ τὸν καθένα˙˙ διότι βέβαια δὲν ἐνδιαφέρονταν μόνο γι' αὐτό, ἐὰν δηλαδὴ δὲν διδάσκει ἄλλους, ἀλλ' ὅτι καὶ ὁ ἴδιος τὸ τηρεῖ.

Τί λοιπόν, ἂν τὸ μάθουν, λέγει, οἱ ἐθνικοὶ δὲν θὰ σκανδαλισθοῦν; Πῶς θὰ σκανδαλισθοῦν; διότι καὶ ἐμεῖς οἱ δάσκαλοι τῶν Ἰουδαίων στείλαμε ἐπιστολὴ πρὸς αὐτοὺς σχετικὴ μὲ τὸ θέμα αὐτό. «Ὡς πρὸς τοὺς ἐθνικοὺς ποὺ ἔχουν πιστέψει τοὺς γνωστοποιήσαμε μὲ ἐπιστολὴ τὴν ἀπόφασή μας νὰ μὴ τηροῦν τίποτε ἀπ' αὐτά, παρὰ μόνο ν' ἀπέχουν ἀπὸ τὰ εἰδωλόθυτα, ἀπὸ τὸ αἷμα, τὰ πνικτά, καὶ τὴν πορνεία». Ἐδῶ τὰ λένε αὐτὰ σὰν προτροπή. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς˙ Ὅπως ἀκριβῶς ἐμεῖς δώσαμε παραγγελία σ' ἐκείνους, ἂν καὶ βέβαια κηρύττομε στοὺς Ἰουδαίους, ἔτσι καὶ σύ, ἂν καὶ κηρύττεις στοὺς ἐθνικούς, συνεργάσου μ' ἐμᾶς. Πρόσεχε τὸν Παῦλο, δὲν λέγει, 'Καὶ βέβαια μπορῶ νὰ σᾶς παρουσιάσω τὸν Τιμόθεο, ποὺ τὸν περιέτεμα, καὶ βέβαια μπορῶ νὰ σᾶς πείσω μὲ τὸ λόγο', ἀλλὰ πείσθηκε σ' αὐτοὺς καὶ ὅλα τὰ ἔκανε˙ καθόσον ἔτσι συνέφερε˙ διότι δὲν ἦταν τὸ ἴδιο νὰ θελήσει ν' ἀπολογηθεῖ, καὶ νὰ κάνει αὐτά, ἐνῶ κανένας δὲν γνώριζε. Χωρὶς ὑποψία ἦταν καὶ τὸ νὰ ὑποβληθεῖ στὴ δαπάνη τοῦ ξυρίσματος. «Τότε ὁ Παῦλος πῆρε τοὺς ἄνδρες καὶ τὴν ἑπόμενη ἡμέρα ἔκανε μαζί τους τὴν πράξη τοῦ καθαρισμοῦ καὶ μπῆκε στὸ ναό, ἀναγγέλλοντας τὴ συμπλήρωση τῶν ἡμερῶν τοῦ καθαρισμοῦ, καὶ ἔτσι προσφέρθηκε θυσία γιὰ τὸν καθένα ἀπ' αὐτούς». «Διαγγέλλοντας» λέγει, δηλαδὴ 'ἀναγγέλλοντας'˙ ὥστε αὐτὸς ἦταν ἐκεῖνος ποὺ φανέρωσε τὸν ἑαυτό του.

2. «Ἐνῶ συμπληρώνονταν οἱ ἑφτὰ ἡμέρες». Πρόσεχε πῶς παρατείνει πάρα πολὺ τὸ χρόνο διαμονῆς του ἐκεῖ. «Οἱ Ἰουδαῖοι ποὺ ἦταν ἀπὸ τὴν Ἀσία, τὸν εἶδαν στὸ ναό, καί, ἀφοῦ ξεσήκωσαν τὸ λαό, τὸν συνέλαβαν, φωνάζοντας˙ Ἄνδρες Ἰσραηλίτες, βοηθᾶτε˙ αὐτὸς εἶναι ὁ ἄνθρωπος ποὺ παντοῦ διδάσκει ὅλους κατὰ τοῦ λαοῦ, τοῦ νόμου καὶ τοῦ τόπου αὐτοῦ. Ἀκόμη καὶ Ἕλληνες ὁδήγησαν μέσα στὸ ναό, βεβηλώνοντας ἔτσι τὸν ἅγιο αὐτὸ τόπο».

καὶ κεκοίνωκε τὸν ἅγιον τόπον τοῦτον». Ὅρα τὸ ἦθος αὐτῶν πανταχοῦ ταραχῶδες, καὶ ἁπλῶς βοώντων ἐν τῷ μέσῳ. «Ἦσαν γὰρ ἑωρακότες Τρόφιμον τὸν Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦλος. Ἐκινήθη τε ἡ πόλις ὅλη, καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ· καὶ ἐπιλαβόμενοι τοῦ Παύλου, εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ· καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι».

«Ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε», φησίν, «οὗτός ἐστιν ὁ ἄνθρωπος, ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου». Ἃ μάλιστα αὐτοὺς ἐθορύβει, ὁ ναὸς καὶ ὁ νόμος, ταῦτα προφέρουσιν ἐκεῖνοι. Καὶ οὐδὲν ἐνεκάλεσε τοῖς Ἀποστόλοις ὁ Παῦλος, καίτοι παθὼν τοσαῦτα, ὅτι αὐτοὶ αἴτιοι τούτων γεγόνασιν αὐτῷ· οὕτως ἦν μεγαλόψυχος. «Καὶ εἷλκον αὐτόν», φησίν, «ἔξω τοῦ ἱεροῦ· καὶ ἐκλείσθησαν αἱ θύραι»· ἐβούλοντο γὰρ αὐτὸν ἀνελεῖν, καὶ διὰ τοῦτο ἔξω εἷλκον, ὥστε μετὰ πλείονος ἀδείας τοῦτο ποιῆσαι. «Ζητούντων δὲ αὐτὸν ἀποκτεῖναι, ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς σπείρας ὅτι ὅλη συγκέχυται Ἰερουσαλήμ· ὃς ἐξαυτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχους, κατέδραμεν ἐπ' αὐτούς. Οἱ δέ, ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας, ἐπαύσαντο τύπτοντες τὸν Παῦλον. Τότε, ἐγγίσας ὁ χιλίαρχος, ἐπελάβετο αὐτοῦ καὶ ἐκέλευσε δεθῆναι ἁλύσεσι δυσί· καὶ ἐπυνθάνετο τίς ἂν εἴη καὶ τί ἐστι πεποιηκώς. Ἄλλοι δὲ ἄλλα ἐβόων ἐν τῷ ὄχλῳ». Καὶ τίνος ἕνεκεν, μέλλων αὐτὸν ἐξετάζειν, «ἐκέλευσε δεθῆναι ἁλύσεσι δυσί»; Παραμυθούμενος τὸν θυμὸν τοῦ δήμου.

«Μὴ δυνάμενος δὲ γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν θόρυβον, ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν. Ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμούς, συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν βίαν τοῦ ὄχλου· ἠκολούθει γὰρ τὸ πλῆθος τοῦ λαοῦ, κράζον· Αἶρε αὐτόν». Τί ἐστιν, «Αἶρε αὐτόν»; Ἔθος ἦν

Πρόσεχε πού παντοῦ ἡ συμπεριφορά τους εἶναι γεμάτη ἀπὸ ταραχὲς καὶ στὰ καλὰ καθούμενα φωνάζουν στὸ μέσο τῆς πόλεως. «Διότι εἶχαν δεῖ προηγουμένως τὸν Τρόφιμο τὸν Ἐφέσιο στὴν πόλη μαζί του, τὸν ὁποῖο ὑπέθεσαν ὅτι ὁ Παῦλος ἔφερε στὸ ναό. Ξεσηκώθηκε ὅλη ἡ πόλη καὶ συγκεντρώθηκε μεγάλο πλῆθος λαοῦ, καί, ἀφοῦ ἔπιασαν τὸν Παῦλο, τὸν ἔσυραν ἔξω ἀπὸ τὸ ναό, καὶ ἀμέσως ἔκλεισαν τὶς πόρτες».

«Ἄνδρες Ἰσραηλίτες, βοηθᾶτε», λέγει· «αὐτὸς εἶναι ὁ ἄνθρωπος ποὺ διδάσκει ἐναντίον τοῦ λαοῦ, τοῦ νόμου καὶ τοῦ τόπου αὐτοῦ». Ἐκεῖνα ποὺ πρὸ πάντων τοὺς θορυβοῦσαν, δηλαδὴ ὁ ναὸς καὶ ὁ νόμος, αὐτὰ προβάλλουν ἐκεῖνοι. Καὶ γιὰ τίποτε δὲν κατηγόρησε τοὺς Ἀποστόλους ὁ Παῦλος, ἂν καὶ ἔπαθε τόσα πολλά, ὅτι δηλαδὴ αὐτοὶ ἔγιναν αἰτία γιὰ νὰ πάθει αὐτὸς ὅλα αὐτά· τόσο μεγαλόψυχος ἦταν. «Καὶ ἔσυραν αὐτόν», λέγει, ἔξω ἀπὸ τὸ ναό, καὶ ἔκλεισαν τὶς πόρτες»· διότι ἤθελαν νὰ τὸν φονεύσουν, καὶ γι' αὐτὸ τὸν ἔσυραν ἔξω, ὥστε νὰ τὸ κάνουν αὐτὸ μὲ μεγαλύτερη ἀσφάλεια. «Καὶ ἐνῶ ζητοῦσαν νὰ τὸν φονεύσουν ἔφθασε ἡ εἴδηση στόν χιλίαρχο τῆς φρουρᾶς ὅτι ὅλη ἡ Ἰερουσαλὴμ εἶναι ἀναστατωμένη, καὶ αὐτός, ἀφοῦ πῆρε ἀμέσως στρατιῶτες καὶ ἑκατόνταρχους, ἔτρεξε πρὸς αὐτούς. Ἐκεῖνοι μόλις εἶδαν τὸν χιλίαρχο καὶ τοὺς στρατιῶτες, σταμάτησαν νὰ χτυποῦν τὸν Παῦλο. Τότε, ἀφοῦ τὸν πλησίασε ὁ χιλίαρχος, τὸν ἔπιασε καὶ διέταξε νὰ δεθεῖ μὲ δύο ἁλυσίδες, καὶ τὸν ρωτοῦσε γιὰ νὰ μάθει ποιὸς ἦταν καὶ τί ἦταν αὐτὸ ποὺ ἔκανε. Ἄλλοι ἀπὸ τὸ πλῆθος ἔλεγαν αὐτὸ καὶ ἄλλοι ἄλλο». Καὶ γιὰ ποιὸ λόγο, ἐνῶ ἐπρόκειτο νὰ τὸν ἀνακρίνει, «διέταξε νὰ δεθεῖ μὲ δύο ἁλυσίδες»; Γιὰ ν' ἀνακουφίσει τὸ θυμὸ τοῦ πλήθους.

«Μὴ μπορώντας δὲ νὰ μάθει τὴν ἀλήθεια ἐξ αἰτίας τοῦ θορύβου, διέταξε νὰ ὁδηγηθεῖ στὸν στρατώνα. Ὅταν ἔφθασε ὁ Παῦλος στὰ σκαλιά, χρειάσθηκε νὰ κρατηθεῖ ἀπὸ τοὺς στρατιῶτες ἐξ αἰτίας τῆς βίας τοῦ πλήθους· διότι ἀκολουθοῦσε τὸ πλῆθος τοῦ λαοῦ, φωνάζοντας δυνατά· «Αἶρε αὐτόν». Τί σημαίνει, «Αἶρε αὐτόν»; Ὑπῆρχε

Ἰουδαίοις καθ' ὧν ἂν ἀπεφαίνοντο τοῦτο λέγειν, ὡς καὶ ἐπὶ τοῦ Χριστοῦ τὸ αὐτὸ φαίνονται ποιοῦντες, καὶ λέγοντες· «Ἆρον αὐτόν»· τουτέστιν, 'Ἐκ τῶν ζώντων ποίησον ἀφανῆ'. Τινὲς δέ, ὃ παρ' ἡμῖν, λέγουσι, κατὰ τὴν ρωμαϊκὴν συνήθειαν, 'Ἐν τοῖς σίγνοις αὐτὸν ἔμβαλε', τοῦτο εἶναι τὸ «αἶρε αὐτόν».

«Μέλλων δὲ εἰς τὴν παρεμβολὴν εἰσάγεσθαι ὁ Παῦλος λέγει τῷ χιλιάρχῳ· Εἰ ἔξεστί μοι εἰπεῖν τι πρός σέ;». Ἐπὶ τοὺς ἀναβαθμοὺς φερόμενος, ἀξιοῖ πρὸς τὸν χιλίαρχον εἰπεῖν τι. Καὶ ὅρα πῶς ἐπιεικῶς· «Εἰ ἔξεστί μοι εἰπεῖν τι πρὸς σέ;», φησίν. «Ὁ δὲ ἔφη· Ἑλληνιστὶ γινώσκεις; Οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος, ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων;». Οὗτος ὁ Αἰγύπτιος ἄνθρωπός τις νεωτεροποιὸς γέγονε καὶ στασιαστής. Πρὸς δὴ τοῦτο ἀπολογεῖται ὁ Παῦλος, καὶ δι' ὧν εἶπεν ἀπάγει τῆς ὑποψίας αὐτόν. Ἴδωμεν δὲ ἄνωθεν τὰ ἀνεγνωσμένα.

«Εἰσὶν ἡμῖν ἄνδρες», φησί, «τέσσαρες, εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν· τούτους παραλαβών, ἁγνίσθητι σὺν αὐτοῖς». Πρὸς δὴ τοῦτο οὐκ ἀντιπίπτει ὁ Παῦλος, ἀλλὰ πείθεται. Ὅθεν δῆλον ὅτι οὐ προηγουμένως ἔδει τοῦτο ποιεῖν (διὸ καὶ πείθουσιν αὐτόν), ἀλλ' ὅτι οἰκονομία τὸ πρᾶγμα καὶ συγκατάβασις ἦν. Οὐκ ἄρα ἐγκοπὴ τοῦ κηρύγματος τοῦτο ἦν, ὅπου γε καὶ αὐτοὶ ἐνομοθέτουν ἐκείνοις τὰ τοιαῦτα. Τοῦτο τοίνυν οἰκονομῶν καὶ αὐτός, Πέτρῳ ἐγκαλεῖ ὕστερον· καὶ οὐχ ἁπλῶς αὐτὸ ποιεῖ· ὅπερ γὰρ ἐνταῦθα ἐποίησεν αὐτός, τοῦτο Πέτρος ἐκεῖ, σιγῶν καὶ ἱστῶν αὐτοῦ τὸ δόγμα. Καὶ οὐκ εἶπεν ὅτι 'οὐ χρὴ τοὺς κατὰ τὰ ἔθνη διδάσκειν', οὐδὲ 'ἀρκεῖ τὸ μὴ κηρῦξαι ἐκεῖ', ἀλλὰ 'δεῖ καὶ πλεῖόν τι ποιῆσαι, ἵνα πεισθῶσιν ἐκεῖνοι

------

1. Ἰω. 19, 15
2. Ἰωσήπου. Ἰουδ. Πολιτεία 2. 13. 5 καὶ Ἀρχαιολ. 20. 8. 6
3. Γαλ. 2. 11 - 14

συνήθεια στοὺς Ἰουδαίους νὰ τὸ λένε αὐτὸ γιὰ ἐκείνους ποὺ ἀποφάσιζαν κάτι ἐναντίον τους, ὅπως καὶ στὴν περίπτωση τοῦ Χριστοῦ φαίνονται νὰ κάνουν τὸ ἴδιο καὶ νὰ λένε, «Ἆρον αὐτόν»[1]· δηλαδή, Ἐξαφάνισέ τον ἀπὸ τοὺς ζωντανούς. Ἐκεῖνο δηλαδὴ ποὺ σήμερα λένε μερικοὶ ἀπὸ μᾶς κατὰ τὴ ρωμαϊκὴ συνήθεια. Ῥίξε τον μέσα στὰ σίγνα', αὐτὸ σημαίνει τὸ «αἶρε αὐτόν».

«Ἐνῶ ἐπρόκειτο νὰ ὁδηγηθεῖ ὁ Παῦλος στὸ στρατώνα, εἶπε στὸν χιλίαρχο· Ἐπιτρέπεται νὰ σοῦ πῶ κάτι;». Ἀνεβαίνοντας τὰ σκαλοπάτια, ζητεῖ ἀπὸ τὸν χιλίαρχο νὰ τοῦ πεῖ κάτι. Καὶ πρόσεχε μὲ πόση ἠπιότητα τὸ λέγει «Ἐπιτρέπεται», λέγει, «νὰ σοῦ πῶ κάτι;». «Καὶ ἐκεῖνος εἶπε· Γνωρίζεις ἑλληνικά; Δὲν εἶσαι σὺ λοιπὸν ὁ Αἰγύπτιος, ποὺ ἐπαναστάτησε πρὶν ἀπὸ λίγες ἡμέρες καὶ ὁδήγησε στὴν ἔρημο τέσσερις χιλιάδες τρομοκράτες;». Αὐτὸς ὁ Αἰγύπτιος ἦταν κάποιος νεωτεριστὴς καὶ στασιαστής[2]. Γι' αὐτὸ λοιπὸν ἀπολογεῖται ὁ Παῦλος καὶ μὲ ἐκεῖνα ποὺ εἶπε ἀπαλλάσσει αὐτὸν ἀπὸ τὴν ὑποψία. Ἀλλὰ ἂς ἐξετάσομε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα ἔχουν ἀναγνωσθεῖ.

«Ἔχομε», λέγει, «τέσσερις ἄνδρες, ποὺ ἔχουν κάνει τάμα γιὰ τὸν ἑαυτό τους. Πάρε τους μαζί σου καὶ κάνε τὸν τυπικὸ καθαρισμὸ μαζί τους». Ὁ Παῦλος δὲν προβάλλει ἀντίρρηση σ' αὐτό, ἀλλ' ὑπακούει. Ἐπομένως γίνεται φανερὸ ὅτι προηγουμένως δὲν χρειαζόταν νὰ τὸ κάνει αὐτὸ (γι' αὐτὸ καὶ πείθουν αὐτόν), ἀλλὰ τὸ πράγμα αὐτὸ ἔγινε κατὰ θεία παραχώρηση καὶ συγκατάβαση. Ἐπομένως αὐτὸ δὲν ἀποτελοῦσε ἐμπόδιο γιὰ τὸ κήρυγμα, τὴ στιγμὴ βέβαια ποὺ καὶ οἱ ἴδιοι νομοθετοῦσαν γιὰ ἐκείνους παρόμοια πράγματα. Αὐτὸ λοιπὸν κάμνοντας καὶ αὐτὸς κατ' οἰκονομία, κατηγορεῖ ἀργότερα τὸν Πέτρο[3]· καὶ αὐτὸ δὲν τὸ κάνει ἄσκοπα· διότι αὐτὸ ἀκριβῶς ποὺ ἔκανε αὐτὸς ἐδῶ, αὐτὸ ἔκανε καὶ ὁ Πέτρος ἐκεῖ, σιωπῶντας καὶ σταματῶντας τὴ διδασκαλία του. Καὶ δὲν εἶπαν ὅτι 'δὲν πρέπει νὰ διδάσκεις στοὺς Ἰουδαίους ποὺ ζοῦν μεταξὺ τῶν ἐθνικῶν', οὔτε 'ὅτι ἀρκεῖ τὸ νὰ μὴ κηρύξεις ἐκεῖ, ἀλλὰ ὅτι 'πρέπει καὶ κάτι περισσότερο νὰ κάνεις.

ὅτι φυλάττεις τὸν νόμον· συγκατάβασις τὸ πρᾶγμά ἐστι, μηδὲν φοβηθῇς'. Καὶ ὅρα, οὐ πρότερον πείθουσιν αὐτόν, ἕως τοῦ εἰπεῖν τὴν οἰκονομίαν πρῶτον καὶ τὸ κέρδος. Καὶ τὸ ἐν Ἱεροσολύμοις δὲ τοῦτο ποιεῖν, φορητόν. Ποίησον τοίνυν τοῦτο ἐνταῦθα, ἵνα ἐξῇ σοι ἔξω ποιεῖν ἐκεῖνο.

«Τότε παραλαβών», φησίν, «ὁ Παῦλος τοὺς ἄνδρας τῇ ἐχομένῃ ἡμέρᾳ». Οὐκ ἀνεβάλετο, ἀλλ' ἔργῳ δεικνὺς τὴν πειθώ, παραλαμβάνει μεθ' ὧν ἔμελλεν ἁγνίζεσθαι. Τοιοῦτόν τί ἐστι θερμὸν ἡ οἰκονομία. Καὶ πῶς, φησίν, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι εἶδον αὐτὸν ἐν τῷ ἱερῷ; Εἰκὸς ἦν αὐτοὺς ἡμέρας τινὰς ἐκεῖ διατρίβειν. Ὅρα δὲ πῶς καὶ οἰκονομία τὸ γενόμενον ἦν· μετὰ γὰρ τὸ πεισθῆναι τοὺς Ἰουδαίους, τότε ἐπιτίθενται· Εἰκότως, ἵνα μὴ κἀκεῖνοι συνεπιθῶνται. «Βοηθεῖτε», φησίν, «ἄνδρες Ἰσραηλῖται». Ὡς τινος δυσθηράτου καὶ δυσχειρώτου ταῖς ἐκείνων ἐμπεσόντος χερσί, «βοηθεῖτε», λέγουσι. «Πάντας πανταχοῦ οὗτός ἐστιν ὁ διδάσκων». Οὐκ ἐνταῦθα μόνον, φησίν, ἀλλὰ «πανταχοῦ».

Εἶτα καὶ ἡ κατηγορία μείζων ἀπὸ τῶν παρόντων. «Ἔτι δέ», φησί, «καὶ κεκοίνωκε τὸ ἱερόν, ἄνδρας Ἕλληνας εἰσαγαγών». Καὶ μὴν καὶ ἐπὶ τοῦ Χριστοῦ ἀνέβησαν προσκυνήσοντες, ἀλλὰ τοὺς οὐκ ἂν ἑλομένους προσκυνῆσαι οὗτοι λέγουσι. «Καὶ ἐπιλαβόμενοι τοῦ Παύλου», φησίν, «εἷλκον αὐτὸν ἔξω». Σκόπει· ἀπὸ τοῦ ἱεροῦ ἐκβάλλουσιν αὐτόν· οὐκέτι γὰρ οὐδὲ δικαστηρίων, διὸ καὶ ἔτυπτον αὐτόν· οὕτω διὰ πάντων φαίνονται θρασεῖς ὄντες καὶ ἰταμοί. Ὁ δὲ τότε μὲν οὐκ ἀπελογήσατο, ὕστερον δέ. Εἰκότως· τότε γὰρ οὐδ' ἂν ἤκουσαν. Καὶ τί δήποτε ἔκραζον, «Αἶρε αὐτόν;». Ἐφοβοῦντο μὴ διαφύγῃ. Ἀλλ' ὅρα μεθ' ὅσης ὑποστολῆς διαλέγεται ὁ Παῦλος τῷ χιλιάρχῳ.

γιὰ νὰ πεισθοῦν ἐκεῖνοι ὅτι τηρεῖς τὸ νόμο· συγκατάβαση ἀποτελεῖ τὸ πράγμα καὶ μὴ φοβηθεῖς καθόλου'. Καὶ πρόσεχε, δὲν τὸν πείθουν προηγουμένως, προτοῦ τοῦ ποῦν ὅτι αὐτὸ γίνεται κατ' οἰκονομία καθὼς καὶ τὸ κέρδος ἀπ' αὐτὸ τὸ πράγμα. Καὶ ἦταν ἀνεκτὸ τὸ νὰ τὸ κάμνει αὐτὸ στὰ Ἱεροσόλυμα. Κάνε λοιπὸν αὐτὸ ἐδῶ, γιὰ νὰ μπορεῖς ἐκεῖνο νὰ τὸ κάμνεις ἔξω.

«Τότε πῆρε», λέγει, «ὁ Παῦλος τὴν ἑπόμενη ἡμέρα τοὺς ἄνδρες». Δὲν ἀνέβαλε, ἀλλ' ἔμπρακτα δείχνοντας τὴν ὑπακουή, παίρνει μαζί του ἐκείνους μὲ τοὺς ὁποίους ἐπρόκειτο νὰ κάνει τὸν τυπικὸ καθαρισμό. Τέτοια θερμότητα δημιουργεῖ μέσα στὸν ἄνθρωπο ἡ οἰκονομία τοῦ Θεοῦ. Καὶ πῶς, λέγει, τὸν εἶδαν στὸ ἱερὸ οἱ Ἰουδαῖοι ποὺ ἦταν ἀπὸ τὴν Ἀσία; Φυσικὸ ἦταν αὐτοὶ νὰ διέμεναν ἐκεῖ γιὰ μερικὲς ἡμέρες. Πρόσεχε ὅμως πῶς γίνεται μὲ θεία παραχώρηση αὐτὸ ποὺ ἔγινε· διότι ἀφοῦ πείσθηκαν οἱ Ἰουδαῖοι, τότε κάμνουν τὴν ἐπίθεση· καὶ ἦταν φυσικὸ αὐτό, γιὰ νὰ μὴ ἐπιτεθοῦν καὶ ἐκεῖνοι. «Βοηθᾶτε», λέγει, «ἄνδρες Ἰσραηλῖτες». Σὰν νὰ ἔπεσε στὰ χέρια τους κάποιος ποὺ δύσκολα συλλαμβάνεται καὶ δύσκολα ὑποτάσσεται, φωνάζουν «βοηθᾶτε». «Αὐτὸς εἶναι ποὺ παντοῦ διδάσκει». Ὄχι μόνο ἐδῶ, λέγει, ἀλλὰ «παντοῦ».

Ἔπειτα καὶ ἡ κατηγορία εἶναι μεγαλύτερη ἀπὸ τὰ παρόντα. «Ἀκόμη», λέγει, «βεβήλωσε τὸ ναό, βάζοντας μέσα σ' αὐτὸν ἄνδρες Ἕλληνες». Καὶ βέβαια καὶ στὶς ἡμέρες τοῦ Χριστοῦ ἀνέβηκαν νὰ προσκυνήσουν, ἀλλ' αὐτοὶ ἐννοοῦν ἐκείνους ποὺ δὲν θὰ δέχονταν νὰ προσκυνήσουν. «Καὶ ἀφοῦ ἔπιασαν τὸν Παῦλο», λέγει, «τὸν ἔσυραν ἔξω ἀπὸ τὸ ναό». Πρόσεχε· τὸν βγάζουν ἔξω ἀπὸ τὸ ναό· διότι δὲν χρειάζονταν νόμους οὔτε δικαστήρια, γι' αὐτὸ καὶ τὸν χτυποῦσαν· τόσο πολὺ μὲ ὅλα ποὺ κάνουν φαίνονται νὰ εἶναι θρασεῖς καὶ ἀδιάντροποι. Αὐτὸς δὲν ἀπολογήθηκε τότε, ἀλλ' ἀργότερα. Καὶ πολὺ σωστὰ διότι τότε δὲν θὰ τὸν ἄκουαν. Καὶ γιατί τέλος πάντων κραύγαζαν, «Ἐξαφάνισε αὐτόν»; Φοβοῦνταν μήπως διαφύγει. Ἀλλὰ πρόσεχε μὲ πόση ταπείνωση ὁμιλεῖ ὁ Παῦλος πρὸς

Τί γάρ φησιν; «Εἰ ἔξεστί μοι εἰπεῖν τι πρὸς σέ;». Τοσοῦτον ἦν ταπεινός, ὅτι καὶ μετριάζειν ᾔδει πανταχοῦ.

«Οὐκ ἄρα σὺ εἶ», φησίν, «ὁ Αἰγύπτιος;». Ὅρα κακουργίαν διαβόλου. Ἀπατεὼν ἦν ἐκεῖνος καὶ γόης ὁ Αἰγύπτιος, καὶ προσεδόκησε συσκιάζειν διὰ τούτου καὶ κοινωνοὺς ποιεῖν τῶν ἐκείνῳ προσηκόντων ἐγκλημάτων καὶ τὸν Χριστὸν καὶ τοὺς Ἀποστόλους, ἀλλ' οὐδὲν ἴσχυσεν, ἀλλ' ὅμως ἔτι λαμπροτέρα γέγονεν ἡ ἀλήθεια, οὐδὲν παραβλαβεῖσα τοῖς τοῦ διαβόλου μηχανήμασιν, ἀλλὰ καὶ μᾶλλον λάμψασα· εἰ μὲν γὰρ μὴ ἦσαν γόητες, εἶτα οὗτοι ἐκράτουν, τάχα ἄν τις ἐπελάβετο, ὅτε δὲ καὶ ἐκεῖνοι ἐφάνησαν, οὗτοι κρατοῦσι, τοῦτό ἐστι τὸ θαυμαστόν. Διὸ καὶ φανῆναι οὐ κωλύονται, ἵνα καὶ οὕτω μᾶλλον λάμψωσιν· ὥσπερ οὗτος καὶ ἀλλαχοῦ λέγει· «Ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται». Τοιοῦτό τι ἦν, ὃ καὶ Γαμαλιῆλος ἔλεγεν, ὅτι «πρὸ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς». Τοὺς δὲ σικαρίους οἱ μὲν γένος τι λῃστῶν φασιν αὐτοὺς εἶναι (οὕτω καλουμένους ἀφ' ὧν ἐπεφέροντο ξιφῶν, σικῶν λεγομένων παρὰ Ῥωμαίοις), οἱ δὲ τῆς μιᾶς αἱρέσεως τῆς παρ' Ἑβραίοις· τρεῖς γάρ εἰσι παρ' αὐτοῖς αἱρέσεις αἱ γενικαί, Φαρισαῖοι, Σαδδουκαῖοι, καὶ Ἐσσηνοί, οἳ καὶ Ὅσιοι λέγονται (τοῦτο γάρ ἐστι τὸ Ἐσσηνοὶ ὄνομα) διὰ τὸ τοῦ βίου σεμνόν· οἱ αὐτοὶ δὲ καὶ Σικάριοι διὰ τὸ εἶναι ζηλωταί.

Μὴ τοίνυν ἀλγῶμεν ὅτι αἱρέσεις εἰσίν, ὅπου καὶ ψευδόχριστοι καὶ τῷ Χριστῷ ἐπιθέσθαι ἠθέλησαν καὶ πρὸ τούτου καὶ μετὰ τοῦτο, ὥστε συσκιάσαι. Ἀλλ' ἡ ἀλήθεια λάμπει καὶ διάδηλός ἐστι πανταχοῦ. Τοῦτο καὶ ἐπὶ τῶν προφητῶν γέγονε· γεγόνασι ψευδοπροφῆται, καὶ ἀπὸ συγκρίσεως μᾶλλον ἔλαμψαν.

------

4. Α' Κορ. 11, 19
5. Πράξ. 5, 36

τὸν χιλίαρχο. Διότι τί λέγει; «Μοῦ ἐπιτρέπεται νὰ σοῦ πῶ κάτι;». Τόσο πολὺ ταπεινὸς ἦταν, ὥστε γνώριζε παντοῦ νὰ δείχνει μετριοφροσύνη.

3. «Δὲν εἶσαι σὺ λοιπόν», λέγει, «ὁ Αἰγύπτιος;». Πρόσεχε κακουργία διαβόλου. Ἐκεῖνος ὁ Αἰγύπτιος ἦταν ἀπατεώνας καὶ ἀγύρτης καὶ ἔλπισε μὲ αὐτὸν νὰ ἐπισκιάσει τὸν Χριστὸ καὶ τοὺς Ἀποστόλους καὶ νὰ τοὺς καταστήσει συμμέτοχους στὶς κατηγορίες ποὺ ταίριαζαν σ' ἐκεῖνον, ὅμως τίποτε δὲν κατόρθωσε, ἀλλ' ἀποδείχθηκε ἀκόμη λαμπρότερη ἡ ἀλήθεια, χωρὶς νὰ ἔπαθε καμιὰ βλάβη ἀπὸ τὶς μηχανορραφίες τοῦ διαβόλου, ἀλλὰ καὶ ἔλαμψε περισσότερο· διότι, ἐὰν δὲν ὑπῆρχαν ἀγύρτες, καὶ ὑπερίσχυαν τότε αὐτοί, ἴσως θὰ μποροῦσε κάποιος νὰ τοὺς κατηγορήσει, τὴ στιγμὴ ὅμως ποὺ ἐνῶ παρουσιάσθηκαν ἀγύρτες, αὐτοὶ ὑπερίσχυσαν, αὐτὸ εἶναι τὸ ἄξιο θαυμασμοῦ. Γι' αὐτὸ καὶ δὲν ἐμποδίζονται νὰ ἐμφανισθοῦν οἱ ἀπατεῶνες, ὥστε μὲ τὸν τρόπο αὐτὸ νὰ λάμψουν περισσότερο· ὅπως ἀκριβῶς καὶ ὁ ἴδιος λέγει ἀλλοῦ· «Γιὰ νὰ γίνουν φανεροὶ οἱ γνήσιοι»[4]. Κάτι παρόμοιο ἦταν καὶ ἐκεῖνο ποὺ ἔλεγε ὁ Γαμαλιῆλος, ὅτι «Πρὶν ἀπ' αὐτὲς τὶς ἡμέρες παρουσιάσθηκε ὁ Θευδᾶς»[5]. Σχετικὰ μὲ τοὺς σικάριους ἄλλοι λένε ὅτι εἶναι μία ὁμάδα ληστῶν (ὀνομάζονται ἔτσι ἀπὸ τὰ ξίφη ποὺ ἔφεραν, τὰ ὁποῖα ὀνομάζονταν ἀπὸ τοὺς Ρωμαίους σίκες), ἄλλοι πάλι λένε ὅτι ἦταν μία ἀπὸ τὶς ἑβραϊκὲς αἱρέσεις· διότι τρεῖς εἶναι οἱ βασικὲς αἱρέσεις αὐτῶν, οἱ Φαρισαῖοι, οἱ Σαδδουκαῖοι καὶ οἱ Ἐσσηνοί, οἱ ὁποῖοι ὀνομάζονται καὶ Ὅσιοι (διότι αὐτὸ σημαίνει τὸ ὄνομα Ἐσσηνοί), ἐξ αἰτίας τοῦ εὐσεβοῦς τρόπου ζωῆς τους· οἱ ἴδιοι λέγονταν καὶ Σικάριοι, ἐπειδὴ ἦταν Ζηλωτές.

Ἂς μὴ στενοχωρούμαστε λοιπὸν γιὰ τὸ ὅτι ὑπάρχουν αἱρέσεις, τὴ στιγμὴ ποὺ καὶ ψευδόχριστοι θέλησαν νὰ παρουσιασθοῦν μὲ τρόπο ἀπατηλὸ φέροντας τὸ ὄνομα τοῦ Χριστοῦ καὶ πρὶν ἀπ' αὐτὸ καὶ μετὰ ἀπ' αὐτό, γιὰ νὰ τὸν ἐπισκιάσουν. Ἀλλ' ἡ ἀλήθεια λάμπει καὶ εἶναι παντοῦ ὁλοφάνερη. Τὸ ἴδιο συνέβηκε καὶ μὲ τοὺς προφῆτες· παρουσιάσθηκαν ψευδοπροφῆτες καὶ συγκρινόμενοι μ' αὐ-

Καὶ γὰρ ἡ νόσος τὴν ὑγείαν φανερὰν δείκνυσι, καὶ τὸ σκότος τὸ φῶς, καὶ τὴν γαλήνην ὁ χειμών. Οὐκ ἔνι εἰπεῖν τοὺς Ἕλληνας ὅτι πλάνοι καὶ γόητες ἦσαν· ἐκεῖνοι γὰρ ἠλέγχθησαν. Τοῦτο καὶ ἐπὶ Μωϋσέως γέγονε· Συνεχώρησεν ὁ Θεὸς τοὺς μάγους, ἵνα μὴ μάγος ὑποληφθῇ Μωϋσῆς· εἴασεν αὐτοὺς διδάξαι πάντας μέχρι πόσου μαγεία φαντάσαι δύναται· περαιτέρω δὲ οὐκ ἠπάτησαν, ἀλλ' αὐτοὶ τὴν ἧτταν ὡμολόγησαν. Οὐδὲν ἡμᾶς βλάπτουσιν οἱ ἐπιθέται, μᾶλλον δὲ καὶ ποιοῦσι βελτίους, ἂν τις θέλῃ προσέχειν τὸν νοῦν. Τί οὖν, φησίν, ὅταν κοινωνῶμεν αὐτοῖς τῆς δόξης; Οὐ παρ' ἡμᾶς, ἀλλὰ παρὰ τοὺς οὐκ ἔχοντας κρίσιν. Μὴ σφόδρα μελέτω τῆς δόξης ἡμῖν τῆς τῶν πολλῶν, μηδὲ πέρα τοῦ δέοντος αὐτῆς φροντίζωμεν.

Θεῷ ζῶμεν, οὐκ ἀνθρώποις· ἐν οὐρανῷ πολιτευόμεθα, οὐκ ἐπὶ τῆς γῆς· ἐκεῖ τὰ βραβεῖα καὶ τὰ ἔπαθλα κεῖται τῶν ἡμετέρων πόνων· ἐκεῖθεν προσδοκῶμεν τοὺς ἐπαίνους, ἐκεῖθεν τοὺς στεφάνους. Μέχρι τοσούτου φροντίζωμεν τῶν ἀνθρώπων, μέχρι τοῦ μὴ διδόναι καὶ παρέχειν αὐτοῖς λαβήν. Ἂν δέ, ἡμῶν μὴ παρεχόντων, ἐκεῖνοι θέλωσιν ἁπλῶς καὶ εἰκῇ κατηγορεῖν, γελῶμεν, μὴ δακρύωμεν. Σὺ προνόει καλὰ ἐνώπιον Κυρίου καὶ ἀνθρώπων· ἄν, σοῦ προνοοῦντος καλά, ἐκεῖνος σκώπτῃ, μηκέτι φρόντιζε. Ἔχεις τὰ ὑποδείγματα ἐν ταῖς Γραφαῖς. «Ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν Θεόν;», φησί· καὶ πάλιν· «Ἀνθρώπους πείθομεν, Θεῷ δὲ πεφανερώμεθα». Καὶ ὁ Χριστὸς οὕτως ἐπὶ τῶν σκανδαλιζομένων ἔλεγεν· «Ἄφες αὐτούς, ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν»· καὶ πάλιν· «Οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄν-

------

6. Γαλ. 1, 10
7. Β΄ Κορ. 5. 11
8. Ματθ 15. 14

τοὺς ἔλαμψαν περισσότερο οἱ ἀληθινοὶ προφῆτες. Καθόσον ἡ ἀσθένεια καθιστᾶ φανερὴ τὴν ὑγεία, τὸ σκοτάδι τὸ φῶς, καὶ ἡ κακοκαιρία τὴ γαλήνη. Δὲν μποροῦμε νὰ ποῦμε ὅτι οἱ Ἕλληνες ἦταν πλάνοι καὶ ἀγύρτες· διότι ἐκεῖνοι ἐλέχθηκαν. Τὸ ἴδιο συνέβηκε καὶ στὴν περίπτωση τοῦ Μωυσῆ· ἐπέτρεψε ὁ Θεὸς τοὺς μάγους, γιὰ νὰ μὴ θεωρηθεῖ μάγος ὁ Μωϋσῆς· ἄφησε αὐτοὺς νὰ διδάξουν ὅλους μέχρι σὲ ποιὸ σημεῖο μπορεῖ νὰ καυχιέται ἡ μαγεία· ἡ ἀπάτη τους δὲν κράτησε περισσότερο, ἀλλ' οἱ ἴδιοι ὁμολόγησαν τὴν ἧττα τους. Σὲ τίποτε δὲν μᾶς βλάπτουν οἱ ἀπατεῶνες, ἢ καλύτερα μᾶς κάνουν καὶ καλύτερους, ἂν κανεὶς θέλει νὰ εἶναι προσεκτικός. Τί λοιπόν, λέγει, θὰ κάνομε ὅταν ὑπάρχει γιὰ μᾶς ἡ ἴδια γνώμη ποὺ ὑπάρχει γι' αὐτούς; Αὐτὴ ἡ γνώμη δὲν προέρχεται ἀπὸ ἐμᾶς, ἀλλὰ ἀπὸ ἐκείνους ποὺ δὲν κρίνουν ὀρθά. Ἂς μὴ μᾶς ἐνδιαφέρει πάρα πολὺ ἡ γνώμη τῶν πολλῶν, οὔτε νὰ φροντίζομε περισσότερο ἀπὸ ὅ,τι πρέπει γι' αὐτήν.

Ζοῦμε γιὰ τὸ Θεὸ καὶ ὄχι γιὰ τοὺς ἀνθρώπους· εἴμαστε πολίτες τοῦ οὐρανοῦ καὶ ὄχι τῆς γῆς· ἐκεῖ βρίσκονται τὰ βραβεῖα καὶ τὰ ἔπαθλα τῶν κόπων μας· ἀπὸ ἐκεῖ περιμένομε τοὺς ἐπαίνους, ἀπὸ ἐκεῖ τὰ στεφάνια. Τόσο μόνο ἂς φροντίζομε γιὰ τοὺς ἀνθρώπους, ὅσο νὰ μὴ τοὺς δίνομε καὶ νὰ μὴ τοὺς παρέχομε ἀφορμὴ νὰ μᾶς κατηγοροῦν. Ἂν ὅμως, ἐνῶ ἐμεῖς δὲν τοὺς δίνομε ἀφορμή, ἐκεῖνοι θέλουν στὰ καλὰ καθούμενα καὶ ἄσκοπα νὰ μᾶς κατηγοροῦν, τότε ἂς γελοῦμε, καὶ ὄχι νὰ κλαῖμε. Σὺ φρόντιζε νὰ ἐνεργεῖς σωστὰ μπροστὰ στὸν Κύριο καὶ τοὺς ἀνθρώπους· ἂν ὅμως, ἐνῶ σὺ φροντίζεις νὰ ἐνεργεῖς σωστά, ἐκεῖνος σὲ χλευάζει, τότε μὴ φροντίζεις πλέον. Ἔχεις τὰ παραδείγματα στὶς Γραφές· διότι λέγει· «Ζητῶ δηλαδὴ τώρα τὴν εὔνοια τῶν ἀνθρώπων ἢ τοῦ Θεοῦ;»[6]· καὶ πάλι· «Προσπαθοῦμε νὰ πείσομε τοὺς ἀνθρώπους νὰ πιστέψουν στὸ κήρυγμά μας, στὸ Θεὸ ὅμως εἴμαστε φανεροί»[7]. Καὶ ὁ Χριστὸς τὰ ἴδια ἔλεγε γιὰ ἐκείνους ποὺ σκανδαλίζονταν· «Ἀφῆστε αὐτούς· διότι εἶναι τυφλοὶ ὁδηγοὶ τυφλῶν ἀνθρώπων»[8]· καὶ πάλι· «Ἀλλοίμονό σας,

θρωποι»· καὶ πάλιν· «Λαμψάτω τὰ ἔργα ὑμῶν, ὅπως ἴδωσιν οἱ ἄνθρωποι καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Εἰ δὲ ἀλλαχοῦ λέγει, «Ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης». μὴ θαυμάσῃς· οὐ γάρ ἐστι ταῦτα ἐναντία, ἀλλὰ καὶ σφόδρα συνᾴδοντα. Ὅταν μὲν γὰρ παρ' ἡμᾶς γένηται, οὐαὶ ἡμῖν, ὅταν δὲ μὴ παρ' ἡμᾶς, οὐκέτι. Καὶ πάλιν· «Οὐαὶ ὑμῖν, δι οὓς τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖται».

Τί οὖν, ἂν ἐγὼ μὲν ποιῶ τι τῶν δεόντων, ἕτερος δὲ βλασφημῇ; Οὐδὲν πρὸς σέ, ἀλλὰ πρὸς ἐκεῖνον· δι' ἐκείνου γὰρ ἐβλασφημήθη. Καὶ πῶς ἔνι πρᾶξαί τι τῶν δεόντων, καὶ δοῦναι τοῖς ἄλλοις λαβήν; Πόθεν βούλεσθε, ἀπὸ τῶν νῦν ὄντων, ἢ ἀπὸ τῶν παλαιῶν τὰ παραδείγματα ὑμῖν ἀγάγω; Ἵνα μὴ ψοφοδεεῖς ὦμεν, βούλεσθε αὐτὸ δὴ τοῦτο τὸ νῦν μετὰ χεῖρας εἴπωμεν; Ἰουδάιζεν ὁ Παῦλος ἐν Ἰεροσολύμοις, ἀλλ' ἐν Ἀντιοχείᾳ οὐκ ἔτι· ἰουδάιζε καὶ ἐσκανδαλίζοντο, ἀλλ' οὐ δικαίως ἐσκανδαλίζοντο ἐκεῖνοι. Λέγεται Νέρωνος καὶ οἰνοχόον καὶ παλλακίδα ἀσπάσαι, πόσα οἴεσθε κατ' αὐτοῦ εἰρηκέναι αὐτοὺς διὰ τοῦτο; Ἀλλ' οὐ δικαίως· εἰ μὲν γὰρ ἐπὶ ἀσελγείᾳ ἠσπάσατο, ἢ ἐπὶ πονηροῖς πράγμασιν, εἰκότως, εἰ δὲ ἐπὶ βίῳ ὀρθῷ, τίνος ἕνεκεν; Εἴπω τι καί τινι τῶν ἐμοὶ συνήθων συμβάν. Ἐπέπεσεν ὀργή ποτε τοῦ Θεοῦ, καὶ σφόδρα νέος ὢν ἐκεῖνος, καὶ ἐν τῇ τοῦ διακόνου τάξει τυγχάνων, ἐπεὶ τότε ὁ ἐπίσκοπος ἔτυχεν ἀπὼν κατ' ἐκεῖνον τὸν καιρόν, καὶ τῶν πρεσβυτέρων οὐδεὶς ἐφρόντιζεν, ἀλλ' ἁπλῶς ἐποίησαν φωτισθῆναι ἀθρό-

------

9. Λουκᾶ 6, 26
10. Ματθ. 5, 10
11. Ματθ. 18, 6
12. Ρωμ. 2, 24

ὅταν ὅλοι οἱ ἄνθρωποι λένε καλὰ λόγια γιὰ σᾶς»[9]· καὶ πάλι· «Ἂς λάμψουν τὰ ἔργα σας, γιὰ νὰ τὰ δοῦν οἱ ἄνθρωποι καὶ νὰ δοξάσουν τὸν Πατέρα σας τὸν οὐράνιο»[10]. Ἐὰν δὲ ἀλλοῦ λέγει, «Ἐκεῖνος ποὺ θὰ σκανδαλίσει ἕνα ἀπὸ τοὺς ἀσήμαντους αὐτούς, συμφέρει σ' αὐτὸν νὰ κρεμασθεῖ μία μυλόπετρα ἀπὸ τὸ λαιμό του καὶ νὰ καταποντισθεῖ στὰ βάθη τῆς θάλασσας»[11], μὴ θαυμάσεις· καθόσον αὐτὰ δὲν εἶναι ἀντίθετα, ἀλλὰ καὶ πάρα πολὺ σύμφωνα. Διότι, ὅταν ὁ σκανδαλισμὸς προέρχεται ἀπὸ μᾶς, ἀλλοίμονο σὲ μᾶς, ὅταν ὅμως δὲν προέρχεται ἀπὸ μᾶς, δὲν ὑπάρχει πλέον κανένας φόβος γιὰ μᾶς. Καὶ πάλι· «Ἀλλοίμονο σὲ σᾶς, ἐξ αἰτίας τῶν ὁποίων βλασφημεῖται τὸ ὄνομα τοῦ Θεοῦ»[12].

Τί λοιπόν, ἐὰν ἐγὼ μὲν κάμνω κάτι ἀπὸ τὰ πρέποντα, ἐνῶ ὁ ἄλλος βλασφημεῖ; Δὲν ὑπάρχει τίποτε σὲ βάρος σου, ἀλλά σὲ βάρος ἐκείνου· διότι ἀπὸ ἐκεῖνον βλασφημήθηκε. Καὶ πῶς εἶναι δυνατὸ νὰ πράξει κανεὶς κάτι τὸ σωστό, καὶ νὰ δώσει στοὺς ἄλλους ἀφορμὴ γιὰ κατηγορία; Ἀπὸ ποῦ θέλετε νὰ σᾶς παρουσιάσω τὰ παραδείγματα, ἀπό τὰ ὅσα συμβαίνουν σήμερα, ἢ ἀπὸ τὰ παλιά. Ἀλλὰ γιὰ νὰ μὴ κυριευόμαστε ἀπὸ δειλία, θέλετε νὰ ἐξετάσομε αὐτὸ τὸ ἴδιο ποὺ σήμερα ἔχομε στὰ χέρια μας; Ὁ Παῦλος συμπεριφερόταν στὰ Ἱεροσόλυμα κατὰ τρόπο ἰουδαϊκό, ὄχι ὅμως καὶ στὴν Ἀντιόχεια· συμπεριφερόταν ἰουδαϊκὰ καὶ σκανδαλίζονταν, ἀλλ' ὅμως δὲν σκανδαλίζονταν ἐκεῖνοι δίκαια. Λέγεται ὅτι ἀσπάσθηκε καὶ τοῦ Νέρωνα τὸν οἰνοχόο καὶ τὴν παλλακίδα· πόσα νομίζετε ὅτι εἶπαν αὐτοὶ ἐναντίον του γι' αὐτό; Ἀλλὰ δὲν τὰ ἔλεγαν δίκαια· διότι, ἐὰν τοὺς ἀσπάσθηκε μὲ πρόθεση ν' ἀσελγήσει, ἢ γιὰ πονηρὰ πράγματα, εὔλογα σκανδαλίζονταν, ἀλλ' ἐὰν τοὺς ἀσπάσθηκε γιὰ τὸν ὀρθὸ τρόπο ζωῆς τους, γιὰ ποιὸ λόγο σκανδαλίζονταν; Θὰ πῶ καὶ κάτι ποὺ συνέβηκε σὲ κάποιο φίλο μου. Ἔπεσε κάποτε ἡ ὀργὴ τοῦ Θεοῦ ἐναντίον του καὶ ἦταν ἐκεῖνος πάρα πολὺ νέος, καὶ ἦταν τότε διάκονος· ἐπειδὴ τὸν καιρὸ ἐκεῖνο συνέβηκε ν' ἀπουσιάζει ὁ ἐπίσκοπος καὶ δὲν φρόντιζε κανένας ἀπὸ

ον ἐν μιᾷ νυκτὶ μυριάδας πολλάς, καὶ ἁπλῶς ἐβαπτίζοντο πάντες οὐδὲν εἰδότες· τούτους ἐκεῖνος λαβὼν κατ' ἰδίαν ὁμοῦ ἑκατὸν καὶ διακοσίους διελέγετο, ἄλλο μὲν οὐδέν, τὰ δὲ τῶν μυστηρίων μόνον ὡς μηδὲ τοῖς ἀμυήτοις συγχωρεῖν παρεῖναι. Τοῦτο αὐτὸν ποιοῦντα ἐνόμισαν πολλοὶ τῆς ἀρχῆς ἐρῶντα τοῦτο ποιεῖν. Ἀλλ' οὐκ ἐφρόντισεν ἐκεῖνος τῶν νομιζόντων· οὐκ ἐξέτεινε μέντοι ἐπὶ χρόνον τὸ πρᾶγμα, ἀλλ' εὐθέως ἐπαύσατο.

Τί οὖν; ἐκεῖνος τοῦ σκανδάλου αἴτιος; Οὐκ ἔγωγε οἶμαι· εἰ μὲν γάρ, οὐκ οὔσης αἰτίας, τοῦτο ἐποίει, εἰκότως ἐκείνῳ τὴν αἰτίαν ἐπέγραφον, καὶ εἰ πάλιν ἐπεξέτεινεν. Ὅταν γὰρ τῶν τῷ Θεῷ δοκούντων κωλύηται διὰ τὸ ἑτέρου σκάνδαλον, καταφρονεῖν δεῖ· τότε δὲ φροντίζειν, ὅταν μηδὲν ἀναγκαζώμεθα δι' ἐκεῖνον προσκρούειν Θεῷ· ἐπεί, εἰπέ μοι, ἄν, μεταξὺ διαλεγομένων ἡμῶν καὶ τοὺς μεθύοντας σκωπτόντων, σκανδαλίζηταί τις, ἐγὼ παύσωμαι λέγων; Ἄκουσον τοῦ Χριστοῦ λέγοντος· «Μὴ καὶ ὑμεῖς βούλεσθε ὑπάγειν;». Οὕτως οὔτε καταφρονεῖν οὔτε σφόδρα ἀντιποιεῖσθαι τῆς τῶν πολλῶν ἀσθενείας χρή. Ἢ οὐχ ὁρῶμεν καὶ τοὺς ἰατροὺς τοῦτο ποιοῦντας, καί, ὅταν μὲν ἐγχωρῇ, χαριζομένους τοῖς κάμνουσιν, ὅταν δὲ ἡ χάρις ἡ ἐκείνων βλάβην ἐργάζηται, οὐκ ἔτι φειδομένους; Πανταχοῦ τὸ μέτρον τιμᾶν καλόν. Ἐβλασφήμησαν πολλοὶ κατηχήσεως ἕνεκεν κόρης τινὸς εὐμόρφου, παρθένου μεινάσης· παρέβαλον πρὸς αὐτήν, καὶ τοὺς κατηχοῦντας ἐλοιδόρησαν. Τί οὖν; ἀποστῆναι ἐκείνους ἔδει διὰ τοῦτο; Οὐδαμῶς· οὐδὲν γὰρ εἰργάζοντο ἐναντίον, ἀλλὰ καὶ σφόδρα δοκοῦν πρᾶγμα Θεῷ.

------

13. Ἰω. 6, 67

τοὺς πρεσβυτέρους, ἀλλ' ἁπλῶς φρόντισαν νὰ βαπτισθοῦν πολλὲς χιλιάδες μαζὶ σὲ μιὰ νύχτα, καὶ ἁπλῶς βαπτίζονταν ὅλοι χωρὶς τίποτε νὰ γνώριζαν· ὅλους αὐτούς, τριακόσιους τὸν ἀριθμό, ἀφοῦ τοὺς παρέλαβε ἐκεῖνος, κατ' ἰδία τοὺς δίδασκε, τίποτε ἄλλο, παρὰ μόνο τὰ μυστήρια τῆς πίστεως, μὴ ἐπιτρέποντας μάλιστα νὰ παραβρίσκονται οἱ ἀμύητοι. Ἐπειδὴ τὸ ἔκαμνε αὐτό, πολλοὶ νόμισαν ὅτι αὐτὸς τὸ κάμνει αὐτὸ ἐπειδὴ ἐπιθυμεῖ τὴν ἐξουσία. Ἀλλὰ δὲν ἔδωσε ἐκεῖνος σημασία στὰ ὅσα νόμιζαν ἐκεῖνοι· καὶ οὔτε βέβαια παρέτεινε τὸ πράγμα, ἀλλ' ἀμέσως σταμάτησε νὰ τὸ κάμνει.

Τί λοιπόν; ἐκεῖνος ἦταν αἴτιος τοῦ σκανδάλου; Ἐγὼ τουλάχιστο δὲν τὸ νομίζω· διότι, ἐὰν τὸ ἔκαμνε αὐτὸ χωρὶς νὰ ὑπῆρχε αἰτία, πολὺ σωστὰ ἀπέδιδαν τὴν αἰτία σ' ἐκεῖνον, καὶ ἂν πάλι παρέτεινε τὴ διδασκαλία. Διότι, ὅταν ἐμποδίζεται κανεὶς ἀπὸ ἐκεῖνα ποὺ ἀρέσουν στὸ Θεὸ ἐξ αἰτίας τοῦ σκανδαλισμοῦ ἄλλου, πρέπει ν' ἀδιαφοροῦμε γι' αὐτόν· τότε πρέπει νὰ φροντίζομε, ὅταν καθόλου δὲν ἀναγκαζόμαστε ἐξ αἰτίας ἐκείνου νὰ προσκρούομε στὸ Θεό· διότι πές μου, ἐάν, ἐνῶ ὁμιλῶ ἐγὼ καὶ κατακρίνω ἐκείνους ποὺ μεθοῦν, σκανδαλίζεται κάποιος, ἐγὼ θὰ πρέπει νὰ παύσω νὰ ὁμιλῶ; Ἄκουσε τὸν Χριστὸ ποὺ λέγει· «Μήπως καὶ σεῖς θέλετε νὰ φύγετε;»[13]. Ἑπομένως οὔτε πρέπει νὰ περιφρονοῦμε, οὔτε καὶ νὰ παρουσιάζομε σὲ ὑπερβολικὸ βαθμὸ τὴν ἀδυναμία τῶν πολλῶν. Ἢ δὲν βλέπομε καὶ τοὺς γιατροὺς ποὺ κάμνουν αὐτό, καί, ὅταν μὲν ὑπάρχει ἡ δυνατότητα, κάμνουν τὰ χατίρια τῶν ἀσθενῶν, ὅταν ὅμως μὲ τὴν ἱκανοποίηση τῆς ἐπιθυμίας τῶν ἀσθενῶν προξενεῖται βλάβη, ὅτι δὲν ἱκανοποιοῦν τὶς ἐπιθυμίες τους; Παντοῦ εἶναι καλὸ τὸ νὰ τηρεῖται τὸ μέτρο. Πολλοὶ βλασφήμησαν ἐξ αἰτίας τῆς κατηχήσεως κάποιας ὄμορφης κόρης ποὺ ἔμεινε παρθένος, στράφηκαν ἐναντίον αὐτῆς καὶ κακολόγησαν ἐκείνους ποὺ τὴν κατηχοῦν. Τί λοιπόν; ἔπρεπε ἐκεῖνοι ἐξ αἰτίας αὐτοῦ τοῦ πράγματος νὰ σταματήσουν τὴν κατήχηση; Καθόλου· διότι δὲν ἔκαμναν τίποτε τὸ ἀντίθετο, ἀλλὰ κάποιο πράγμα πάρα πολὺ ἀρεστὸ στὸ Θεό.

Μὴ τοίνυν, εἰ σκανδαλίζονταί τινες, ἴδωμεν, ἀλλ' εἰ δικαίως, καὶ εἰ μὴ μετὰ τῆς ἡμετέρας βλάβης. «Εἰ βρῶμα σκανδαλίζει», φησί, «τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα». Εἰκότως· οὐδὲν γὰρ ἔβλαπτε τὸ μὴ φαγεῖν· εἰ μέντοι σκανδαλίζει αὐτὸν ὅτι βούλομαι ἀποτάξασθαι, οὐκ ἔτι φροντίζειν δεῖ. Καὶ τίνα, φησί, τοῦτο σκανδαλίζει; Πολλοὺς ἔγωγε οἶδα. Ὅταν τοίνυν ἀδιάφορον ᾖ τὸ κώλυμα, γινέσθω· ἐπεί, εἰ μέλλοιμεν πρὸς τοῦτο μόνον ὁρᾶν, πολλῶν ἔχομεν ἀποστῆναι, ὥσπερ οὖν καὶ τοὐναντίον, εἰ μέλλοιμεν καταφρονεῖν, πολλοὺς ἀπολλύναι· ἐπεὶ καὶ Παῦλος προενόησε σκανδάλου· καὶ πῶς, ἄκουε· «Ἵνα μὴ τῇ ἁδρότητι», φησί, «ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν»· οὐδὲν γὰρ ἔβλαπτε τὸ τὴν ὑπόνοιαν ἐξελεῖν. Ὅταν δὲ εἰς τοιαύτην ἐμπέσωμεν ἀνάγκην, ὥστε μεγάλα γενέσθαι κακὰ διὰ τὸ ἑτέρου σκάνδαλον, καταφρονῶμεν ἐκείνου· ἐκεῖνος μὲν γὰρ ἑαυτῷ αἴτιος, ἡμεῖς δὲ οὐκ ἔτι ὑπεύθυνοι· οὐ γὰρ ἐνῆν ἀβλαβῶς αὐτοῦ φείσασθαι.

Ἐσκανδαλίσθησαν πολλοὶ ὅτι εἰς ἱερὰ κατέκειντό τινες πιστοί, ἐπειδὴ οὐκ ἔδει κατακεῖσθαι· ἀλλὰ κακῶς· οὐδεμία γὰρ ἀπὸ τούτου βλάβη. Ἐσκανδαλίζοντο ὅτι ἤσθιε μετὰ τῶν ἐθνικῶν ὁ Πέτρος· ἀλλ' ἐκεῖνος μὲν ἐφείσατο, αὐτὸς δὲ οὐκ ἔτι. Πανταχοῦ προσήκει ἡμᾶς, τοῖς τοῦ Θεοῦ νόμοις κατακολουθοῦντας, πολλὴν σπουδὴν ποιεῖσθαι, ὥστε μηδεμίαν ἀφορμὴν παρέχειν σκανδάλου, ἵνα καὶ αὐτοὶ ἀνεύθυνοι ὦμεν, καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

14. Α' Κορ. 8, 13
15. Β' Κορ. 8, 20

Ἂς μὴ προσέχομε λοιπὸν ἐὰν σκανδαλίζονται μερικοί, ἀλλ' ἐὰν δίκαια σκανδαλίζονται, καὶ ἐὰν ὄχι μὲ τὴ δική μας βλάβη. «Ἐὰν κάποιο φαγητὸ σκανδαλίζει τὸν ἀδελφό μου, δὲν θὰ φάγω κρέας ποτέ»[11]. Πολὺ σωστά· διότι καθόλου δὲν ἔβλαπτε τὸ νὰ μὴ φάγω· ἐὰν ὅμως σκανδαλίζει αὐτὸν τὸ ὅτι θέλω νὰ τὸ ἀπορρίψω, δὲν πρέπει νὰ φροντίζω πλέον. Καὶ ποιόν, λέγει, σκανδαλίζει αὐτό; Ἐγὼ τουλάχιστο πιστεύω ὅτι σκανδαλίζει πολλούς. Ὅταν λοιπὸν εἶναι ἀδιάφορο τὸ ἐμπόδιο, ἂς γίνεται· διότι, ἐὰν πρόκειται νὰ προσέχομε μόνο αὐτό, μποροῦμε ν' ἀπομακρυνθοῦμε ἀπὸ πολλά, ὅπως ἀκριβῶς βέβαια καὶ τὸ ἀντίθετο, ἐὰν πρόκειται νὰ τὸ περιφρονοῦμε, πολλοὺς θὰ ὁδηγήσομε στὴν ἀπώλεια· καθόσον καὶ ὁ Παῦλος προέβλεψε γιὰ τὸ σκάνδαλο· καὶ πῶς, ἄκουε· «Γιὰ νὰ μὴ κατηγορηθοῦμε γιὰ τὴ γενναία αὐτὴ δωρεά, ποὺ διακονεῖται ἀπὸ μᾶς»[13]· διότι σὲ τίποτε δὲ ἔβλαπτε τὸ ν' ἀπομακρύνει τὴν ὑποψία. Ὅταν ὅμως βρεθοῦμε σὲ τέτοια ἀνάγκη, ὥστε νὰ προξενηθοῦν μεγάλα κακὰ ἐξ αἰτίας τοῦ σκανδάλου κάποιου ἄλλου, ἂς περιφρονοῦμε ἐκεῖνον· διότι ἐκεῖνος εἶναι αἴτιος γιὰ τὸν ἑαυτό του, ἐνῶ ἐμεῖς δὲν εἴμαστε πλέον ὑπεύθυνοι· καθόσον δὲν ἦταν δυνατὸ νὰ δείξομε τὸ ἐνδιαφέρον μας γι' αὐτὸν χωρὶς βλάβη.

Σκανδαλίσθηκαν πολλοὶ γιὰ τὸ ὅτι μερικοὶ πιστοὶ διέμεναν σὲ ἱεροὺς χώρους, ἐπειδὴ δὲν ἔπρεπε νὰ διαμένουν ἐκεῖ· ἀλλὰ κακῶς· διότι καμιὰ βλάβη δὲν προήρχετο ἀπ' αὐτό. Σκανδαλίζονταν διότι ὁ Πέτρος ἔτρωγε μαζὶ μὲ τοὺς ἐθνικούς· ἀλλ' ἐκεῖνος μὲν φρόντισε νὰ διορθώσει αὐτό, ἐνῶ αὐτὸς ὄχι. Παντοῦ πρέπει ἐμεῖς νὰ ὑπακοῦμε καὶ νὰ τηροῦμε τοὺς νόμους τοῦ Θεοῦ, καὶ νὰ φροντίζομε πάρα πολύ, νὰ μὴ δίνομε καμιὰ ἀφορμὴ γιὰ σκάνδαλο, ὥστε καὶ οἱ ἴδιοι νὰ εἴμαστε ἀνεύθυνοι καὶ ν' ἀξιωθοῦμε ν' ἀπολαύσομε τὴ φιλανθρωπία τοῦ Θεοῦ μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Μονογενοῦς Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΖ΄
(Πράξ. 21, 39 - 22, 16)

«Εἶπε δὲ ὁ Παῦλος· Ἐγὼ εἰμι ἄνθρωπος Ἰουδαῖος, Ταρσεύς, τῆς Κιλικίας οὐκ ἀσήμου πόλεως πολίτης· δέομαι δέ σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν. Ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος, ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν, κατέσεισε τῇ χειρὶ τὸν λαόν. Πολλῆς δὲ σιγῆς γενομένης, προσεφώνησε τῇ Ἑβραΐδι διαλέκτῳ, λέγων».

1. Ὅρα αὐτόν, ὅταν πρὸς τοὺς ἔξω διαλέγηται, οὐ παραιτούμενον καὶ τοῖς ἀπὸ τῶν νόμων κεχρῆσθαι βοηθήμασιν. Ἐνταῦθα αὐτὸν ἀπὸ τῆς πόλεως ἐντρέπει. Οὕτω καὶ ἔμπροσθεν ἔλεγε· «Τύψαντες ἡμᾶς δημοσίᾳ ἀκατακρίτους ἀνθρώπους, Ρωμαίους ὑπάρχοντας, ἔβαλον εἰς φυλακήν». Ἐπειδὴ γὰρ ἐπυνθάνετο, «Σὺ εἶ ὁ Αἰγύπτιος;», «ἐγώ εἰμι», φησίν, «ἄνθρωπος Ἰουδαῖος». Οὕτως εἰπών, εὐθέως αὐτὸν ταύτης ἀπήγαγε τῆς ὑποψίας. Εἶτα, ἵνα μὴ νομισθῇ τὸ ἔθνος Ἰουδαῖος, λέγει τὴν θρησκείαν· καὶ γὰρ καὶ ἀλλαχοῦ ἔννομον ἑαυτὸν Χριστοῦ καλεῖ. Τί τοῦτό ἐστι; Παῦλος ψεύδεται; Ἄπαγε! Τί οὖν; οὐκ ἠρνήσατο; Μὴ γένοιτο! Ἰουδαῖος γὰρ ἦν καὶ Χριστιανὸς ὅσα ἔδει φυλάττων, ἐπεὶ καὶ τῷ νόμῳ μάλιστα πάντων αὐτὸς ἐπείθετο, τῷ Χριστῷ πιστεύων, καὶ πρὸς Πέτρον διαλεγόμενός φησιν· «Ἡμεῖς φύσει Ἰουδαῖοι».

«Δέομαι δέ σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν». Καὶ τοῦτο τεκμήριον ὅτι οὐ ψεύδεται, εἴ γε

1. Πράξ. 16, 37   2. Πράξ. 21, 38

ΟΜΙΛΙΑ ΜΖ΄
(Πράξ. 21, 39 - 22, 16)

«Εἶπε ὁ Παῦλος· Ἐγὼ εἶμαι Ἰουδαῖος ἀπὸ τὴν Ταρσὸ τῆς Κιλικίας, πολίτης ὄχι ἀσήμαντης πόλεως· σὲ παρακαλῶ λοιπὸν ἐπέτρεψέ με νὰ μιλήσω στὸ λαό. Αὐτὸς τὸν ἐπέτρεψε, καὶ ὁ Παῦλος, ἀφοῦ στάθηκε στὰ σκαλιά, κούνησε τὸ χέρι του πρὸς τὸ λαό. Ὅταν ἔγινε ἡσυχία, μίλησε στὴν ἑβραϊκὴ γλῶσσα καὶ εἶπε».

1. Πρόσεχε αὐτόν, ὅταν ὁμιλεῖ πρὸς τοὺς μὴ χριστιανούς, δὲν ἀποφεύγει νὰ χρησιμοποιήσει καὶ τὴ βοήθεια τῶν νόμων. Ἐδῶ ἀλλάζει τὶς διαθέσεις τοῦ χιλίαρχου ἀναφέροντας τὸ ὄνομα τῆς πόλεως. Τὸ ἴδιο καὶ προηγουμένως ἔλεγε· «Ἀφοῦ μᾶς ἔδεραν δημόσια, χωρὶς νὰ εἴχαμε δικασθεῖ, ἂν καὶ εἴμαστε Ρωμαῖοι πολίτες, μᾶς ἔριξαν στὴ φυλακή»[1]. Ἐπειδὴ δηλαδὴ ρωτοῦσε νὰ μάθει, «Σὺ εἶσαι ὁ Αἰγύπτιος;»[2], «Ἐγὼ εἶμαι», λέγει, «Ἰουδαῖος». Λέγοντας αὐτά, ἀμέσως ἀπάλλαξε αὐτὸν ἀπὸ τὴν ὑποψία αὐτή. Στὴ συνέχεια, γιὰ νὰ μὴ νομισθεῖ ὡς πρὸς τὸ ἔθνος Ἰουδαῖος, λέγει καὶ τὴ θρησκεία· καθόσον καὶ ἀλλοῦ ὀνομάζει τὸν ἑαυτό του ἔννομο τοῦ Χριστοῦ[3]. Τί σημαίνει αὐτό; Ψεύδεται ὁ Παῦλος; Μακριὰ μιὰ τέτοια σκέψη! Τί λοιπόν; δὲν ἀρνήθηκε; Μὴ σκεφθεῖς κάτι τέτοιο! Διότι ἦταν Ἰουδαῖος καὶ Χριστιανός, τηρώντας ὅσα ἔπρεπε, ἀφοῦ αὐτός, πιστεύοντας στὸ Χριστό, ἔδειχνε ὑπακοὴ στὸ νόμο περισσότερο ἀπὸ ὅλους, καὶ μιλώντας πρὸς τὸν Πέτρο λέγει· «Ἐμεῖς εἴμαστε ἐκ γενετῆς Ἰουδαῖοι»[4].

«Σὲ παρακαλῶ, ἐπίτρεψέ με νὰ μιλήσω πρὸς τὸ πλῆθος». Καὶ αὐτὸ εἶναι ἀπόδειξη ὅτι δὲν ψεύδεται, ἐφόσον

------

3. Α΄ Κορ. 9, 21 4. Γαλ. 2, 15

πάντας ἐπήγετο μάρτυρας. Σκόπει αὐτὸν πάλιν μετὰ ἐπιεικείας διαλεγόμενον. Καὶ τοῦτο δὲ τεκμήριον πάλιν μέγιστον τοῦ μηδενὸς εἶναι ὑπεύθυνον, τὸ οὕτως ἕτοιμον εἶναι πρὸς ἀπολογίαν, καὶ βούλεσθαι εἰς λόγον καταστῆναι τῷ δήμῳ τῶν Ἰουδαίων. Ὅρα τεταγμένον ἄνδρα, ὅρα οἰκονομίαν· εἰ μὴ χιλίαρχος ἦλθεν, εἰ μὴ ἔδησεν, οὐκ ἂν ἐδεήθη λόγου πρὸς ἀπολογίαν, οὐκ ἂν τοιαύτης ἀπέλαυσε σιγῆς. «Ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν». Καὶ ἀπὸ τοῦ τόπου πολλὴ ἡ εὐκολία, τὸ καὶ ὑψηλὸν ὄντα δημηγορεῖν καὶ δεδεμένον. Τί τούτου ἴσον τοῦ θεάματος, δυσὶν ἁλύσεσι δεδεμένον ἰδεῖν Παῦλον δημηγοροῦντα; πῶς οὐκ ἐταράχθη, πῶς οὐ συνεχύθη, τοσοῦτον δῆμον ἐκπεπολεμωμένον ὁρῶν, τοῦ ἄρχοντος ἐφεστῶτος; Πρότερον ἀπέστησεν αὐτοὺς τοῦ θυμοῦ, εἶτα διαλέγεται. Καὶ ὅρα πῶς φρονίμως· ὅπερ γὰρ ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ ἐποίησε, τοῦτο καὶ ἐνταῦθα· πρῶτον τῇ συγγενείᾳ τῆς φωνῆς αὐτοὺς ἐπισπᾶται, εἶτα αὐτῷ τῷ ἡμέρῳ· διὸ καὶ τοῦτο δηλῶν ἐπάγει· «Πολλῆς δὲ σιγῆς γενομένης, προσεφώνησε», φησί, «τῇ Ἑβραΐδι διαλέκτῳ, λέγων»·

«Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νῦν ἀπολογίας». Ὅρα καὶ κολακείας ἀπηλλαγμένον τὸν λόγον καὶ τὸ ἐπιεικὲς ἔχοντα· οὐ γὰρ εἶπε, 'Δεσπόται' οὐδὲ 'κύριοι' ἀλλὰ «ἀδελφοί», ὃ μάλιστα ἐπόθουν· ὡσεὶ ἔλεγεν· 'Οὐκ ἀλλότριος ὑμῶν ἐγώ, οὐδὲ καθ' ὑμῶν'. «Ἄνδρες ἀδελφοὶ καὶ πατέρες», φησί. Τοῦτο τιμῆς, ἐκεῖνο γνησιότητος. «Ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νῦν ἀπολογίας». Οὐκ εἶπε, 'Διδασκαλίας', οὐδὲ 'δημηγορίας', ἀλλά, «ἀπολογίας»· ἐν τάξει ἱκέτου ἑαυτὸν καθίστησιν. «Ἀκού-

παρουσίασε ὅλους μάρτυρες. Πρόσεχε αὐτὸν ποὺ καὶ πάλι ὁμιλεῖ μὲ τρόπο ἤπιο. Καὶ αὐτὸ πάλι εἶναι μέγιστη ἀπόδειξη ὅτι δὲν εἶναι ὑπεύθυνος γιὰ τίποτε, τὸ ὅτι δηλαδὴ εἶναι τόσο πολὺ πρόθυμος ν' ἀπολογηθεῖ καὶ θέλει ν' ἀπευθύνει λόγο πρὸς τὸ πλῆθος τῶν Ἰουδαίων. Πρόσεχε ἄνθρωπο ποὺ εἶναι ἕτοιμος γιὰ ὅλα, πρόσεχε οἰκονομία Θεοῦ· ἐὰν δὲν ἐρχόταν ὁ χιλίαρχος, ἐὰν δὲν τὸν ἔδενε, δὲν θὰ χρειαζόταν λόγο γιὰ ν' ἀπολογηθεῖ, δὲν θ' ἀπολάμβανε τόση ἡσυχία ἐκ μέρους τοῦ πλήθους γιὰ νὰ τὸν ἀκούσει. «Αὐτὸς τὸν ἐπέτρεψε καὶ ὁ Παῦλος στάθηκε στὴ σκάλα». Καὶ ἀπὸ τὸν τόπο ποὺ βρίσκεται τοῦ παρέχεται μεγάλη εὐκολία γιὰ νὰ μιλήσει καὶ ἐπειδὴ βρίσκεται σὲ ψηλὸ μέρος καὶ εἶναι δεμένος. Τί θὰ μποροῦσε νὰ ἐξισωθεῖ μὲ τὸ θέαμα αὐτὸ τὸ νὰ βλέπει κανεὶς τὸν Παῦλο νὰ ὁμιλεῖ δεμένος μὲ δύο ἁλυσίδες; πῶς δὲν ταράχθηκε, πῶς δὲν συγχύσθηκε, βλέποντας τόσο πλῆθος νὰ εἶναι ἕτοιμο νὰ τὸν πολεμήσει, καὶ τὸν ἄρχοντα νὰ εἶναι ἐκεῖ παρών; Πρῶτα ἀπάλλαξε αὐτοὺς ἀπὸ τὸ θυμό, καὶ ὕστερα ὁμιλεῖ πρὸς αὐτούς. Καὶ πρόσεχε μὲ πόση φρονιμάδα τὸ κάνει· διότι ἐκεῖνο ποὺ ἔκανε στὴν ἐπιστολή του πρὸς τοὺς Ἑβραίους, αὐτὸ κάμνει καὶ ἐδῶ· πρῶτα τοὺς προσελκύει μὲ τὴ συγγένεια τῆς γλώσσας, καὶ ὕστερα μὲ τὸν ἤπιο τρόπο· γι' αὐτό, θέλοντας νὰ δηλώσει αὐτό, προσθέτει· «Ὅταν ἔγινε ἡσυχία μίλησε», λέγει, «στὴν ἑβραϊκὴ γλώσσα καὶ εἶπε».

«Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκοῦστε τώρα τὴν ἀπολογία μου πρὸς ἐσᾶς». Πρόσεχε τὸ λόγο ποὺ εἶναι ἀπαλλαγμένος ἀπὸ κολακεία, καὶ γεμάτος ἀπὸ ἐπιείκεια· διότι δὲν εἶπε, 'δεσπότες', οὔτε 'κύριοι', ἀλλὰ «ἀδελφοί;», πράγμα ποὺ περισσότερο ποθοῦσαν· σὰν δηλαδὴ νὰ ἔλεγε· 'Δὲν εἶμαι ἐγὼ ξένος ἀπὸ σᾶς, οὔτε ἐναντίον σας'. «Ἄνδρες ἀδελφοὶ καὶ πατέρες», λέγει. Αὐτὸ δείχνει τιμή, ἐνῶ ἐκεῖνο συγγένεια. «Ἀκοῦστε τώρα τὴν ἀπολογία μου πρὸς ἐσᾶς». Δὲν εἶπε, 'τὴ διδασκαλία', οὔτε 'τὴ δημηγορία', ἀλλὰ «τὴν ἀπολογία μου»· τοποθετεῖ τὸν ἑαυτό του στὴ θέση τοῦ ἱκέτη. «Ὅταν ἄκουσαν ὅτι τοὺς προσ-

σαντες δὲ ὅτι τῇ Ἑβραΐδι διαλέκτῳ προσεφώνει αὐτοῖς, μᾶλλον παρέσχον ἡσυχίαν». Ὁρᾷς πῶς αὐτοὺς εἷλε τὸ ὁμόφωνον; εἶχον γάρ τινα αἰδῶ πρὸς τὴν γλῶτταν ἐκείνην. Ὅρα δὲ καὶ πῶς προοδοποιεῖ τῷ λόγῳ, οὕτως ἀρχόμενος καὶ λέγων· «Ἐγὼ μέν εἰμι ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνατεθραμμένος ἐν τῇ πόλει ταύτῃ παρὰ τοὺς πόδας Γαμαλιήλου, πεπαιδευμένος δὲ κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπάρχων τοῦ Θεοῦ, καθὼς πάντες ὑμεῖς ἐστε σήμερον».

«Ἐγὼ μέν εἰμι», φησίν, «ἀνὴρ Ἰουδαῖος»· ὃ μάλιστα πάντων ἐπόθουν ἀκοῦσαι. «Γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας». Ἵνα μὴ πάλιν νομίσωσι τὸ ἔθνος ἄλλο, τὴν θρησκείαν ἐπήγαγεν. «Ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ». Τὴν πολλὴν αὐτοῦ δείκνυσι σπουδὴν τὴν περὶ τὴν λατρείαν, ὅπου γε καὶ πατρίδα τηλικαύτην ἀφεὶς τοσοῦτον ἀφεστῶσαν, ἐνταῦθα εἵλετο τραφῆναι διὰ τὸν νόμον. Ὅρα πῶς ἄνωθεν προσεῖχε τῷ νόμῳ. Ταῦτα δὲ οὐ πρὸς ἐκείνους ἀπολογούμενος μόνον φησίν, ἀλλὰ δεικνὺς ὅτι οὐκ ἀνθρωπίνῳ σκοπῷ πρὸς τὸ κήρυγμα ἤχθη, ἀλλὰ θείᾳ δυνάμει· οὐ γὰρ ἂν οὕτω πεπαιδευμένος ἀθρόον μετέστη· εἰ μὲν γὰρ ἦν τις τῶν πολλῶν, εἰκὸς ἦν τοῦτο ὑποπτεῦσαι, εἰ δὲ τῶν μάλιστα πάντων κατεχομένων ὑπὸ τοῦ νόμου, οὐκ ἦν εἰκὸς ἁπλῶς καὶ οὐδεμιᾶς ἀνάγκης ἰσχυρᾶς οὔσης μεταθέσθαι αὐτόν. Ἀλλ' ἴσως εἴποι τις ἄν· 'Οὐδὲν τοῦτο ποιεῖ, ὅτι ἐνταῦθα ἀνετράφη· τί γάρ, εἰ κατ' ἐμπορίαν ἢ κατ' ἄλλην τινὰ αἰτίαν ἐνταῦθα γέγονας;'. Ἵνα τοίνυν μὴ διὰ τοῦτο νομισθῇ, ἐπήγαγε· «Παρὰ τοὺς πόδας Γαμαλιήλου»· καὶ οὐχ ἁπλῶς εἶπε, «Παρὰ Γαμαλιήλου», ἀλλὰ «παρὰ τοὺς πόδας», τὴν καρτερίαν, τὴν προσεδρείαν, τὴν

φωνοῦσε στὴν ἑβραϊκὴ γλώσσα, ἔκαναν περισσότερη ἡσυχία». Βλέπεις πῶς τοὺς μαλάκωσε τὴν καρδιὰ ἡ ὁμοιότητα τῆς γλώσσας; διότι ἔτρεφαν κάποιο σεβασμὸ πρὸς τὴ γλώσσα ἐκείνη. Πρόσεχε ὅμως καὶ πῶς προετοιμάζει μὲ τὸ λόγο τὸ δρόμο, ἀρχίζοντας μὲ τὰ ἑξῆς καὶ λέγοντας· «Ἐγὼ εἶμαι Ἰουδαῖος, γεννήθηκα στὴν Ταρσὸ τῆς Κιλικίας, ἀνατράφηκα στὴν πόλη αὐτὴ κοντὰ στὸ Γαμαλιῆλο, διδάχθηκα μὲ ἀκρίβεια τὸν νόμο τῶν πατέρων καὶ εἶμαι ζηλωτὴς τοῦ Θεοῦ, ὅπως ἀκριβῶς εἶστε καὶ σεῖς ὅλοι σήμερα».

«Ἐγὼ εἶμαι», λέγει, «Ἰουδαῖος»· πράγμα ποὺ ποθοῦσαν περισσότερο ἀπὸ ὅλα ν' ἀκούσουν. «Γεννήθηκα στὴν Ταρσὸ τῆς Κιλικίας». Γιὰ νὰ μὴ νομίσουν πάλι ὅτι εἶναι διαφορετικοῦ γένους, πρόσθεσε τὴ θρησκεία. «Ἀνατράφηκα στὴν πόλη αὐτή». Παρουσιάζει τὸ μεγάλο ζῆλο του γιὰ τὴ λατρεία, τὴ στιγμὴ βέβαια πού, ἀφοῦ ἄφησε καὶ τόσο ξακουστὴ πατρίδα καὶ βρισκόμενη σὲ τόση ἀπόσταση, προτίμησε ν' ἀνατραφεῖ ἐδῶ ἐξ αἰτίας τοῦ νόμου. Πρόσεχε πῶς ἀπὸ τὴν ἀρχὴ φρόντιζε γιὰ τὸ νόμο. Αὐτὰ δὲν τὰ λέγει μόνο μὲ σκοπὸ ν' ἀπολογηθεῖ πρὸς ἐκείνους, ἀλλὰ γιὰ νὰ δείξει ὅτι δὲν ὁδηγήθηκε στὸ κήρυγμα ἀπὸ ἀνθρώπινο σκοπό, ἀλλὰ ἀπὸ θεία δύναμη· καθόσον δὲν θὰ ἦταν δυνατὸ τόσο εὔκολα νὰ μεταστραφεῖ τὴ στιγμὴ ποὺ ἔλαβε τέτοια παιδεία· διότι, ἐὰν ἦταν κάποιος ἀπὸ τοὺς πολλούς, φυσικὸ ἦταν νὰ ὑποψιαστοῦν αὐτό, ἐφόσον ὅμως ἦταν ἕνας ἀπὸ τοὺς περισσότερο ἀπὸ ὅλους προσηλωμένους στὸ νόμο, δὲν ἦταν εὔλογο ἔτσι στὰ καλὰ καθούμενα καὶ χωρὶς νὰ ὑπάρχει καμιὰ μεγάλη ἀνάγκη νὰ μεταστραφεῖ αὐτός. Ἀλλ' ἴσως θὰ μποροῦσε νὰ πεῖ κάποιος· Τίποτε δὲν δικαιολογεῖ αὐτό, ὅτι δηλαδὴ ἀνατράφηκε ἐδῶ· διότι τί, ἐὰν ἦρθες ἐδῶ γιὰ ἐμπορικοὺς σκοποὺς ἢ γιὰ κάποια ἄλλη αἰτία;'. Γιὰ νὰ μὴ νομισθεῖ λοιπὸν ὅτι ἦρθε γι' αὐτό, πρόσθεσε· «Δίπλα στὰ πόδια τοῦ Γαμαλιήλου»· καὶ δὲν εἶπε ἁπλῶς, «Δίπλα στὸ Γαμαλιῆλο», ἀλλὰ «δίπλα στὰ πόδια αὐτοῦ», γιὰ νὰ δείξει τὴν ὑπομονή, τὴν ἐπιμονή, τὸν ζῆλο του γιὰ τὴν

σπουδὴν τὴν περὶ τὴν ἀκρόασιν, τὴν πολλὴν πρὸς τὸν ἄνδρα αἰδῶ δεικνύς. «Πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου». Οὐχ ἁπλῶς «νόμου», ἀλλὰ «τοῦ πατρῴου» προστίθησι, δεικνὺς ὅτι ἄνωθεν τοιοῦτος ἦν, καὶ οὐχ ἁπλῶς εἰδὼς τὸν νόμον. Ταῦτα δὲ δοκεῖ μὲν ὑπὲρ ἐκείνων λέγεσθαι, κατ' ἐκείνων δὲ ἦν, εἴ γε καὶ εἰδὼς αὐτὸν εἴασεν.

Εἶτα, ἵνα μὴ πάλιν τις ἐπενέγκῃ· 'Τί οὖν, εἰ οἶδας μὲν ἀκριβῶς τὸν νόμον, οὐκ ἐκδικεῖς δὲ οὐδὲ φιλεῖς;'. «Ζηλωτής», φησίν, «ὑπάρχων»· τουτέστιν, οὐχ ἁπλῶς εἰδώς, ἀλλὰ καὶ σφόδρα ζηλῶν ὑπὲρ αὐτοῦ. Εἶτα, ἐπειδὴ μεγάλα περὶ αὐτοῦ ἐγκώμια εἶπε, κοινοῖ τὸν λόγον λοιπόν, ἐπάγων· «Καθὼς πάντες ὑμεῖς ἐστε σήμερον»· δείκνυσι γὰρ αὐτοὺς οὐκ ἀνθρωπίνῳ σκοπῷ ποιοῦντας, ἀλλὰ ζήλῳ θείῳ. Τοῦτο δὲ λέγει, χαριζόμενος αὐτοῖς, καὶ προκαταλαμβάνων αὐτῶν τὴν διάνοιαν, καὶ κατέχων ἐν οἷς βλάβος οὐδὲν ἦν. Εἶτα καὶ τεκμήρια παράγει, λέγων· «Ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα ἕως θανάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυλακὰς ἄνδρας τε καὶ γυναῖκας, ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι, καὶ πᾶν τὸ πρεσβυτέριον». Ἵνα μηδεὶς εἴπῃ, 'Καὶ πόθεν τοῦτο δῆλον;', μάρτυρας παράγει αὐτὸν τὸν ἀρχιερέα καὶ τοὺς πρεσβυτέρους. Καὶ λέγει μὲν λεαίνων, «Ζηλωτὴς ὑπάρχων καθὼς ὑμεῖς», τουτέστιν, 'ἴσος ὑμῖν', δείκνυσι δὲ διὰ τῶν ἔργων ὅτι ὑπὲρ αὐτοὺς ἦν· 'οὐ γὰρ δὴ περιέμενον ὥστε συλλαβεῖν, ἀλλὰ καὶ τοὺς ἱερέας διήγειρον, καὶ ἀποδημίας ἐστελλόμην, καὶ οὐδὲ μέχρις ἀνδρῶν ἐχώρουν καθάπερ ὑμεῖς, ἀλλὰ καὶ γυναικῶν, καὶ δεσμεύων πάντας, καὶ εἰς δεσμωτήρια ἐμβάλλων'. Ἀναμφισβήτητος ἡ μαρτυρία, ἀναπολόγητα τὰ τῶν

ἀκρόαση, τὸν μεγάλο σεβασμὸ πρὸς τὸν ἄνδρα. «Διδάχθηκα μὲ ἀκρίβεια τὸν πατρικὸ νόμο». Ὄχι ἁπλῶς 'τὸ νόμο', ἀλλὰ προσθέτει «τὸν πατρικό»' γιὰ νὰ δείξει ὅτι ἀπὸ τὴν ἀρχὴ ἦταν τέτοιος, καὶ δὲν γνώριζε ἁπλῶς τὸ νόμο. Αὐτὰ φαίνεται ὅτι λέγονται ὑπὲρ ἐκείνων, ἦταν ὅμως ἐναντίον ἐκείνων, ἐφόσον βέβαια τὸν ἐγκατέλειψε ἂν καὶ τὸν γνώριζε.

Ἔπειτα, γιὰ νὰ μὴ πεῖ πάλι κάποιος· 'Γιατί λοιπόν, ἐφόσον γνωρίζεις μὲ ἀκρίβεια τὸ νόμο, δὲν τὸν ὑπερασπίζεσαι καὶ οὔτε τὸν ἀγαπᾶς;'. «Ἤμουν», λέγει, «ζηλωτής»· δηλαδὴ ὄχι ἁπλῶς τὸν γνώριζα, ἀλλὰ καὶ ἔδειχνα ὑπερβολικὸ ζῆλο γι' αὐτόν. Στὴ συνέχεια, ἐπειδὴ ἐγκωμίασε αὐτὸν πάρα πολύ, μεταφέρει πλέον τὸ λόγο σ' αὐτούς, προσθέτοντας· «Ὅπως ἀκριβῶς εἶστε σήμερα ὅλοι σεῖς»· δείχνει δηλαδὴ σ' αὐτοὺς ὅτι αὐτὸ τὸ κάνουν ὄχι ἀπὸ ἀνθρώπινο σκοπό, ἀλλὰ ἀπὸ θεῖο ζῆλο. Αὐτὸ τὸ λέγει χαριζόμενος πρὸς αὐτοὺς καὶ κερδίζοντας τὴ σκέψη τους ἀπὸ τὴν ἀρχὴ καὶ συγκεντρώνοντας αὐτὴν σὲ πράγματα ἀπὸ τὰ ὁποῖα δὲν ὑπῆρχε καμία βλάβη. Ἔπειτα παρουσιάζει καὶ ἀποδείξεις, λέγοντας· «Ἐγὼ ὁ ἴδιος τὴ διδασκαλία αὐτὴ τὴν καταδίωξα μέχρι θανάτου, παραδίνοντας ἁλυσοδεμένους σὲ φυλακὲς ἄνδρες καὶ γυναῖκες, ὅπως μπορεῖ νὰ ἐπιβεβαιώσει αὐτὸ γιὰ μένα ὁ ἀρχιερέας καὶ ὅλο τὸ σῶμα τῶν πρεσβυτέρων». Γιὰ νὰ μὴ πεῖ κάποιος, 'Καὶ ἀπὸ ποῦ εἶναι αὐτὸ φανερό;', παρουσιάζει μάρτυρες τὸν ἴδιο τὸν ἀρχιερέα καὶ τοὺς πρεσβυτέρους. Καὶ λέγει βέβαια μαλακώνοντάς τους, «Ἤμουν ζηλωτὴς ὅπως καὶ σεῖς», δηλαδή, 'ὅμοιος μὲ σᾶς'· δείχνει ὅμως μὲ τὰ ἔργα ὅτι ἦταν περισσότερο ἀπὸ αὐτούς· 'διότι δὲν περίμενα νὰ τοὺς συλλάβω, ἀλλὰ καὶ τοὺς ἱερεῖς ξεσήκωνα, καὶ στελλόμουν σὲ ξένους τόπους, καὶ δὲν προχωροῦσα μόνο μέχρι τὴ σύλληψη ἀνδρῶν, ὅπως ἀκριβῶς κάμνετε σεῖς, ἀλλὰ καὶ γυναικῶν, δένοντας ὅλους καὶ ρίχνοντάς τους στὶς φυλακές'. Ἀναμφισβήτητη ἡ μαρτυρία, ἀδικαιολόγητα τὰ τῶν Ἰουδαίων! Πρόσεχε πόσους

Ἰουδαίων! Ὅρα πόσους παράγει μάρτυρας, τὸ πρεσβυτέριον, τὸν ἀρχιερέα, τοὺς ἐν τῇ πόλει.

2. Βλέπε δὲ αὐτοῦ καὶ τὴν ἀπολογίαν οὐ δειλίας οὖσαν, ἀλλὰ διδασκαλίας μᾶλλον καὶ κατηχήσεως· εἰ γὰρ μὴ λίθοι ἦσαν οἱ ἀκούοντες, προσεῖχον ἂν τοῖς λεγομένοις· μέχρι γὰρ τούτου μάρτυρας εἶχεν αὐτούς, τὰ δὲ λοιπὰ ἀμάρτυρα. «Παρ' ὧν καὶ ἐπιστολὰς δεξάμενος, πρὸς τοὺς ἀδελφοὺς εἰς Δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖσε ὄντας δεδεμένους εἰς Ἱερουσαλήμ, ἵνα τιμωρηθῶσιν. Ἐγένετο δὲ πορευομένῳ μοι καὶ ἐγγίζοντι τῇ Δαμασκῷ περὶ μεσημβρίαν ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ, ἔπεσόν τε εἰς τὸ ἔδαφος, καὶ ἤκουον φωνῆς λεγούσης μοι· Σαούλ, Σαούλ, τί με διώκεις; Ἐγὼ δὲ ἀπεκρίθην· Τίς εἶ, Κύριε; Εἶπέ τε πρός με· Ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις». Μάλιστα μὲν οὖν καὶ ταῦτα ἀξιόπιστα ἔδει εἶναι ἀπὸ τῶν προλαβόντων· οὐ γὰρ ἂν μετεστράφη. Τί οὖν, εἰ κομπάζει; φησίν. Οὐδαμῶς. Διὰ τί γὰρ τοσοῦτον ἐξαίφνης ἔρριψε ζῆλον; εἰπέ μοι. Τιμὴν προσδοκῶν; Καὶ μὴν τἀναντία ὑπέμεινεν. Ἀλλ' ἄνεσιν; Οὐδὲ τοῦτο. Ἀλλὰ τί ἕτερον; Ἀλλ' οὐδὲν ἀπὸ λογισμῶν εὑρεῖν δυνατόν. Ταῦτα τοίνυν ἀφεὶς αὐτοῖς συλλέγειν, τὰ πράγματα διηγεῖται. «Ἐγγίζοντί μοι», φησί, «τῇ Δαμασκῷ περὶ μεσημβρίαν ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ, ἔπεσόν τε εἰς τὸ ἔδαφος». Ὅρα πόση ἡ ὑπερβολὴ τοῦ φωτός. Καὶ ὅτι οὐ κομπάζω, οἱ συνόντες μαρτυροῦσιν, οἱ χειραγωγοῦντες, οἱ τὸ φῶς θεασάμενοι.

«Οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἔμφοβοι ἐγένοντο, τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι». Μηδὲν ξενισθῇς, εἰ ἐνταῦθα μὲν οὕτως, ἑτέρωθι δὲ λέγει ὅτι «Εἱστήκεισαν τὴν μὲν φωνὴν ἀκούοντες, μηδένα δὲ θεωροῦντες». Οὐκ ἔστι

5 Πράξ. 9, 7

μάρτυρες παρουσιάζει, τὸ πρεσβυτέριο, τὸν ἀρχιερέα, τοὺς ἀνθρώπους τῆς πόλεως.

2. Πρόσεχε καὶ τὴν ἀπολογία αὐτοῦ ποὺ δὲν γίνεται ἀπὸ δειλία, ἀλλὰ μὲ σκοπὸ νὰ διδάξει καὶ νὰ κατηχήσει· καὶ πράγματι, ἐὰν δὲν ἦταν λίθοι οἱ ἀκροατές, θὰ μποροῦσαν νὰ προσέξουν τὰ λεγόμενά του· διότι μέχρις ἐδῶ εἶχε μάρτυρες αὐτούς, ἐνῶ τὰ ὑπόλοιπα ἦταν χωρὶς μάρτυρες. «Ἀπὸ τοὺς ὁποίους καὶ ἐπιστολὲς ἔλαβα πρὸς τοὺς ἀδελφοὺς τῆς Δαμασκοῦ καὶ πήγαινα γιὰ νὰ φέρω στὴν Ἱερουσαλὴμ δεμένους ἐκείνους ποὺ ἦταν ἐκεῖ, γιὰ νὰ τιμωρηθοῦν. Ἐνῶ βάδιζα καὶ πλησίαζα στὴ Δαμασκό, ξαφνικὰ κατὰ τὸ μεσημέρι ἄστραψε γύρω μου ἕνα μεγάλο φῶς ἀπὸ τὸν οὐρανό, καὶ τότε ἔπεσα στὸ ἔδαφος καὶ ἄκουσα μιὰ φωνὴ ποὺ μοῦ ἔλεγε· Σαούλ, Σαούλ, γιατί μὲ καταδιώκεις; Καὶ ἐγὼ ἀποκρίθηκα· Ποιός εἶσαι Κύριε; Καὶ αὐτὸς μοῦ εἶπε· Ἐγὼ εἶμαι ὁ Ἰησοῦς ὁ Ναζωραῖος, τὸν ὁποῖο σὺ καταδιώκεις». Βέβαια καὶ αὐτὰ ἔπρεπε νὰ εἶναι ἀξιόπιστα ἀπὸ ὅσα προηγήθηκαν· διότι δὲν θὰ ἦταν δυνατὸ νὰ μεταστραφεῖ. Τί λοιπόν, λέγει, ἐὰν καυχιέται; Καθόλου. Διότι πές μου, γιατί τόσο ξαφνικὰ ἐγκατέλειψε τὸ ζῆλο; Περιμένοντας τιμή; Καὶ ὅμως τὰ ἀντίθετα ὑπέμεινε. Μήπως ἄνεση; Οὔτε αὐτό. Ἀλλὰ τί ἄλλο; Τίποτε δὲν εἶναι δυνατὸ νὰ βροῦμε μὲ τὴ σκέψη. Ἀφήνοντας λοιπὸν αὐτὰ νὰ τὰ συμπεράνουν, διηγεῖται τὰ γεγονότα. «Ἐνῶ πλησίαζα», λέγει «στὴ Δαμασκὸ ξαφνικὰ κατὰ τὸ μεσημέρι ἄστραψε γύρω μου ἀπὸ τὸν οὐρανὸ ἕνα μεγάλο φῶς καὶ ἔπεσα στὸ ἔδαφος». Πρόσεχε τὸ ὑπερβολικὸ μέγεθος τοῦ φωτός. Καὶ ὅτι δὲν καυχιέται, τὸ ἐπιβεβαιώνουν ἐκεῖνοι ποὺ βρίσκονταν μαζί του, ἐκεῖνοι ποὺ τὸν ὁδηγοῦν, ἐκεῖνοι ποὺ εἶδαν τὸ φῶς.

«Ἐκεῖνοι ποὺ ἦταν μαζί μου εἶδαν βέβαια τὸ φῶς καὶ φοβήθηκαν, ἀλλὰ δὲν ἄκουσαν τὴ φωνὴ ἐκείνου ποὺ μοῦ μιλοῦσε». Μὴ παραξενευθεῖς, ἐὰν ἐδῶ λέγει αὐτά, ἐνῶ ἀλλοῦ λέγει ὅτι «Στάθηκαν οἱ ἄνδρες ἀκούοντας μὲν τὴ φωνή, μὴ βλέποντας ὅμως κανένα»[5]. Δὲν εἶναι αὐτὸ ἀντίθετο· διότι δύο φωνὲς ἀκούονταν, ἡ φωνὴ τοῦ Παύ-

τοῦτο ἐναντίον· φωναὶ γὰρ δύο ἦσαν, ἡ Παύλου καὶ ἡ τοῦ Κυρίου· τὴν φωνὴν τοίνυν ἐκεῖ τοῦ Παύλου λέγει, ἐνταῦθα δὲ καὶ προσέθηκεν εἰπών· «Τὴν φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι». Οὐκοῦν τὸ «μηδένα θεωροῦντες», οὐ τοῦ ἰδεῖν, ἀλλὰ τοῦ μὴ ἀκοῦσαι δηλωτικόν ἐστιν· οὐ γὰρ εἶπεν ὅτι τὸ φῶς οὐκ ἔβλεπον, ἀλλὰ «μηδένα θεωροῦντες εἱστήκεισαν» τουτέστι, 'λαλοῦντα'. Εἰκότως δὲ τοῦτο ἐγένετο· αὐτὸν γὰρ ἔδει τῆς φωνῆς καταξιωθῆναι ἐκείνης· εἰ γὰρ ἤκουσαν κἀκεῖνοι, οὐκ ἂν τοσοῦτον ἐγένετο τὸ θαῦμα. Ἐπειδὴ τοίνυν οἱ παχύτεροι ὄψει πείθονται μᾶλλον, διὰ τοῦτο καὶ ἐκεῖνοι τὸ φῶς εἶδον μόνον, ὅπερ ἱκανὸν ἦν αὐτοὺς πεῖσαι· ὅθεν καὶ ἔμφοβοι γίνονται. Ἄλλως δὲ οὐ περὶ αὐτοὺς τὸ φῶς τοσοῦτον εἰργάσατο, ὅσον περὶ τοῦτον· καὶ γὰρ ἐπήρωσεν αὐτοῦ τὰς ὄψεις, διὰ τῶν εἰς τοῦτον συμβαινόντων κἀκείνοις διδοὺς ἀναβλέψαι, εἴ γε ἤθελον. Ἐμοὶ γοῦν δοκεῖ καὶ οἰκονομικῶς ἐκείνους μὴ πιστεῦσαι, ὥστε εἶναι μάρτυρας ἀξιοπίστους.

«Εἶπέ τε», φησί, «πρός ἐμέ· Ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις». Καλῶς καὶ ἡ πόλις πρόσκειται, ὥστε ἐπιγνῶναι αὐτούς. Καὶ οἱ Ἀπόστολοι οὕτως ἔλεγον· «Ἰησοῦν τὸν ἀπὸ Ναζαρέθ». Ὅρα, καὶ αὐτὸς μαρτυρεῖ ὅτι ἐδιώκετο. «Οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἔμφοβοι ἐγένοντο, τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι. Εἶπον δέ· Τί ποιήσω, Κύριε; Ὁ δὲ Κύριος εἶπε πρός με· Ἀναστὰς πορεύου εἰς Δαμασκόν, κἀκεῖ σοι λαληθήσεται τί σε δεῖ ποιῆσαι. Ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι, ἦλθον εἰς Δαμασκόν. Ἀνανίας δέ τις, ἀνὴρ εὐλαβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν ἐν Δαμασκῷ Ἰουδαίων, ἐλ-

λου καὶ ἡ τοῦ Κυρίου˙ ἐκεῖ λοιπὸν ἐννοεῖ τὴ φωνὴ τοῦ Παύλου, ἐνῶ ἐδῶ πρόσθεσε καὶ εἶπε˙ «Δὲν ἄκουσαν ὅμως τὴ φωνὴ ἐκείνου ποὺ μοῦ μιλοῦσε». Ὥστε λοιπὸν τὸ «μὴ θεωρώντας κανένα», δηλώνει ὄχι τὸ ὅτι δὲν εἶδαν, ἀλλὰ τὸ ὅτι δὲν ἄκουσαν˙ διότι δὲν εἶπε ὅτι δὲν ἔβλεπαν τὸ φῶς, ἀλλὰ «Στέκονταν μὴ ἀκούοντας κανένα»˙ δηλαδή, νὰ ὁμιλεῖ. Καὶ πολὺ σωστὰ συνέβηκε αὐτό˙ διότι ἔπρεπε αὐτὸς καὶ μόνο ν' ἀξιωθεῖ ν' ἀκούσει τὴ φωνὴ ἐκείνη˙ καθόσον ἐὰν τὴν ἄκουαν καὶ ἐκεῖνοι, δὲν θὰ ἦταν τόσο μεγάλο τὸ θαῦμα. Ἐπειδὴ λοιπὸν οἱ πνευματικὰ παχύτεροι πείθονται εὐκολώτερα ἀφοῦ δοῦν, γι' αὐτὸ καὶ ἐκεῖνοι, εἶδαν μόνο τὸ φῶς, πράγμα ποὺ ἦταν ἱκανὸ νὰ τοὺς πείσει, καὶ γι' αὐτὸ καὶ κυριεύθηκαν ἀπὸ φόβο. Ἐξ ἄλλου τὸ φῶς δὲν ἐνέργησε τόσο πολὺ σ' ἐκείνους, ὅσο σ' αὐτόν, καθόσον τύφλωσε τὰ μάτια αὐτοῦ, δίνοντας ἔτσι τὴ δυνατότητα σ' ἐκείνους, μὲ τὰ ὅσα συνέβηκαν σ' αὐτόν, ἐὰν βέβαια ἤθελαν, ν' ἀνοίξουν τὰ μάτια τους καὶ νὰ δοῦν. Ἐγὼ βέβαια νομίζω ὅτι κατὰ θεία οἰκονομία ἐκεῖνοι δὲν πίστεψαν, ὥστε νὰ εἶναι ἀξιόπιστοι μάρτυρες.

Καὶ «εἶπε», λέγει˙ «Ἐγὼ εἶμαι ὁ Ἰησοῦς ὁ Ναζωραῖος, τὸν ὁποῖο σὺ διώκεις». Πολὺ σωστὰ καὶ ἡ πόλη ἀναφέρεται γιὰ νὰ τὸν ἀναγνωρίσουν. Καὶ οἱ Ἀπόστολοι τὰ ἴδια ἔλεγαν˙ «Τὸν Ἰησοῦ ἀπὸ τὴ Ναζαρέτ». Πρόσεχε, καὶ ὁ ἴδιος βεβαιώνει ὅτι διωκόταν. «Ἐκεῖνοι ποὺ ἦταν μαζί μου εἶδαν βέβαια τὸ φῶς καὶ φοβήθηκαν, ὅμως δὲν ἄκουσαν τὴ φωνὴ ἐκείνου ποὺ μοῦ μιλοῦσε. Εἶπα τότε˙ Τί νὰ κάνω, Κύριε; Καὶ μοῦ εἶπε ὁ Κύριος˙ Σήκω καὶ πήγαινε στὴ Δαμασκὸ καὶ ἐκεῖ θὰ σοῦ ποῦν τί πρέπει νὰ κάνεις. Ἐπειδὴ ὅμως δὲν ἔβλεπα ἀπὸ τὴ λάμψη τοῦ φωτὸς ἐκείνου, ὁδηγούμενος ἀπὸ τοὺς συντρόφους μου ἦρθα στὴ Δαμασκό. Κάποιος μὲ τὸ ὄνομα Ἀνανίας, ποὺ ἦταν ἄνθρωπος εὐσεβὴς καὶ ζοῦσε σύμφωνα μὲ τὸ νόμο, καὶ ὑπῆρχαν γι' αὐτὸν καλὲς μαρτυρίες ἀπὸ ὅλους τοὺς Ἰουδαίους τῆς Δαμασκοῦ, ἀφοῦ ἦρθε καὶ στάθηκε μπροστά μου μοῦ εἶπε˙ Σαοὺλ ἀδελφέ, ἀπόκτησε καὶ πάλι

θὼν πρός με καὶ ἐπιστάς, εἶπέ μοι· Σαοὺλ ἀδελφέ, ἀνάβλεψον. Κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν».

«Εἴσελθε», φησίν, «εἰς τὴν πόλιν, κἀκεῖ σοι λαληθήσεται τί σε δεῖ ποιῆσαι». Ἰδοὺ πάλιν ἄλλος μάρτυς. Καὶ ὅρα πῶς αὐτὸν καὶ ἀξιόπιστον ποιεῖ. «Ἀνανίας δέ τις», φησίν, «ἀνὴρ εὐλαβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν Ἰουδαίων, εἰσελθὼν πρός με καὶ ἐπιστάς, εἶπέ μοι· Ἀνάβλεψον». Οὕτως οὐδὲν ἀλλότριόν ἐστι. «Κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα» Εἶτα ἡ διὰ τῶν πραγμάτων μαρτυρία. Καὶ ὅρα διὰ προσώπων καὶ πραγμάτων αὐτὴν πλεκομένην, προσώπων οἰκείων τε καὶ ἀλλοτρίων. Πρόσωπα οἱ ἱερεῖς, οἱ πρεσβύτεροι, οἱ συνοδεύοντες· τὰ πράγματα ἃ ἐποίει, ἃ ἔπαθε· καὶ πράγματα πράγμασι μαρτυρεῖ, οὐχὶ πρόσωπα μόνον. Ἢ καὶ ἑτέρως· ἀλλότριος ὁ Ἀνανίας· εἶτα τὸ πρᾶγμα αὐτό, ἡ ἀνάβλεψις· εἶτα προφητεία μεγάλη. «Ὁ δὲ εἶπε» φησίν· «Ὁ Θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν Δίκαιον». Καλῶς εἶπε, «Τῶν πατέρων», ἵνα δείξῃ αὐτοὺς οὐκ ὄντας Ἰουδαίους, ἀλλὰ ἀλλοτρίους τοῦ νόμου, καὶ φθόνῳ, οὐχὶ ζήλῳ ποιοῦντας.

«Γνῶναι», φησί, «τὸ θέλημα αὐτοῦ καὶ ἰδεῖν τὸν Δίκαιον». Οὐκοῦν αὐτοῦ θέλημα τοῦτο. Ὅρα πῶς ἐν τάξει διηγήσεως διδασκαλία ἐστί. «Καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ, ὅτι ἔσῃ μάρτυς αὐτοῦ πρὸς πάντας ἀνθρώπους, ὧν ἑώρακας καὶ ἤκουσας». «Καὶ ἰδεῖν», φησί, «τὸν Δίκαιον»· τέως τοῦτο λέγει. Εἰ δὲ δίκαιος, οὗτοι ὑπεύθυνοι. «Καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ». Ὅρα πῶς τὸ πρᾶγμα ἐπαίρει. «Ὅτι ἔσῃ», φησί, «μάρτυς αὐτοῦ». Οὐκοῦν διὰ τοῦτο οὐ προδώσεις τὴν ὄψιν καὶ τὴν ἀκρόασιν, ὧν

τὸ φῶς σου. Καὶ ἐγὼ τὴν ἴδια στιγμὴ ἀπέκτησα τὸ φῶς μου καὶ εἶδα αὐτόν».

«Πήγαινε», λέγει, «στὴν πόλη καὶ ἐκεῖ θὰ σοῦ ποῦν τί πρέπει νὰ κάνεις». Νὰ πάλι ἄλλος μάρτυρας. Καὶ πρόσεχε πῶς παρουσιάζει αὐτὸν ἀξιόπιστο˙ διότι λέγει˙ «Κάποιος μὲ τὸ ὄνομα Ἀνανίας, ποὺ ἦταν ἄνθρωπος εὐσεβὴς καὶ ζοῦσε σύμφωνα μὲ τὸ νόμο, καὶ ὑπῆρχαν γι' αὐτὸν καλὲς μαρτυρίες ἀπὸ ὅλους τοὺς Ἰουδαίους, ἀφοῦ ἦρθε καὶ στάθηκε μπροστά μου, μοῦ εἶπε˙ Ἀπόκτησε τὸ φῶς σου». Τίποτε δηλαδὴ ξένο δὲν ὑπάρχει. «Καὶ ἐγὼ τὴν ἴδια ὥρα ἀπέκτησα τὸ φῶς μου». Στὴ συνέχεια ἀκολουθεῖ ἡ μαρτυρία μὲ τὰ ἴδια τὰ γεγονότα. Καὶ πρόσεχε ποὺ αὐτὴ πλέκεται καὶ μὲ πρόσωπα καὶ μὲ γεγονότα, μὲ πρόσωπα καὶ φιλικὰ καὶ ξένα. Πρόσωπα εἶναι οἱ ἱερεῖς, οἱ πρεσβύτεροι, ἐκεῖνοι ποὺ τὸν συνόδευαν, ἐνῶ γεγονότα εἶναι ἐκεῖνα ποὺ ἔκαμνε καὶ ἐκεῖνα ποὺ ἔπαθε˙ καὶ τὰ γεγονότα ἐπιβεβαιώνουν τὰ γεγονότα καὶ ὄχι μόνο τὰ πρόσωπα. Ἢ καὶ μὲ ἄλλο τρόπο˙ ὁ Ἀνανίας ἦταν ξένος˙ ἔπειτα ἔρχεται τὸ ἴδιο τὸ γεγονός, δηλαδὴ ἡ ἀνάβλεψη˙ καὶ στὴ συνέχεια προφητεία μεγάλη˙ «Αὐτός», λέγει, «εἶπε˙ ὁ Θεὸς τῶν πατέρων μας σὲ προόρισε νὰ γνωρίσεις τὸ θέλημά του καὶ νὰ δεῖς τὸν Δίκαιο». Σωστὰ εἶπε, «τῶν πατέρων», γιὰ νὰ δείξει ὅτι αὐτοὶ δὲν εἶναι Ἰουδαῖοι, ἀλλὰ ξένοι πρὸς τὸ νόμο, καὶ ὅτι αὐτὰ τὰ κάμνουν ὄχι ἀπὸ ζῆλο, ἀλλὰ ἀπὸ φθόνο.

«Νὰ γνωρίσεις», λέγει, «τὸ θέλημα αὐτοῦ καὶ νὰ δεῖς τὸν Δίκαιο». Ἄρα αὐτὸ ἦταν θέλημα αὐτοῦ. Πρόσεχε πῶς ἡ διδασκαλία παρέχεται ὑπὸ μορφὴ διηγήσεως. «Καὶ ν' ἀκούσεις φωνὴ ἀπὸ τὸ στόμα του, καὶ ἔτσι νὰ γίνεις μάρτυρας αὐτοῦ πρὸς ὅλους τοὺς ἀνθρώπους γιὰ ὅσα εἶδες καὶ ἄκουσες». «Καὶ νὰ δεῖς», λέγει, «τὸν Δίκαιο»˙ πρῶτα - πρῶτα λέγει αὐτό. Ἐὰν εἶναι δίκαιος, τότε αὐτοὶ εἶναι ὑπεύθυνοι. «Καὶ ν' ἀκούσεις φωνὴ ἀπὸ τὸ στόμα αὐτοῦ». Πρόσεχε πῶς μεγαλοποιεῖ τὸ γεγονός. «Διότι», λέγει, «θὰ γίνεις μάρτυρας αὐτοῦ». Ἑπομένως γι' αὐτὸ δὲν θὰ προδώσεις τὴν ὄψη καὶ τὴν ἀκρόαση, καὶ ὅσα εἶδες˙ καὶ ὅσα

τε ἑώρακας, ὧν τε ἤκουσας δι' ἑκατέρων τῶν αἰσθήσεων αὐτὸν πιστοῦται. «Καὶ νῦν τί μέλλεις; Ἀναστὰς βάπτισαι καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλεσάμενος τὸ ὄνομα αὐτοῦ». Ἐνταῦθα μέγα ἐφθέγξατο· οὐ γὰρ εἶπεν, 'Εἰς τὸ ὄνομα αὐτοῦ βάπτισαι', ἀλλ' «ἐπικαλεσάμενος τὸ ὄνομα αὐτοῦ». Τοῦτο δὲ δεικνύντος ἐστὶν αὐτὸν Θεὸν ὄντα· οὐ γὰρ ἔνι ἕτερον τινὰ ἐπικαλέσασθαι, εἰ μὴ τὸν Θεόν.

3. Εἶτα δείκνυσι καὶ ἑαυτὸν οὐκ ἀναγκασθέντα δι' ὧν λέγει· «Ὁ δὲ Κύριος εἶπε πρός με· Πορεύου εἰς Δαμασκὸν κἀκεῖ σοι λαληθήσεται τί σε δεῖ ποιῆσαι». Οὐδὲν ἀμάρτυρον, ἀλλὰ πόλεως ὁλοκλήρου μαρτυρίαν παράγει, ἥ γε καὶ εἶδεν αὐτὸν χειραγωγούμενον. Ὅρα δὲ καὶ τὴν προφητείαν ἐξελθοῦσαν, ἣν ἤκουσε μάρτυρα ἔσεσθαι τοῦ Κυρίου· μάρτυς γὰρ ὄντως αὐτοῦ γέγονε, καὶ μάρτυς ὡς χρή, καὶ δι' ὧν ἔπραξε, καὶ δι' ὧν εἶπε. Τοιούτους καὶ ἡμᾶς εἶναι χρὴ μάρτυρας, καὶ μὴ προδιδόναι ἃ ἐνεπιστεύθημεν· οὐ περὶ δογμάτων λέγω μόνον, ἀλλὰ καὶ περὶ βίου. Ὅρα γὰρ ὅ,τι εἶδεν, ὅ,τι ἤκουσε, μαρτυρεῖ πᾶσιν ἀνθρώποις, καὶ οὐδὲν αὐτὸν ἐκώλυσε. Καὶ ἡμεῖς ἠκούσαμεν ὅτι ἔστιν ἀνάστασις καὶ μυρία ἀγαθά, οὐκοῦν ὀφείλομεν τοῦτο μαρτυρῆσαι πᾶσιν ἀνθρώποις. Καὶ μὴν μαρτυροῦμεν, φησί, καὶ πιστεύομεν. Πῶς, τἀναντία πράττοντες; Εἰπὲ δή μοι· Εἴ τις ἑαυτὸν ἔλεγε Χριστιανόν, εἶτα ἀποστὰς τὰ ἰουδαϊκὰ ἐφρόνει, ἆρα ἤρκεσεν ἂν ἡ μαρτυρία αὕτη; Οὐδαμῶς· ἀπὸ γὰρ τῶν ἔργων τὴν μαρτυρίαν ἐζήτουν ἄν. Οὕτω δὴ καὶ ἡμεῖς, εἰ λέγομεν ὅτι ἀνάστασίς ἐστι καὶ μυρία ἀγαθά, εἶτα καταφρονοῦμεν αὐτῶν, καὶ τὰ ἐνταῦθα προτιμῶμεν, τίς ἡμῖν πιστεύσει; οὐ γὰρ οἷς λέγομεν, ἀλλ' οἷς πράττομεν προσέχουσιν ἅπαντες.

«Μάρτυς ἔσῃ», φησί, «πρὸς πάντας ἀνθρώπους».

ἄκουσες· τὸν ἐπιβεβαιώνει καὶ μὲ τὶς δύο αἰσθήσεις. «Καὶ τώρα γιατί χρονοτριβεῖς; Σήκω καὶ βαπτίσου καὶ πλύσου ἀπὸ τὶς ἁμαρτίες σου, ἀφοῦ ἐπικαλεσθεῖς τὸ ὄνομα αὐτοῦ». Ἐδῶ εἶπε κάτι τὸ σπουδαῖο· διότι δὲν εἶπε, 'βαπτίσου στὸ ὄνομα αὐτοῦ', ἀλλὰ «ἀφοῦ ἐπικαλεσθεῖς τὸ ὄνομα αὐτοῦ». Μὲ αὐτὰ τὰ λόγια ἤθελε νὰ δείξει ὅτι αὐτὸς εἶναι Θεός· διότι δὲν εἶναι δυνατὸ νὰ ἐπικαλεσθεῖ κανεὶς κάποιον ἄλλο, παρὰ μόνο τὸ Θεό.

3. Ἔπειτα δείχνει μὲ αὐτὰ ποὺ λέγει ὅτι καὶ ὁ ἴδιος δὲν ἀναγκάσθηκε· «Τότε ὁ Κύριος μοῦ εἶπε· Πήγαινε στὴ Δαμασκὸ καὶ ἐκεῖ θὰ σοῦ ποῦν τί πρέπει νὰ κάνεις». Τίποτε δὲν ὑπάρχει χωρὶς μαρτυρία, ἀλλὰ παρουσιάζει τὴ μαρτυρία ὁλόκληρης πόλεως, ἡ ὁποία ἀσφαλῶς τὸν εἶδε νὰ ὁδηγεῖται τυφλός. Πρόσεχε ὅμως καὶ τὴν προφητεία ποὺ ἐκπληρώθηκε, ποὺ ἄκουσε δηλαδὴ ὅτι θὰ γίνει μάρτυρας τοῦ Κυρίου· διότι πραγματικὰ ἔγινε μάρτυρας αὐτοῦ, καὶ μάρτυρας ὅπως πρέπει, καὶ μὲ ἐκεῖνα ποὺ ἔκανε, καὶ μὲ ἐκεῖνα ποὺ εἶπε. Τέτοιοι μάρτυρες πρέπει καὶ ἐμεῖς νὰ εἴμαστε καὶ νὰ μὴ προδίνομε ἐκεῖνα ποὺ μᾶς ἐμπιστεύθηκε ὁ Θεός· δὲν ἐννοῶ μόνο τὶς ἀλήθειες τῆς πίστεως, ἀλλὰ καὶ τὸν τρόπο ζωῆς. Διότι πρόσεχε· μαρτυρεῖ σ' ὅλους τοὺς ἀνθρώπους ἐκεῖνο ποὺ εἶδε, ἐκεῖνο ποὺ ἄκουσε, χωρὶς τίποτε νὰ τὸν ἐμπόδισε. Καὶ ἐμεῖς ἀκούσαμε ὅτι ὑπάρχει ἀνάσταση καὶ ἀμέτρητα ἀγαθά, καὶ ἑπομένως ὀφείλομε αὐτὸ νὰ τὸ μαρτυρήσομε σ' ὅλους τοὺς ἀνθρώπους. Μὰ ἀσφαλῶς, λέγει, καὶ μαρτυροῦμε καὶ πιστεύομε. Πῶς, πράττοντας τὰ ἀντίθετα; Πές μου δηλαδή· ἐὰν κάποιος ἔλεγε ὅτι εἶναι Χριστιανός, καὶ ἔπειτα, ἀφοῦ ἀπομακρυνόταν σκεφτόταν τὰ ἰουδαϊκά, ἄραγε θὰ ἦταν ἀρκετὴ ἡ μαρτυρία αὐτή; Καθόλου· διότι θὰ ἤθελα νὰ ἔχω τὴ μαρτυρία ἀπὸ τὰ ἔργα. Ἔτσι λοιπὸν καὶ ἐμεῖς, ἐὰν λέμε ὅτι ὑπάρχει ἀνάσταση καὶ ἀμέτρητα ἀγαθά, καὶ στὴ συνέχεια περιφρονοῦμε αὐτὰ καὶ προτιμοῦμε τὰ τῆς ἐδῶ ζωῆς, ποιός θὰ μᾶς πιστέψει; διότι ὅλοι προσέχουν ὄχι ἐκεῖνα ποὺ λέμε, ἀλλ' ἐκεῖνα ποὺ κάμνομε.

«Θὰ γίνεις», λέγει, «μάρτυρας αὐτοῦ πρὸς ὅλους τοὺς

οὐχὶ πρὸς τοὺς οἰκείους μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἀπίστους· οἱ γὰρ μάρτυρες τοῦτό εἰσιν, οὐχὶ τοὺς εἰδότας πείθουσιν, ἀλλὰ τοὺς οὐκ εἰδότας. Γενώμεθα ἀξιόπιστοι μάρτυρες. Πῶς δὲ ἐσόμεθα ἀξιόπιστοι; Ἀπὸ τοῦ βίου. Ἐπέθεντο ἐκείνῳ Ἰουδαῖοι· ἐπιτίθενται ἡμῖν τὰ πάθη, κελεύοντα ἐξομόσασθαι τὴν μαρτυρίαν. Ἀλλὰ μὴ πειθώμεθα· μάρτυρές ἐσμεν παρὰ τοῦ Θεοῦ πεμφθέντες. Κρίνεται παρὰ ἀνθρώποις τισὶν ὁ Θεὸς ὅτι οὐκ ἔστι Θεός· ἔπεμψεν ἡμᾶς μαρτυρήσοντας αὐτῷ. Μαρτυρήσωμεν καὶ πείσωμεν τοὺς δικάζοντας· ἂν μὴ μαρτυρήσωμεν, καὶ τῆς ἐκείνων πλάνης ἡμεῖς ἐσμεν αἴτιοι. Εἰ δὲ ἐν δικαστηρίῳ, ἔνθα βιωτικὰ πράγματα, οὐκ ἄν τις δέξαιτο μάρτυρα, μυρίων γέμοντα κακῶν, πολλῷ μᾶλλον ἐνταῦθα, ἔνθα περὶ τοιούτων πραγμάτων ἡ σκέψις ἐστίν. Ἡμεῖς λέγομεν ὅτι ἠκούσαμεν τοῦ Χριστοῦ, καὶ πιστεύομεν οἷς ἐπηγγείλατο· λέγουσιν ἐκεῖνοι· 'Δείξατε τοῦτο διὰ τῶν ἔργων· ὁ γὰρ βίος ὑμῶν τὰ ἐναντία μαρτυρεῖ, ὅτι οὐ πιστεύετε'. Τοὺς χρηματιζομένους, τοὺς ἁρπάζοντας, τοὺς πλεονεκτοῦντας βούλεσθε ἴδωμεν; τοὺς πενθοῦντας, τοὺς κοπτομένους, τοὺς οἰκοδομοῦντας, τοὺς πάντα πραγματευομένους, ὡς οὐκ ἀποθανουμένους; Εἰ τοίνυν ὅτι ἀποθανεῖσθε οὐ πιστεύετε, πράγματι οὕτω δήλῳ καὶ φανερῷ, πῶς ὑμῖν πιστεύσομεν μαρτυροῦσιν;

Εἰσὶ γάρ, εἰσὶ πολλοὶ τῶν ἀνθρώπων, οἳ οὕτω διάκεινται, ὡς οὐκ ἀποθανούμενοι· ὅταν γὰρ ἐν γήρᾳ μακρῷ ἄρχωνται οἰκοδομεῖν καὶ γεωργεῖν, πότε λογισμὸν λήψονται θανάτου; Οὐ μικρὰ ἡ κόλασις ἡμῖν, κληθεῖσι μὲν εἰς μαρτυρίαν, μὴ δυνηθεῖσι δὲ μαρτυρῆσαι ἃ εἴδομεν. Εἴδομεν καὶ ἡμεῖς ὀφθαλμοῖς τοὺς ἀγγέλους, καὶ σαφέστερον τῶν ἑωρακότων, οὐκοῦν

ἀνθρώπους», ὄχι μόνο πρὸς τοὺς φιλικὰ διακειμένους, ἀλλὰ καὶ πρὸς τοὺς ἄπιστους˙ διότι οἱ μάρτυρες αὐτὸ κάμνουν, πείθουν δηλαδὴ ὄχι ἐκείνους ποὺ γνωρίζουν, ἀλλ' ἐκείνους ποὺ δὲν γνωρίζουν. Ἂς γίνομε ἀξιόπιστοι μάρτυρες. Πῶς ὅμως θὰ γίνομε ἀξιόπιστοι; Ἀπὸ τὸν τρόπο ζωῆς. Ἐπιτίθονταν ἐναντίον ἐκείνου οἱ Ἰουδαῖοι˙ ἐπιτίθενται ἐναντίον μας τὰ πάθη, καὶ μᾶς παροτρύνουν ν' ἀπορρίψομαι τὴ μαρτυρία. Ἀλλ' ὅμως ἂς μὴ ὑπακούομε στὶς προτροπές˙ εἴμαστε μάρτυρες, σταλμένοι ἀπὸ τὸ Θεό. Λέγεται ἀπὸ μερικοὺς ἀνθρώπους ὅτι ὁ Θεὸς δὲν εἶναι Θεός˙ ἔστειλε ἐμᾶς νὰ γίνομε μάρτυρες αὐτοῦ. Ἂς μαρτυρήσομε καὶ πείσομε τοὺς δικαστές˙ ἂν δὲν μαρτυρήσομε, τότε ἐμεῖς εἴμαστε ὑπεύθυνοι καὶ τῆς πλάνης ἐκείνων. Ἐὰν στὸ δικαστήριο, ὅπου δικάζονται κοσμικὰ πράγματα, δὲν θὰ μποροῦσε κάποιος νὰ δεχθεῖ μάρτυρα γεμάτο ἀπὸ ἀμέτρητα κακά, πολὺ περισσότερο ἐδῶ, ὅπου ἡ κρίση εἶναι γιὰ τέτοιου εἴδους πράγματα. Ἐμεῖς λέμε ὅτι ἀκούσαμε τὸ Χριστὸ καὶ πιστεύομε σ' ἐκεῖνα ποὺ μᾶς εἶπε˙ ἀπαντοῦν ἐκεῖνοι˙ Δεῖξτε αὐτὸ μὲ τὰ ἔργα˙ διότι ὁ τρόπος τῆς ζωῆς σας μαρτυρεῖ τὰ ἀντίθετα, ὅτι δηλαδὴ δὲν πιστεύετε. Θέλετε νὰ ἐξετάσομε ἐκείνους ποὺ κερδίζουν χρήματα, τοὺς ἅρπαγες καὶ τοὺς πλεονέκτες; ἐκείνους ποὺ πενθοῦν, ποὺ θρηνοῦν, ποὺ χτίζουν οἰκοδομές, ποὺ μηχανεύονται καὶ κάμνουν τὰ πάντα, σὰν νὰ πρόκειται νὰ μὴ πεθάνουν; Ἐὰν λοιπὸν δὲν πιστεύετε ὅτι θὰ πεθάνετε, ἕνα πράγμα ποὺ εἶναι τόσο ἀποδειγμένο καὶ φανερό, πῶς θὰ πιστέψουμε ἐμεῖς τὴ μαρτυρία σας;

Πραγματικὰ ὑπάρχουν, ὑπάρχουν πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους, ποὺ συμπεριφέρονται μὲ τέτοιο τρόπο, σὰν νὰ πρόκειται νὰ μὴ πεθάνουν˙ διότι ὅταν μὲ τέτοια βαθιὰ γηρατιὰ ἀρχίζουν νὰ χτίζουν οἰκοδομὲς καὶ νὰ ἐπιδίδονται στὴν καλλιέργεια τῆς γῆς, πότε θὰ σκεφθοῦν τὸ θάνατο; Δὲν θὰ εἶναι μικρὴ ἡ τιμωρία μας γιὰ τὸ ὅτι κληθήκαμε νὰ δώσομε μαρτυρία, ἀλλὰ δὲν μπορέσαμε νὰ μαρτυρήσομε ἐκεῖνα ποὺ εἴδαμε. Εἴδαμε καὶ ἐμεῖς τοὺς ἀγγέλους μὲ τὰ μάτια, καὶ πιὸ καθαρὰ ἀπὸ ἐκείνους ποὺ τοὺς ἔχουν δεῖ.

μαρτυρήσωμεν τῷ Χριστῷ· οὐ γὰρ δὴ ἐκεῖνοι μάρτυρες μόνον, ἀλλὰ καὶ ἡμεῖς. Διὰ τοῦτο ἐκεῖνοι λέγονται μάρτυρες, ὅτι, κελευόμενοι ἐξομόσασθαι, πάντα ὑπομένουσιν, ἵνα τὴν ἀλήθειαν εἴπωσι. Καὶ ἡμεῖς, ὅταν ὑπὸ τῶν παθῶν κελευώμεθα ἐξομόσασθαι, μὴ ἡττώμεθα. Ὁ χρυσὸς λέγει· Εἰπὲ ὅτι ὁ Χριστὸς οὐκ ἔστι Χριστός· μὴ οὖν ἄκουε σὺ ὡς Θεοῦ, ἀλλὰ καταφρόνησον τῶν ἐκείνου προσταγμάτων'. Αἱ ἐπιθυμίαι αἱ πονηραὶ τὸ αὐτὸ λέγουσιν· ἀλλὰ σὺ μὴ παραπεισθῇς, ἀλλὰ στῆθι γενναίως, ἵνα μὴ καὶ περὶ ἡμῶν λαληθῇ· «Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται»· τοῦτο γὰρ οὐ μαρτύρων, ἀλλὰ τὸ ἐναντίον. Καὶ τὸ μὲν τοὺς ἄλλους ἀρνεῖσθαι, οὐδὲν θαυμαστόν, τὸ δὲ ἡμᾶς τοὺς εἰς μαρτύριον κληθέντας ἐξάρνους γενέσθαι, βαρὺ καὶ φορτικόν· τοῦτο μάλιστα βλάπτει τὰ ἡμέτερα. «Εἰς μαρτύριον αὐτοῖς ἀποβήσεται», φησίν, ἀλλά, ὅταν οὐκ ἀποπηδήσωμεν, ὅταν ἐνστῶμεν. Εἰ πάντες ἐβουλόμεθα μαρτυρεῖν τῷ Χριστῷ, ταχέως ἂν ἐπείσαμεν τῶν Ἑλλήνων τοὺς πολλούς.

4. Μέγα βίος, ἀγαπητοί· κἂν σφόδρα θηριώδης ᾖ τις, κἂν φανερῶς οὐ καταγινώσκῃ διὰ τὸ δόγμα, ἀλλ' ἀποδέχεται λάθρα, ἀλλ' ἐπαινέσεται, ἀλλὰ θαυμάσεται. Καὶ πόθεν, φησίν, ἂν γένοιτο βίος ἄριστος; Οὐδαμόθεν, ἀλλ' ἢ ἀπὸ θείας ἐνεργείας. Τί οὖν, ὅταν καὶ Ἕλληνες ὦσι τοιοῦτοι; Ἐκεῖνοι εἴ που καὶ εἶεν τοιοῦτοι, οἱ μὲν φύσει, οἱ δὲ διὰ κενοδοξίαν. Βούλει μαθεῖν ὅση ἡ τοῦ βίου λαμπρότης, ὅσην ἔχει τὴν πειθώ; Πολλοὶ τῶν αἱρετικῶν ἴσχυσαν, καὶ τὰ δόγματα καίτοι αὐτοῖς ὄντα διαφθαρέντα, οἱ πολλοὶ τῶν ἀνθρώπων αἰδοῖ τῇ περὶ τὸν βίον οὐκ ἔτι τὸ δόγμα

------

6. Τίτ. 1. 16 7. Λουκᾶ 21. 13

ἑπομένως ἄς δώσομε μαρτυρία γιά τό Χριστό· διότι βέβαια δέν εἶναι μάρτυρες μόνο ἐκεῖνοι, ἀλλά καί ἐμεῖς. Γι' αὐτό ἐκεῖνοι ὀνομάζονται μάρτυρες, διότι, ἐνῶ προτρέπονται νά τόν ἀπαρνηθοῦν, ὑπομένουν τά πάντα, γιά νά ποῦν τήν ἀλήθεια. Καί ἐμεῖς, ὅταν προτρεπόμαστε ἀπό τά πάθη νά τόν ἀπαρνηθοῦμε, ἄς μή νικιέμαστε. Ὁ χρυσός λέγει· Πές ὅτι ὁ Χριστός δέν εἶναι Χριστός· μή τόν πιστεύεις λοιπόν σάν Θεό, ἀλλά περιφρόνησε τά προστάγματα ἐκείνου'. Οἱ πονηρές ἐπιθυμίες τό ἴδιο λένε· ὅμως σύ νά μή παρασυρθεῖς, ἀλλά στάσου μέ γενναιότητα, γιά νά μή λεχθεῖ καί γιά μᾶς· «Ὁμολογοῦν μέ τό στόμα ὅτι γνωρίζουν τό Θεό, ὅμως μέ τά ἔργα τους τόν ἀρνοῦνται»[6]· διότι αὐτό δέν εἶναι μαρτυρία ἀλλά τό ἀντίθετο. Καί βέβαια τό νά τόν ἀρνοῦνται οἱ ἄλλοι δέν εἶναι καθόλου ἄξιο θαυμασμοῦ, ὅμως τό νά τόν ἀρνηθοῦμε ἐμεῖς πού κληθήκαμε νά δώσομε μαρτυρία, αὐτό εἶναι βαρύ καί λυπηρό· αὐτό πρό πάντων εἶναι ἐκεῖνο πού βλάπτει τά δικά μας. «Αὐτό θά εἶναι εὐκαιρία γι' αὐτούς νά δώσουν μαρτυρία»[7] λέγει, ἀλλά ὅταν δέν ἀποσκιρτήσομε ἀπό τόν Χριστό, ὅταν μείνομε σταθεροί στήν πίστη μας πρός αὐτόν. Ἐάν θέλαμε ὅλοι νά δίνομε μαρτυρία γιά τό Χριστό, πολύ γρήγορα θά μπορούσαμε νά πείσομε τούς περισσότερους ἀπό τούς ἐθνικούς.

4. Εἶναι μεγάλο πράγμα, ἀγαπητοί, ὁ τρόπος ζωῆς· καί ἄν ἀκόμη κανείς εἶναι ὑπερβολικά θηριώδης, καί ἄν ἀκόμη φανερά δέν κατηγορεῖ ἐξ αἰτίας τῶν ἀληθειῶν τῆς πίστεως, ἀλλά τά ἀποδέχεται κρυφά, ὁπωσδήποτε θά ἐπαινέσει, ὁπωσδήποτε θά θαυμάσει. Καί' ἀπό ποῦ, λέγει, θά μποροῦσε νά γίνει ἄριστος ὁ τρόπος ζωῆς; Ἀπό πουθενά ἀλλοῦ, παρά ἀπό τή θεία ἐνέργεια. Τί λοιπόν θά ποῦμε, ὅταν καί οἱ Ἕλληνες παρουσιάζουν παρόμοιο τρόπο ζωῆς; Ἐκεῖνοι, ἐάν βέβαια ὑπάρχουν τέτοιοι, εἶναι τέτοιοι ἄλλοι ἀπό τή φύση τους, καί ἄλλοι ἀπό ματαιοδοξία. Θέλεις νά μάθεις πόση εἶναι ἡ λαμπρότητα τοῦ ἐνάρετου τρόπου ζωῆς, πόση δύναμη ἔχει νά πείθει; Πολλοί ἀπό τούς αἱρετικούς μέ τόν τρόπο αὐτό ὑπερίσχυσαν, ἄν καί οἱ διδασκαλίες τους εἶναι λανθασμένες, οἱ πολλοί ἀπό τούς ἀνθρώπους ἀπό

ἐξήτασαν, ἄλλοι δὲ καὶ καταγινώσκοντες αὐτῶν διὰ τὸ δόγμα ἠδέσθησαν διὰ τὸν βίον· οὐ καλῶς μέν, πλὴν ὅμως τοῦτο ἔπαθον. Τοῦτο τὰ σεμνὰ τῆς πίστεως τῆς ἡμετέρας διέβαλε, τοῦτο τὰ πάντα ἀνέτρεψε, τὸ μηδένα λόγον εἶναι βίου μηδενί, τοῦτο τῇ πίστει λυμαίνεται. Λέγομεν ὅτι Θεός ἐστιν ὁ Χριστός, μυρία καὶ ἕτερα παράγομεν, μετὰ δὲ τῶν ἄλλων καὶ τοῦτο, ὅτι ἔπεισεν ἅπαντας ὀρθῶς ζῆν· ἀλλὰ τοῦτο ἐν ὀλίγοις ἐστί. Τὸ τῆς ἀναστάσεως δόγμα λυμαίνεται ἡ τοῦ βίου φαυλότης, τὸ τῆς ἀθανασίας τῆς ψυχῆς, τὸ τῆς κρίσεως· πολλὰ καὶ ἕτερα ἐπισπᾶται, εἱμαρμένην, ἀνάγκην, τὸ ἀπρονόητον. Ψυχὴ γάρ, βαπτισθεῖσα μυρίοις κακοῖς, ὥσπερ τινὰς παραμυθίας ταύτας ἐπινοεῖν ἑαυτῇ πειρᾶται, ἵνα μὴ λυπῆται, λογιζομένη, ὅτι κρίσις ἐστί, καὶ ὅτι ἐφ' ἡμῖν κεῖται τὰ τῆς ἀρετῆς καὶ τὰ τῆς κακίας.

Μυρία ὁ βίος ἐργάζεται κακά, θηρία τοὺς ἀνθρώπους ποιεῖ, καὶ θηρίων ἀλογωτέρους· ἅπερ γὰρ ἐν ἑκάστῃ φύσει τῶν θηρίων ἐστί, ταῦτα πολλάκις εἰς ἕνα ἄνθρωπον συνήγαγε, καὶ τὸ πᾶν ἀνέτρεψε. Διὰ τοῦτο τὴν εἱμαρμένην εἰσήγαγεν ὁ διάβολος, διὰ τοῦτο ἀπρονόητον ἔφησεν εἶναι τὸν κόσμον, διὰ τοῦτο φύσεις ἀγαθὰς καὶ κακάς, διὰ τοῦτο κακὸν ἄναρχον καὶ ὑλικὸν ὑποτίθεται, διὰ τοῦτο πάντα πράττει, ἵνα διαφθείρῃ τὸν βίον ἡμῶν· οὔτε γὰρ ἀπὸ διεφθαρμένων δογμάτων δυνατὸν ἀνενεγκεῖν, βίου ὄντα τοιούτου, οὔτε μένειν ἐν ὑγιαινούσῃ πίστει, ἀλλ' ἀνάγκῃ πολλῇ ταῦτα παραδέξασθαι· οὐ γὰρ οἶμαι ἔγωγε ταχέως τινὰ τῶν οὐκ ὀρθῶς ζώντων εὑρίσκεσθαι, μὴ μυρία σατανικὰ βουλευόμενον, ὅτι γένεσίς ἐστιν, ὅτι ἁπλῶς τὰ πράγματα ἄγεται, ὅτι φύρδην καὶ κεχυμένως πάντα διοικεῖται.

σεβασμὸ πρὸς τὸν ἐνάρετο τρόπο ζωῆς αὐτῶν δὲν ἔλαβαν ὑπ' ὄψη καθόλου τὴ διδασκαλία τους, ἄλλοι πάλι ἂν καὶ τοὺς κατηγοροῦν γιὰ τὴ διδασκαλία τους, ὅμως τοὺς συμπάθησαν ἐξ αἰτίας τοῦ τρόπου ζωῆς τους˙ ὄχι βέβαια ὀρθά, πλὴν ὅμως αὐτὸ ἔπαθαν. Αὐτὸ διέφθειρε τὰ σεμνὰ τῆς πίστεώς μας, αὐτὸ ἀνέτρεψε τὰ πάντα, τὸ νὰ μὴ γίνεται γιὰ κανένα κανένας λόγος γιὰ ἐνάρετη ζωή, αὐτὸ καταστρέφει τὴν πίστη. Λέμε ὅτι ὁ Χριστὸς εἶναι Θεός, καὶ ἀμέτρητα ἄλλα προβάλλομε, μαζὶ μὲ τὰ ἄλλα δὲ καὶ αὐτό, τὸ ὅτι δηλαδὴ ἔπεισε ὅλους νὰ ζοῦν ὀρθά˙ ἀλλ' αὐτὸ συμβαίνει σὲ λίγους. Ὁ φαῦλος τρόπος ζωῆς καταστρέφει τὸ δόγμα τῆς ἀθανασίας τῆς ψυχῆς, τὸ δόγμα τῆς κρίσεως, καθὼς καὶ πολλὰ ἄλλα προξενεῖ, ὅπως τὸ πεπρωμένο, τὴν ἀναγκαιότητα, τὴν ἀπρονοησία. Διότι ψυχή, ποὺ βυθίσθηκε μέσα σὲ ἀμέτρητα κακά, προσπαθεῖ νὰ ἐπινοεῖ γιὰ τὸν ἑαυτό της ὅλα αὐτὰ σὰν κάποια παρηγοριά, γιὰ νὰ μὴ λυπᾶται, σκεπτόμενη ὅτι ὑπάρχει κρίση, καὶ ὅτι ἀπὸ μᾶς ἐξαρτῶνται τὰ τῆς ἀρετῆς καὶ τὰ τῆς κακίας.

Ἀμέτρητα κακὰ προξενεῖ ὁ κακὸς τρόπος ζωῆς˙ κάμνει τοὺς ἀνθρώπους θηρία, καὶ μάλιστα πιὸ ἄλογους ἀπὸ τὰ θηρία˙ διότι ἐκεῖνα ποὺ ὑπάρχουν στὴν κάθε φύση τῶν θηρίων, αὐτὰ πολλὲς φορὲς τὰ συγκέντρωσε σ' ἕναν ἄνθρωπο καὶ κατέστρεψε τὸ πᾶν. Γι' αὐτὸ ὁ διάβολος εἰσήγαγε τὸ πεπρωμένο, γι' αὐτὸ εἶπε ὅτι ὁ κόσμος εἶναι ἀπρονόητος, γι' αὐτὸ λέγει ὅτι ὑπάρχουν φύσεις ἀγαθὲς καὶ κακές, γι' αὐτὸ διδάσκει ὅτι τὸ κακὸ εἶναι ἄναρχο καὶ ὑλικό, γι' αὐτὸ κάμνει τὰ πάντα, γιὰ νὰ καταστρέψει τὴ ζωή μας˙ διότι οὔτε εἶναι δυνατὸ νὰ συνέλθει κανεὶς καὶ ν' ἀποφύγει τὶς διεφθαρμένες διδασκαλίες, ὅταν ὁ τρόπος ζωῆς του εἶναι τέτοιος, οὔτε νὰ παραμείνει στὴν ὀρθὴ πίστη, ἀλλ' εἶναι ἀναγκασμένος πάρα πολὺ ν' ἀποδεχθεῖ αὐτές˙ διότι ἐγὼ τουλάχιστον δὲν νομίζω ὅτι μπορεῖ νὰ βρεθεῖ τόσο εὔκολα κάποιος ἀπὸ ἐκείνους ποὺ δὲν ζοῦν ὀρθά, ποὺ νὰ μὴ σκέφτεται ἄπειρα σατανικά, ὅτι δηλαδὴ ὑπάρχει αὐτόματη δημιουργία, ὅτι τὰ πράγματα ὁδηγοῦνται στὴν τύχη, ὅτι τὰ πάντα κυβερνοῦνται κατὰ τρόπο ἄτακτο καὶ συγκεχυμένο.

Διό, παρακαλῶ, φροντίζωμεν βίου καλοῦ, ἵνα μὴ παραδεχώμεθα δόγματα πονηρά. Ὁ Κάϊν ἔλαβε τιμωρίαν στένειν καὶ τρέμειν. Τοιοῦτοί εἰσιν οἱ πονηροὶ καὶ συνειδότες ἑαυτοῖς μυρία κακά· πολλάκις ἐξ ὕπνων ἐξάλλονται, θορυβώδεις αὐτῶν οἱ λογισμοί, τεταραγμένοι οἱ ὀφθαλμοί, ὑποψίας γέμει πάντα, καταπλήττεται πάντα, χαλεπῆς προσδοκίας, δειλίας ἀνάμεστος αὐτῶν ἡ ψυχή, φόβῳ συστρεφομένη καὶ τρόμῳ, ἀδρανὴς γίνεται. Οὐδὲν τῆς τοιαύτης ψυχῆς μαλακώτερον γένοιτο ἄν, οὐδὲν ἀνοητότερον. Καθάπερ οἱ μαινόμενοι οὐχ ἑστήκασιν ἐν ἑαυτοῖς, οὕτως οὐδὲ ἡ τοιαύτη ἐν ἑαυτῇ ἕστηκε. Πότε οὖν αὕτη εἰς συναίσθησιν ἔλθῃ, τοσαύτην ἔχουσα σκοτοδινίαν, ἣν ἀγαπητὸν γαλήνης ἀπολαύουσαν καὶ εὐδίας δυνηθῆναι ἐπιγνῶναι τὴν οἰκείαν εὐγένειαν; Ὅταν δὲ πάντα αὐτὴν ἐκφοβῇ καὶ ταράττῃ, καὶ ὄνειροι, καὶ ῥήματα, καὶ σχήματα, καὶ ὑποψίαι ἁπλῶς, πότε δυνήσεται εἰς ἑαυτὴν ἰδεῖν, οὕτως ἐκτεταραγμένη καὶ τεθορυβημένη;

Λύωμεν τοίνυν αὐτῆς τὸ δέος, διαρρήξωμεν τὰ δεσμά· εἰ γὰρ μὴ κόλασις ἦν, ποίας ταῦτα κολάσεως οὐ χείρω, ὑπὸ φόβῳ ζῆν ἀεί, μηδέποτε θαρρεῖν, μηδέποτε ἀνίεσθαι; Ταῦτα δὴ πάντα μετὰ ἀκριβείας εἰδότες, ἐν γαλήνῃ ἑαυτοὺς διατηρῶμεν, καὶ ἀρετῆς ἐπιμελώμεθα, ἵνα, καὶ ὑγιᾶ δόγματα ἔχοντες καὶ βίον ὀρθόν, ἀπροσκόπτως τὴν παροῦσαν ζωὴν διανύσωμεν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν δυνηθῶμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γι' αὐτό, παρακαλῶ, ἄς φροντίζομε νὰ εἶναι καλὸς ὁ τρόπος ζωῆς μας, γιὰ νὰ μὴ ἀποδεχόμαστε κακές διδασκαλίες. Ὁ Κάιν τιμωρήθηκε νὰ στενάζει καὶ νὰ τρέμει. Τέτοιοι εἶναι οἱ πονηροὶ καὶ ἐκεῖνοι πoὺ συνειδητὰ συγκεντρώνουν στὸν ἑαυτό τους ἀμέτρητα κακά· πολλὲς φορὲς κατὰ τὴν ὥρα τοῦ ὕπνου τινάσσονται ἐπάνω, οἱ σκέψεις τους εἶναι γεμάτες ἀπὸ ἀνησυχία, τὰ μάτια τους εἶναι ταραγμένα, τὰ πάντα εἶναι γεμάτα ἀπὸ ὑποψία, τὰ πάντα τοὺς προξενοῦν κατάπληξη, ἡ ψυχή τους ἀναμένει φοβερὰ πράγματα, εἶναι γεμάτη ἀπὸ δειλία, μαζεύεται ἀπὸ φόβο καὶ τρόμο καὶ γίνεται νωθρή. Τίποτε δὲν θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ μαλθακὸ ἀπὸ μιὰ τέτοια ψυχή, τίποτε πιὸ ἀνόητο. Ὅπως ἀκριβῶς οἱ μανιακοὶ δὲν εἶναι στὰ καλά τους, ἔτσι καὶ ἡ παρόμοια ψυχὴ δὲν βρίσκεται στὰ λογικά της. Πότε λοιπὸν αὐτὴ θὰ ρθεῖ σὲ συναίσθηση, τὴ στιγμὴ πoὺ εἶναι κυριευμένη ἀπὸ τόση ταραχή, ἡ ὁποία πρέπει νὰ ἀπολαύσει γαλήνη καὶ ἠρεμία γιὰ νὰ μπορέσει νὰ ἀναγνωρίσει τὴν εὐγενικὴ καταγωγή της; Ὅταν ὅμως ὅλα τὴ γεμίζουν μὲ φόβο καὶ ταραχή, καὶ ὄνειρα, καὶ λόγια, καὶ μορφές, καὶ οἱ ὑποψίες γενικά, πότε θὰ μπορέσει νὰ δεῖ τὸν ἑαυτό τους, τὴ στιγμὴ πoὺ εἶναι γεμάτη ἀπὸ τόση ταραχὴ καὶ ἀνησυχία;

Ἄς τὴν ἐλευθερώνομε λοιπὸν ἀπὸ τὸ φόβο της, ἄς σπάσομε τὰ δεσμά· διότι, ἐὰν δὲν ὑπῆρχε κόλαση, ἀπὸ ποιὰ κόλαση αὐτὰ δὲν εἶναι χειρότερα, τὸ νὰ ζεῖ δηλαδὴ πάντοτε μὲ φόβο, ποτὲ νὰ μὴ βρίσκει θάρρος, ποτὲ νὰ μὴ καθησυχάζει; Γνωρίζοντας λοιπὸν ὅλα αὐτὰ μὲ ἀκρίβεια, ἄς διατηροῦμε τοὺς ἑαυτούς μας γαλήνιους καὶ ἄς φροντίζομε γιὰ τὴν ἀρετή, ὥστε, ἔχοντας καὶ ὀρθὰ δόγματα καὶ ὀρθὸ βίο, νὰ διανύσομε ἀπρόσκοπτα τὴν παρούσα ζωή, καὶ νὰ μπορέσομε νὰ ἐπιτύχομε τὰ ἀγαθὰ πoὺ ἔχει ὑποσχεθεῖ σ' ἐκείνους πoὺ ἀγαποῦν αὐτόν, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Μονογενοῦς Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΗ΄
(Πράξ. 22, 17 - 23, 5)

«Ἐγένετο δέ μοι, ὑποστρέψαντι εἰς Ἰερουσαλήμ, προσευχομένου μου ἐν τῷ Ἱερῷ, γενέσθαι με ἐν ἐκστάσει, καὶ ἰδεῖν λέγοντά μοι αὐτόν· Σπεῦσον, καὶ ἔξελθε ἐν τάχει ἐξ Ἰερουσαλήμ, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ. Κἀγὼ εἶπον· Κύριε, αὐτοὶ ἐπίστανται ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ· καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ, φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν».

1. Ὅρα πῶς ἑαυτὸν εἰσωθεῖ εἰς τοὺς κινδύνους· ἐπάγει γάρ· «Ἐγένετο δέ μοι ὑποστρέψαντι εἰς Ἰερουσαλήμ»· τουτέστιν, ἦλθον μετὰ τὴν ὄψιν ἐκείνην εἰς Ἰερουσαλὴμ πάλιν. «Καὶ προσευχομένου μου ἐν τῷ ἱερῷ, γενέσθαι με ἐν ἐκστάσει, καὶ ἰδεῖν λέγοντά μοι· Σπεῦσον, καὶ ἔξελθε ἐν τάχει, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ». Ὅρα, οὐδὲ τοῦτο ἀμάρτυρον, ἀλλ' ἀπὸ τῆς ἐκβάσεως ἡ μαρτυρία. Εἶπεν ὅτι «οὐ δέξονταί σου τὴν μαρτυρίαν», καὶ οὐκ ἐδέξαντο· καὶ μὴν ἀπὸ λογισμῶν ἔδει ὑποπτεῦσαι ὅτι πάντως δέξονται· «ἐγὼ γὰρ ἤμην ὁ φυλακίζων καὶ δέρων», φησίν. Ὥστε διὰ τοῦτο ἔδει αὐτοὺς δέξασθαι, καὶ ὅμως οὐκ ἐδέξαντο· διὸ καὶ τοῦτο ἐν τῇ ἐκστάσει μανθάνει τὸ μὴ παραδεχθῆναι. Ἐνταῦθα δύο κατασκευάζει, ὅτι τε ἀναπολόγητα αὐτοῖς

ΟΜΙΛΙΑ ΜΗ΄

(Πράξ. 22, 17 - 23, 5)

«Ὅταν ἐπέστρεψα στὴν Ἱερουσαλὴμ καὶ ἐνῶ προσευχόμουν στὸ ναό, συνέβηκε νὰ περιπέσω σὲ ἔκσταση καὶ εἶδα αὐτὸν ποὺ μοῦ ἔλεγε· Τρέξε καὶ φύγε γρήγορα ἀπὸ τὴν Ἱερουσαλήμ, διότι δὲν θὰ δεχθοῦν τὴ μαρτυρία σου γιὰ μένα. Καὶ ἐγὼ εἶπα· Κύριε, αὐτοὶ ξέρουν πολὺ καλά, ὅτι ἐγὼ φυλάκιζα καὶ ἔδερνα στὶς συναγωγές ἐκείνους ποὺ πίστευαν σ' ἐσένα· καὶ ὅταν χυνόταν τὸ αἷμα τοῦ Στεφάνου τοῦ μάρτυρά σου ἤμουν καὶ ἐγὼ παρών, δείχνοντας συγκατάθεση στὸ φόνο αὐτοῦ, καὶ φύλαγα τὰ ἐνδύματα ἐκείνων ποὺ τὸν φόνευαν».

1. Πρόσεχε πῶς σπρώχνει τὸν ἑαυτό του μέσα στοὺς κινδύνους· διότι προσθέτει· «Μοῦ συνέβηκε, ὅταν ἐπέστρεψα στὴν Ἱερουσαλήμ»· δηλαδή, ἦρθα καὶ πάλι στὴν Ἱερουσαλὴμ μετὰ ἀπὸ τὸ ὅραμα ἐκεῖνο ποὺ εἶδα. «Καὶ ἐνῶ προσευχόμουν στὸ ναὸ συνέβηκε νὰ περιπέσω σὲ ἔκσταση καὶ νά, εἶδα αὐτόν ποὺ μοῦ ἔλεγε· Τρέξε καὶ φύγε γρήγορα, διότι δὲν θὰ δεχθοῦν τὴ μαρτυρία σου γιὰ μένα». Πρόσεχε, ὅτι οὔτε αὐτὸ εἶναι χωρὶς μαρτυρία, ἀλλ' ἡ μαρτυρία προέρχεται ἀπὸ τὸ ἴδιο τὸ ἀποτέλεσμα. Εἶπε ὅτι «δὲν θὰ δεχθοῦν τὴ μαρτυρία σου», καὶ δὲν τὴ δέχθηκαν· καὶ ὅμως ἔπρεπε βάσει τῶν συλλογισμῶν νὰ σκεφθεῖ ὅτι ὁπωσδήποτε θὰ τὴν δεχθοῦν· διότι, λέγει, «ἐγὼ φυλάκιζα καὶ ἔδερνα ἐκείνους». Ὥστε γι' αὐτὸ ἔπρεπε αὐτοὶ νὰ δεχθοῦν τὴ μαρτυρία, ἀλλ' ὅμως δὲν τὴ δέχθηκαν· γι' αὐτὸ περιπίπτοντας σὲ ἔκσταση μαθαίνει ὅτι δὲν θὰ δεχθοῦν τὴ μαρτυρία του. Μὲ τὰ λόγια αὐτὰ δύο πράγματα ὑπονοεῖ, καὶ ὅτι αὐτοὶ θὰ εἶναι ἀδικαιολό-

ἐστιν (οὐ γὰρ κατὰ τὸ εἰκὸς αὐτὸν ἐδίωκον, οὐδὲ κατὰ λόγον), καὶ ὅτι Θεὸς ἦν ὁ Χριστός, τὰ παρὰ προσδοκίαν προφητεύων, καὶ οὐχ ὁρῶν εἰς τὰ γενόμενα, ἀλλὰ τὰ μέλλοντα προειδώς. Πῶς οὖν λέγει, «Ἐνώπιον ἐθνῶν καὶ βισαλέων υἱῶν τε Ἰσραὴλ βαστάσει τὸ ὄνομά μου»; «Βαστάσει» εἶπεν, οὐ πάντως πείσει· ἄλλως δὲ Ἰουδαῖοι ἀλλαχοῦ μὲν ἐπείθοντο, ἐνταῦθα δὲ οὐχί. Ὅπου μάλιστα ἔδει πεισθῆναι, εἰδότας αὐτοῦ τὴν προτέραν προθυμίαν, ἐνταῦθα οὐκ ἐπείθοντο.

«Καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ». Ὅρα ποῦ πάλιν ὁ λόγος τελευτᾷ, εἰς τὸ ἰσχυρὸν κεφάλαιον· δείκνυσι γὰρ ὅτι αὐτὸς ἦν ὁ ἐλαύνων, καὶ οὐκ ἐλαύνων μόνον, ἀλλὰ καὶ μυρίαις χερσὶν ἀναιρῶν τὸν Στέφανον. Ὑπέμνησεν αὐτοὺς μιαιοφονίας χαλεπῆς. Τότε δὴ μάλιστα οὐκ ἤνεγκαν, ἐπειδὴ τοῦτο ἤλεγχεν αὐτούς· καὶ ἤδη ἡ προφητεία ἐπληροῦτο. Ὁ ζῆλος τοίνυν πολύς, καὶ ἡ κατηγορία σφοδρά, καὶ οἱ μάρτυρες τῆς ἀληθείας τοῦ Χριστοῦ παρρησίᾳ διαλεγόμενοι. Ἀλλ' οἱ Ἰουδαῖοι οὐκ ἠνέσχοντο λοιπὸν πάσης ἀκοῦσαι τῆς δημηγορίας, ἀλλ' ὑπὸ τοῦ θυμοῦ σφόδρα ἐμπρησθέντες ἐβόων.

«Καὶ εἶπε πρός με· Πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἀποστελῶ σε. Ἤκουον δὲ αὐτοῦ ἄχρι τοῦ λόγου τούτου, καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν, λέγοντες· Αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον· οὐ γὰρ καθῆκον αὐτὸν ζῆν. Κραζόντων δὲ αὐτῶν καὶ ῥιπτούντων τὰ ἱμάτια, καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα, ἐκέλευσεν ὁ χιλίαρχος εἰσάγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν, εἰπὼν μάστιξιν ἀνετάζεσθαι αὐτόν, ἵνα γνῷ δι' ἣν αἰτίαν οὕτω κατεβόων αὐτοῦ». Καὶ τὸν χιλίαρχον δέον ἐξετάσαι εἰ ταῦτα οὕτως ἔχοι, ἢ καὶ αὐτοὺς ἐκείνους· ὁ δέ, μηδὲν πλέον ποιήσας, μάστιξιν

γητοι (διότι δὲν τὸν δίωκαν συνετά, οὔτε καὶ δικαιολογημένα), καὶ ὅτι ὁ Χριστὸς ἦταν Θεός, προφητεύοντας ἐκεῖνα ποὺ δὲν τὰ περίμενε κανείς, καὶ βλέποντας ὄχι σ' ἐκεῖνα ποὺ συνέβηκαν, ἀλλὰ προγνωρίζοντας ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν. Πῶς λοιπὸν λέγει, ὅτι «Αὐτὸς θὰ φέρει τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν, βασιλέων καὶ τῶν ἴδιων τῶν Ἰσραηλιτῶν»[1]; Εἶπε ὅτι «θὰ τὸ φέρει», ὄχι ὅμως ὅτι ὁπωσδήποτε θὰ τοὺς πείσει· ἄλλωστε οἱ Ἰουδαῖοι σ' ἄλλα μέρη πίστευαν, ἐδῶ ὅμως ὄχι. Ἐκεῖ ποὺ ἔπρεπε πρὸ πάντων νὰ πιστέψουν, διότι γνώριζαν τὴν προηγούμενη προθυμία αὐτοῦ, ἐκεῖ δὲν πίστευαν.

«Καὶ ὅταν χυνόταν τὸ αἷμα τοῦ Στεφάνου, τοῦ μάρτυρά σου, ἤμουν καὶ ἐγὼ παρών, δείχνοντας συγκατάθεση στὸ φόνο αὐτοῦ». Πρόσεχε ποῦ πάλι τελειώνει ὁ λόγος, στὸ πιὸ σπουδαιότερο γεγονός· διότι δείχνει ὅτι αὐτὸς ἦταν ὁ διώκτης, καὶ ὄχι μόνο ὁ διώκτης, ἀλλὰ καὶ ἐκεῖνος ποὺ μὲ ἄπειρα χέρια φόνευε τὸ Στέφανο. Ὑπενθύμισε σ' αὐτοὺς φοβερὴ ἀνθρωποκτονία. Τότε βέβαια δὲν τὸν ἀνέχθηκαν, ἐπειδὴ αὐτὸ τοὺς ἔλεγχε· καὶ ἤδη ἡ προφητεία ἐκπληρωνόταν. Ὁ ζῆλος λοιπὸν μεγάλος, ἡ κατηγορία βαρειά, καὶ οἱ μάρτυρες τῆς ἀλήθειας τοῦ Χριστοῦ ὁμιλοῦν μὲ παρρησία. Ὅμως οἱ Ἰουδαῖοι δὲν ἀνέχονταν πλέον ν' ἀκούσουν ὅλη τὴν ὁμιλία, ἀλλ', ἀφοῦ ἄναψαν ἀπὸ τὸ μεγάλο θυμό τους, φώναζαν δυνατά.

«Καὶ μοῦ εἶπε· Πήγαινε, διότι ἐγὼ θὰ σὲ στείλω μακριὰ στοὺς ἐθνικούς. Μέχρι σ' αὐτὸ τὸ σημεῖο τοῦ λόγου τὸν ἄκουαν, ἀλλὰ στὴ συνέχεια ἄρχισαν νὰ φωνάζουν δυνατὰ καὶ νὰ λένε· Ἐξαφάνισε ἀπὸ τὴ γῆ ἕναν τέτοιο ἄνθρωπο, διότι δὲν πρέπει αὐτὸς νὰ ζεῖ. Ἐπειδὴ λοιπὸν αὐτοὶ φώναζαν, ἔρριχναν τὰ ροῦχα τους καὶ σκόρπιζαν σκόνη στὸν ἀέρα, διέταξε ὁ χιλίαρχος νὰ ὁδηγηθεῖ αὐτὸς στὸ στρατώνα, λέγοντας νὰ τὸν ἀνακρίνουν μαστιγώνοντάς τον, γιὰ νὰ μάθει τὴν αἰτία γιὰ τὴν ὁποία κραύγαζαν ἐναντίον του». Ἔπρεπε καὶ ὁ χιλίαρχος νὰ ἐξετάσει ἐὰν αὐτὰ ἔχουν ἔτσι, καὶ ἐκεῖνοι οἱ ἴδιοι, ἐκεῖνος ὅμως χωρὶς νὰ κάνει τίποτε παραπάνω, ἔδωσε ἐντολὴ νὰ

ἀνετάζειν αὐτὸν ἐπαγγέλλεται· «ἐκέλευσε γὰρ αὐτόν», φησίν, «εἰσάγεσθαι εἰς τὴν παρεμβολήν, εἰπὼν μάστιξιν ἀνετάζεσθαι αὐτόν, ἵνα γνῷ δι' ἣν αἰτίαν οὕτω κατεβόων αὐτοῦ». Καὶ μὴν παρ' ἐκείνων ἔδει μαθεῖν τῶν καταβοώντων, καὶ ἐρωτῆσαι εἴ τινος τῶν εἰρημένων ἐπελαμβάνοντο· ἀλλ' ἁπλῶς τῇ ἐξουσίᾳ χρῆται, καὶ ἐκείνοις πρὸς χάριν ποιεῖ· οὐ γὰρ τοῦτο ἐζήτει, ὅπως δικαίως τι πράξειεν, ἀλλ' ὅπως παύσειε τὸν ἐκείνων θυμόν, ἄδικον ὄντα.

«Ὡς δὲ προσέτεινον αὐτὸν τοῖς ἱμᾶσιν, εἶπε πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον ὁ Παῦλος· Εἰ ἄνθρωπον Ρωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν;». Οὐκ ἐψεύσατο Παῦλος, μὴ γένοιτο! Ρωμαῖον ἑαυτὸν εἰπὼν (Ρωμαῖος γὰρ ἦν)· διὸ καὶ ὁ χιλίαρχος ἀκούσας φοβεῖται. Καὶ τίνος, φησίν, ἕνεκεν ἐφοβήθη; Εἰ καὶ δι' οὐδὲν ἕτερον ἔδεισεν, ἀλλ' ἵνα μὴ ἁλῷ καὶ μείζονα δίκην δῷ. Καὶ ὅρα, οὐχ ἁπλῶς φησιν, ἀλλ' «εἰ ἔξεστιν ὑμῖν;». Δύο τὰ ἐγκλήματα, καὶ τὸ ἄνευ λόγου, καὶ τὸ Ρωμαῖον ὄντα. Μεγάλην εἶχον ταύτην τότε προνομίαν οἱ ἀξιούμενοι οὕτω καλεῖσθαι· καὶ οὐ πάντες τούτου ἐτύγχανον· ἀπὸ γὰρ Ἀδριανοῦ φασι πάντας Ρωμαίους ὀνομασθῆναι, τὸ δὲ παλαιὸν οὐχ οὕτως ἦν. Ἢ καὶ Ρωμαῖον ἑαυτὸν εἶπεν, ἵνα διαφύγῃ τὴν τιμωρίαν· εὐκαταφρόνητος γὰρ ἂν ἐγένετο μαστιχθείς· νῦν δὲ τοῦτο εἰπών, εἰς πλείονα αὐτοὺς ἐμβάλλει φόβον. Εἰ δὲ ἐμάστιξαν, καὶ παρέτρεψαν ἂν τὸ πρᾶγμα, ἢ καὶ ἀπέκτειναν αὐτόν· νῦν δὲ οὐχ οὕτω γίνεται. Ὅρα πῶς ὁ Θεὸς συγχωρεῖ καὶ ἀνθρωπίνως πολλὰ γενέσθαι καὶ ἐπ' αὐτῶν καὶ τῶν λοιπῶν. Ὁ δὲ χιλίαρχος, ἀποκριθεὶς ὅτι «πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην», δείκνυ-

τὸν ἀνακρίνουν μαστιγώνοντάς τον· διότι, λέγει, «Διέταξε νὰ ὁδηγηθεῖ στὸ στρατώνα, λέγοντας νὰ τὸν ἀνακρίνουν μαστιγώνοντάς τον, γιὰ νὰ μάθει τὴν αἰτία γιὰ τὴν ὁποία κραύγαζαν ἐναντίον του». Καὶ βέβαια ἔπρεπε ἀπὸ ἐκείνους ποὺ κραύγαζαν ἐναντίον του νὰ ζητήσει πληροφορίες, ρωτώντας τους ἐὰν δὲν συμφωνοῦσαν μὲ κάτι ἀπὸ ἐκεῖνα ποὺ λέχθηκαν· ἀλλ' ὅμως κάνει μόνο χρήση τῆς ἐξουσίας του καὶ ἐνεργεῖ πρὸς χάρη ἐκείνων· διότι ἡ ἐπιδίωξή του δὲν ἦταν αὐτή, νὰ ἐνεργήσει δηλαδὴ δίκαια, ἀλλὰ πῶς νὰ σταματήσει τὸ θυμὸ ἐκείνων, ποὺ ἦταν ἄδικος.

«Ὅταν ὅμως τὸν ἔδεσαν γιὰ νὰ τὸν μαστιγώσουν, εἶπε ὁ Παῦλος πρὸς τὸν ἑκατόνταρχο· Ἔχετε τὸ δικαίωμα ἀπὸ τὸ νόμο νὰ μαστιγώνετε Ρωμαῖο πολίτη χωρὶς νὰ ἔχει καταδικασθεῖ;». Δὲν εἶπε ψέματα ὁ Παῦλος (μακριὰ μιὰ τέτοια σκέψη!) ὀνομάζοντας τὸν ἑαυτό του Ρωμαῖο (διότι ἦταν Ρωμαῖος)· γι' αὐτὸ καὶ ὁ χιλίαρχος φοβᾶται ἀκούοντας αὐτά. Καὶ γιὰ ποιὸ λόγο, λέγει, φοβήθηκε; Ὁπωσδήποτε γιὰ τίποτε ἄλλο δὲν φοβήθηκε, παρὰ γιὰ νὰ μὴ συλληφθεῖ καὶ ὑποστεῖ μεγαλύτερη τιμωρία. Καὶ πρόσεχε, δὲν ὁμιλεῖ ἁπλῶς, ἀλλὰ λέγει, «Ἐπιτρέπεται σὲ σᾶς;». Δύο εἶναι οἱ κατηγορίες, καὶ τὸ ὅτι μαστιγώνεται χωρὶς ν' ἀπολογηθεῖ, καὶ ἐνῶ εἶναι Ρωμαῖος. Ἀποτελοῦσε μεγάλο προνόμιο γιὰ ἐκείνους ποὺ ἀξιώνονταν νὰ ὀνομάζονται ἔτσι· καὶ δὲν κατόρθωναν νὰ τὸ ἐπιτύχουν αὐτὸ ὅλοι· διότι λένε ὅτι ἀπὸ τὴν ἐποχὴ τοῦ Ἀδριανοῦ ὀνομάσθηκαν ὅλοι Ρωμαῖοι, ἐνῶ πιὸ παλιὰ δὲν συνέβαινε τὸ ἴδιο. Ἢ ὀνόμασε τὸν ἑαυτό του Ρωμαῖο, γιὰ ν' ἀποφύγει τὴν τιμωρία· διότι θὰ γινόταν ἀξιοκαταφρόνητος ἐὰν μαστιγωνόταν· τώρα ὅμως λέγοντας αὐτό, βάζει αὐτοὺς σὲ μεγαλύτερο φόβο. Ἐὰν τὸν μαστίγωναν, ἴσως διέστρεφαν τὸ πράγμα, ἢ μπορεῖ καὶ νὰ τὸν φόνευαν· τώρα ὅμως δὲν γίνεται τὸ ἴδιο. Πρόσεχε πῶς ὁ Θεὸς ἐπιτρέπει πολλὰ νὰ γίνονται καὶ ἀνθρώπινα καὶ σ' αὐτοὺς καὶ στοὺς ἄλλους. Ὁ χιλίαρχος ἀποκρίθηκε τότε καὶ εἶπε ὅτι «Ἐγὼ ἀπέκτησα αὐτὸ τὸ δικαίωμα τοῦ Ρωμαίου πολίτη μὲ πολ-

σιν ὑποπτεῦσαι πρόφασιν εἶναι τὸ εἰπεῖν ἑαυτὸν Ρωμαῖον τὸν Παῦλον καὶ ἴσως τοῦτο ὑπέλαβεν ἀπὸ τῆς λιτότητος Παύλου τῆς φαινομένης.

«Ἀκούσας δὲ ὁ ἑκατόνταρχος, προσελθὼν τῷ χιλιάρχῳ ἀπήγγειλε, λέγων· Ὅρα τί μέλλεις ποιεῖν· ὁ γὰρ ἄνθρωπος οὗτος Ρωμαῖός ἐστι. Προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ· Λέγε μοι, εἰ σὺ Ρωμαῖος εἶ; Ὁ δὲ ἔφη· Ναί. Ἀπεκρίθη ὁ χιλίαρχος· Ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην. Ὁ δὲ Παῦλός φησιν· Ἐγὼ δὲ καὶ γεγέννημαι. Εὐθέως δὲ ἀπέστησαν ἀπ' αὐτοῦ οἱ μέλλοντες ἀνετάζειν αὐτόν. Καὶ ὁ χιλίαρχος δὲ ἐφοβήθη, ἐπιγνοὺς ὅτι Ρωμαῖός ἐστι, καὶ ὅτι ἦν αὐτὸν δεδεκώς». «Ἐγὼ δέ», φησί, «καὶ γεγέννημαι». Ἄρα καὶ πατρὸς ἦν Ρωμαίου. Τί οὖν ἀπὸ τούτου γίνεται; Λύσας κατήγαγεν αὐτὸν πρὸς τοὺς Ἰουδαίους. Οὕτως οὐκ ἦν ψεῦδος τὸ εἰπεῖν ἑαυτὸν Ρωμαῖον, ὅτι καὶ ἀπώνατο ἀπ' αὐτοῦ. λυθεὶς τοῦ δεσμοῦ· καὶ πῶς, ἄκουε.

«Τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλές, τὸ τί κατηγορεῖται ὑπὸ τῶν Ἰουδαίων, ἔλυσεν αὐτόν, καὶ ἐκέλευσε συνελθεῖν τοὺς ἀρχιερεῖς καὶ πᾶν τὸ συνέδριον αὐτῶν· καὶ καταγαγὼν τὸν Παῦλον ἔστησεν εἰς αὐτούς». «Ἀτενίσας δὲ ὁ Παῦλος τῷ συνεδρίῳ εἶπεν». Οὐκέτι πρὸς τὸν χιλίαρχον, ἀλλὰ πρὸς τὸ πλῆθος καὶ τὸν δῆμον πάντα διαλέγεται. Καὶ τί φησιν; «Ἄνδρες ἀδελφοί, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ Θεῷ ἄχρι ταύτης τῆς ἡμέρας». Ὃ λέγει, τοῦτό ἐστιν· Οὐ σύνοιδα ἐμαυτῷ τι ἠδικηκὼς ὑμᾶς, οὐδὲ ἄξιον τῶν δεσμῶν τούτων πράττων'. Τί οὖν ὁ ἀρχιερεύς; Δέον κατανυγῆναι ἐφ' οἷς εἰς χάριν αὐτῶν ἀδίκως ἐδέδετο, ὁ δὲ καὶ προσεπιτίθησι, καὶ κελεύει τύπτεσθαι αὐτόν· ὃ καὶ δῆλον ἐξ

λὰ χρήματα», δείχνοντας πὼς ὑποπτεύθηκε ὅτι εἶναι πρόφαση τὸ νὰ πεῖ ὁ Παῦλος ὅτι εἶναι Ρωμαῖος· καὶ ἴσως αὐτὸ τὸ συμπέρανε ἀπὸ τὴ φτώχεια ποὺ ἔδειχνε ἡ ὅλη παρουσία τοῦ Παύλου.

«Ὅταν τὸ ἄκουσε αὐτὸ ὁ ἑκατόνταρχος, πῆγε καὶ τὸ ἀνέφερε στὸ χιλίαρχο, λέγοντάς του· Πρόσεχε τί πᾶς νὰ κάνεις· διότι αὐτὸς ὁ ἄνθρωπος εἶναι Ρωμαῖος. Πῆγε τότε ὁ χιλίαρχος στὸν Παῦλο καὶ τοῦ εἶπε· Πές μου, εἶσαι Ρωμαῖος; Ἐκεῖνος εἶπε· Ναί. Ἀποκρίθηκε ὁ χιλίαρχος· Ἐγὼ ἀπέκτησα αὐτὸ τὸ δικαίωμα τοῦ Ρωμαίου μὲ πολλὰ χρήματα. Ὁ Παῦλος ἀπάντησε τότε· Ἐγὼ ὅμως τὸ ἔχω ἐκ γενετῆς. Ἀμέσως τότε ἀπομακρύνθηκαν ἐκεῖνοι ποὺ ἐπρόκειτο νὰ τὸν ἀνακρίνουν, καὶ ὁ ἴδιος ὁ χιλίαρχος φοβήθηκε, διαπιστώνοντας ὅτι πραγματικὰ εἶναι Ρωμαῖος καὶ ὅτι τὸν εἶχε δέσει». «Ἐγὼ ὅμως», λέγει, «εἶμαι Ρωμαῖος ἐκ γενετῆς». Ἑπομένως ὁ πατέρας του ἦταν Ρωμαῖος. Τί λοιπὸν γίνεται μετὰ ἀπ' αὐτό; Ἀφοῦ τὸν ἔλυσε τὸν κατέβασε στοὺς Ἰουδαίους. Ἄρα δὲν ἦταν ψέμα ποὺ εἶπε ὅτι εἶναι Ρωμαῖος, διότι καὶ ὠφελήθηκε ἀπ' αὐτό, ἀφοῦ λύθηκε ἀπὸ τὰ δεσμά· καὶ ἄκου πῶς συνέβηκε αὐτό.

«Τὴν ἄλλη ἡμέρα, ἐπειδὴ ἤθελε νὰ μάθει μὲ ἀκρίβεια, γιὰ ποιὰ αἰτία κατηγορεῖται ἀπὸ τοὺς Ἰουδαίους, τὸν ἔλυσε καὶ διέταξε νὰ συγκεντρωθοῦν οἱ ἀρχιερεῖς καὶ ὁλόκληρο τὸ συνέδριο αὐτῶν, καί, ἀφοῦ κατέβασε τὸν Παῦλο, τὸν παρουσίασε σ' αὐτούς. Ὁ Παῦλος, ἀφοῦ ἔριξε τὸ βλέμμα του στὸ συνέδριο, εἶπε». Δὲν ὁμιλεῖ πλέον πρὸς τὸ χιλίαρχο, ἀλλὰ πρὸς τὸ πλῆθος καὶ πρὸς ὅλο τὸ λαό. Καὶ τί λέγει; «Ἄνδρες ἀδελφοί, ἐγὼ ἔζησα ἀπέναντι στὸ Θεὸ μέχρι σήμερα μὲ ἀγαθὴ τελείως συνείδηση». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· 'Δὲν βλέπω νὰ σᾶς ἔχω ἀδικήσει σὲ κάτι, οὔτε ὅτι κάμνω κάτι ποὺ εἶναι ἄξιο γιὰ τὰ δεσμὰ αὐτά'. Τί λοιπὸν κάμνει τότε ὁ ἀρχιερέας; Ἐνῶ ἔπρεπε νὰ συγκινηθεῖ ποὺ ἐξ αἰτίας τους εἶχε δεθεῖ ἄδικα, αὐτὸς ἀντίθετα καὶ ἐπιτίθεται περισσότερο ἐναντίον του καὶ διατάζει νὰ τὸν χτυποῦν, πράγμα ποὺ γίνεται φα-

ὧν ἐπήγαγεν. «Ὁ δὲ ἀρχιερεὺς Ἀνανίας τοῖς παρεστῶσιν αὐτῷ ἐπέταξε τύπτειν αὐτοῦ τὸ στόμα». Καλά γε· ἐπιεικὴς ὁ ἀρχιερεύς. «Τότε ὁ Παῦλος πρὸς αὐτὸν εἶπε· Τύπτειν σε μέλλει ὁ Θεός, τοῖχε κεκονιαμένε· καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, καὶ παρανομῶν κελεύεις με τύπτεσθαι; Οἱ δὲ παρεστῶτες εἶπον· Τὸν ἀρχιερέα τοῦ Θεοῦ λοιδορεῖς; Ἔφη τε ὁ Παῦλος· Οὐκ ᾔδειν, ἀδελφοί, ὅτι ἐστὶν ἀρχιερεύς· γέγραπται γάρ· Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς».

2. Τινὲς μὲν οὖν φασι ὅτι εἰδὼς εἰρωνεύεται, ἐμοὶ δὲ δοκεῖ ὅτι οὐδὲ ὅλως ᾔδει ὅτι ἐστὶν ἀρχιερεύς· ἢ γὰρ ἂν καὶ ἐτίμησε· διὸ καὶ ἀπολογεῖται, ὡς κατηγορίας οὔσης, καὶ ἐπάγει· «Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς». Τί οὖν; φησίν· εἰ γὰρ μὴ ἄρχων ἦν, ἄλλον ἁπλῶς ὑβρίζειν ἔδει; Οὐδαμῶς· ἀλλὰ καὶ ὑβριζόμενον μᾶλλον ἐνεγκεῖν. Ἄξιον δὲ ζητῆσαι πῶς, ἀλλαχοῦ ὁ αὐτὸς λέγων, «Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα», ἐνταῦθα τοὐναντίον ποιεῖ, καὶ οὐ λοιδορεῖται μόνον, ἀλλὰ καὶ ἐπαρᾶται; Ἄπαγε! οὐδέτερον τούτων φαίνεται πεποιηκώς, ἀλλὰ τῷ ἀκριβῶς σκοποῦντι παρρησίας μᾶλλόν ἐστι τὰ ῥήματα ἢ θυμοῦ· ἄλλως δὲ οὐκ ἐβούλετο εὐκαταφρόνητος φανῆναι τῷ χιλιάρχῳ. Εἰ γὰρ αὐτὸς μὲν ἐφείσατο μαστίξαι ὡς δὴ τοῖς Ἰουδαίοις ἐκδίδοσθαι μέλλοντα, τὸ ὑπὸ τῶν οἰκετῶν τύπτεσθαι μᾶλλον ἂν ἐκεῖνον θρασύτερον εἰργάσατο· διὰ τοῦτο οὐδὲ πρὸς τὸν παῖδα ἀποτείνεται, ἀλλὰ πρὸς αὐτὸν τὸν ἐπιτάξαντα, τοῦτο κατασκευάζων. Τὸ δὲ «τοῖχε κεκονιαμένε, καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον» εἶπε, μονονουχὶ

2. Ἐξ. 22, 28
3. Α΄ Κορ. 4, 12

νερὸ ἀπὸ ἐκεῖνα ποὺ πρόσθεσε. «Ὁ ἀρχιερέας Ἀνανίας διέταξε τότε ἐκείνους ποὺ στέκονταν κοντά του νὰ τὸν χτυποῦν στὸ στόμα». Πολὺ καλὰ λοιπόν· ὁ ἀρχιερέας ἦταν ἐπιεικής. «Τότε ὁ Παῦλος εἶπε πρὸς αὐτόν· Ὁ Θεὸς θὰ σὲ χτυπήσει, τοῖχε ἀσβεστωμένε· κάθεσαι ἐκεῖ γιὰ νὰ κρίνεις σύμφωνα μὲ τὸ νόμο καὶ παραβαίνοντας τὸ νόμο διατάσσεις νὰ μὲ χτυπήσουν; Τότε οἱ παραβρισκόμενοι ἐκεῖ εἶπαν· Τὸν ἀρχιερέα τοῦ Θεοῦ βρίζεις; Καὶ ὁ Παῦλος εἶπε· Δὲν ἤξερα, ἀδελφοί, ὅτι εἶναι ἀρχιερέας· διότι ἔχει γραφεῖ· Δὲν θὰ κακολογήσεις τὸν ἄρχοντα τοῦ λαοῦ σου»[2].

2. Μερικοὶ βέβαια ἰσχυρίζονται ὅτι τὸν εἰρωνεύεται, γνωρίζοντας ὅτι εἶναι ἀρχιερέας, ὅμως ἐγὼ ἔχω τὴ γνώμη ὅτι δὲν γνώριζε ὅτι ἦταν ἀρχιερέας· διότι ὁπωσδήποτε, ἐὰν τὸ γνώριζε, θὰ ἔδειχνε σεβασμὸ πρὸς αὐτόν· γι' αὐτὸ καὶ ἀπολογεῖται, σὰν νὰ κατηγορήθηκε, καὶ προσθέτει· «Δὲν θὰ κακολογήσεις τὸν ἄρχοντα τοῦ λαοῦ σου». Τί λοιπόν; λέγει· ἐὰν δὲν ἦταν ἄρχοντας, ἔπρεπε ἐὰν ἦταν ἄλλος νὰ τὸν βρίζει; Καθόλου, ἀλλὰ καὶ ἂν ἀκόμη βριζόταν νὰ ὑπομένει ὁπωσδήποτε τὶς ὕβρεις. Ἀξίζει νὰ ἐξετάσομε πῶς, λέγοντας ὁ ἴδιος σὲ ἄλλη περίπτωση, «Ὅταν μᾶς βρίζουν, εὐλογοῦμε, ὅταν μᾶς διώκουν, δείχνομε ἀνοχή»[3], ἐδῶ κάμνει τὸ ἀντίθετο, καὶ ὄχι μόνο βρίζει, ἀλλὰ καὶ καταριέται; Μακριὰ μιὰ τέτοια σκέψη! Τίποτε ἀπ' αὐτὰ φαίνεται ὅτι δὲν ἔχει κάνει, ἀλλὰ γιὰ ἐκεῖνον ποὺ ἐξετάζει τὰ πράγματα μὲ προσοχή, τὰ λόγια αὐτὰ εἶναι ἀποτέλεσμα μᾶλλον θάρρους, παρὰ θυμοῦ· ἄλλωστε δὲν ἤθελε νὰ φανεῖ εὐκαταφρόνητος στὸ χιλίαρχο. Διότι, ἐὰν αὐτὸς ἀπέφυγε νὰ τὸν μαστιγώσει καὶ προτίμησε νὰ τὸν παραδώσει στοὺς Ἰουδαίους, τὸ νὰ δέρνεται ἀπὸ τοὺς ὑπηρέτες αὐτὸ θὰ ἔκαμνε θρασύτερο ἐκεῖνον· γι' αὐτὸ καὶ δὲν ἀπευθύνεται πρὸς τὸν ὑπηρέτη, ἀλλὰ πρὸς ἐκεῖνον ποὺ ἔδωσε τὴ διαταγή, θέλοντας νὰ ἐπιτύχει αὐτό. Τὸ «τοῖχε ἀσβεστωμένε, κάθεσαι ἐκεῖ γιὰ νὰ μὲ κρίνεις σύμφωνα μὲ τὸ νόμο», τὸ εἶπε, θέλοντας

τοῦτο αὐτὸ λέγων· 'Υπεύθυνος ὢν καὶ μυρίων πληγῶν ἄξιος'.

Ὅρα γοῦν πῶς αὐτοῦ κατεπλάγησαν τὴν παρρησίαν ὁ δῆμος· δέον γὰρ ἀνατρέψαι τὸ πᾶν, παροινοῦσι μᾶλλον. Αὐτὸς δὲ καὶ τὸν νόμον ὑπαναγινώσκει, ἐπειδὴ βούλεται δεῖξαι ὅτι οὐ διὰ τὸ φοβηθῆναι, οὐδὲ διὰ τὸ μὴ ἄξιον εἶναι ἀκοῦσαι, ταῦτα οὕτως εἶπεν, ἀλλὰ τῷ νόμῳ καὶ ἐνταῦθα πειθόμενος. Καὶ σφόδρα πείθομαι μὴ εἰδέναι αὐτὸν ὅτι ἀρχιερεύς ἐστι, διὰ μακροῦ μὲν ἐπανελθόντα χρόνου, μὴ συγγινόμενον δὲ συνεχῶς Ἰουδαίοις, ὁρῶντα δὲ καὶ ἐκεῖνον ἐν τῷ μέσῳ μετὰ πολλῶν καὶ ἑτέρων· οὐκέτι γὰρ δῆλος ἦν ὁ ἀρχιερεύς, πολλῶν ὄντων καὶ διαφόρων. Οὕτω μοι καὶ τοῦτο πρὸς αὐτοὺς ἀποτείνασθαι δοκεῖ, δεικνὺς ὅτι νόμῳ πείθεται, καὶ διὰ τοῦτο ἀπολογεῖται. Ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα.

«Προσευχομένου μου», φησίν, «ἐν τῷ ἱερῷ, ἐγένετο γενέσθαι με ἐν ἐκστάσει». Ἵνα δηλώσῃ ὅτι οὐχ ἁπλῶς φαντασία ἦν, διὰ τοῦτο προσέθηκε τὸ «προσευχομένου μου». «Σπεῦσον καὶ ἔξελθε ἐν τάχει», φησί, «διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν». Ἐνταῦθα δείκνυσιν ὅτι οὐχὶ φοβούμενος αὐτῶν τοὺς κινδύνους ἔφυγεν, ἀλλ' ὅτι οὐκ ἐδέχοντο τὴν μαρτυρίαν αὐτοῦ. Διὰ τί δὲ εἶπεν ὅτι «αὐτοὶ ἐπίστανται ὅτι ἐγὼ ἤμην δεσμεύων»; Οὐκ ἀντιλέγων τῷ Χριστῷ, μὴ γένοιτο! ἀλλὰ βουλόμενος μαθεῖν τὸ οὕτω παράδοξον. «Πορεύου», φησίν, «ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε». Ὅρα· οὐκ ἐδίδαξεν αὐτὸν ὁ Χριστὸς τί δεῖ ποιεῖν, ἀλλ' εἶπε μόνον ἀπελθεῖν, καὶ πείθεται· τοσοῦτον ἦν καταπειθής!

«Καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν», φησί, «λέγοντες· Αἶρε αὐτόν· οὐ γὰρ καθῆκον αὐτὸν ζῆν». Ὢ τῆς θρασύτητος! καὶ μὴν ὑμᾶς οὐ καθήκει ζῆν, οὐχὶ τοῦ-

κατὰ κάποιο τρόπο νὰ πεῖ τὸ ἑξῆς σ' αὐτόν· Εἶσαι ὑπεύθυνος καὶ ἄξιος ἀπείρων τιμωριῶν'.

Πρόσεχε λοιπὸν πῶς τὸ πλῆθος ἐξεπλάγη ἀπὸ τὸ θάρρος τοῦ Παύλου· διότι, ἐνῶ ἔπρεπε νὰ ἀνατρέψουν τὰ πάντα, αὐτοὶ ὅμως συμπεριφέρονται μὲ μεγάλη ἀπρέπεια. Αὐτὸς ὅμως καὶ τὸ νόμο ἀναφέρει, ἐπειδὴ θέλει νὰ δείξει, ὅτι αὐτὰ τὰ εἶπε ἔτσι ὄχι ἐπειδὴ φοβήθηκε, οὔτε ἐπειδὴ δὲν ἦταν ἄξιος νὰ τὰ ἀκούσει, ἀλλὰ ὑπακούοντας καὶ ἐδῶ στὸ νόμο. Καὶ εἶμαι ἀπόλυτα πεπεισμένος ὅτι αὐτὸς δὲν γνώριζε ὅτι ἐκεῖνος ἦταν ἀρχιερέας, καθόσον ἐπέστρεψε ἐδῶ μετὰ ἀπὸ πολὺ χρόνο καὶ δὲν συναναστρεφόταν συνέχεια τοὺς Ἰουδαίους, καὶ ἔτσι εἶδε καὶ ἐκεῖνον ἀνάμεσα στοὺς πολλοὺς ἄλλους· διότι ὁ ἀρχιερέας δὲν ἦταν γνωστός, ἐπειδὴ ὑπῆρχαν πολλοὶ καὶ διάφοροι. Ἔτσι μοῦ φαίνεται ὅτι καὶ αὐτὸ λέγεται πρὸς αὐτούς, γιὰ νὰ δείξει ὅτι ὑπακούει στὸ νόμο καὶ γι' αὐτὸ ἀπολογεῖται. Ἀλλ' ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα λέχθηκαν.

«Ἐνῶ προσευχόμουν», λέγει, «στὸ ναὸ συνέβηκε νὰ περιπέσω σὲ ἔκσταση». Γιὰ νὰ δείξει ὅτι δὲν ἦταν αὐτὸ ἁπλῶς φαντασία, γι' αὐτὸ πρόσθεσε τὸ «Ἐνῶ προσευχόμουν». «Τρέξε καὶ φύγε γρήγορα», λέγει, «διότι δὲν θὰ δεχθοῦν τὴ μαρτυρία σου». Ἐδῶ δείχνει ὅτι δὲν ἔφυγε ἐπειδὴ φοβόταν τοὺς κινδύνους ἐκ μέρους αὐτῶν, ἀλλ' ἐπειδὴ δὲν δέχονταν τὴ μαρτυρία του. Γιατί ὅμως εἶπε ὅτι «Αὐτοὶ γνωρίζουν πάρα πολὺ καλὰ ὅτι ἐγὼ ἤμουν ἐκεῖνος ποὺ φυλάκιζα τοὺς πιστούς»; Τὸ εἶπε ὄχι γιὰ νὰ προβάλει ἀντίρρηση στὸ Χριστό, μακριὰ μιὰ τέτοια σκέψη! ἀλλὰ θέλοντας νὰ μάθει αὐτὸ τὸ τόσο παράδοξο. «Πήγαινε», λέγει, «διότι ἐγὼ θὰ σὲ στείλω μακριὰ στοὺς ἐθνικούς». Πρόσεχε· δὲν τὸν δίδαξε ὁ Χριστὸς τί πρέπει νὰ κάνει, ἀλλὰ τοῦ εἶπε μόνο νὰ φύγει, καὶ ὑπακούει· τόσο πολὺ ὑπάκουος ἦταν!

«Καὶ ἄρχισαν», λέγει, «νὰ φωνάζουν δυνατὰ καὶ νὰ λένε· ἐξαφάνισέ τον, διότι δὲν πρέπει νὰ ζεῖ αὐτός». Πώ, πὼ μέγεθος θρασύτητας! καὶ ὅμως σεῖς δὲν ἔπρεπε

τον τὸν πάντα πειθόμενον τῷ Θεῷ. Ὦ μιαροὶ καὶ ἀνδροφόνοι! «Καὶ τὰ ἱμάτια ἐκτινάσσοντες», φησί, «κονιορτὸν ἔβαλον». Ὥστε χαλεπωτέραν γενέσθαι τὴν στάσιν τοῦτο ποιοῦσιν, ἢ καὶ φοβῆσαι βουλόμενοι τὸν ἄρχοντα. Καὶ ὅρα· οὐ λέγουσι τὴν αἰτίαν, ἐπειδὴ μηδὲν εἶχον εἰπεῖν, ἀλλὰ τῇ βοῇ καταπλήξειν οἴονται· καὶ μὴν παρὰ τῶν κατηγόρων ἐχρῆν μαθεῖν. «Καὶ ὁ χιλίαρχος ἐφοβήθη», φησίν, «ἐπιγνοὺς ὅτι Ρωμαῖός ἐστιν». Οὐκ ἄρα ψεῦδος ἦν τὸ Ρωμαῖον ἑαυτὸν εἶναι τὸν Παῦλον εἰπεῖν. «Καὶ ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν», φησί, «καὶ καταγαγὼν ἔστησεν εἰς τὸ συνέδριον». Τοῦτο ἔδει ποιῆσαι παρὰ τὴν ἀρχήν, καὶ μήτε δῆσαι, μήτε βουληθῆναι μαστίξαι, ἀλλὰ καταλιπεῖν μηδὲν τοιοῦτό τι ποιήσαντα, ὥστε καὶ δεσμεῖσθαι. «Καὶ ἔλυσεν αὐτόν», φησί, «καὶ καταγαγὼν εἰς αὐτοὺς ἔστησε». Τοῦτο μάλιστα ἠπόρησαν οἱ Ἰουδαῖοι.

«Ἀτενίσας δὲ Παῦλος τῷ συνεδρίῳ», φησίν, «εἶπεν· Ἄνδρες ἀδελφοί». Ἐνταῦθα τὴν παρρησίαν αὐτοῦ δείκνυσι, τὸ ἀκατάπληκτον. Ἀλλ' ὅρα καὶ ἐκείνων τὸ ἰταμόν· ἐπήγαγε γάρ· «Ὁ δὲ ἀρχιερεὺς Ἀνανίας τύπτειν αὐτοῦ τὸ στόμα ἐπέταξε». Διὰ τί τύπτεις; τί γὰρ εἶπεν ὑβριστικόν; Ὢ τῆς ἀναισχυντίας! ὢ τῆς θρασύτητος! «Τότε ὁ Παῦλος πρὸς αὐτόν», φησίν, «εἶπε· Τύπτειν σε μέλλει ὁ Θεός, τοῖχε κεκονιαμένε». Βαβαὶ τῆς παρρησίας! εἰς ὑπόκρισιν αὐτὸν καὶ παρανομίαν διασύρει· διὰ τοῦτο γοῦν καὶ καταστέλλεται. Καὶ αὐτὸς μὲν ἀπορῶν οὐδὲν τολμᾷ εἰπεῖν, ἀλλ' οἱ παρ' αὐτόν, οὐκ ἐνεγκόντες αὐτοῦ τὴν παρρησίαν. Οὕτως εἶδον ἄνθρωπον θανατῶντα, καὶ οὐχ ὑπέμειναν. «Οὐκ ᾔδειν», φησίν, «ὅτι ἀρχιερεύς ἐστιν». Ἄρα ἀγνοίας ἡ ἐπιτίμησις ἦν· εἰ γὰρ μὴ τοῦ-

νὰ ζεῖτε, καὶ ὄχι αὐτὸς ποὺ σ' ὅλα εἶναι ὑπάκουος στὸ Θεό. Πώ, πὼ ἄνθρωποι ἀχρεῖοι καὶ φονιάδες! «Καὶ ἔρριχναν», λέγει, «τὰ ἐνδύματά τους καὶ σκόρπιζαν σκόνη». Αὐτὸ τὸ κάμνουν γιὰ νὰ γίνει πιὸ φοβερὴ ἡ στάση τους, ἢ καὶ θέλοντας νὰ φοβήσουν τὸν ἄρχοντα. Καὶ πρόσεχε· δὲν λένε τὴν αἰτία, ἐπειδὴ δὲν εἶχαν τίποτε νὰ ποῦν, ἀλλὰ νομίζουν ὅτι θὰ τὸν καταπλήξουν μὲ τὶς δυνατὲς φωνές τους· καὶ ὅμως ἔπρεπε νὰ τὸ καταλάβει ἀπὸ τοὺς κατηγόρους. «Καὶ ὁ χιλίαρχος», λέγει, «φοβήθηκε, ποὺ διαπίστωσε, ὅτι ὁ Παῦλος εἶναι Ρωμαῖος πολίτης». Ἐπομένως δὲν ἦταν ψέμα ποὺ εἶπε ὁ Παῦλος ὅτι εἶναι Ρωμαῖος πολίτης. «Τὸν ἔλυσε τότε», λέγει, «ἀπὸ τὰ δεσμά, καὶ τὸν κατέβασε κάτω παρουσιάζοντάς τον στὸ συνέδριο». Αὐτὸ ἔπρεπε νὰ τὸ κάνει στὴν ἀρχή, καὶ οὔτε νὰ τὸ δέσει καὶ οὔτε νὰ θελήσει νὰ τὸν μαστιγώσει, ἀλλὰ νὰ τὸν ἀφήσει ἐλεύθερο, αφοῦ δὲν ἔκανε τίποτε παρόμοιο, ὥστε νὰ χρειαζόταν νὰ τον δέσει. «Τὸν ἔλυσε», λέγει, «καὶ τὸν κατέβασε κάτω παρουσιάζοντάς τον σ' αὐτούς». Γι' αὐτὸ πρὸ πάντων ἀπόρησαν οἱ Ἰουδαῖοι.

«Ὁ Παῦλος τότε ἀφοῦ ἔρριξε», λέγει, «τὸ βλέμμα του στὸ συνέδριο εἶπε· Ἄνδρες ἀδελφοί». Ἐδῶ δείχνει τὸ θάρρος του, τὴν ἀφοβία του. Ἀλλὰ πρόσεχε καὶ τὴ θρασύτητα ἐκείνων· διότι πρόσθεσε· «Ὁ ἀρχιερέας Ἀνανίας διέταξε νὰ τὸν χτυποῦν στὸ στόμα». Γιατί τὸν χτυπᾶς; διότι τί τὸ ὑβριστικὸ εἶπε; Πώ, πὼ ἀδιαντροπιά! πώ, πὼ θρασύτητα! «Τότε ὁ Παῦλος εἶπε», λέγει, «πρὸς αὐτόν· Ὁ Θεὸς θὰ σὲ χτυπήσει, τοῖχε ἀσβεστωμένε». Πώ, πὼ μέγεθος παρρησίας! Τὸν κατηγορεῖ γιὰ ὑποκρισία καὶ παρανομία· γι' αὐτὸ λοιπὸν καὶ συγκρατεῖται. Καὶ αὐτὸς βέβαια ἐπειδὴ βρέθηκε σὲ ἀμηχανία δὲν τολμᾶ νὰ πεῖ τίποτε, ἀλλ' οἱ βρισκόμενοι κοντὰ σ' αὐτόν, μὴ ὑποφέροντας τὸ θάρρος του. Εἶδαν ἄνθρωπο ποὺ ἤθελε τόσο πολὺ νὰ πεθάνει καὶ δὲν μπόρεσαν νὰ τὸ ὑποφέρουν. «Δὲν γνώριζα», λέγει, «ὅτι εἶναι ἀρχιερέας». Ἐπομένως ἡ ἐπίπληξη ἦταν ἀποτέλεσμα ἄγνοιας· διότι, ἐὰν δὲν ἦταν

το ἦν, κἂν λαβὼν αὐτὸν ἀπῆλθε, καὶ οὐκ ἐσίγησε, κἂν ἐξέδωκεν αὐτοῖς αὐτὸν ὁ χιλίαρχος.

3. Ἐνταῦθα δείκνυσιν ὅτι ἑκὼν πάσχει ἃ πάσχει· καὶ οὕτως ἀπολογεῖται πρὸς αὐτούς, τῷ νόμῳ πειθόμενος, οὐχὶ αὐτοῖς ἐνδείξασθαι βουλόμενος· ἐπεὶ ἐκείνων καὶ κατεγνώκει σφόδρα. Διὰ τὸν νόμον τοίνυν ἀπολογεῖται, ἀλλ' οὐ διὰ τὸν δῆμον. Εἰκότως· τὸ γὰρ τὸν οὐδὲν ἠδικηκότα ἀναιρεῖν, καὶ ταῦτα ἀθῶον ὄντα, παράνομον ἦν. Οὐκοῦν οὐδὲ ὕβρις τὸ παρ' αὐτοῦ εἰρημένον, εἰ μὴ καὶ τὰ τοῦ Χριστοῦ ὕβριν εἴποι τις, ὅταν λέγῃ· «Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις». Ναί, φησίν· ἀλλά, εἰ πρὸ τοῦ τυπτηθῆναι εἶπεν, οὐκ ἦν θυμοῦ, ἀλλὰ παρρησίας. Ἀλλ' εἶπον τὴν αἰτίαν, ὅτι οὐκ ἐβούλετο καταφρονηθῆναι. Καὶ μὴν ὁ Χριστὸς πολλαχοῦ ὕβρισεν Ἰουδαίους, αὐτὸς ὑβρισθείς, ὡς, ὅταν λέγῃ· «Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν». Ἀλλ' οὐκ ἔστι τοῦτο ὕβρις, μὴ γένοιτο!

Ὅρα γοῦν πρὸς ἐκείνους μεθ' ὅσης ἐπιεικείας διαλέγεται. «Οὐκ ᾔδειν ὅτι ἀρχιερεύς ἐστι», φησί, τοῦ Θεοῦ». Τοῦτο εἶπε, καὶ οὐκ ἔστη, ἀλλά, δεικνὺς ὅτι οὐκ εἰρωνεύεται, ἐπάγει· «Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς». Βλέπεις πῶς καὶ ἄρχοντα αὐτὸν ἔτι ὁμολογεῖ; Μάθωμεν τοίνυν καὶ ἡμεῖς τὴν ἐπιείκειαν, ἵνα ἐν ἑκατέροις ὦμεν ἀπηρτισμένοι· πολλῆς γὰρ ἀκριβείας δεῖ, ὥστε μαθεῖν τί μὲν τοῦτο, τί δὲ ἐκεῖνο· ἀκριβείας δὲ δεῖ, ὅτι παρυφεστᾶσιν αὐταῖς αἱ κακίαι, τῇ μὲν παρρησίᾳ θρασύτης, τῇ δὲ ἐπιεικείᾳ ἀνανδρία· καὶ δέον περισκοπεῖν μή, τὴν κακίαν τις κατέχων, δόξῃ τὴν ἀρετὴν ἔχειν· ὥσπερ ἂν εἴ τις, δοκῶν τῇ δεσποίνῃ συγγίνεσθαι, ἀγνοοίη τῇ θεραπαι-

---

4. Ματθ. 23. 27
5. Ἰω. 5. 45

αὐτό, ἴσως νὰ τὸν ἔπαιρνε καὶ νὰ ἔφευγε, καὶ δὲν θὰ σιωποῦσε, ἴσως ὁ χιλίαρχος νὰ τὸν παρέδινε σ' αὐτούς.

3. Ἐδῶ δείχνει ὅτι μὲ τὴ θέλησή του πάσχει τὰ ὅσα πάσχει· καὶ ἀπολογεῖται μὲ τὸν τρόπο αὐτὸ πρὸς αὐτούς, ὑπακούοντας στὸ νόμο, καὶ ὄχι θέλοντας νὰ ἐπιδειχθεῖ πρὸς αὐτούς· καθόσον ἐκείνους τοὺς εἶχε κατηγορήσει πάρα πολύ. Γιὰ τὸ νόμο λοιπὸν ἀπολογεῖται, καὶ ὄχι γιὰ τὸ ἐκεῖ πλῆθος. Πολὺ σωστά· διότι τὸ νὰ θέλουν νὰ φονεύσουν ἐκεῖνον ποὺ δὲν ἔκανε κανένα ἀδίκημα, καὶ ὁ ὁποῖος μάλιστα ἦταν ἀθῶος, αὐτὸ ἦταν παράνομο. Ἐπομένως δὲν ἀποτελεῖ ὕβρη αὐτὸ ποὺ λέχθηκε ἀπ' αὐτόν, διότι ἀλλιῶς θὰ μποροῦσε κάποιος νὰ πεῖ ὅτι ἦταν ὕβρη καὶ ἐκεῖνα ποὺ εἶπε ὁ Χριστός, ὅταν λέγει· «Ἀλλοίμονό σας, Γραμματεῖς καὶ Φαρισαῖοι, διότι μοιάζετε μὲ τάφους ἀσβεστωμένους»[4]. Ναί, λέγει· ἀλλά, ἐὰν τὸ ἔλεγε προτοῦ νὰ χτυπηθεῖ, δὲν θὰ ἦταν ἀποτέλεσμα θυμοῦ, ἀλλὰ θάρρους. Ὅμως εἶπα τὴν αἰτία, τὸ εἶπε ἐπειδὴ δὲν ἤθελε νὰ περιφρονηθεῖ. Ἄλλωστε καὶ ὁ Χριστὸς σὲ πολλὲς περιπτώσεις κατηγόρησε τοὺς Ἰουδαίους, ἀφοῦ πρῶτα βρίσθηκε ὁ ἴδιος, ὅπως ὅταν λέγει· «Μὴ νομίζετε ὅτι ἐγὼ θὰ σᾶς κατηγορήσω»[5]. Ἀλλ' αὐτὸ δὲν εἶναι ὕβρη, μακριὰ μιὰ τέτοια σκέψη!

Πρόσεχε λοιπὸν μὲ πόση ἠπιότητα ὁμιλεῖ πρὸς ἐκείνους. «Δὲν ἤξερα», λέγει, «ὅτι εἶναι ἀρχιερέας τοῦ Θεοῦ». Τὸ εἶπε αὐτὸ καὶ δὲν σταμάτησε, ἀλλά, γιὰ νὰ δείξει ὅτι δὲν εἰρωνεύεται, προσθέτει· «Νὰ μὴ κακολογήσεις ἄρχοντα τοῦ λαοῦ σου». Βλέπεις πῶς καὶ ἄρχοντα ἀκόμη ὀνομάζει αὐτόν; Ἂς μάθομε λοιπὸν καὶ ἐμεῖς τὴν ἐπιείκεια, γιὰ νὰ εἴμαστε ὁλοκληρωμένοι καὶ ὡς πρὸς τὰ δύο· διότι χρειάζεται μεγάλη προσοχή, γιὰ νὰ μάθομε τί εἶναι τὸ ἕνα, καὶ τί τὰ ἄλλο· χρειάζεται προσοχή, διότι βρίσκονται κοντὰ σ' αὐτὲς οἱ κακίες, στὸ θάρρος ἡ θρασύτητα, καὶ στὴν ἐπιείκεια ἡ ἀνανδρία· καί, χρειάζεται νὰ προσέχει κανείς, μήπως, κατέχοντας τὴν κακία, νομίσει ὅτι ἔχει τὴν ἀρετή· ὅπως ἀκριβῶς ἐὰν κάποιος, νομίζοντας ὅτι βρίσκεται μαζὶ μὲ τὴν κυρία, ἀγνοεῖ ὅτι βρί-

νίδι συνών. Τί οὖν ἐστιν ἐπιείκεια, καὶ τί ἀνανδρία; Ὅταν ἑτέροις μὲν ἀδικουμένοις μὴ ἀμύνωμεν, ἀλλὰ σιγῶμεν αὐτοί, τοῦτο ἀνανδρίας ἐστίν, ὅταν δὲ αὐτοί, κακῶς πάσχοντες, φέρωμεν, τοῦτο ἐπιείκεια. Τί παρρησία; Πάλιν τὸ αὐτό, ὅταν ὑπὲρ ἑτέρων ἀγωνιζώμεθα. Τί δαὶ θρασύτης; Ὅταν ὑπὲρ ἡμῶν αὐτῶν ἀμύνεσθαι βουλώμεθα. Ὥστε μεγαλοψυχία ὁμοῦ καὶ παρρησία, καὶ θρασύτης πάλιν καὶ ἀνανδρία· ὁ γὰρ ὑπὲρ ἑαυτοῦ μὴ ἀλγῶν δυσκόλως ὑπὲρ ἑτέρων ἀλγήσει, ὁ δὲ ἑαυτῷ μὴ ἀμύνων δυσκόλως ἑτέροις οὐκ ἀμυνεῖται· ὅταν γὰρ καθαρὸν ᾖ τὸ ἦθος ἡμῖν πάθους, δέχεται καὶ ἀρετήν. Καθάπερ καθαρὸν σῶμα πυρετοῦ δέχεται ἰσχύν, οὕτω δὴ καὶ ἡ ψυχή, ἂν μὴ τοῖς πάθεσι προσδιαφθαρῇ, δέχεται ἰσχύν.

Μεγάλης ἰσχύος γνώρισμά ἐστιν ἐπιείκεια· γενναίας καὶ νεανικῆς δεῖ ψυχῆς καὶ ὑψηλῆς σφόδρα τῇ ἐπιεικείᾳ. Ἢ μικρὸν οἴει τὸ παθεῖν κακῶς, καὶ μὴ ἀγριαίνειν; Καὶ οὐκ ἄν τις ἁμάρτοι τὴν κηδεμονίαν τὴν ὑπὲρ τῶν πλησίον ἀνδρείαν εἰπών· ὁ γὰρ τοσοῦτον ἰσχύσας, ὡς δυνηθῆναι τοσούτου περιγενέσθαι πάθους, ἰσχύσει καὶ ἑτέρου κατατολμῆσαι. Οἷον, δύο πάθη ἐστὶ ταῦτα, δειλία καὶ θυμός· ἂν τοῦ θυμοῦ κατάσχῃς, εὔδηλον ὅτι καὶ δειλίας· τοῦ θυμοῦ δὲ κρατεῖς, ἐπιεικὴς ὤν· οὐκοῦν, καὶ τῆς δειλίας ἂν κρατήσῃς, ἔσῃ ἀνδρεῖος. Πάλιν, ἂν μὴ περιγένῃ τοῦ θυμοῦ, γέγονας θρασύς· τούτου δὲ μὴ περιγενόμενος, οὐδὲ φόβου περιγενέσθαι δύνασαι· οὐκοῦν καὶ δειλὸς ἔσῃ· καὶ ταὐτὸν γίνεται, οἷον ἄν, εἰ σῶμα ἀσθενὲς οὕτως εἴη καὶ δύσκρατον, ὡς πρὸς οὐδένα πόνον ἀντέχειν· τοῦτο ταχέως καὶ ὑπὸ ψυχροῦ ἁλίσκεται καὶ ὑπὸ θερμοῦ· τὸ γὰρ δύσκρατον τοιοῦτον, τὸ δὲ εὔκρα-

σκεται μὲ τὴν ὑπηρέτρια. Τί λοιπὸν εἶναι ἡ ἐπιείκεια καὶ τί ἡ ἀνανδρία; Ὅταν δὲν ὑπερασπιζόμαστε ἄλλους ποὺ ἀδικοῦνται, ἀλλὰ σιωποῦμε, αὐτὸ εἶναι ἀνανδρία, ἐνῶ ὅταν ἐμεῖς οἱ ἴδιοι κακοπαθοῦμε καὶ δείχνομε ὑπομονή, αὐτὸ εἶναι ἐπιείκεια. Τί εἶναι θάρρος; Πάλι τὸ ἴδιο, ὅταν ἀγωνιζόμαστε γιὰ ἄλλους. Καὶ τί εἶναι θρασύτητα; Ὅταν θέλομε νὰ ὑπερασπιζόμαστε τὸν ἑαυτό μας. Ὥστε ἡ μεγαλοψυχία συνυπάρχει μὲ τὸ θάρρος, καὶ ἡ θρασύτητα πάλι μὲ τὴν ἀνανδρία· καθόσον ἐκεῖνος ποὺ δὲν πονάει γιὰ τὸν ἑαυτό του, δύσκολα θὰ πονέσει γιὰ τοὺς ἄλλους, ἐνῶ ἐκεῖνος ποὺ δὲν ὑπερασπίζεται τὸν ἑαυτό του, δύσκολα δὲν θὰ ὑπερασπισθεῖ τοὺς ἄλλους· διότι ὅταν τὸ ἦθος μας εἶναι καθαρὸ ἀπὸ τὰ πάθη, δέχεται τὴν ἀρετή. Ὅπως ἀκριβῶς τὸ σῶμα ποὺ εἶναι καθαρὸ ἀπὸ πυρετὸ ἔχει δύναμη, ἔτσι λοιπὸν καὶ ἡ ψυχή, ἐὰν δὲν διαφθαρεῖ ἀπὸ τὰ πάθη, ἔχει δύναμη.

Ἡ ἐπιείκεια εἶναι γνώρισμα μεγάλης δυνάμεως· γιὰ τὴν ἐπιείκεια χρειάζεται γενναία καὶ νεανικὴ καὶ πάρα πολὺ ἀνώτερη ψυχή. Ἢ νομίζεις ὅτι εἶναι μικρὸ πράγμα τὸ νὰ κακοπαθεῖς καὶ νὰ μὴ ὀργίζεσαι; Καὶ δὲν θὰ ἔσφαλλε κάποιος ἐὰν ὀνόμαζε ἀνδρεία τὴ φροντίδα γιὰ τοὺς συνανθρώπους του· διότι ἐκεῖνος ποὺ ἀπέκτησε τόση δύναμη, ὥστε νὰ μπορέσει νὰ ὑπερνικήσει ἕνα τόσο μεγάλο πάθος, θὰ μπορέσει καὶ ἄλλα νὰ ὑπερνικήσει. Δύο λοιπὸν εἶναι αὐτὰ τὰ πάθη· ἡ δειλία καὶ ὁ θυμός· ἐὰν κατανικήσεις τὸ θυμό, εἶναι ὁλοφάνερο ὅτι θὰ κατανικήσεις καὶ τὴ δειλία· τὸ θυμὸ τὸν κατανικᾶς ὅταν εἶσαι ἐπιεικής· ἐὰν λοιπὸν κατανικήσεις καὶ τὴ δειλία, θὰ γίνεις ἀνδρεῖος. Πάλι, ἂν δὲν κατανικήσεις τὸ θυμό, ἔγινες τότε θρασύς· ἀφοῦ δὲν μπόρεσες νὰ νικήσεις αὐτόν, δὲν μπορεῖς οὔτε τὸ φόβο νὰ νικήσεις· ἐπομένως θὰ εἶσαι καὶ δειλός· καὶ συμβαίνει τὸ ἴδιο, ὅπως, ἐὰν ὑπάρχει ἕνα σῶμα ποὺ εἶναι τόσο πολὺ ἀσθενικὸ καὶ καχεκτικό, ὥστε νὰ μὴ ἀντέχει σὲ κανένα πόνο· αὐτὸ πολὺ εὔκολα προσβάλλεται καὶ ἀπὸ τὸ ψύχος καὶ ἀπὸ τὴ ζέστη· διότι τὸ καχεκτικὸ σῶμα εἶναι τέτοιο, ἐνῶ τὸ εὔρωστο τὰ ὑπομένει ὅλα.

τον πάντα ὑφίσταται. Πάλιν, ἔστι μεγαλοψυχία ἀρετή, καὶ παρυφέστηκεν αὐτῇ ἀσωτία· ἔστιν οἰκονομία ἀρετὴ καὶ τὸ οἰκονομικὸν εἶναι· παρυφέστηκεν ἡ φειδωλία καὶ ἡ μικρολογία. Φέρε οὖν πάλιν τὰς ἀρετὰς συναγάγωμεν.

4. Οὐκοῦν οὐ μεγαλόψυχος ὁ ἄσωτος. Πῶς; Ὁ γὰρ ὑπὸ μυρίων ἁλισκόμενος παθῶν πῶς ἂν εἴη μέγας τὴν ψυχήν; Οὐ γὰρ χρημάτων ἐστὶ τοῦτο καταφρονεῖν, ἀλλ' ὑφ' ἑτέρων ἐπιτάττεσθαι παθῶν· ὥσπερ ἄν, εἴ τις ὑπὸ λῃστῶν ἐπιτάττοιτο ἐκείνοις ὑπακούειν, οὐκ ἂν εἴη ἐλεύθερος· οὐ γὰρ ἐκ τοῦ χρημάτων καταφρονεῖν γίνεται τὸ ἀναλίσκειν, ἀλλ' ἐκ τοῦ μὴ δεόντως εἰδέναι διοικεῖν· ἐπεί, εἴ γε ἐνῆν καὶ ἔχειν καὶ ἀπολαύειν ἐκείνων, οὕτως ἂν ἠθέλησεν. Ὁ δὲ εἰς δέον ἀναλίσκων τὰ χρήματα, οὗτός ἐστι μεγαλόψυχος· μεγάλη γὰρ ὄντως ἡ ψυχή, ἡ μὴ πάθει δουλεύουσα, ἡ μηδὲν ἡγουμένη τὰ χρήματα εἶναι. Πάλιν, ἡ οἰκονομία καλόν· οὕτω καὶ ὁ οἰκονομικὸς ἂν εἴη ἄριστος ὁ εἰς δέον ἀναλίσκων, καὶ μὴ ἁπλῶς ἀνοικονομήτως. Ἡ δὲ φειδωλία οὐκ ἔστι ταὐτόν. Ἐκεῖνος μὲν γὰρ πάντα εἰς τὸ δέον ἀναλίσκει, οὗτος δέ, οὐδὲ ἀναγκαίας ἀπαιτούσης χρείας, τῆς οὐσίας ἅπτεται τῶν χρημάτων. Ὁ οἰκονομικὸς τοίνυν τοῦ μεγαλοψύχου γένοιτο ἂν ἀδελφός. Οὐκοῦν ὁμοῦ τὸν μεγαλόψυχον θήσομεν καὶ τὸν οἰκονομικόν, καὶ τὸν ἄσωτον καὶ τὸν μικρολόγον· ἀμφότεροι γὰρ ἀπὸ μικροψυχίας τοῦτο πάσχουσιν, ὥσπερ οὖν κἀκεῖνοι ἀπὸ μεγαλοψυχίας.

Μὴ δὴ μεγαλόψυχον καλῶμεν τὸν ἀναλίσκοντα ἁπλῶς, ἀλλὰ τὸν εἰς δέον ἀναλίσκοντα· μηδὲ τὸν οἰκονομικὸν μικρολόγον καὶ φειδωλόν, ἀλλὰ τὸν ἀκαίρως φειδόμενον τῶν χρημάτων. Πόσα ὁ πλούσιος ἐκεῖνος ἀνάλωσεν, ἐνδιδυσκόμενος πορφύραν καὶ βύσσον;

Πάλι, ἡ μεγαλοψυχία εἶναι ἀρετή, καὶ κοντὰ σ' αὐτὴν βρίσκεται ἡ ἀσωτία· ἐπίσης ἡ οἰκονομία εἶναι ἀρετὴ καθὼς καὶ τὸ νὰ εἶναι κανεὶς οἰκονόμος· κοντὰ σ' αὐτὴν βρίσκεται ἡ φιλαργυρία καὶ ἡ τσιγγουνιά. Ἐμπρὸς λοιπὸν ν' ἀπαριθμήσομε πάλι τὶς ἀρετές.

4. Πραγματικὰ ὁ ἄσωτος δὲν εἶναι μεγαλόψυχος. Γιατί; Διότι ἐκεῖνος ποὺ κυριεύεται ἀπὸ ἀμέτρητα πάθη πῶς θὰ μποροῦσε νὰ εἶναι μεγαλόψυχος; Διότι ἡ ἀσωτία δὲν ἀποτελεῖ περιφρόνηση τῶν χρημάτων, ἀλλ' ἐξουσιάζεται ἀπὸ ἄλλα πάθη· ὅπως ἀκριβῶς δὲν θὰ ἦταν κάποιος ἐλεύθερος, ἐὰν διατάσσονταν ἀπὸ τοὺς ληστὲς νὰ ὑπακούει σ' ἐκείνους· διότι ἡ σπατάλη δὲν γίνεται ἀπὸ περιφρόνηση πρὸς τὰ χρήματα, ἀλλ' ἐπειδὴ δὲν γνωρίζει κανεὶς νὰ κάνει σωστὴ διαχείριση· διότι, ἐὰν μποροῦσε καὶ νὰ ἔχει χρήματα καὶ ν' ἀπολαμβάνει αὐτά, ὁπωσδήποτε θὰ τό ἤθελε. Ἐνῶ ἐκεῖνος πού ξοδεύει σωστὰ τὰ χρήματα, αὐτὸς εἶναι μεγαλόψυχος· διότι πραγματικὰ μεγάλη ψυχὴ εἶναι ἐκείνη ποὺ δὲν εἶναι δούλη τῶν παθῶν, πού δὲν θεωρεῖ τίποτε τὰ χρήματα. Ἐπίσης ἡ οἰκονομία εἶναι καλό πράγμα· κατὰ τὴν ἴδια σκέψη καὶ ὁ οἰκονόμος θὰ ἦταν ἄριστος ἐὰν ξόδευε σωστὰ τὰ χρήματα καὶ ὄχι ἄσκοπα καὶ χωρὶς σωστὴ διαχείριση. Ἡ τσιγγουνιὰ ὅμως δὲν εἶναι τὸ ἴδιο. Διότι ὁ οἰκονόμος ὅλα τὰ ξοδεύει ὅπως πρέπει, ἐνῶ ὁ τσιγγούνης οὔτε καὶ ὅταν τὸ ἀπαιτεῖ κάποια ἀπαραίτητη ἀνάγκη ἁπλώνει τὸ χέρι του στὰ χρήματα. Ἡ οἰκονόμος λοιπὸν θὰ μποροῦσε νὰ θεωρηθεῖ ἀδελφὸς τοῦ μεγαλόψυχου. Ἂς τοποθετήσομε λοιπὸν τὸν μεγαλόψυχο μαζὶ μὲ τὸν οἰκονόμο, καὶ τὸν ἄσωτο μαζὶ μὲ τὸν τσιγγούνη· διότι καὶ οἱ δύο αὐτοὶ τὸ παθαίνουν αὐτὸ ἀπὸ μικροψυχία, ὅπως βέβαια καὶ ἐκεῖνοι ἀπὸ μεγαλοψυχία.

Ἂς ὀνομάζομε λοιπὸν μεγαλόψυχο ὄχι ἐκεῖνον πού ξοδεύει ἀπερίσκεπτα, ἀλλ' ἐκεῖνον ποὺ ξοδεύει ἐκεῖ πού πρέπει· οὔτε τὸν οἰκονόμο νὰ τὸν ὀνομάσομε τσιγγούνη καὶ φιλάργυρο, ἀλλ' ἐκεῖνον πού τσιγγουνεύεται τὰ χρήματα ἐκεῖ ποὺ δὲν πρέπει. Πόσα ξόδεψε ὁ πλούσιος ἐκεῖνος, πού φοροῦσε πορφύρα καὶ μεταξωτὰ ἐνδύματα;

Ἀλλ' οὐκ ἦν μεγαλόψυχος· ὑπὸ γὰρ ὠμότητος κατείχετο ἡ ψυχὴ αὐτοῦ, καὶ ὑπὸ μυρίων ἡδονῶν· ἡ δὲ τοιαύτη πῶς ἂν εἴη μεγάλη; Μεγαλόψυχος ἦν ὁ Ἀβραάμ, εἰς ὑποδοχὴν ἀναλίσκων τῶν ξένων, τὸν μόσχον κατασφάττων, καὶ ἔνθα ἐχρῆν, οὐ μόνον χρημάτων, ἀλλ' οὐδὲ τῆς ψυχῆς τῆς αὐτοῦ φειδόμενος. Ἂν τοίνυν ἴδωμέν τινα τράπεζαν παρατιθέντα πολυτελῆ, πόρνας ἔχοντα καὶ παρασίτους, μὴ μεγαλόψυχον καλέσωμεν τοῦτον, ἀλλὰ σφόδρα μικρόψυχον· ὅρα γὰρ ὅσοις δουλεύει καὶ ὑπόκειται πάθεσι, γαστριμαργίᾳ, ἡδονῇ ἀτόπῳ, κολακείᾳ· τὸν δὲ τοσούτοις κατεχόμενον καὶ μηδὲ ἓν τούτων δυνάμενον διαφυγεῖν πῶς ἄν τις μεγαλόψυχον καλοίη; Ὥστε αὐτὸν τότε μάλιστα καλέσομεν μικρόψυχον, ὅταν μάλιστα ἀναλίσκῃ· ὅσῳ γὰρ ἂν μειζόνως ἀναλίσκῃ, τοσούτῳ δηλοῖ τὴν τυραννίδα τῶν παθῶν ἐκείνων· εἰ γὰρ μὴ σφόδρα αὐτοῦ ἐκράτουν, οὐκ ἂν σφόδρα ἀνάλωσε.

Πάλιν, ἂν ἴδωμέν τινα τούτων μὲν μηδενὶ μηδὲν παρέχοντα, πένητας δὲ τρέφοντα καὶ τοῖς δεομένοις ἐπικουροῦντα, αὐτὸν δὲ τράπεζαν ἔχοντα εὐτελῆ, τοῦτον σφόδρα καλῶμεν μεγαλόψυχον· μεγάλης γὰρ ὄντως ψυχῆς, τῆς μὲν οἰκείας καταφρονεῖν ἀναπαύσεως, τῆς δὲ ἑτέρων φροντίζειν. Εἰπὲ γάρ μοι, εἴ τινα ἴδοις, τῶν μὲν τυράννων καταφρονοῦντα πάντων, καὶ οὐδὲν ἡγούμενον τὰ ἐκείνων ἐπιτάγματα, τοὺς δὲ ὑπ' ἐκείνων τυραννουμένους ἐξέλκοντα καὶ τοὺς κακῶς πάσχοντας, ἆρα οὐκ ἂν μέγα ἡγήσαιο τοῦτο; Τοῦτο δὴ κἀνταῦθα λογιζώμεθα. Τύραννός ἐστι τὰ πάθη· ἐὰν οὖν καταφρονήσωμεν αὐτῶν, μεγάλοι ἐσόμεθα, ἂν δὲ καὶ ἑτέρους ἐξελκύσωμεν, πολλῷ μείζους. Εἰκότως· οἱ γὰρ οὐχ ἑαυτοῖς ἀρκοῦντες μό-

Ἀλλὰ δὲν ἦταν μεγαλόψυχος˙ διότι ἡ ψυχὴ αὐτοῦ ἦταν κυριευμένη ἀπὸ ἀπανθρωπιὰ καὶ ἀπὸ ἄπειρες ἡδονές˙ μία τέτοια ψυχὴ πῶς θὰ μποροῦσε νὰ εἶναι μεγάλη; Μεγαλόψυχος ἦταν ὁ Ἀβραάμ, ποὺ ξόδευε γιὰ τὴ φιλοξενία τῶν ξένων, σφάζοντας καὶ τὸ μοσχάρι, καὶ ὅπου χρειαζόταν, ὄχι μόνο ξόδευε χρήματα, ἀλλὰ δὲν λυπόταν οὔτε καὶ τὴ ζωή του. Ἄν λοιπὸν δοῦμε κάποιον νὰ παραθέτει πολυτελὲς γεῦμα, ἔχοντας καλεσμένους σ' αὐτὸ πόρνες καὶ παράσιτους, ἂς μὴ τὸν ὀνομάσομε αὐτὸν μεγαλόψυχο, ἀλλὰ πάρα πολὺ μικρόψυχο˙ διότι πρόσεχε σὲ πόσα πάθη εἶναι δοῦλος καὶ ὑποταγμένος, στὴ γαστριμαργία, στὴν παράλογη ἡδονή, στὴν κολακεία· αὐτὸν ποὺ εἶναι κυριευμένος ἀπὸ τόσα πάθη καὶ δὲν μπορεῖ οὔτε ἕνα ἀπ' αὐτὰ ν' ἀποφύγει πῶς θὰ μποροῦσε κάποιος νὰ τὸν ὀνομάσει μεγαλόψυχο; Ὥστε αὐτὸν τότε πρὸ πάντων θὰ τὸν ὀνομάσομε μικρόψυχο, ὅταν ξοδεύει ὑπερβολικά˙ διότι ὅσο περισσότερα ξοδεύει, τόσο περισσότερο φανερώνει τὴν τυραννικὴ ἐξουσία τῶν παθῶν ἐκείνων· καθόσον, ἐὰν δὲν ἦταν ὑπερβολικὰ κυριευμένος ἀπ' αὐτά, δὲν θὰ ξόδευε σὲ ἀφάνταστο βαθμό.

Ἐπίσης, ἂν δοῦμε κάποιον ποὺ νὰ μὴ δίνει τίποτε σὲ κανένα ἀπ' αὐτούς, ἀλλὰ νὰ τρέφει φτωχοὺς καὶ νὰ βοηθάει ἐκείνους ποὺ ἔχουν ἀνάγκη, ὁ ἴδιος δὲ νὰ εἶναι λιτοδίαιτος, αὐτὸν ἂς τὸν ὀνομάζομε πάρα πολὺ μεγαλόψυχο· διότι πραγματικὰ εἶναι δεῖγμα μεγάλης ψυχῆς τὸ νὰ περιφρονεῖ κανεὶς τὴ δική του ἀνάπαυση καὶ νὰ φροντίζει γιὰ ἄλλους. Διότι πές μου, ἐὰν δεῖς κάποιον ποὺ νὰ περιφρονεῖ ὅλους τοὺς τυράννους καὶ νὰ μὴ θεωρεῖ τίποτε τὰ προστάγματα ἐκείνων, νὰ σώζει ὅμως ἐκείνους ποὺ τυραννοῦνται καὶ κακοπαθοῦν ἀπ' αὐτούς, ἄραγε δὲν θὰ τὸ θεωροῦσες αὐτὸ πολὺ σπουδαῖο; Αὐτὸ λοιπὸν νὰ σκεφτόμαστε καὶ ἐδῶ. Τὰ πάθη εἶναι τύραννος˙ ἐὰν λοιπὸν περιφρονήσομε αὐτά, θὰ γίνομε μεγάλοι, ἂν δὲ καὶ ἄλλους σώσομε, θὰ γίνομε πολὺ πιὸ μεγαλύτεροι. Καὶ πολὺ σωστά˙ διότι ἐκεῖνοι ποὺ δὲν ἀρκοῦνται μόνο στὸ νὰ σώσουν τὸν ἑαυτό τους, ἀλλὰ σώζουν καὶ ἄλλους, εἶ-

νον, ἀλλὰ καὶ ἑτέροις, μείζους τῶν μηδέτερον ποιούντων. Ἂν δέ, ἐπιταττόμενός τις ὑπὸ τυράννου, τὸν μὲν τῶν ὑπηκόων τύπτῃ, τὸν δὲ ἕλκῃ, ἄλλον δὲ ὑβρίζῃ, ἆρα τοῦτο μεγαλοψυχίας ἐροῦμεν; Οὐ δῆτα· καὶ τοσούτῳ πλέον, ὅσῳ ἂν μέγας ᾖ. Οὕτω καὶ ἐφ' ἡμῶν· νῦν μὲν γὰρ πρόκειται ἡ ψυχὴ εὐγενής τις οὖσα καὶ ἐλευθέρα, ταύτην δὲ ὁ ἄσωτος τύπτεσθαι ἐκέλευσεν ὑπὸ τῶν παθῶν· τὸν οὖν ἑαυτὸν τύπτοντα, τοῦτον μεγαλόψυχον φήσομεν; Οὐδαμῶς.

Οὐκοῦν μάθωμεν τίς μὲν ἡ μεγαλοψυχία, τίς δὲ ἡ ἀσωτία, τίς ἡ οἰκονομία καὶ τίς ἡ μικρολογία, τίς ἡ ἐπιείκεια καὶ ἀνανδρία, τίς παρρησία, καὶ τίς θρασύτης, ἵνα, ταῦτα ἀπ' ἀλλήλων διελόντες, δυνηθῶμεν εὐαρέστως τῷ Κυρίῳ τὸν παρόντα βίον διαγαγεῖν, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰ τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ναι μεγαλύτεροι ἀπὸ ἐκείνους ποὺ δὲν κάμνουν οὔτε τὸ ἕνα οὔτε τὸ ἄλλο. Ἂν ὅμως, παίρνοντας κάποιος ἐντολὴ ἀπὸ τύραννο, ἄλλον ἀπὸ τοὺς ὑπηκόους νὰ χτυπάει, ἄλλον νὰ τὸν βασανίζει, καὶ ἄλλον νὰ τὸν βρίζει, ἄραγε αὐτὸ θὰ τὸ ὀνομάσομε μεγαλοψυχία; Ὄχι βέβαια· καὶ τόσο περισσότερο, ὅσο μεγάλος συμβαίνει νὰ εἶναι. Τὸ ἴδιο συμβαίνει καὶ μ᾽ ἐμᾶς· διότι μπροστά μας τώρα βρίσκεται κάποια εὐγενικὴ καὶ ἐλεύθερη ψυχή, καὶ αὐτὴν ὁ ἄσωτος διέταξε νὰ βασανίζεται ἀπὸ τὰ πάθη· αὐτὸν λοιπὸν ποὺ βασανίζει τὸν ἑαυτό του, αὐτὸν θὰ τὸν ὀνομάσομε μεγαλόψυχο; Καθόλου.

Λοιπὸν ἂς μάθομε ποιὰ εἶναι ἡ μεγαλοψυχία καὶ ποιὰ ἡ ἀσωτία, ποιὰ ἡ οἰκονομία καὶ ποιὰ ἡ τσιγγουνιά, ποιὰ ἡ ἐπιείκεια καὶ ποιὰ ἡ ἀνανδρία, ποιὸ τὸ θάρρος καὶ ποιὰ ἡ θρασύτητα, ὥστε, ἀφοῦ διακρίνομε αὐτὰ τὸ ἕνα ἀπὸ τὸ ἄλλο, νὰ μπορέσομε νὰ ζήσομε τὴν παροῦσα ζωὴ ὅπως αὐτὴ ἀρέσει στὸν Κύριο, καὶ νὰ ἐπιτύχομε τὰ μελλοντικὰ ἀγαθὰ μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Μονογενοῦς Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΘ΄

(Πράξ. 23, 6 - 30)

«Γνοὺς δὲ ὁ Παῦλος ὅτι τὸ ἓν μέρος ἐστὶ Σαδδουκαίων, τὸ δὲ ἕτερον Φαρισαίων, ἔκραξεν ἐν τῷ συνεδρίῳ· Ἄνδρες ἀδελφοί, ἐγὼ Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίου· περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. Ταῦτα δὲ αὐτοῦ λαλήσαντος, ἐγένετο στάσις τῶν Σαδδουκαίων καὶ Φαρισαίων, καὶ ἐσχίσθη τὸ πλῆθος. Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἀνάστασιν, μηδὲ ἄγγελον, μήτε πνεῦμα, Φαρισαῖοι δὲ ὁμολογοῦσι τὰ ἀμφότερα».

1. Πάλιν ἀνθρωπίνως διαλέγεται, καὶ οὐ πανταχοῦ τῆς χάριτος ἀπολαύει, ἀλλὰ καὶ παρ' ἑαυτοῦ τι συγχωρεῖται εἰσφέρειν· ὃ δὴ καὶ ποιεῖ, καὶ ἐν τούτῳ καὶ ἐν τῷ μετὰ ταῦτα ἀπολογεῖται, βουλόμενος σχίσαι τὸ πλῆθος, τὸ κακῶς ὁμονοοῦν κατ' αὐτοῦ. Καὶ οὐ ψεύδεται οὐδὲ ἐνταῦθα, Φαρισαῖον ἑαυτὸν λέγων· Φαρισαῖος γὰρ ἦν ἐκ προγόνων. Διὰ τοῦτο καὶ οὕτως ἀπολογεῖται· «Φαρισαῖος ἐγώ εἰμι, υἱὸς Φαρισαίου, καὶ περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι». Ἐπειδὴ γὰρ ἐκεῖνοι οὐκ ἐβούλοντο εἰπεῖν διὰ τί κρίνουσιν αὐτόν, ἀναγκάζεται λοιπὸν αὐτὸς ἐξειπεῖν. «Φαρισαῖοι δέ», φησίν, «ὁμολογοῦσι τὰ ἀμφότερα». Καὶ μὴν τρία ἐστί, πῶς οὖν λέγει, «Ἀμφότερα»; Ἢ ὅτι πνεῦμα καὶ ἄγγελος ἕν ἐστιν, ἢ ὅτι οὐ μόνον ἡ λέξις περὶ δύο, ἀλλὰ καὶ περὶ τριῶν λαμβάνεται. Καταχρηστικῶς οὖν οὕτως εἶπε, καὶ οὐ κυριολογῶν.

ΟΜΙΛΙΑ ΜΘ΄
(Πράξ. 23. 6 - 30)

«Όταν ὁ Παῦλος ἀντιλήφθηκε ὅτι ἡ μία μερίδα ἦταν Σαδδουκαῖοι καὶ ἡ ἄλλη Φαρισαῖοι, φώναξε δυνατὰ πρὸς τὸ συνέδριο· Ἄνδρες ἀδελφοί, ἐγὼ εἶμαι Φαρισαῖος, υἱὸς Φαρισαίου· ἐγὼ δικάζομαι γιὰ τὴν ἐλπίδα καὶ τὴν ἀνάσταση τῶν νεκρῶν. Ὅταν τὰ εἶπε αὐτά, ἔγινε φιλονεικία μεταξὺ τῶν Σαδδουκαίων καὶ τῶν Φαρισαίων καὶ διχάσθηκε τὸ πλῆθος τοῦ συνεδρίου. Διότι οἱ Σαδδουκαῖοι διδάσκουν ὅτι δὲν ὑπάρχει ἀνάσταση νεκρῶν, οὔτε ἄγγελος, οὔτε πνεῦμα, ἐνῶ οἱ Φαρισαῖοι παραδέχονται καὶ τὰ δύο».

1. Πάλι ἀνθρώπινα ὁμιλεῖ καὶ δὲν ἀπολαμβάνει παντοῦ τὴ χάρη τοῦ Θεοῦ, ἀλλ' ἐπιτρέπεται καὶ ἀπὸ τὸν ἑαυτό του νὰ συνεισφέρει κάτι, πράγμα βέβαια ποὺ καὶ κάνει, ἀπολογούμενος καὶ στὴν περίπτωση αὐτὴ καὶ στὴ συνέχεια, θέλοντας νὰ διχάσει τὸ πλῆθος, ποὺ κακῶς ὁμονοεῖ ἐναντίον του. Καὶ οὔτε ἐδῶ λέγει ψέματα, ὀνομάζοντας τὸν ἑαυτό του Φαρισαῖο· διότι ἦταν Φαρισαῖος ἀπὸ προγόνους. Γι' αὐτὸ καὶ ἀπολογεῖται ἔτσι· «Ἐγὼ εἶμαι Φαρισαῖος, υἱὸς Φαρισαίου, καὶ δικάζομαι γιὰ τὴν ἐλπίδα καὶ τὴν ἀνάσταση τῶν νεκρῶν». Ἐπειδὴ δηλαδὴ ἐκεῖνοι δὲν ἤθελαν νὰ ποῦν γιατὶ δικάζουν αὐτόν, ἀναγκάζεται πλέον νὰ τὸ πεῖ ὁ ἴδιος. «Οἱ Φαρισαῖοι ὅμως», λέγει, «παραδέχονται καὶ τὰ δύο». Καὶ ὅμως εἶναι τρία, πῶς λοιπὸν λέγει, *«Καὶ τὰ δύο»*; Ἢ διότι πνεῦμα καὶ ἄγγελος εἶναι ἕνα, ἢ διότι ἡ λέξη αὐτὴ λέγεται ὄχι μόνο γιὰ δύο, ἀλλὰ καὶ γιὰ τρία. Μίλησε λοιπὸν ἔτσι μὲ εὐρύτερη ἔννοια, καὶ ὄχι κυριολεκτώντας.

Καὶ ὅρα, ὅτε μετ' αὐτῶν ἔστη, τότε ἀπολογοῦνται ὑπὲρ αὐτοῦ· «ἐγένετο» γάρ, φησί, «κραυγὴ μεγάλη· καὶ ἀναστάντες οἱ γραμματεῖς τοῦ μέρους τῶν Φαρισαίων, διεμάχοντο, λέγοντες· Οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ· εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος, μὴ θεομαχῶμεν». Καὶ διὰ τί μὴ πρὸ τούτου ὑπὲρ αὐτοῦ ἀπελογήσαντο; Ὅτι αὐτοῖς οὔπω συνεμίγνυτο, οὐδὲ δῆλον ἦν πρὶν ἀπολογήσεται, Φαρισαῖος ἄνωθεν ὤν. Ὁρᾷς, ὅταν τὰ πάθη ὑποχωρήσῃ, πῶς ἡ ἀλήθεια εὑρίσκεται; Ὃ δὲ λέγουσι, τοῦτό ἐστι· Ποῖον ἔγκλημα εἰ ἄγγελος αὐτῷ ἐλάλησεν, εἰ πνεῦμα, καὶ ὑπ' αὐτοῦ κατηχηθείς, οὕτω τὰ περὶ ἀναστάσεως ἐκδιδάσκει; Οὐκοῦν αὐτοῦ ἀποστῶμεν, μή, αὐτῷ πολεμοῦντες, καὶ θεομάχοι εὑρεθῶμεν'. Ὅρα συνετῶς αὐτοὺς ὑπεραπολογουμένους, καὶ τὸν Παῦλον οὐδεμίαν αὐτοῖς διδόντα λαβήν.

«Πολλῆς δὲ γενομένης στάσεως, φοβηθεὶς ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ Παῦλος ὑπ' αὐτῶν, ἐκέλευσε τὸ στράτευμα καταβὰν ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν, ἀγαγεῖν τε εἰς τὴν παρεμβολήν». Φοβεῖται λοιπὸν ὁ χιλίαρχος μὴ διασπασθῇ, ἐπειδὴ εἶπεν ὅτι Ρωμαῖός ἐστιν· ὅθεν καὶ οὐκ ἀκίνδυνον ἦν τὸ πρᾶγμα. Ὁρᾷς ὅτι δικαίως ὡμολόγησεν ἑαυτὸν Ρωμαῖον εἶναι; ἢ γὰρ ἂν οὐδὲ νῦν ἐφοβήθη. Καὶ τὸ μὲν στράτευμα λοιπὸν ἁρπάζει αὐτόν, ὡς δὲ εἶδον οἱ μιαροὶ πάντα ἀνήνυτα, δι' ἑαυτῶν τὸ πᾶν ποιοῦσι, βουληθέντες μὲν καὶ πρὸ τούτου, κωλυθέντες δέ· οὕτως οὐδαμοῦ ἵσταται ἡ κακία τοσούτοις ἐγκοπτομένη, καίτοι πόσο ᾠκονομήθη, ὥστε καὶ τοῦ θυμοῦ καθυφεῖναι, καὶ μαθεῖν δι' ὧν ἐδύναντο ἀνενεγκεῖν. Ἀλλ' οὐδὲν ἧττον ἐφίστανται. Ἱκανὴ γοῦν ἐκείνη ἡ ἀπολο-

Καὶ πρόσεχε, ὅταν πῆγε μὲ τὸ μέρος τους, τότε ἀπολογοῦνται ὑπὲρ αὐτοῦ· διότι λέγει, «Ἔγινε μεγάλος θόρυβος· καί, ἀφοῦ σηκώθηκαν οἱ γραμματεῖς τῆς μερίδας τῶν Φαρισαίων, φιλονεικοῦσαν, λέγοντας· Κανένα κακὸ δὲν βρίσκομε σ' αὐτὸν τὸν ἄνθρωπο· ἐὰν μίλησε σ' αὐτὸν πνεῦμα ἢ ἄγγελος, ἂς μὴ πολεμᾶμε ἐναντίον τοῦ Θεοῦ». Καὶ γιατί πρὶν ἀπ' αὐτὸ δὲν ἀπολογήθηκαν ὑπὲρ αὐτοῦ; Διότι δὲν συναναστρεφόταν μέχρι τότε αὐτούς, οὔτε ἦταν φανερό, προτοῦ ἀπολογηθεῖ, ὅτι εἶναι Φαρισαῖος ἀπὸ τὴν ἀρχή. Βλέπεις, ὅταν τὰ πάθη ὑποχωρήσουν, πῶς βρίσκεται ἡ ἀλήθεια; Αὐτὸ ποὺ λένε σημαίνει τὸ ἑξῆς· Ποιὰ εἶναι ἡ κατηγορία, ἐὰν μίλησε σ' αὐτὸν ἄγγελος ἢ πνεῦμα, καὶ ἀφοῦ διδάχθηκε αὐτὰ ἀπ' αὐτό, διδάσκει αὐτὰ γιὰ τὴν ἀνάσταση; Ἂς ἀπομακρυνθοῦμε λοιπὸν ἀπ' αὐτόν, μήπως, πολεμώντας αὐτόν, βρεθοῦμε νὰ πολεμᾶμε τὸ Θεό. Πρόσεχε αὐτοὺς ποὺ ἀπολογοῦνται ὑπὲρ αὐτοῦ μὲ σύνεση, καὶ τὸν Παῦλο ποὺ δὲν τοὺς δίνει καμία ἀφορμή.

«Ἐπειδὴ ἔγινε μεγάλη φιλονεικία, φοβήθηκε ὁ χιλίαρχος μήπως κατασπαραχθεῖ ὁ Παῦλος ἀπ' αὐτούς, καὶ διέταξε τὸ στρατὸ νὰ κατεβεῖ καὶ νὰ τὸν πάρει μὲ τὴ βία ἀπ' αὐτοὺς καὶ νὰ τὸν ὁδηγήσουν στὸ στρατώνα». Φοβᾶται λοιπὸν ὁ χιλίαρχος μήπως κατασπαραχθεῖ, ἐπειδὴ εἶπε ὅτι εἶναι Ρωμαῖος· γι' αὐτὸ καὶ δὲν ἦταν ἀκίνδυνο τὸ πράγμα αὐτό. Βλέπεις ὅτι δίκαια εἶπε ὅτι εἶναι Ρωμαῖος; διότι ἀλλιῶς δὲν θὰ φοβόταν τώρα ὁ χιλίαρχος. Καὶ ὁ στρατὸς βέβαια ἅρπαξε αὐτὸν ἀπ' αὐτούς, μόλις ὅμως οἱ μιαροὶ εἶδαν ὅλα ν' ἀποτυχαίνουν, μόνοι τους ἐπιχειροῦν νὰ κάνουν τὸ πᾶν, πράγμα ποὺ θέλησαν βέβαια νὰ κάνουν καὶ πρὶν ἀπ' αὐτό, ἀλλ' ἐμποδίσθηκαν. Ἔτσι πουθενὰ δὲν σταματάει ἡ κακία, ἂν καὶ ἐμποδίζεται ἀπὸ τόσα, μολονότι βέβαια πόση φροντίδα καταβλήθηκε ἀπὸ τὸ Θεό, ὥστε καὶ τὸ θυμό τους νὰ ἐγκαταλείψουν, καὶ νὰ μάθουν ἐκεῖνα μὲ τὰ ὁποῖα θὰ μποροῦσαν νὰ συνετισθοῦν. Ἀλλ' ὅμως καθόλου δὲν λιγοστεύει ἡ ἐχθρικότητά τους. Ἦταν ἀρκετὴ βέβαια ἡ ἀπολογία ἐκείνη, τὸ ὅτι σώζεται ὁ ἄν-

γία, τὸ μέλλοντα διασπᾶσθαι τὸν ἄνθρωπον ἁρπάζεσθαι, καὶ τοσούτους κινδύνους διαφυγεῖν.

Τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος εἶπε· Θάρσει, Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι. Γενομένης δὲ ἡμέρας, ποιήσαντες οἱ Ἰουδαῖοι συστροφήν, ἀνεθεμάτισαν ἑαυτοὺς μὴ φαγεῖν μηδὲ ποιεῖν, ἕως οὗ ἀνέλωσι τὸν Παῦλον. Ἦσαν δὲ πλείους τεσσαράκοντα οἱ ταύτην τὴν συνωμοσίαν πεποιηκότες». «Ἀνεθεμάτισαν ἑαυτούς», φησίν. Ὁρᾷς πῶς εἰσι σφοδροὶ καὶ ἀμυντικοὶ περὶ τὴν κακίαν; Τί ἐστιν· «Ἀνεθεμάτισαν; Ἀντὶ τοῦ ʽἔξω εἶναι τῆς εἰς Θεὸν πίστεως εἶπον, εἰ μὴ τὸ δόξαν κατὰ Παύλου ποιήσαιεν’. Ἄρα διὰ παντός εἰσιν ἀνατεθεματισμένοι ἐκεῖνοι· οὐ γὰρ ἀπέκτειναν τὸν Παῦλον. Καὶ τεσσαράκοντα ὁμοῦ συνέρχονται· τοιοῦτον γὰρ τὸ ἔθνος, ὅταν μὲν ἐπὶ ἀγαθῷ δέῃ συμφωνῆσαι, οὐδὲ δύο συντρέχουσιν, ὅταν δὲ ἐπὶ κακῷ, δῆμος ὁλόκληρος. Καὶ λαμβάνουσι κοινωνοὺς καὶ τοὺς ἄρχοντας· διό, καὶ τοῦτο δηλῶν, ἐπήγαγεν· «Οἵτινες, προσελθόντες τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις, εἶπον· Ἀναθέματι ἀναθεματίσαμεν ἑαυτοὺς μηδενὸς γεύσασθαι, ἕως οὗ ἀποκτείνομεν τὸν Παῦλον. Νῦν οὖν ὑμεῖς ἐμφανίσατε ἑαυτοὺς τῷ χιλιάρχῳ ἐν τῷ συνεδρίῳ, ὅπως αὐτὸν καταγάγῃ πρὸς ὑμᾶς, ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ· ἡμεῖς δὲ πρὸ τοῦ ἐγγίσαι αὐτὸν ἕτοιμοί ἐσμεν τοῦ ἀνελεῖν αὐτόν. Ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον, παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολήν, ἀπήγγειλε τῷ Παύλῳ. Προσκαλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν ἑκατοντάρχων, ἔφη· Τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς τὸν χιλίαρχον· ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ. Ὁ μὲν οὖν παραλαβὼν αὐτὸν ἤγαγε πρὸς τὸν χιλίαρχον». Πάλιν δι’ ἀνθρωπίνης σώζεται προμηθείας. Καὶ ὅρα· ὁ Παῦλος οὐδένα ἀφίησι μαθεῖν οὐ-

θρωπος ἐκεῖνος ποὺ ἐπρόκειτο νὰ κατασπαραχθεῖ, καὶ ποὺ κατορθώνει τόσους κινδύνους νὰ τοὺς ἀποφύγει.

«Τὴν ἑπόμενη νύχτα παρουσιάσθηκε σ' αὐτόν ὁ Κύριος καὶ τοῦ εἶπε· Ἔχε θάρρος, Παῦλε· διότι ὅπως ἔδωσες μαρτυρία γιὰ μένα στὴν Ἰερουσαλήμ, ἔτσι πρέπει νὰ δώσεις μαρτυρία καὶ στὴ Ρώμη. Ὅταν ξημέρωσε, οἱ Ἰουδαῖοι ἔκαναν συνωμοσία καὶ ὁρκίσθηκαν νὰ μὴ φάνε οὔτε νὰ πιοῦν, μέχρι ποὺ νὰ σκοτώσουν τόν Παῦλο. Ἦταν περισσότεροι ἀπὸ σαράντα ἐκεῖνοι ποὺ ἔκαναν τὴ συνωμοσία αὐτή». «Ὁρκίσθηκαν», λέγει. Βλέπεις πῶς εἶναι γεμάτοι ἀπὸ βιαιότητα καὶ ἕτοιμοι νὰ διαπράξουν τὴν κακία; Τί σημαίνει, «Ἀναθεμάτισαν»; Λέχθηκε ἀντὶ τοῦ 'εἶπαν νὰ εἶναι ἔξω ἀπὸ τὴν πίστη στὸ Θεό, ἐὰν δὲν κάνουν ἐκεῖνο ποὺ σκέφθηκαν ἐναντίον τοῦ Παύλου'. Ἄρα γιὰ πάντα ἐκεῖνοι εἶναι ἀναθεματισμένοι· διότι δὲν φόνευσαν τὸν Παῦλο. Καὶ συγκεντρώνονται σαράντα μαζί· διότι τέτοιο εἶναι τὸ ἔθνος αὐτό, ὅταν χρειάζεται νὰ συμφωνήσουν γιὰ τὸ καλό, δὲν πηγαίνουν οὔτε δύο, ὅταν ὅμως γιὰ τὸ κακό, τότε τρέχει ὅλος ὁ λαός. Καὶ παίρνουν μαζί τους συνεργάτες καὶ τοὺς ἄρχοντες· γι' αὐτό, γιὰ νὰ δηλώσει καὶ αὐτό, πρόσθεσε· «Αὐτοὶ ἀφοῦ πῆγαν στοὺς ἀρχιερεῖς καὶ τοὺς πρεσβυτέρους, εἶπαν· Δεσμευθήκαμε μὲ ὅρκο νὰ μὴ φᾶμε τίποτε, μέχρι ποὺ νὰ σκοτώσομε τὸν Παῦλο. Τώρα λοιπὸν σεῖς καὶ τὸ συνέδριο εἰδοποιῆστε τὸ χιλίαρχο, νὰ σᾶς τὸν παρουσιάσει αὔριο μὲ τὴ δικαιολογία ὅτι πρόκειται νὰ ἐξετάσετε ἀκριβέστερα τὴν ὑπόθεσή του· ἐμεῖς προτοῦ νὰ πλησιάσει αὐτὸς ἐκεῖ, θὰ εἴμαστε ἕτοιμοι νὰ τὸν σκοτώσομε. Ἄκουσε ὅμως τὴν ἐνέδρα ὁ υἱὸς τῆς ἀδελφῆς τοῦ Παύλου καὶ ἀφοῦ πῆγε στὸ στρατώνα καὶ μπῆκε μέσα τ' ἀνέφερε στὸν Παῦλο. Ὁ Παῦλος τότε κάλεσε ἕνα ἀπὸ τοὺς ἑκατόνταρχους καὶ εἶπε· Ὁδήγησε αὐτὸν τὸν νέο στὸν χιλίαρχο, διότι ἔχει νὰ τοῦ πεῖ κάτι. Αὐτὸς τὸν πῆρε καὶ τὸν ὁδήγησε στὸ χιλίαρχο». Πάλι σώζεται μὲ ἀνθρώπινη φροντίδα. Καὶ πρόσεχε· ὁ Παῦλος

δὲ τὸν ἑκατόνταρχον, ὥστε μὴ τὸ πρᾶγμα γενέσθαι διάδηλον.

«Καὶ ἐλθὼν ὁ ἑκατόνταρχος ἀνήγγειλε τῷ χιλιάρχῳ, λέγων· Ὁ δέσμιος Παῦλος προσκαλεσάμενός με ἠρώτησε τοῦτον τὸν νεανίαν ἀγαγεῖν πρὸς σέ, ἔχοντά τι λαλῆσαί σοι. Ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος, καὶ ἀναχωρήσας κατ' ἰδίαν, ἐπυνθάνετο· Τί ἐστιν, ὃ ἔχεις ἀπαγγεῖλαί μοι; Εἶπε δὲ ὅτι οἱ Ἰουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί με, ὅπως αὔριον τὸν Παῦλον καταγάγῃς εἰς τὸ συνέδριον, ὡς μέλλοντές τι ἀκριβέστερον πυνθάνεσθαι παρ' αὐτοῦ. Σὺ οὖν μὴ πεισθῇς αὐτοῖς· ἐνεδρεύουσι γὰρ ἐξ αὐτῶν ἄνδρες πλείους τεσσαράκοντα, οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν, μήτε πιεῖν, ἕως οὗ ἀνέλωσι τὸν Παῦλον· καὶ νῦν ἕτοιμοί εἰσι προσδεχόμενοι τὴν παρὰ σοῦ ἐπαγγελίαν. Ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσε τὸν νεανίαν, παραγγείλας μηδενὶ ἐκλαλῆσαι ὅτι ἐνεφάνισας ταῦτα πρός με».

2. Καλῶς ὁ χιλίαρχος κελεύει κρύψαι, ὥστε μὴ γενέσθαι δῆλον. Καὶ τότε λέγει τοῖς ἑκατοντάρχοις, ὅτε καὶ γενέσθαι ἐχρῆν· καὶ πέμπεται λοιπὸν ἐν Καισαρείᾳ, ἵνα κἀκεῖ διαλεχθῇ ἐπὶ μείζονος θεάτρου καὶ λαμπροτέρου τοῦ ἀκροατηρίου, ἵνα μὴ ἔχωσι λέγειν οἱ Ἰουδαῖοι ὅτι, εἰ εἴδομεν Παῦλον, ἐπιστεύσαμεν ἄν, εἰ ἠκούσαμεν αὐτοῦ διδάσκοντος. Καὶ αὕτη οὖν αὐτοῖς ἐντεῦθεν ἡ ἀπολογία ἐκκόπτεται.

«Καὶ ἐπιστάς», φησίν, «ὁ Κύριος εἶπεν αὐτῷ· Θάρσει, Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ρώμην μαρτυρῆσαι». Ὅρα, καὶ μετὰ τὸ φανῆναι πάλιν ἀφίησιν αὐτὸν ἀνθρωπίνως σωθῆναι. Καὶ ἄξιον ἐκπλαγῆναι τὸν Παῦλον οὐκ ἐθορυβήθη, οὐδὲ εἶπε· 'Τί δὴ τοῦτό ἐστιν; ἆρα μὴ ἠπάτημαι παρὰ τοῦ Χριστοῦ;'. Ἀλλ' οὐδὲν τοιοῦτον ἐνενόησεν, οὐδὲ ἔπαθεν, ἀλλὰ μόνον ἐπίστευσεν· οὐ μήν, ἐπειδὴ ἐπίστευσεν, ὕπνωσεν, ἀλλὰ τὰ ἐνόντα ἐξ ἀνθρωπίνης σοφίας συνιδεῖν οὐ προ-

δὲν ἀφήνει νὰ τὸ μάθει κανένας, οὔτε καὶ ὁ ἑκατόνταρχος, γιὰ νὰ μὴ γίνει φανερὸ τὸ πράγμα.

«Ὁ ἑκατόνταρχος ἀφοῦ πῆγε στὸ χιλίαρχο τοῦ τὰ ἀνέφερε, λέγοντας· Ὁ Παῦλος πού εἶναι φυλακισμένος μὲ κάλεσε καὶ μοῦ εἶπε νὰ φέρω αὐτὸν τὸν νέο σὲ σένα, διότι ἔχει νὰ σοῦ πεῖ κάτι. Ὁ χιλίαρχος τὸν πῆρε τότε ἀπὸ τὸ χέρι καὶ τὸν πῆγε σὲ ἰδιαίτερο μέρος καὶ τὸν ρώτησε· Τί εἶναι αὐτὸ πού ἔχεις νὰ μοῦ ἀναγγείλεις; Καὶ αὐτὸς εἶπε· οἱ Ἰουδαῖοι συμφώνησαν νὰ σὲ παρακαλέσουν νὰ φέρεις τὸν Παῦλο αὔριο στὸ συνέδριο, μὲ τὴ δικαιολογία ὅτι θέλουν νὰ μάθουν λεπτομερέστερα τὰ σχετικὰ μ' αὐτόν. Μὴ λοιπὸν πεισθεῖς σ' αὐτούς· διότι τὸν παραμονεύουν περισσότεροι ἀπὸ σαράντα ἄνδρες, οἱ ὁποῖοι ὁρκίσθηκαν νὰ μὴ φάνε οὔτε νὰ πιοῦν, μέχρι πού νὰ σκοτώσουν τὸν Παῦλο· καὶ τώρα εἶναι ἕτοιμοι, περιμένοντας τὴν ἔγκρισή σου. Ὁ χιλίαρχος ἄφησε τότε τὸν νέο νὰ φύγει, παραγγέλλοντάς του· νὰ μὴ πεῖς σὲ κανένα ὅτι μοῦ τὰ ἀνέφερες αὐτά».

2. Πολὺ σωστὰ ὁ χιλίαρχος τὸν διατάσσει νὰ τὸ ἀποκρύψει, γιὰ νὰ μὴ γίνει γνωστό. Καὶ τότε τὸ λέγει στοὺς ἑκατόνταρχους, ὅταν ἔπρεπε αὐτὸ νὰ γίνει. Καὶ στέλλεται στὴ συνέχεια στὴν Καισάρεια, γιὰ νὰ μιλήσει καὶ ἐκεῖ σὲ μεγαλύτερο θέατρο καὶ σπουδαιότερο ἀκροατήριο, γιὰ νὰ μὴ μποροῦν νὰ λένε οἱ Ἰουδαῖοι, ὅτι, ἐὰν βλέπαμε τὸν Παῦλο καὶ ἂν τὸν ἀκούαμε νὰ διδάσκει, θὰ πιστεύαμε. Καὶ αὐτὴ λοιπὸν ἡ ἀπολογία γι' αὐτοὺς ἀπὸ ἐδῶ ἀφαιρεῖται.

«Παρουσιάσθηκε», λέγει, «σ' αὐτὸν ὁ Κύριος καὶ τοῦ εἶπε· Ἔχε θάρρος, Παῦλε· διότι ὅπως μαρτύρησες γιὰ μένα στὴν Ἰερουσαλήμ, ἔτσι πρέπει νὰ δώσεις μαρτυρία καὶ στὴ Ρώμη». Πρόσεχε ὅτι, καὶ μετὰ τὴν ἐμφάνιση πάλι τὸν ἀφήνει νὰ σωθεῖ κατ' ἀνθρώπινο τρόπο. Καὶ ἀξίζει ν' ἀπορήσει κανεὶς πῶς ὁ Παῦλος δὲν θορυβήθηκε, οὔτε εἶπε· Τί σημαίνει λοιπὸν αὐτό; ἄραγε μήπως ἐξαπατήθηκα ἀπὸ τὸ Χριστό;' Ὅμως τίποτε παρόμοιο δὲν σκέφθηκε, οὔτε ἔπαθε, ἀλλὰ μόνο πίστεψε· βέβαια ἐπειδὴ πίστεψε δὲν ἔμεινε ἀδρανής, ἀλλ' ἐκεῖνα πού ἐξαρτόνταν ἀπὸ

ἧκε. Καὶ σκόπει πῶς ἀνάγκην τινὰ ἑαυτοῖς ἐκεῖνοι παρέθηκαν διὰ τοῦ ἀναθεματισμοῦ. Ἰδοὺ νηστεία ἀνδροφονίας μήτηρ· καθάπερ ὁ Ἡρώδης ἀνάγκην τὴν ἀπὸ τοῦ ὅρκου ἑαυτῷ ἐπέθηκεν, οὕτω δὴ καὶ οὗτοι· τοιαῦτα γὰρ τὰ διαβολικὰ θήρατρα, προσχήματι δῆθεν εὐλαβείας τὰς παγίδας τίθησι. Καὶ μὴν ἐχρῆν προσελθεῖν, ἐχρῆν αἰτιάσασθαι, δικαστήριον συγκροτῆσαι· ταῦτα γὰρ οὐχ ἱερέων, ἀλλὰ ληστάρχων, ταῦτα οὐκ ἀρχόντων, ἀλλὰ λυμεώνων. Καὶ ὅρα κακίας ὑπερβολήν. Οὐ μόνον ἀλλήλους διαφθείραντες ἀρκοῦνται, ἀλλὰ καὶ τὸν ἄρχοντα συνδιαφθεῖραι ἐπιχειροῦσι· διὰ τοῦτο ᾠκονομήθη, ὥστε κἀκεῖνον μαθεῖν αὐτῶν τὴν ἐπιβουλήν. Αὐτοὶ δὲ οὐ μόνον ἐκ τοῦ μηδὲν ἔχειν εἰπεῖν, ἀλλὰ καὶ ἐκ τοῦ λάθρα ἐπιχειρεῖν ἤλεγξαν ἑαυτοὺς οὐδὲν ὄντας. Εἰκὸς δὲ καὶ μετὰ τὸ ἀποσταλῆναι αὐτὸν προσελθεῖν τοὺς ἀρχιερεῖς αἰτοῦντας, καὶ καταισχυνθῆναι ἀπράκτους ἀπολυθέντας. Εἰκότως δὲ τοῦτο ποιεῖ ὁ χιλίαρχος· οὐ γὰρ δὴ ἐβούλετο οὔτε χαρίσασθαι, οὔτε ἐπινεῦσαι.

Καὶ πῶς, φησίν, ἐπίστευσεν ἀληθῆ εἶναι τὰ ἐπαγγελθέντα παρὰ τοῦ νεανίου; Ἐκ τῶν ἤδη γενομένων ἐστοχάσατο ὅτι καὶ τοῦτο εἰκὸς ἦν αὐτοὺς ποιῆσαι. Καὶ ὅρα τὴν κακουργίαν· ὥσπερ ἀνάγκην καὶ τοῖς ἀρχιερεῦσιν ἐπέστησαν. Καὶ μὴ θαυμάσῃς· εἰ γὰρ τοσοῦτον εἵλοντο αὐτοὶ καὶ τὸν κίνδυνον ἀνεδέξαντο πάντα, πολλῷ μᾶλλον καὶ ἐκείνους τοῦτο ποιῆσαι εἰκὸς ἦν. Ὁρᾷς πῶς διὰ τῆς ψήφου τῶν ἔξω ἀθῶος γίνεται ὁ Παῦλος, ὡς καὶ ὁ Χριστὸς παρὰ Πιλάτου; Ἀλλ' ὅρα καὶ τὴν κακίαν ὑφ' ἑαυτῆς ἀναιρουμένην· παρέδωκαν μὲν γὰρ αὐτὸν ὥστε καὶ ἀνελεῖν καὶ καταδικάσαι, γίνεται δὲ τοὐναντίον, καὶ σώζεται, καὶ

τὴν ἀνθρώπινη σοφία δὲν ἀπέφυγε νὰ τὰ ἐξετάσει μὲ προσοχή. Καὶ πρόσεχε πῶς ἐκεῖνοι ἐπέβαλαν μὲ τὸν ἀναθεματισμό κάποιο ἐξαναγκασμὸ στὸν ἑαυτό τους. Νὰ ἡ νηστεία γίνεται μητέρα ἀνθρωποκτονίας. Ὅπως ἀκριβῶς ὁ Ἡρώδης ἐπέβαλε στὸν ἑαυτό του τὴν ὑποχρέωση ποὺ προερχόταν ἀπὸ τὸν ὅρκο, ἔτσι λοιπὸν καὶ αὐτοί· διότι τέτοιες εἶναι οἱ διαβολικὲς παγίδες, μὲ τὸ πρόσχημα δῆθεν τῆς εὐλάβειας τοποθετοῦν τὶς παγίδες. Καὶ ὅμως ἔπρεπε νὰ ρθοῦν ἐκεῖ, νὰ τὸν κατηγορήσουν, νὰ συγκροτήσουν δικαστήριο· διότι αὐτὰ δὲν εἶναι γνωρίσματα ἱερέων, ἀλλὰ ληστάρχων, αὐτὰ δὲν εἶναι γνωρίσματα ἀρχόντων, ἀλλὰ καταστροφέων. Καὶ πρόσεχε ὑπερβολικὸ μέγεθος κακίας. Δὲν ἀρκοῦνται στὴν ἀναμεταξύ τους μόνο διαφθορά, ἀλλ' ἐπιχειροῦν νὰ διαφθείρουν καὶ τὸν ἄρχοντα· γι' αὐτὸ ρυθμίσθηκε ἀπὸ τὴν πρόνοια τοῦ Θεοῦ, ὥστε καὶ ἐκεῖνος νὰ μάθει τὴν ἐπιβουλὴ ἐκείνων. Αὐτοὶ ὄχι μόνο μὲ τὸ ὅτι δὲν εἶχαν νὰ ποῦν τίποτε, ἀλλὰ καὶ μὲ τὸ ὅτι ἐπιχειροῦν κρυφὰ νὰ τὸν φονεύσουν ἀπέδειξαν τοὺς ἑαυτούς τους σὰν τιποτένιους. Φυσικὸ ἦταν ἀφοῦ στάλθηκε νὰ ἔρθουν ἐκεῖ οἱ ἀρχιερεῖς ζητώντας αὐτὸν καὶ νὰ καταντροπιασθοῦν φεύγοντας ἄπρακτοι. Πολὺ σωστὰ τὸ κάμνει αὐτὸ ὁ χιλίαρχος· διότι πραγματικὰ δὲν ἤθελε οὔτε νὰ κάνει τὸ χατήρι τους, οὔτε νὰ δώσει τὴ συγκατάθεσή του.

Καὶ πῶς, λέγει, πίστεψε ὅτι εἶναι ἀληθινὰ τὰ ὅσα λέχθηκαν ἀπὸ τὸν νέο; Ἀπὸ ἐκεῖνα ποὺ ἤδη ἔγιναν σκέφθηκε ὅτι αὐτοὶ ἦταν πιθανὸ καὶ αὐτὸ νὰ τὸ κάνουν. Καὶ πρόσεχε τὴν κακουργία· σὰν νὰ ἦταν ἀνάγκη παρουσιάσθηκαν καὶ στοὺς ἀρχιερεῖς. Καὶ μὴ ἀπορήσεις· διότι, ἐὰν αὐτοὶ κυριεύθηκαν ἀπὸ τόση κακία καὶ ἀνέλαβαν ὅλον τὸν κίνδυνο, πολὺ περισσότερο φυσικὸ ἦταν καὶ ἐκεῖνοι νὰ τὸ κάνουν αὐτό. Βλέπεις πῶς ὁ Παῦλος ἀθωώνεται μὲ τὴν ἀπόφαση τῶν μὴ Ἰουδαίων, ὅπως καὶ ὁ Χριστὸς ἀπὸ τὸν Πιλάτο; Ἀλλὰ πρόσεχε καὶ τὴν κακία ποὺ ἀπὸ μόνη της ἀνατρέπεται· καθόσον παρέδωσαν αὐτὸν γιὰ νὰ τὸ καταδικάσουν καὶ νὰ τὸν φονεύσουν, γίνεται ὅμως

ἀθῶος εὑρίσκεται· εἰ γὰρ μὴ οὕτω, κἂν διεσπάσθη, εἰ μὴ οὕτω, κἂν ἀπώλετο, κἂν κατεδικάσθη. Οὐ μόνον δὲ ἐκείνης αὐτὸν τῆς ὁρμῆς ἐξαιρεῖται ὁ χιλίαρχος, ἀλλὰ καὶ ὑπηρέτης αὐτῷ γίνεται, ὥστε ἀκινδύνως διασωθῆναι μετὰ τοσαύτης παρατάξεως· καὶ ὅπως, ἄκουε· ἐπάγει γάρ· «Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων, εἶπεν· Ἑτοιμάσατέ μοι στρατιώτας διακοσίους, ὅπως πορευθῶσι εἰς Καισάρειαν, καὶ ἱππεῖς ἑβδομήκοντα, καὶ δεξιολάβους διακοσίους, ἀπὸ τρίτης ὥρας τῆς νυκτός· κτήνη τε παραστῆσαι, ἵνα, ἐπιβιβάσαντες τὸν Παῦλον, ἀγάγωσι πρὸς Φήλικα τὸν ἡγεμόνα· γράψας ἐπιστολήν, περιέχουσαν τὸν τύπον τοῦτον· Κλαύδιος Λυσίας τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν. Τὸν ἄνδρα τοῦτον, συλληφθέντα ὑπὸ τῶν Ἰουδαίων, καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ' αὐτῶν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλόμην αὐτόν, μαθὼν ὅτι Ρωμαῖός ἐστι· βουλόμενος δὲ γνῶναι τὴν αἰτίαν, δι' ἣν ἐνεκάλουν αὐτῷ, κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν. Ὃν εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν ἄξιον θανάτου ἢ δεσμῶν ἔγκλημα ἔχοντα. Μηνυθείσης δέ μοι ἐπιβουλῆς μέλλειν ἔσεσθαι εἰς τὸν ἄνδρα ὑπὸ τῶν Ἰουδαίων, ἐξαυτῆς ἔπεμψα πρὸς σέ, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ πρὸς αὐτὸν ἐπὶ σοῦ. Ἔρρωσο».

Ὅρα καὶ τὴν ἐπιστολὴν ἀπολογίαν ἔχουσαν μὲν ὑπὲρ αὐτοῦ («οὐδὲν» γάρ, φησίν, «εὗρον ἄξιον θανάτου ἔγκλημα ἔχοντα»), κατηγορίαν δὲ κατ' ἐκείνων ἢ κατὰ τούτου· οὕτως ἐθανάτων. Καὶ πρῶτον μέν φησιν ὅτι «μέλλοντα ἀναιρεῖσθαι ὑπὸ τῶν Ἰουδαίων ἐξειλόμην», εἶτα προστίθησιν ὅτι «καὶ κατήγαγον αὐτὸν πρὸς αὐτούς», καὶ οὐδ' οὕτως εὗρόν τι ἐγκαλέσαι ἐκεῖνοι· καὶ δέον ὑπὲρ τοῦ προτέρου καταπλαγῆναι καὶ καταισχυνθῆναι, πάλιν ἐπιχειροῦσιν ἀνελεῖν, ὥστε πάλιν λαμπρότερον γενέσθαι τὸν ὑπὲρ αὐτοῦ λόγον. Καὶ τί δήποτε τοὺς κατηγόρους πέμ-

τὸ ἀντίθετο· καὶ σώζεται καὶ ἀθωώνεται· διότι ἐὰν δὲν γινόταν αὐτὸ ἴσως νὰ καταδικαζόταν, ἴσως καὶ νὰ φονευόταν. Καὶ ὄχι μόνο σώζει αὐτὸν ὁ χιλίαρχος ἀπὸ τὴν ὁρμὴ ἐκείνη, ἀλλὰ καὶ βοηθεῖ αὐτόν, ὥστε νὰ σωθεῖ ἀκίνδυνα μὲ τὴ συνοδεία τόσης μεγάλης στρατιωτικῆς δυνάμεως· καὶ ἄκου πῶς· διότι προσθέτει· «Ἀφοῦ κάλεσε δύο ἀπὸ τοὺς ἑκατόνταρχους, εἶπε· Ἑτοιμάστε μου ἀπὸ τὴν τρίτη νυχτερινὴ ὥρα διακόσιους στρατιῶτες, γιὰ νὰ μεταβοῦν στὴν Καισάρεια, καθὼς καὶ ἑβδομήντα ἱππεῖς καὶ διακόσιους λογχοφόρους. Νὰ ἔχουν καὶ ζῶα, ὥστε, ἀφοῦ ἀνεβάσουν σ' αὐτὰ τὸν Παῦλο, νὰ τὸν ὁδηγήσουν στὸν ἡγεμόνα Φήλικα. Ἔγραψε καὶ ἐπιστολή, ποὺ εἶχε τὸ ἑξῆς περιεχόμενο· Ὁ Κλαύδιος Λυσίας στέλνει τοὺς χαιρετισμούς του στὸν ἐξοχότατο ἡγεμόνα Φήλικα. Τὸν ἄνθρωπο αὐτὸ ποὺ συνελήφθηκε ἀπὸ τοὺς Ἰουδαίους καὶ ἐπρόκειτο νὰ φονευθεῖ ἀπ' αὐτούς, τὸν ἔσωσα, ἀφοῦ ἐπινέβηκα μὲ στρατό, διότι ἔμαθα ὅτι εἶναι Ρωμαῖος πολίτης. Θέλοντας νὰ μάθω γιὰ ποιὰ αἰτία τὸν κατηγοροῦσαν, τὸν κατέβασα στὸ συνέδριό τους, ὅπου διαπίστωσα νὰ κατηγορεῖται γιὰ ζητήματα τοῦ νόμου τους, χωρὶς νὰ ὑπῆρχε καμία κατηγορία ἄξια γιὰ θάνατο ἢ φυλάκιση. Ἐπειδὴ ὅμως μοῦ γνωστοποιήθηκε ὅτι ἐπρόκειτο νὰ γίνει ἐπίθεση τῶν Ἰουδαίων ἐναντίον τοῦ ἀνθρώπου αὐτοῦ, τὸν ἔστειλα ἀμέσως σὲ σένα, παραγγέλλοντας καὶ στοὺς κατηγόρους νὰ ποῦν σ' ἐσένα ὅ,τι ἔχουν ἐναντίον του. Ὑγίαινε».

Πρόσεχε καὶ τὴν ἐπιστολὴ ποὺ ἀποτελεῖ ἀπολογία ὑπὲρ αὐτοῦ (διότι, λέγει, «καμία κατηγορία δὲν βρῆκα ἄξια θανάτου»), κατηγορία ἐναντίον ἐκείνων, παρὰ ἐναντίον αὐτοῦ· ἔτσι θανάτωναν αὐτοί. Καὶ πρῶτα λέγει ὅτι «Τὸν ἔσωσα ἐνῶ ἐπρόκειτο νὰ φονευθεῖ ἀπὸ τοὺς Ἰουδαίους», ἔπειτα προσθέτει ὅτι «ὁδήγησα αὐτὸν πρὸς αὐτούς», καὶ οὔτε ἔτσι βρῆκαν ἐκεῖνοι νὰ τὸν κατηγορήσουν γιὰ κάτι· καὶ ἐνῶ ἔπρεπε νὰ νιώσουν κατάπληξη καὶ νὰ ντραποῦν γιὰ τὰ προηγούμενα, αὐτοὶ πάλι ἐπιχειροῦν νὰ τὸν φονεύσουν, ὥστε καὶ πάλι νὰ γίνει λαμπρότερη ἡ ἀπολογία ὑπὲρ αὐτοῦ. Καὶ γιατί τέλος πάντων στέλνει

πει; Ἵνα ἐν τῷ δικαστηρίῳ, ἔνθα ταῦτα ἀκριβέστερον γυμνάζεται, ἀθῶος γένηται. Ἴδωμεν τοίνυν ἄνωθεν τὰ εἰρημένα.

«Ἐγώ», φησί, Φαρισαῖός εἰμι». Τοῦτο εἶπεν, ὥστε αὐτοὺς ἐπισπάσασθαι. Εἶτα, ἵνα μὴ δόξῃ κολακεύειν, ἐπάγει· «Περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι». Ἀπὸ τῆς κατηγορίας αὐτῶν καὶ τῆς διαβολῆς συνίστησιν ἑαυτόν· «Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἄγγελον, μήτε πνεῦμα». Οὐδὲν ἀσώματον ἴσασι Σαδδουκαῖοι, τάχα οὐδὲ τὸν Θεόν, παχεῖς τινες ὄντες, ὅθεν οὐδὲ ἀνάστασιν βούλονται εἶναι πιστεύειν. «Καὶ ἀναστάντες», φησίν, «οἱ γραμματεῖς τοῦ μέρους τῶν Φαρισαίων, διεμάχοντο λέγοντες· Οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ». Ὅρα ἀκούει καὶ ὁ χιλίαρχος ὅτι αὐτὸν ἀπήλλαξαν ἐγκλημάτων οἱ Φαρισαῖοι, καὶ ἐψηφίσατο ὑπὲρ αὐτοῦ, καὶ μετὰ πλείονος παρρησίας ἁρπάζει αὐτόν. Καὶ αὐτὰ δὲ εἰρημένα Παύλῳ φιλοσοφίας ἔγεμε.

3. Τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος, εἶπε· Θάρσει, Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι». Ὅρα πόση ἡ παράκλησις· πρῶτον αὐτὸν ἐπαινεῖ, εἶτα οὐκ ἀφίησιν οὐδὲ τὸ ἄδηλον τῆς ἀποδημίας φοβηθῆναι τῆς ἐπὶ Ῥώμην· ὡς εἰ ἔλεγεν· 'Οὐκ ἀπελεύσῃ μόνον κἀκεῖ, ἀλλὰ καὶ τοσαύτῃ χρήσῃ παρρησίᾳ'. Ἐντεῦθεν οὐχ ὅτι σωθήσεται ἐδηλοῦτο, ἀλλ' ὅτι καὶ ἐπὶ μεγάλοις μαρτυρήσει στεφάνοις ἐν τῇ μεγάλῃ πόλει. Διὰ τί δὲ οὐ πρὶν ἢ ἐμπεσεῖν εἰς τὸν κίνδυνον ἐφάνη αὐτῷ; Ὅτι ἀεὶ ἐν ταῖς θλίψεσι παρακαλεῖ ὁ Θεὸς (τότε γὰρ ποθεινότερος φαίνεται), καὶ ἐν τοῖς κινδύνοις ἐγγυμνάζει ἡμᾶς· ἄλλως δὲ τότε μὲν ἐν ἀνέσει ἦν, ἀφεθεὶς τῶν δεσμῶν, νῦν δὲ ἔμελλεν αὐτὸν διαδέχεσθαι δεινά.

τοὺς κατηγόρους; Γιὰ νὰ ἀθωωθεῖ στὸ δικαστήριο, ὅπου αὐτὰ κρίνονται μὲ μεγαλύτερη προσοχή. Ἂς δοῦμε λοιπὸν ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα λέχθηκαν.

«Ἐγώ», λέγει, «εἶμαι Φαρισαῖος». Αὐτὸ τὸ εἶπε, γιὰ νὰ προσελκύσει αὐτούς. Ἔπειτα, γιὰ νὰ μὴ φανεῖ ὅτι τοὺς κολακεύει, προσθέτει· «Ἐγὼ δικάζομαι γιὰ τὴν ἐλπίδα καὶ τὴν ἀνάσταση τῶν νεκρῶν». Ἀπὸ τὴν κατηγορία αὐτῶν καὶ τὴ συκοφαντία συστήνει τὸν ἑαυτό του. «Διότι οἱ Σαδδουκαῖοι λένε ὅτι δὲν ὑπάρχει οὔτε ἄγγελος, οὔτε πνεῦμα». Τίποτε τὸ ἀσώματο δὲν δέχονται οἱ Σαδδουκαῖοι, ἴσως οὔτε καὶ τὸ Θεό, ἐπειδὴ πνευματικὰ εἶναι ἀδιάφοροι, γι' αὐτὸ δὲν θέλουν νὰ πιστεύουν ὅτι ὑπάρχει ἀνάσταση. «Καὶ ἀφοῦ», λέγει, «σηκώθηκαν οἱ γραμματεῖς τῆς μερίδας τῶν Φαρισαίων, φιλονεικοῦσαν, λέγοντας· Κανένα κακὸ δὲν βρίσκομε στὸν ἄνθρωπο αὐτό». Πρόσεχε· ἀκούει καὶ ὁ χιλίαρχος ὅτι οἱ Φαρισαῖοι ἀπάλλαξαν αὐτὸν ἀπὸ τὶς κατηγορίες καὶ ἔβγαλε τὴν ἀπόφασή του ὑπὲρ αὐτοῦ, καὶ σώζει αὐτὸν μέσα ἀπὸ τὰ χέρια τους μὲ μεγαλύτερη πεποίθηση. Καὶ αὐτὰ ποὺ λέχθηκαν στὸν Παῦλο ἦταν γεμάτα ἀπὸ πολλὲς ἀλήθειες.

3. Τὴν ἑπόμενη νύχτα παρουσιάσθηκε σ' αὐτὸν ὁ Κύριος καὶ τοῦ εἶπε· Ἔχε θάρρος, Παῦλε· διότι ὅπως ἔδωσες μαρτυρία γιὰ μένα στὴν Ἱερουσαλήμ, ἔτσι πρέπει νὰ δώσεις μαρτυρία καὶ στὴ Ρώμη». Πρόσεχε πόση εἶναι ἡ παρηγοριά· πρῶτα τὸν ἐπαινεῖ, ἔπειτα δὲν τὸν ἀφήνει νὰ φοβηθεῖ οὔτε τὸ ἄγνωστο τῆς μεταβάσεώς του στὴ Ρώμη· εἶναι σὰν νὰ ἔλεγε· Δὲν θὰ μεταβεῖς μόνο καὶ ἐκεῖ, ἀλλὰ καὶ θὰ δείξεις τόσο θάρρος'. Ἀπὸ αὐτὸ δὲν γινόταν μόνο φανερὸ ὅτι θὰ σωθεῖ, ἀλλ' ὅτι καὶ θὰ δώσει στὴ μεγάλη αὐτὴ πόλη μαρτυρία γιὰ μεγάλα στεφάνια. Γιατὶ ὅμως δὲν παρουσιάσθηκε σ' αὐτὸν προτοῦ περιπέσει στὸν κίνδυνο; Διότι ὁ Θεὸς πάντοτε παρηγορεῖ μέσα στὶς θλίψεις (διότι τότε γίνεται πιὸ ποθητός), καὶ μέσα στοὺς κινδύνους μᾶς ἀσκεῖ· ἄλλωστε τότε βρισκόταν σὲ ἄνεση, ἀφοῦ ἐλευθερώθηκε ἀπὸ τὰ δεσμά, ἐνῶ τώρα ἐπρόκειτο νὰ τὸν βροῦν συμφορές.

«Ὅτι ἀνεθεματίσαμεν ἑαυτούς», φησί, «μὴ φαγεῖν, μηδὲ πιεῖν». Βαβαί, πόση μανία! ἑαυτοὺς τῷ ἀναθέματι ὑποβάλλουσιν ἀλογίστως. «Ὅπως καταγάγῃ αὐτόν», φησί, «πρὸς ὑμᾶς, ὡς μέλλοντας ἀκριβέστερον διαγινώσκειν τὰ περὶ αὐτοῦ». Τί λέγεις; οὐχὶ δεύτερον πρὸς ὑμᾶς ἐδημηγόρησεν; οὐχὶ Φαρισαῖον ἑαυτὸν εἶπε; τί οὖν τὸ περιττόν; Οὕτως οὐδὲν ἐφοβοῦντο, οὐ δικαστήρια, οὐ νόμους· οὕτως οὐδὲν αὐτοῖς ἀτόλμητον ἦν. Καὶ τὴν γνώμην εἰσηγοῦνται, καὶ τὴν πρᾶξιν ἐπαγγέλλονται. «Ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον». Τοῦτο τῆς τοῦ Θεοῦ οἰκονομίας ἦν λοιπόν, τὸ μὴ συνιδεῖν αὐτοὺς ὅτι ἀκούσεται. Τί οὖν ὁ Παῦλος; Οὐκ ἐθορυβήθη, ἀλλὰ συνεῖδεν ὅτι Θεοῦ ἐστιν ἔργον τοῦτο, καί, τὸ πᾶν ἐπ' αὐτὸν ρίψας, εἶχεν ἐξ ἔργου τὴν σωτηρίαν. Καὶ σκόπει πῶς εἰς ἀγαθὸν πάντα ὁ Θεὸς ᾠκονόμησεν. Εἶπεν ὁ νεανίας τὴν ἐπιβουλήν, ἐπιστεύθη, καὶ οὕτω λοιπὸν διασώζεται Παῦλος.

Καὶ εἰ ἀφέθη, φησί, τῆς αἰτίας, διὰ τί τοὺς κατηγόρους ἔπεμψαν· Ὥστε ἀκριβεστέραν γενέσθαι τὴν ἐξέτασιν· ὥστε μᾶλλον καθαρθῆναι τὸν ἄνδρα. Τοιαῦται αἱ τοῦ Θεοῦ οἰκονομίαι· δι' ὧν βλαπτόμεθα, διὰ τούτων ὠφελούμεθα. Οὕτω καὶ ὁ Ἰωσὴφ ἐπεβουλεύετο ὑπὸ τῆς δεσποίνης, καὶ ἐδόκει μὲν ἐπιβουλεύειν, ἐπιβουλεύουσα δὲ ἐν ἀσφαλείᾳ κατέστησεν αὐτόν· τῆς γὰρ οἰκίας, ἔνθα τὸ θηρίον ἐκεῖνο ἐτρέφετο, πολλῷ τὸ δεσμωτήριον ἡμερώτερον ἦν· ἐκεῖ μὲν γὰρ ὤν, εἰ καὶ ἐν θεραπείᾳ ἦν, ἀλλ' ἐν φόβῳ διηνεκεῖ μή ποτε ἐπίθηται ἡ δέσποινα, καὶ δεσμωτηρίου χαλεπώτερον ὁ φόβος αὐτῷ ἐπέκειτο, μετὰ δὲ τὴν κατηγορίαν ἐν ἀδείᾳ λοιπὸν καὶ ἡσυχία ἦν, ἀπαλλαγεὶς ἐκείνου τοῦ θηρίου καὶ τῆς ἀσχημοσύνης καὶ

---

1. Γέν. κεφ. 39

«Διότι όρκισθήκαμε», λέγει, «νὰ μὴ φάμε οὔτε καὶ νὰ πιοῦμε». Πώ, πώ, πόση μανία! τελείως ἀσυλλόγιστα θέτουν τὸν ἑαυτό τους κάτω ἀπὸ τὴ δέσμευση τοῦ ὅρκου. «Γιὰ νὰ τὸν ὁδηγήσει», λέγει, «σὲ σᾶς, διότι τάχα πρόκειται νὰ ἐξετάσετε μὲ λεπτομέρεια τὴν ὑπόθεσή του». Τί λές; μήπως δὲν μίλησε γιὰ δεύτερη φορὰ σὲ σᾶς; δὲν εἶπε ὅτι εἶναι Φαρισαῖος; Ποιὸ λοιπὸν εἶναι τὸ ἐπὶ πλέον ποὺ θέλετε νὰ μάθετε; Τόσο πολὺ δὲν φοβοῦνταν τίποτε, οὔτε δικαστήρια, οὔτε νόμους· τόσο πολὺ δὲν ὑπῆρχε γι' αὐτοὺς τίποτε ἀνεπιχείρητο. Καὶ τὴν ἀπόφασή τους εἰσηγοῦνται καὶ τὴν πράξη τους ὑπόσχονται. «Ἀλλ' ὅμως ἄκουσε τὴν ἐνέδρα ὁ υἱὸς τῆς ἀδελφῆς τοῦ Παύλου». Αὐτὸ βέβαια ἦταν ἀποτέλεσμα τῆς πρόνοιας τοῦ Θεοῦ, τὸ νὰ μὴ ἀντιληφθοῦν αὐτοὶ ὅτι θὰ τὸ ἀκούσει. Τί κάνει λοιπὸν ὁ Παῦλος; Δὲν θορυβήθηκε, ἀλλ' ἀντιλήφθηκε ὅτι αὐτὸ εἶναι ἔργο τοῦ Θεοῦ, καὶ ἀφοῦ ἀνέθεσε τὸ πᾶν σ' αὐτόν, εἶχε ἔμπρακτα τὴ σωτηρία. Καὶ πρόσεχε πῶς ὁ Θεὸς τὰ ρύθμισε ὅλα πρὸς τὸ καλό. Εἶπε ὁ νέος τὰ κακὰ σχέδιά τους, πιστεύθηκε, καὶ ἔτσι λοιπὸν σώζεται ὁ Παῦλος.

Καὶ ἀφοῦ ἀπαλλάχθηκε, λέγει, ἀπὸ τὴν κατηγορία, γιατί ἔστειλαν τοὺς κατηγόρους; Γιὰ νὰ γίνει μὲ μεγαλύτερη λεπτομέρεια ἡ ἐξέταση, γιὰ νὰ φανεῖ περισσότερο ἡ καθαρότητα τοῦ ἀνθρώπου. Τέτοιες εἶναι οἱ προνοητικὲς ἐνέργειες τοῦ Θεοῦ· μὲ ἐκεῖνα ποὺ βλαπτόμαστε, μὲ αὐτὰ ὠφελούμαστε. Κατὰ τὸν ἴδιο τρόπο ἐπιβουλευόταν καὶ ὁ Ἰωσὴφ ἀπὸ τὴν κυρία του, ποὺ νόμιζε βέβαια ὅτι τοῦ κάνει κακό, ἐπιβουλεύοντάς τον ὅμως τὸν κατέστησε περισσότερο ἀσφαλῆ· διότι ἡ φυλακὴ ἦταν πολὺ πιὸ ἥμερη ἀπὸ τὴν οἰκία στὴν ὁποία τρεφόταν τὸ θηρίο ἐκεῖνο[1]· καθόσον διαμένοντας ἐκεῖ, ἂν καὶ δεχόταν περιποιήσεις, ὅμως βρισκόταν σὲ διαρκὴ φόβο, μήπως κάποτε τὸν ἐπιτεθεῖ ἡ κυρία, καὶ ὁ φόβος ποὺ τὸν κυρίευε ἀπ' αὐτὸ ἦταν χειρότερος ἀπὸ τὴ φυλακή, ἐνῶ μετὰ τὴν κατηγορία βρισκόταν πλέον σὲ ἀφοβία καὶ ἡσυχία, ἀφοῦ ἀπαλλάχθηκε ἀπὸ τὸ θηρίο ἐκεῖνο, τὴν ἀδιαντροπιὰ καὶ τὴν ἐπι-

τῆς ἐπιβουλῆς· βέλτιον γὰρ αὐτῷ ἦν τεταλαιπωρημένοις ἀνθρώποις συνεῖναι, ἢ μαινομένῃ δεσποίνῃ. Ἐνταῦθα μὲν οὖν παρεμυθεῖτο ἑαυτόν, ὅτι διὰ σωφροσύνην ἐνέπεσεν, ἐκεῖ δὲ ἐδεδοίκει μὴ περὶ τὴν ψυχὴν λάβῃ τὴν πληγήν· οὐδὲν γὰρ ἐπαχθέστερον ἐρωμένης νέῳ μὴ βουλομένῳ, οὐδὲν ἐναργέστερον, οὐδὲν βαρύτερον· πάντων δεσμῶν τοῦτο χαλεπώτερον. Ὥστε οὐκ εἰς δεσμωτήριον ἐνέπεσεν, ἀλλὰ δεσμωτηρίου ἀπηλλάγη· ἐξεπολέμωσεν αὐτῷ τὸν δεσπότην, ἀλλὰ κατήλλαξε τὸν Θεόν, οἰκειότερον αὐτὸν κατέστησε τῷ ὄντως Δεσπότῃ τῷ ἀληθινῷ· ἐξέβαλε τῆς ἐπιστασίας τῆς ἐν τῇ οἰκείᾳ, ἀλλ' ᾠκείωσε τῷ Δεσπότῃ.

Πάλιν οἱ ἀδελφοὶ ἐπώλησαν, ἀλλ' ἀπήλλαξαν αὐτὸν συνοικούντων ἐχθρῶν, φθόνου καὶ βασκανίας πολλῆς, ἐπιβουλῆς καθημερινῆς, μακρὰν κατέστησαν αὐτὸν τῶν μισούντων· τί γὰρ τούτου χεῖρον, ὅταν τις ἀδελφοῖς φθονοῦσι συνοικεῖν ἀναγκάζηται, ὅταν δι' ὑποψίας ᾖ, ὅταν ἐπιβουλεύηται; Ὥστε ἕτερα μὲν ἐποίουν καὶ οὗτοι κἀκείνη, ἕτερα δὲ ᾠκονομεῖτο ὑπὲρ τοῦ δικαίου μεγάλα. Ὅτε ἦν ἐν τιμῇ, τότε ἦν ἐν κινδύνῳ· ὅτε ἦν ἐν ἀτιμίᾳ, τότε ἦν ἐν ἀσφαλείᾳ. Οὐκ ἐμνημόνευον αὐτοῦ οἱ εὐνοῦχοι καὶ καλῶς, ἵνα λαμπροτέρα γένηται τῆς ἐξόδου ἡ ὑπόθεσις, ἵνα χὴ χάριτι ἀνθρωπίνῃ, ἀλλ' οἰκονομίᾳ θείᾳ τὸ πᾶν λογίζηται, ἵνα εὐκαίρως εἰς χρείαν καταστὰς ἐξαγάγῃ, ἵνα μὴ εὐεργετῶν, ἀλλ' εὐεργετούμενος αὐτὸν ἐκβάλῃ τοῦ δεσμωτηρίου ὁ Φαραώ. Οὐκ ἔδει δοῦλον γενέσθαι τὸ δῶρον, ἀλλ' εἰς ἀνάγκην καταστῆναι τὸν βασιλέα· ἔδει φανερὰν αὐτοῦ γενέσθαι τὴν σοφίαν. Διὰ τοῦτο λανθάνει ὁ εὐνοῦχος, ἵνα μὴ λάθῃ Αἴγυπτος, ἵνα μὴ ἀγνοήσῃ αὐτὸν ὁ βασιλεύς. Εἰ τότε ἐξη-

βουλή· διότι ἦταν προτιμότερο γι' αὐτὸν νὰ συναναστρέφεται μὲ ἀνθρώπους ταλαιπωρημένους, παρὰ μὲ μανιακὴ κυρία. Ἐδῶ βέβαια παρηγοροῦσε τὸν ἑαυτό του, ὅτι ρίχθηκε μέσα σ' αὐτὴν ἐξ αἰτίας τῆς σωφροσύνης του, ἐνῶ ἐκεῖ φοβόταν μὴ τυχὸν δεχθεῖ τὸ πλῆγμα στὴν ψυχή· καθόσον δὲν ὑπάρχει τίποτε φοβερότερο ἀπὸ μία γυναίκα ποὺ εἶναι ἐρωτευμένη μὲ νέο ποὺ δὲν θέλει, τίποτε πιὸ σιχαμερό, τίποτε πιὸ βαρύ· αὐτὸ εἶναι χειρότερο ἀπὸ ὅλα τὰ δεσμά. Ἐπομένως δὲν ρίχθηκε σὲ φυλακή, ἀλλ' ἐλευθερώθηκε ἀπὸ φυλακή· ἔκανε πολέμιο ἐναντίον του τὸν κύριο, ἀλλὰ τὸν συμφιλίωσε μὲ τὸ Θεό, τὸν ἔκανε πιὸ οἰκεῖο μὲ τὸν πραγματικὰ ἀληθινὸ Κύριο· τὸν ἀπομάκρυνε ἀπὸ τὴν ἐπιστασία τῆς οἰκίας, ἀλλὰ τὸν ἔκανε φίλο μὲ τὸν Κύριο.

Πάλι τ' ἀδέλφια του τὸν πούλησαν, ἀλλὰ τὸν ἀπάλλαξαν ἀπὸ τοὺς ἐχθροὺς ποὺ κατοικοῦσαν μαζί του, ἀπὸ τὸ φθόνο καὶ τὴ μεγάλη ζήλια, ἀπὸ τὰ καθημερινὰ σχέδια ἐναντίον του, τὸν ἀπομάκρυναν ἀπὸ ἐκείνους ποὺ τὸν μισοῦσαν· διότι τί ὑπάρχει χειρότερο ἀπ' αὐτό, ὅταν κανεὶς ἀναγκάζεται νὰ συγκατοικεῖ μὲ ἀδέλφια ποὺ τὸν φθονοῦν, ὅταν τὸν ὑποπτεύονται, ὅταν τὸν ἐπιβουλεύονται; Ὥστε λοιπὸν ἄλλα ἔκαμναν καὶ αὐτοὶ καὶ ἐκείνη, ἄλλα ὅμως πολὺ πιὸ σπουδαῖα ρυθμίζονταν ἀπὸ τὴν πρόνοια τοῦ Θεοῦ ὑπὲρ τοῦ δικαίου. Ὅταν βρισκόταν μέσα στὶς τιμές, τότε διέτρεχε τὸν κίνδυνο, ἐνῶ ὅταν ἀντιμετώπιζε τὴν περιφρόνηση, τότε βρισκόταν σὲ ἀσφάλεια. Δὲν τὸν θυμοῦνταν οἱ εὐνοῦχοι· καὶ πολὺ σωστά, ὥστε νὰ γίνει λαμπρότερη ἡ ἀφορμὴ τῆς ἐξόδου του ἀπὸ τὴ φυλακή, γιὰ νὰ μὴ ἀποδίδει τὴ σωτηρία του στὴν ἀνθρώπινη χάρη, ἀλλὰ τὸ πᾶν νὰ τὸ ἀποδίδει στὴν πρόνοια τοῦ Θεοῦ, γιὰ νὰ τὸν ἐλευθερώσει τὴν κατάλληλη στιγμή, ἀφοῦ περιπέσει σὲ ἀνάγκη, καὶ νὰ τὸν βγάλει ὁ Φαραὼ ἀπὸ τὴ φυλακή, ὄχι εὐεργετώντας τον, ἀλλ' εὐεργετούμενος αὐτός. Δὲν ἔπρεπε τὸ δῶρο νὰ γίνει δουλικό, ἀλλὰ νὰ περιπέσει ὁ βασιλιὰς σὲ ἀνάγκη· ἔπρεπε νὰ γίνει φανερὴ ἡ σοφία του. Γι' αὐτὸ τὸν λησμονεῖ ὁ εὐνοῦχος, γιὰ νὰ μὴ τὸν λησμονήσει ἡ Αἴγυπτος, γιὰ νὰ μὴ τὸν ἀγνοήσει ὁ βασιλιάς.

νέχθη, ἴσως ἂν καὶ ἐπεθύμησεν ἀπελθεῖν εἰς τὴν αὐτοῦ· διὰ τοῦτο μυρίαις ἀνάγκαις κατέχεται, πρῶτον τῇ δεσποτείᾳ, δεύτερον τῷ δεσμωτηρίῳ, τρίτον ἐν τῇ βασιλείᾳ, ἵνα ταῦτα οἰκονομηθῇ. Καθάπερ οὖν τινα γενναῖον πῶλον ἐκπηδῆσαι βουλόμενον πρὸς τοὺς αὐτοῦ, κατεῖχεν ὁ Θεὸς ἐκεῖ δι' αἰτιῶν ἐνδόξων. Ὅτι γὰρ ἐπεθύμει τὸν πατέρα ἰδεῖν καὶ ἀπαλλάξαι τῆς ὀδύνης δῆλον ἐκ τοῦ καλέσαι αὐτὸν ἐκεῖ.

4. Βούλεσθε καὶ ἑτέρας ἴδωμεν ἐπιβουλάς, ὅτι ὑπὲρ ἡμῶν γίνονται, οὐ μόνον τῷ μισθὸν ἔχειν, ἀλλὰ καὶ τῷ ἐν αὐτῷ τῷ καιρῷ τὰ ὑπὲρ ἡμῶν ποιεῖν; Ἐπεβούλευσε τῷ τούτου πατρὶ ὁ θεῖος ὁ τούτου, καὶ τῆς πατρίδος ἐξήλασε· τί οὖν; Καὶ αὐτὸς μακρὰν τοῦ κινδύνου αὐτὸν κατέστησεν (ἐν ἀσφαλείᾳ γὰρ καὶ αὐτὸς γέγονεν), ἐποίησε φιλοσοφώτερον, ἐποίησεν ἰδεῖν τὸ ὄναρ. Ἀλλ' ἐδούλευσεν ἐν ἀλλοτρίᾳ; Ἀλλὰ παρὰ τοῖς αὐτοῦ ἀπελθὼν λαμβάνει νύμφην, καὶ ἄξιος φαίνεται τῷ κηδεστῇ. Ἀλλ' ἠπάτησε κἀκεῖνος; Ἀλλὰ καὶ τοῦτο εἰς ἀγαθὸν γέγονεν, ἵνα πολλῶν παίδων γένηται πατήρ. Ἀλλ' ἐβουλήθη ἐπιβουλεῦσαι; Ἀλλὰ καὶ τοῦτο εἰς ἀγαθόν, ἵνα εἰς τὴν αὐτοῦ λοιπὸν ἐπανέλθῃ· εἰ γὰρ ἦν ἐν εὐπραγίᾳ, οὐκ ἂν οὕτως ἐπεθύμει τῆς ἑαυτοῦ. Ἀλλ' ἀφεῖλε τὸν μισθόν; Ἀλλὰ πλείων γέγονεν. Οὕτω πανταχοῦ, ὅσῳ ἐπιβουλεύοντο, τοσούτῳ τὰ τούτων ἤνθει. Εἰ μὴ τὴν πρεσβυτέραν ἔλαβεν, οὐκ ἂν ταχέως ἐγένετο τοσούτων παίδων πατήρ, ἀλλ' ἐν ἀπαιδίᾳ πολὺν ἂν εἵλκυσε χρόνον, καὶ ἐπένθησεν ἄν, καθάπερ καὶ ἡ γυνή· ἐκείνη μὲν γὰρ εἰκότως ἐπένθει, ἅτε μὴ γενομένη μήτηρ, οὗτος δὲ ἔχει παραμυθίαν· ὅθεν αὐτὴν καὶ διακρούεται.

Ἐὰν ἔβγαινε τότε ἀπὸ τὴ φυλακή, ἴσως νὰ ἐπιθυμοῦσε ν' ἀναχωρήσει γιὰ τὴν πατρίδα του· γι' αὐτὸ εἶναι δεσμευμένος ἀπὸ πολλὲς ἀνάγκες, πρῶτα ἀπὸ τὴν ἐξουσία, δεύτερο ἀπὸ τὴ φυλακή, τρίτο μέσα στὰ βασιλικὰ ἀνάκτορα, γιὰ νὰ ρυθμισθοῦν ἔτσι ὅλα αὐτὰ ἀπὸ τὴν πρόνοια τοῦ Θεοῦ. Σὰν ἀκριβῶς λοιπὸν κάποιο γενναῖο πουλάρι, ποὺ θέλει νὰ φύγει πρὸς τοὺς δικούς του, τὸ κρατοῦσε ἐκεῖ ὁ Θεὸς μὲ κατηγορίες γεμάτες ἀπὸ δόξα. Διότι, τὸ ὅτι ἐπιθυμοῦσε νὰ δεῖ τὸν πατέρα του καὶ ν' ἀπαλλαχθεῖ ἀπὸ τὸν ὑπερβολικὸ πόνο, γίνεται φανερὸ ἀπὸ τὸ ὅτι κάλεσε αὐτὸν ἐκεῖ.

4. Θέλετε νὰ δοῦμε καὶ ἄλλες ἐπιβουλές, ποὺ γίνονται πρὸς ὄφελός μας καὶ ποὺ ὄχι μόνο ἔχομε ἀμοιβή, ἀλλὰ καὶ ἀποβαίνουν πρὸς ὄφελός μας κατὰ τὴ στιγμὴ ἐκείνη ποὺ γίνονται; Ἔκανε κακὰ σχέδια ἐναντίον τοῦ πατέρα αὐτοῦ ὁ θεῖος του καὶ τὸν ἀπομάκρυνε ἀπὸ τὴν πατρίδα του· τί λοιπόν; Καὶ αὐτὸς τὸν ἀπομάκρυνε ἀπὸ τοὺς κινδύνους (διότι καὶ αὐτὸς κατέστη ἀσφαλής), τὸν ἔκανε περισσότερο εὐσεβή, ἔγινε αἰτία νὰ δεῖ τὸ ὄνειρο. Ἀλλ' ἔγινε δοῦλος σὲ ξένη χώρα; Ὅμως νυμφεύεται, ὅταν πῆγε ἐκεῖ, ἀπὸ τοὺς συγγενεῖς του καὶ φαίνεται ἄξιος στὸν πεθερό του. Ἀλλὰ τὸν ἐξαπάτησε καὶ ἐκεῖνος; Ὅμως καὶ αὐτὸ ἔγινε γιὰ τὸ καλό του, ὥστε νὰ γίνει πατέρας πολλῶν παιδιῶν. Ἀλλὰ θέλησε νὰ τὸν ἐπιβουλευθεῖ; Ὅμως καὶ αὐτὸ ἔγινε γιὰ καλό, γιὰ νὰ γυρίσει πλέον στὴν πατρίδα του· διότι, ἐὰν καλοπερνοῦσε, δὲν θὰ ἐπιθυμοῦσε τόσο πολὺ τὴν πατρίδα του. Ἀλλὰ τοῦ στέρησε τὸ μισθό; Ὅμως περισσότερη ἔγινε ἡ περιουσία του. Παντοῦ λοιπὸν ὅσο περισσότερο ἐπιβουλευόταν, τόσο περισσότερο εὐημεροῦσαν τὰ πράγματά του. Ἐὰν δὲν νυμφευόταν τὴ μεγαλύτερη γυναίκα του, δὲν θὰ γινόταν τόσο γρήγορα πατέρας τόσων πολλῶν παιδιῶν, ἀλλὰ γιὰ πολὺ χρόνο θὰ ἔμενε χωρὶς παιδιά, καὶ ἴσως θὰ λυποῦνταν, ὅπως ἀκριβῶς καὶ ἡ γυναίκα του· διότι ἐκείνη πολὺ σωστὰ πενθοῦσε, ἐπειδὴ δὲν ἔγινε μητέρα, αὐτὸς ὅμως ἔχει παρηγοριά· γι' αὐτὸ καὶ ἀπομακρύνει αὐτὴν ἀπὸ κοντά του.

Πάλιν, εἰ μὴ αὐτὸν ἀπεστέρησε τῶν μισθῶν, οὐκ ἂν ἐπεθύμησεν ἰδεῖν τὴν αὐτοῦ, οὐκ ἂν ἐφάνη ἡ φιλοσοφία τοῦ ἀνδρός, οὐκ ἂν μᾶλλον ᾠκειώθησαν αὐτῷ. Ὅρα γὰρ τί φασι· «Καταβρώσει κατέφαγεν ἡμᾶς καὶ τὸ ἀργύριον ἡμῶν». Ὥστε τοῦ φίλτρου τοῦτο γέγονεν αἴτιον. Δούλας εἶχε λοιπὸν ἀντὶ γυναικῶν, καὶ ἐφιλεῖτο παρ' αὐτῶν, οὗ οὐδὲν ἴσον κτῆμα γένοιτο ἄν· οὐδὲν γάρ, οὐδὲν τοῦ οὕτω φιλεῖσθαι παρὰ γυναικὸς καὶ φιλεῖν τιμιώτερον. «Καὶ γυνή», φησίν, «ἀνδρὶ συμπεριφερομένη». Ἓν τοῦτο τῶν μακαριστῶν τίθησιν ὁ σοφός· τούτου γὰρ ὄντος πᾶς πλοῦτος, πᾶσα εὐπραγία περίεστιν· ὥσπερ οὖν, μὴ ὄντος, τῶν ἄλλων οὐδὲν ὄφελος, ἀλλὰ πάντα ἀνατέτραπται, καὶ ἀηδίας ἐστὶ μεστὰ καὶ συγχύσεως.

Οὐκοῦν καὶ ἡμεῖς τοῦτο πρὸ πάντων ζητῶμεν. Ὁ χρήματα ζητῶν οὐ ζητεῖ τοῦτο. Ταῦτα ζητῶμεν, ἃ δύναται πάγια εἶναι. Μὴ γάμον ζητῶμεν ἀπὸ εὐπόρων, ἵνα μὴ τῆς οὐσίας ἡ ἀμετρία φρόνημα τέκῃ τῇ γυναικί, ἵνα μὴ τὸ φρόνημα διαφθορᾶς αἴτιον ᾖ. Οὐχ ὁρᾷς τί ἐποίησεν ὁ Θεός, πῶς αὐτὴν ὑπέταξε; Διὰ τί ἀγνώμων εἶ; διὰ τί ἀναίσθητος; Ὅπερ ἐχαρίσατό σοι ἀπὸ τῆς φύσεως, τούτου σὺ μὴ διαφθείρῃς τὴν βοήθειαν. Ὥστε οὐκ εὔπορον δεῖ ζητεῖν, ἀλλ' ὥστε κοινωνὸν βίου λάβωμεν εἰς κατάστασιν παιδοποιίας. Οὐχ ἵνα χρήματα εἰσφέρῃ γυνή, διὰ τοῦτο αὐτὴν ἔδωκεν ὁ Θεός, ἀλλ' ἵνα ᾖ βοηθός· ἡ δὲ χρήματα εἰσφέρουσα, καὶ ἐπίβουλος καὶ δέσποινα ἀντὶ γυναικὸς γίνεται· ἢ τάχα θηρίον ἀντὶ γυναικός, ἀξιοῦσα μεγάλα διὰ τὸν πλοῦτον φρονεῖν. Οὐδὲν αἰσχρότερον ἀνδρός, οὕτω βουλομένου πλουτεῖν· εἰ γὰρ αὐτὸ τὸ πλουτεῖν πειρασμῶν γέμει, τὸ οὕτω πλουτεῖν ποῦ θήσομεν; Μὴ γάρ, εἴ τις σπανιάκις καὶ παρὰ τὸ συμβαῖνον

2. Γέν. 31, 15
3. Σοφ. Σειρὰχ 25, 1

Πάλι, ἐὰν δὲν τοῦ στεροῦσε τοὺς μισθούς του, δὲν θὰ ἐπιθυμοῦσε νὰ δεῖ τὴν πατρίδα του, δὲν θὰ φανερωνόταν ἡ ἀρετὴ αὐτοῦ, δὲν θὰ ἔδειχναν μεγαλύτερη συμπάθεια σ᾽ αὐτόν. Διότι πρόσεχε τί λέγει· «Ἄδικα καὶ παράνομα κατέφαγε τὰ χρήματά μας»[2]. Ἑπομένως αὐτὸ ἔγινε αἰτία τῆς ἀγάπης του. Εἶχε δηλαδὴ δοῦλες ἀντὶ γιὰ γυναῖκες καὶ ἀγαπιόνταν ἀπ᾽ αὐτές, πράγμα μὲ τὸ ὁποῖο τίποτε δὲν θὰ μποροῦσε νὰ ἐξισωθεῖ· διότι τίποτε, τίποτε δὲν ὑπάρχει τιμιότερο ἀπὸ τὸ ν᾽ ἀγαπιέται κανεὶς τόσο πολὺ ἀπὸ γυναίκα καὶ ν᾽ ἀγαπᾶ αὐτήν. «Καὶ ἡ γυναίκα», λέγει, «νὰ δείχνει καλὴ συμπεριφορὰ πρὸς τὸν ἄνδρα της»[3]. Αὐτὸ ἀναφέρει ὁ σοφὸς σὰν ἕνα ἀπὸ τὰ ἀξιομακάριστα· διότι, ὅταν ὑπάρχει αὐτό, ὑπάρχει τότε καὶ κάθε πλοῦτος, καὶ κάθε εὐτυχία· ὅπως πάλι, ἐὰν δὲν ὑπάρχει αὐτό, δὲν ὑπάρχει κανένα ὄφελος ἀπὸ τὰ ἄλλα, ἀλλ᾽ ὅλα ἀνατρέπονται καὶ εἶναι γεμάτα ἀπὸ ἀηδία καὶ σύγχυση.

Λοιπὸν καὶ ἐμεῖς αὐτὸ πρὸ πάντων νὰ ἐπιδιώκομε. Ἐκεῖνος ποὺ ἐπιδιώκει τὰ χρήματα, δὲν ἐπιδιώκει αὐτό. Αὐτὰ ἂς ἐπιδιώκομε, τὰ ὁποῖα μποροῦν νὰ εἶναι μόνιμα. Ἂς μὴ ἐπιδιώκομε γάμο μὲ πλούσιες, γιὰ νὰ μὴ δημιουργήσει στὴ γυναίκα ὑπερηφάνεια ἡ μεγάλη περιουσία, γιὰ νὰ μὴ γίνει ἡ ὑπερηφάνεια αἰτία διαφθορᾶς. Δὲν βλέπεις τί ἔκανε ὁ Θεός· πῶς ὑπέταξε αὐτήν; Γιατί εἶσαι ἀχάριστος; γιατί εἶσαι ἀναίσθητος; Ἐκεῖνο ποὺ σοῦ χαρίσθηκε ἀπὸ τὴ φύση, αὐτοῦ μὴ καταστρέφεις σὺ τὴ βοήθεια. Ἑπομένως δὲν πρέπει νὰ ἐπιδιώκομε νὰ πάρομε πλούσια γυναίκα, ἀλλὰ νὰ πάρομε σύντροφο τῆς ζωῆς μὲ σκοπὸ τὴν ἀπόκτηση παιδιῶν. Ὁ Θεὸς δὲν ἔδωσε τὴ γυναίκα γιὰ νὰ μᾶς δίνει χρήματα, ἀλλὰ γιὰ νὰ εἶναι βοηθός· ἐκείνη ποὺ δίνει χρήματα, καὶ μᾶς ἐξαπατᾶ καὶ γίνεται κυρία ἀντὶ γιὰ γυναίκα· καὶ ἴσως γίνεται θηρίο ἀντὶ γιὰ γυναίκα, ἐκδηλώνοντας ὑπερηφάνεια ἐξ αἰτίας τοῦ πλούτου της. Τίποτε δὲν ὑπάρχει αἰσχρότερο ἀπὸ τὸν ἄνδρα ἐκεῖνον ποὺ θέλει νὰ πλουτήσει κατ᾽ αὐτὸν τὸν τρόπο· διότι, ἐὰν ὁ ἴδιος ὁ πλοῦτος εἶναι γεμάτος ἀπὸ πειρασμούς, σὰν τί θὰ θεωρήσομε τὸν πλοῦτο ποὺ ἀποκτᾶ κανεὶς μὲ τὸν τρόπο αὐτό; Μὴ βέβαια προσέξεις αὐτό, τὸ ἐὰν κάποιος σπάνια

καὶ παρὰ λόγον ἐπέτυχε, τοῦτο ἴδῃς (οὐδὲ γὰρ ἐν τοῖς ἄλλοις πράγμασιν, οἷς ἀπολαύουσί τινες, καὶ ἐκ παραδόξου ἐπιτυγχάνουσι, προσέχειν δεῖ), ἀλλ' αὐτὸ τὸ κατὰ λόγον ἴδωμεν, εἰ μὴ μυρίας ἀηδίας γέμει τὸ πρᾶγμα. Οὐκ αὐτὸς μόνος ἐν ἀδοξίᾳ γίνῃ, ἀλλὰ καὶ παῖδας καταισχύνεις, πένητας ἀφείς, εἰ συμβαίη προαπελθεῖν, καὶ αὐτῇ πολλὰς δίδως ἀφορμὰς τοῦ δευτέρῳ πάλιν προσομιλῆσαι νυμφίῳ. Ἢ οὐχ ὁρᾷς ὅτι πολλαῖς αὕτη γέγονεν ἡ πρόφασις δευτέρου γάμου, τὸ μὴ καταφρονεῖσθαι, τὸ ζητεῖν τοὺς ἐφισταμένους τοῖς ὑπάρχουσι;

Μὴ δὴ τοσαῦτα ἐργαζώμεθα κακὰ διὰ χρήματα, ἀλλὰ πάντα ἀφῶμεν, καὶ ψυχὴν ζητῶμεν καλήν, ἵνα καὶ ἀγάπης ἐπιτύχωμεν. Οὗτος ὁ πλοῦτος ὁ πολύς, οὗτος ὁ μέγας θησαυρός, ταῦτα τὰ μυρία ἀγαθά· ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι δεόντως, καὶ κατὰ τοὺς νόμους τοῦ Θεοῦ ζῆσαι, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν δυνηθῶμεν ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καὶ ἀντίθετα ἀπὸ αὐτὸ ποὺ συμβαίνει καὶ πέρα ἀπὸ τὴ λογικὴ ἐπέτυχε (διότι δὲν πρέπει νὰ προσέχομε οὔτε στὰ ἄλλα πράγματα, κατὰ τὰ ὁποῖα ὁρισμένοι ἀπολαμβάνουν καὶ ἐντελῶς παράδοξα ἐπιτυχαίνουν), ἀλλ' ἂς προσέξομε αὐτὸ ποὺ λέγει ἡ λογική, ἐὰν δηλαδὴ τὸ πράγμα εἶναι γεμάτο ἀπὸ ἀηδία σὲ μεγάλο βαθμό. Ὄχι μόνο σὺ ὁ ἴδιος δὲν ἔχεις ἐκτίμηση, ἀλλὰ καὶ τὰ παιδιὰ κατεντροπιάζεις, ἀφήνοντας αὐτὰ φτωχά, ἐὰν συμβεῖ νὰ πεθάνεις πρῶτος, καὶ σ' αὐτὴν δίνεις πολλὲς ἀφορμὲς νὰ προσκολληθεῖ πάλι σὲ δεύτερο σύζυγο. Ἢ δὲν βλέπεις ὅτι σὲ πολλὲς αὐτὴ ἡ πρόφαση ἔγινε ἀφορμὴ γιὰ δεύτερο γάμο, τὸ νὰ ἐπιδιώκουν δηλαδὴ νὰ πάρουν συζύγους ἐκείνους ποὺ ὑπερέχουν στὴν περιουσία, ὥστε νὰ μὴ περιφρονοῦνται;

Ἂς μὴ προξενοῦμε λοιπὸν τόσα πολλὰ κακὰ ἐξ αἰτίας τῶν χρημάτων, ἀλλ' ἂς ἀδιαφοροῦμε γιὰ ὅλα, καὶ ἂς ζητᾶμε μόνο καλὴ ψυχή, γιὰ νὰ ἐπιτύχομε καὶ ἀγάπη. Αὐτὸς εἶναι ὁ πλοῦτος ὁ μεγάλος, αὐτὸς εἶναι ὁ μεγάλος θησαυρός, αὐτὰ εἶναι τὰ ἀμέτρητα ἀγαθά, τὰ ὁποῖα εὔχομαι ὅλοι μας ν' ἀπολαύσομε ἔτσι ποὺ πρέπει, καὶ νὰ ζήσομε σύμφωνα μὲ τὶς ἐντολὲς τοῦ Θεοῦ, γιὰ νὰ μπορέσομε νὰ ἐπιτύχομε καὶ τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ν΄

(Πράξ. 23, 31 - 24, 21)

«Οἱ μὲν οὖν στρατιῶται κατὰ τὸ διατεταγμένον αὐτοῖς ἀναλαβόντες τὸν Παῦλον, ἤγαγον διὰ νυκτὸς εἰς τὴν Ἀντιπατρίδα. Τῇ τε ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς πορεύεσθαι σὺν αὐτῷ ὑπέστρεψαν εἰς τὴν παρεμβολήν· οἵτινες, ἐλθόντες εἰς τὴν Καισάρειαν, καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι, παρέστησαν καὶ τὸν Παῦλον αὐτῷ».

1. Καθάπερ βασιλέα τινὰ δορυφόροι παρέπεμπον μετὰ τοσούτου πλήθους καὶ ἐν νυκτί, φοβούμενοι τοῦ δήμου τὴν ὀργὴν τῆς ὁρμῆς. Ἐπεὶ οὖν τῆς πόλεως αὐτὸν ἐξέβαλον, τότε ἀφίστανται. Οὐκ ἂν δὲ ὁ χιλίαρχος μετὰ τοσαύτης αὐτὸν ἀσφαλείας ἐξέπεμψεν, εἰ μὴ καὶ αὐτὸς οὐδὲν ἦν αὐτοῦ κατεγνωκώς, καὶ ἐκείνων ᾔδει τὸ φονικόν. «Ἀναγνοὺς δὲ ὁ ἡγεμών, καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐστί, καὶ πυθόμενος ὅτι ἀπὸ Κιλικίας, διακούσομαί σου, ἔφη, ὅταν καὶ οἱ κατήγοροί σου παραγένωνται. Ἐκέλευσέ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ τοῦ Ἡρώδου φυλάσσεσθαι». Ἤδη ἀπελογήσατο ὑπὲρ αὐτοῦ ὁ Λυσίας· ἀλλ' ὅμως καὶ ἔτι οἱ Ἰουδαῖοι ἐπιτίθενται, καὶ προκαταλαμβάνουσι τὸν ἀκροατήν, καὶ πάλιν εἰς δεσμὰ βάλλεται, καὶ ἄκουε πῶς· ἐπάγει γάρ· «Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μετὰ πρεσβυτέρων καὶ ῥήτορος Τερτύλλου τινός, οἵτινες ἐνεφάνησαν τῷ ἡγεμόνι κατὰ τοῦ Παύλου». Ὅρα πῶς οὐδ' οὕτως ἀ-

ΟΜΙΛΙΑ Ν΄
(Πράξ. 23, 31 - 24, 21)

«Οἱ στρατιῶτες λοιπὸν σύμφωνα μὲ τὴ διαταγὴ ποὺ εἶχαν, πῆραν τὸν Παῦλο καὶ τὸν ἔφεραν τὴ νύχτα στὴν Ἀντιπατρίδα, καὶ τὴν ἄλλη ἡμέρα ἄφησαν τοὺς ἱππεῖς νὰ προχωρήσουν μαζί του, ἐνῶ αὐτοὶ ἐπέστρεψαν στὸ στρατώνα. Ἐκεῖνοι, ἀφοῦ ἔφθασαν στὴν Καισάρεια, ἔδωσαν τὴν ἐπιστολὴ στὸν ἡγεμόνα καὶ παρουσίασαν καὶ τὸν Παῦλο σ' αὐτόν».

1. Σὰν ἀκριβῶς νὰ ἦταν κάποιος βασιλιὰς τὸν συνόδευαν σωματοφύλακες μαζὶ μὲ τόσο πλῆθος καὶ κατὰ τὴ διάρκεια τῆς νύχτας, ἐπειδὴ φοβοῦνταν τὴν ἐπίθεση τοῦ ὀργισμένου πλήθους. Ἀφοῦ λοιπὸν τὸν ἔβγαλαν ἔξω ἀπὸ τὴν πόλη, τότε ἐπιστρέφουν. Δὲν θὰ τὸν ἔστελνε ὁ χιλίαρχος μὲ τόση μεγάλη ἀσφάλεια, ἐὰν καὶ αὐτὸς δὲν διαπίστωνε ὅτι καμία κατηγορία δὲν ὑπῆρχε ἐναντίον του, καὶ ἐὰν δὲν γνώριζε ἐπίσης τὶς φονικὲς διαθέσεις ἐκείνων. «Ἀφοῦ ὁ ἡγεμόνας διάβασε τὴν ἐπιστολὴ τὸν ρώτησε ἀπὸ ποιὰ ἐπαρχία εἶναι, καὶ ἀφοῦ ἔμαθε ὅτι εἶναι ἀπὸ τὴν Κιλικία, θὰ σὲ ἀνακρίνω, εἶπε, ὅταν θὰ ἔρθουν καὶ οἱ κατήγοροί σου. Διέταξε τότε νὰ τὸν φυλάσσουν στὸ διοικητήριο τοῦ Ἡρώδη». Ἤδη ἀπολογήθηκε ὑπὲρ αὐτοῦ ὁ Λυσίας, ἀλλ' ὅμως καὶ ἀκόμη οἱ Ἰουδαῖοι ἐπιτίθενται καὶ ἐπηρεάζουν ἀπὸ τὴν ἀρχὴ τὴ γνώμη τοῦ ἀκροατῆ, καὶ ἔτσι ρίχνεται καὶ πάλι στὴ φυλακή, καὶ ἄκου πῶς· διότι προσθέτει· «Μετὰ ἀπὸ πέντε ἡμέρες κατέβηκε ὁ ἀρχιερέας Ἀνανίας μαζὶ μὲ τοὺς πρεσβυτέρους καὶ κάποιο δικηγόρο μὲ τὸ ὄνομα Τέρτυλλος, καὶ διατύπωσαν κατηγορία ἐναντίον τοῦ Παύλου». Πρόσεχε πῶς οὔτε καὶ ἔτσι ἐγκατέλειψαν τὶς ἐχθρικὲς διαθέσεις τους ἐναντίον του, ἀλλ'

πέστησαν, ἀλλ' ἔρχονται, μυρίοις κωλύμασι καίτοι κωλυόμενοι, ὥστε κἀκεῖ καταισχυνθῆναι.

«Κληθέντος δὲ αὐτοῦ, ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλος, λέγων· Πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ, καὶ κατορθωμάτων γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας, πάντῃ τε καὶ πανταχοῦ ἀποδεχόμεθα, κράτιστε Φῆλιξ, μετὰ πάσης εὐχαριστίας. Ἵνα δὲ μὴ ἐπὶ πλέον σε ἐγκόπτω, παρακαλῶ ἀκοῦσαι συντόμως ἡμῶν τῇ σῇ ἐπιεικείᾳ». Καὶ μὴν ὑμεῖς τοῦτο πεποιήκατε, ῥήτορος οὖν τί ἔδει; Ὅρα πῶς καὶ οὗτος εὐθέως ἐκ προοιμίων ὡς νεωτεροποιὸν καὶ στασιαστὴν βούλεται παραδοῦναι, καὶ τοῖς ἐπαίνοις προκαταλαμβάνει τὸν δικαστήν. Εἶτα, ὡς πολλὰ ἔχων εἰπεῖν, παρατρέχει, καὶ μόνον τοῦτο λέγει· «Ἵνα δὲ μὴ ἐπὶ πλέον σε ἐγκόπτω». Ὅρα πῶς εἰς ἐπιθυμίαν ἐμβάλλει κολάσεως τὸν δικαστήν, εἴ γε ἔμελλε τὸν τὴν οἰκουμένην ἀνατρέποντα καθέξειν, καὶ ὡς ἐπὶ κατορθώματι φρονοῦσι μεγάλῳ.

«Εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμόν, καὶ κινοῦντα στάσεις πᾶσι τοῖς Ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην, πρωτοστάτην τε τῆς τῶν Ναζωραίων αἱρέσεως, ὃς καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι· ὃν καὶ ἐκρατήσαμεν, καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρῖναι. Παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγε, κελεύσας τοὺς κατηγόρους αὐτοῦ ἔρχεσθαι ἐπὶ σοῦ· παρ' οὗ δυνήσῃ αὐτός, ἀνακρίνας περὶ πάντων τούτων, ἐπιγνῶναι ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ». «Τοῖς κατὰ τὴν οἰκουμένην», φησίν, «Ἰουδαίοις στάσεις κινοῦντα». Ὡς λυμεῶνα λοιπὸν καὶ κοινὸν ἐχθρὸν τοῦ ἔθνους διαβάλλουσι πρωτοστάτην τε τῆς τῶν Ναζωραίων αἱρέσεως. Ἐδόκει τοῦτο ἐπονείδιστον εἶναι, τὸ τῶν Ναζωραίων· διὸ καὶ τοῦτο παρῆγον, καὶ ἀπὸ τούτου πάλιν διέβαλλον αὐτόν· ἡ γὰρ Ναζαρὲθ εὐτελὴς ἦν. «Καὶ εὑρόντες», φησίν. Ὅρα πῶς κακούρ-

ἔρχονται, ἂν καὶ ἐμποδίζονται ἀπὸ ἄπειρα ἐμπόδια, ὥστε καὶ ἐκεῖ νὰ καταντροπιασθοῦν.

«Ἀφοῦ καλέσθηκε ἐκεῖ ὁ Παῦλος ἄρχισε νὰ τὸν κατηγορεῖ ὁ Τέρτυλλος, λέγοντας· Τὸ ὅτι, ἐξοχότατε Φήλικα, ἀπολαμβάνομε χάρη σὲ σένα ἀδιάκοπη εἰρήνη καὶ γίνονται πολλὰ ἔργα στὸ ἔθνος αὐτὸ ἐξ αἰτίας τῆς δικῆς σου φροντίδας, τὸ ἀναγνωρίζομε μὲ μεγάλη εὐγνωμοσύνη παντοῦ καὶ μὲ κάθε τρόπο. Γιὰ νὰ μὴ σὲ κουράσω ὅμως περισσότερο, παρακαλῶ δεῖξε τὴν καλωσύνη νὰ μὲ ἀκούσεις μὲ συντομία». Μὰ αὐτὸ τὸ ἔχετε κάνει ἐσεῖς, ὁ δικηγόρος λοιπὸν τί χρειαζόταν; Πρόσεχε πῶς καὶ αὐτὸς ἀμέσως καὶ ἀπὸ τὴν ἀρχὴ θέλει νὰ τὸν παραδώσει σὰν νεωτεριστὴ καὶ ἐπαναστάτη, καὶ ἐπηρεάζει τὴ γνώμη τοῦ δικαστῆ μὲ τοὺς ἐπαίνους. Στὴ συνέχεια, σὰν νὰ εἶχε νὰ πεῖ πολλά, τὰ παρατρέχει καὶ λέγει μόνο αὐτό· «Γιὰ νὰ μὴ σὲ κουράσω ὅμως περισσότερο». Πρόσεχε πῶς δημιουργεῖ στὸ δικαστὴ τὴν ἐπιθυμία γιὰ τιμωρία, ἐφόσον βέβαια ἐπρόκειτο νὰ συλλάβει ἐκεῖνον ποὺ δημιουργεῖ ταραχὴ στὴν οἰκουμένη, πράγμα ποὺ θὰ θεωροῦνταν μεγάλο κατόρθωμα.

«Τὸν ἄνθρωπο αὐτὸ τὸν θεωροῦμε σὰν καταστροφέα καὶ πρόξενο ταραχῶν μεταξὺ ὅλων τῶν Ἰουδαίων ὅλου τοῦ κόσμου, πρωτοστάτη τῆς αἱρέσεως τῶν Ναζωραίων, ὁ ὁποῖος ἐπιχείρησε καὶ τὸ ναὸ νὰ βεβηλώσει· γι' αὐτὸ τὸν πιάσαμε καὶ θελήσαμε νὰ τὸν κρίνομε σύμφωνα μὲ τὸ νόμο μας, ἀλλ' ἦρθε ὁ Λυσίας ὁ χιλίαρχος καὶ τὸν ἄρπαξε ἀπὸ τὰ χέρια μας μὲ μεγάλη βία, δίνοντας διαταγὴ στοὺς κατηγόρους του νὰ παρουσιασθοῦν σὲ σένα. Ἀφοῦ τὸν ἀνακρίνεις λοιπὸν σὺ ὁ ἴδιος θὰ μπορέσεις νὰ μάθεις γιὰ ὅσα ἐμεῖς τὸν κατηγοροῦμε». «Εἶναι πρόξενος», λέγει, «ταραχῶν μεταξὺ τῶν Ἰουδαίων ὅλου τοῦ κόσμου». Σὰν καταστροφέα λοιπὸν καὶ κοινὸ ἐχθρὸ τοῦ ἔθνους τὸν κατηγοροῦν καθὼς καὶ πρωτοστάτη τῆς αἱρέσεως τῶν Ναζωραίων. Θεωροῦνταν αὐτὸ ἀτιμωτικό, ἡ αἵρεση δηλαδὴ τῶν Ναζωραίων· γι' αὐτὸ ἀνέφεραν καὶ αὐτό, καὶ ἀπὸ αὐτὸ πάλι τὸν κατηγοροῦν· διότι ἡ Ναζαρὲτ ἦταν πόλη ἀσήμαντη. «Καὶ τὸν βρήκαμε», λέγει. Πρόσεχε

γως ὡς διαφυγόντα συκοφαντοῦσι, καὶ μόλις ἐπιτυχόντες, καίτοι ἑπτὰ ἡμέρας εἶχεν ἐν τῷ ἱερῷ. «Ὃν καὶ ἐκρατήσαμεν, καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρῖναι». Ὅρα πῶς καὶ τὸν νόμον ὑβρίζουσιν, εἴ γε μὴ τοῦτο νόμου ἦν, τὸ τύπτειν, τὸ ἀναιρεῖν, τὸ ἔνεδρα ποιεῖν. Εἶτα καὶ τοῦ Λυσίου κατηγορία· «Παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγεν»· οὐ προσῆκον αὐτῷ, φησί, πρᾶγμα ποιῶν, ὅμως ἐποίησε. «Παρ' οὗ δυνήσῃ αὐτός, ἀνακρίνας περὶ τούτων πάντων, γνῶναι ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ. Συνεπέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι, φάσκοντες ταῦτα οὕτως ἔχειν».

Τί οὖν ὁ Παῦλος; ἆρα ἐπὶ τούτοις σιγᾷ; Οὐδαμῶς· ἀλλὰ παρρησιάζεται πάλιν, καὶ ἀποκρίνεται·(καὶ τοῦτο τοῦ ἡγεμόνος βουληθέντος)· ἐπήγαγε γάρ· «Ἀπεκρίθη δὲ ὁ Παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν· Ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν δίκαιον τῷ ἔθνει τούτῳ ἐπιστάμενος, εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι, δυναμένου σου γνῶναι ὅτι οὐ πλείους εἰσί μοι ἡμέραι δέκα δύο, ἀφ' ἧς ἀνέβην προσκυνήσων ἐν Ἱερουσαλήμ· καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον ἢ ἐπισύστασιν ποιοῦντα ὄχλων, οὔτε ἐν ταῖς συναγωγαῖς, οὔτε κατὰ τὴν πόλιν· οὔτε παραστῆσαι νῦν δύνανται, περὶ ὧν νῦν κατηγοροῦσί μου». Οὐκ ἔστι ταῦτα κολακείας τὰ ῥήματα, τὸ μαρτυρῆσαι τῷ δικαστῇ δικαιοσύνην, ἀλλ' ἐκεῖνα μᾶλλον, τὸ εἰπεῖν, «Πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ». Τί οὖν ἀδίκως στασιάζετε; Σκόπει δέ· ἐκεῖνοι πρὸς ἀδικίαν παρώρμων, οὗτος τὸ δίκαιον ἐζήτει, διὸ καὶ ἔλεγεν· «Εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι»· εἶτα καὶ ἀπὸ τοῦ χρόνου ἰσχυρίζεται· «ἐκ πολλῶν ἐτῶν» γάρ, φησίν, «ὄντα σε κριτὴν ἐπιστάμενος».

Καὶ τί τοῦτο πρὸς ἀπόδειξιν συνετέλει; Μέγα·

πῶς μὲ κακοῦργο τρόπο τὸν συκοφαντοῦν σὰν κάποιο ποὺ θέλησε νὰ διαφύγει, καὶ μόλις κατόρθωσαν νὰ τὸν συλλάβουν, ἂν καὶ εἶχε ἑφτὰ ἡμέρες στὸ ναό. «Τὸν ὁποῖο πιάσαμε καὶ θελήσαμε νὰ τὸν κρίνομε σύμφωνα μὲ τὸ νόμο μας». Πρόσεχε πῶς καὶ ἐναντίον τοῦ νόμου κακολογοῦν, ἐφόσον δὲν ἦταν γνώρισμα τοῦ νόμου αὐτό, τὸ νὰ δέρνουν δηλαδή, τὸ νὰ φονεύουν, τὸ νὰ μεταχειρίζονται δόλια σχέδια. Ἔπειτα κατηγοροῦν καὶ τὸ Λυσία· «Ἀλλ' ἦρθε ὁ Λυσίας ὁ χιλίαρχος καὶ τὸν πῆρε μὲ μεγάλη βία ἀπὸ τὰ χέρια μας»· ἔκανε, λέγει, πράξη ποὺ δὲν ἔπρεπε νὰ τὴν κάνει, ἀλλὰ τὴν ἔκανε. «Ἀπὸ τὸν ὁποῖο, ἀφοῦ τὸν ἀνακρίνεις σὺ ὁ ἴδιος, θὰ μπορέσεις νὰ μάθεις γιὰ ὅσα τὸν κατηγοροῦμε ἐμεῖς. Ὑποστήριξαν τὴν κατηγορία καὶ οἱ Ἰουδαῖοι, λέγοντας ὅτι αὐτὰ ἔτσι ἔχουν».

Τί κάμνει λοιπὸν ὁ Παῦλος; ἄραγε σιωπᾶ ἀκούοντας αὐτά; Καθόλου· ἀλλὰ δείχνει καὶ πάλι τὸ θάρρος του μὲ τὴν ἀπάντηση ποὺ δίνει (καὶ αὐτὸ ἔγινε μὲ τὴ θέληση τοῦ ἡγεμόνα)· διότι πρόσθεσε· «Ἀποκρίθηκε ὅμως ὁ Παῦλος, ἀφοῦ τοῦ ἔκανε νεῦμα ὁ ἡγεμόνας νὰ μιλήσει· Ἐπειδὴ γνωρίζω ὅτι ἀπὸ πολλὰ χρόνια εἶσαι δικαστὴς στὸ ἔθνος αὐτό, ἀπολογοῦμαι μὲ μεγαλύτερη προθυμία γιὰ τὸν ἑαυτό μου, καθόσον μπορεῖς νὰ μάθεις ὅτι δὲν πέρασαν περισσότερες ἀπὸ δώδεκα ἡμέρες ποὺ ἀνέβηκα γιὰ νὰ προσκυνήσω στὴν Ἰερουσαλήμ· καὶ δὲν μὲ βρῆκαν νὰ συζητῶ μὲ κανένα ἢ νὰ παρακινῶ τὸ λαὸ σὲ ἐπανάσταση οὔτε στὸ ναὸ οὔτε στὶς συναγωγὲς οὔτε στὴν πόλη· οὔτε μποροῦν ν' ἀποδείξουν ἐκεῖνα ποὺ τώρα μὲ κατηγοροῦν». Τὰ λόγια αὐτὰ δὲν εἶναι λόγια κολακείας, τὸ νὰ ὁμολογήσει ὅτι εἶναι δίκαιος ὁ δικαστής, ἀλλ' ἐκεῖνα μᾶλλον, τὸ ὅτι εἶπαν, «Χάρη σὲ σένα ἀπολαμβάνομε ἀδιάκοπη εἰρήνη». Γιατί λοιπὸν ἄδικα φιλονεικεῖτε; Πρόσεχε λοιπόν· ἐκεῖνοι τὸν παρακινοῦσαν γιὰ ἀδικία, ἐνῶ αὐτὸς ζητοῦσε τὸ δίκαιο, γι' αὐτὸ καὶ ἔλεγε· «Ἀπολογοῦμαι μὲ μεγαλύτερη προθυμία γιὰ τὸν ἑαυτό μου»· ἔπειτα ἰσχυρίζεται αὐτὸ καὶ ἀπὸ τὸ χρόνο· διότι λέγει· «Ἐπειδὴ γνωρίζω ὅτι ἀπὸ πολλὰ χρόνια εἶσαι δικαστής».

Καὶ τί ἀποδεικνύει αὐτό; Ἀποτελεῖ μεγάλη ἀπόδειξη·

δείκνυσι γὰρ ὅτι καὶ αὐτὸς οἶδε μηδὲν ὧν κατηγορεῖται πεποιηκότα. Εἰ δὲ ἐπισύστασίν ποτε ἐκίνησεν, ἐγίνωσκεν ἄν, κριτὴς ὤν, καὶ τὸ τοιοῦτον αὐτὸν οὐκ ἐλάνθανεν. Εἶτα, ἐπειδὴ ὁ κατήγορος οὐδὲν εἶχε δεῖξαι ἐν Ἱεροσολύμοις, ὅρα τί φησι· «Τοῖς κατὰ τὴν οἰκουμένην πᾶσιν Ἰουδαίοις», ψεῦδος ἐπὶ ψεύδει συντιθείς. Διὰ τοῦτο ὁ Παῦλος, ἐντεῦθεν αὐτὸν ἀφέλκων, «προσκυνήσων ἀνέβην», λέγει, μονονουχὶ ἀπολογούμενος διὰ τούτου ὅτι τοσοῦτον ἀπέχω τοῦ στάσεις κινεῖν· καὶ τούτῳ ἐνδιατρίβει τῷ δικαίῳ, ὅπερ ἦν ἰσχυρόν· ἐπάγει γάρ· «Καὶ οὔτε ἐν τῷ ἱερῷ, οὔτε ἐν τῇ πόλει, οὔτε ἐν τῇ συναγωγῇ εὗρόν με πρός τινα διαλεγόμενον», ὅπερ ἦν καὶ ἀληθές. Κἀκεῖνος μὲν «πρωτοστάτην» φησί, καθάπερ ἐπὶ μάχης καὶ συστάσεως, οὗτος δὲ ὅρα πῶς ἐπιεικῶς ἀποκρίνεται· «Ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδόν, ἣν λέγουσιν αἵρεσιν, οὕτω λατρεύω τῷ πατρῴῳ Θεῷ, πιστεύων πᾶσι τοῖς κατὰ νόμον καὶ ἐν τοῖς προφήταις γεγραμμένοις, ἐλπίδα ἔχων εἰς τὸν Θεόν, ἣν καὶ αὐτοὶ προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν, δικαίων τε καὶ ἀδίκων».

2. Ὅρα· ἐχώριζον αὐτὸν ἐκεῖνοι, οὗτος συνειγάγει, καὶ οἰκειοῖ ἑαυτὸν τῷ νόμῳ δι' ὧν ἀπολογεῖται καί, βεβαιῶν ὃ εἶπε, πάλιν ἐπάγει· «Ἐν τούτῳ δὲ καὶ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχων πρός τε τὸν Θεὸν καὶ πρὸς τοὺς ἀνθρώπους διὰ παντός. Δι' ἐτῶν δὲ πλειόνων παρεγενόμην, ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου καὶ προσφοράς, ἐν οἷς εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ οὐ μετὰ ὄχλου, οὐδὲ μετὰ θορύβου τινός». Τί οὖν ἀνέβης; τί ἦλθες; «Προσκυνῆσαι, ἐλεημοσύνας», φησί, «ποιῆσαι»· ὥστε τοῦτο οὐκ ἦν στασιῶδους. Εἶτα καὶ ἐκβάλλει αὐτῶν τὸ πρόσωπον, λέγων ἀδιορίστως· «Ἐν οἷς εὗρόν μέ τινες τῶν ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι· οὓς ἔδει ἐπὶ σοῦ πα-

---

1 Πρόκειται γιά τή χρηματική βοήθεια πού συγκεντρωνόταν ἀπό τούς πιστούς τῶν διαφόρων ἄλλων ἐκκλησιῶν γιά τούς πιστούς τῆς Ἱερουσαλήμ· Α' Κορ. 16, 1-4.

διότι δείχνει ὅτι καὶ αὐτὸς γνωρίζει ὅτι τίποτε δὲν ἔχει κάνει ἀπὸ ἐκεῖνα ποὺ κατηγορεῖται. Ἐὰν προξενοῦσε κάποτε ἐξέγερση, θὰ τὸ γνώριζε, ἀφοῦ ἦταν δικαστής, καὶ δὲν θὰ τοῦ διέφευγε αὐτὸ τὴν προσοχή. Ἔπειτα, ἐπειδὴ ὁ κατήγορος δὲν εἶχε νὰ παρουσιάσει τίποτε ἐναντίον του στὰ Ἱερσόλυμα, πρόσεχε τί λέγει· «Μεταξύ ὅλων τῶν Ἰουδαίων ὅλου τοῦ κόσμου», προσθέτοντας ψέμα ἐπάνω στὸ ψέμα. Γι' αὐτὸ ὁ Παῦλος, ἀπομακρύνοντας αὐτὸν ἀπὸ αὐτὴ τὴν κατηγορία, «ἀνέβηκα νὰ προσκυνήσω», λέγει, σὰν ν' ἀπολογεῖται κατὰ κάποιο τρόπο μ' αὐτό, ὅτι δηλαδὴ τόσο πολὺ ἀπέχω ἀπὸ τὸ νὰ παρακινῶ ἐξεγέρσεις· καὶ ἐπιμένει σ' αὐτὸ τὸ δίκιο, τὸ ὁποῖο ἦταν ἰσχυρό· διότι προσθέτει· «Καὶ οὔτε στὸ ναό, οὔτε στὴν πόλη, οὔτε στὴ συναγωγὴ μὲ βρῆκαν νὰ συζητῶ μὲ κάποιον», πράγμα ποὺ ἦταν καὶ ἀληθές. Καὶ ἐκεῖνος βέβαια λέγει ὅτι εἶναι «πρωτοστάτης», ὅπως ἀκριβῶς συμβαίνει στὴ μάχη καὶ τὴν ἐξέγερση, ἐνῶ αὐτὸς πρόσεχε πῶς ἀπαντᾶ μὲ ἤπιο τρόπο «Ὁμολογῶ σ' ἐσένα αὐτό, ὅτι δηλαδὴ σύμφωνα μὲ τὴ διδασκαλία, τὴν ὁποία αὐτοὶ ὀνομάζουν αἵρεση, λατρεύω τὸ Θεὸ τῶν πατέρων, πιστεύοντας ὅλα ὅσα εἶναι γραμμένα στὸ νόμο καὶ τοὺς προφῆτες, καὶ ἔχω ἐλπίδα στὸ Θεό, τὴν ὁποία δέχονται καὶ αὐτοί, ὅτι πρόκειται νὰ γίνει ἀνάσταση τῶν νεκρῶν, δικαίων καὶ ἀδίκων».

2. Πρόσεχε· ἐκεῖνοι τὸν ἀποχώριζαν ἀπὸ τὸ νόμο, ἐνῶ αὐτὸς μὲ αὐτὰ ποὺ ἀπολογεῖται παρουσιάζει τὸν ἑαυτό του φίλο μὲ τὸ νόμο· καί, ἐπιβεβαιώνοντας αὐτὸ ποὺ εἶπε, προσθέτει πάλι· «Γι' αὐτὸ καὶ ἐγὼ προσπαθῶ μὲ κάθε τρόπο νὰ ἔχω καθαρὴ συνείδηση πρὸς τὸ Θεὸ καὶ τοὺς ἀνθρώπους. Ὕστερα ἀπὸ πολλὰ χρόνια ἦρθα γιὰ νὰ φέρω βοήθεια στὸ ἔθνος μου καὶ προσφορὲς[1] καὶ κατὰ τὴ στιγμὴ ἐκείνη μὲ βρῆκαν στὸ ναὸ νὰ ἐξαγνίζω τὸν ἑαυτό μου, ὄχι μαζὶ μὲ πλῆθος λαοῦ, οὔτε προξενώντας κάποια ταραχή». Γιατί λοιπὸν ἀνέβηκες; γιατί ἦρθες; «Γιὰ νὰ προσκυνήσω», λέγει, «γιὰ νὰ φέρω βοήθεια στὸ ἔθνος μου»· ἑπομένως αὐτὸ δὲν ἦταν ἔργο στασιαστῆ. Ἔπειτα ἀφαιρεῖ καὶ τὸ προσωπεῖο αὐτῶν, λέγοντας ἀπροσδιόριστα· «Κατὰ τὴν περίσταση λοιπὸν αὐτὴ μὲ βρῆκαν μερικοὶ ἀπὸ τοὺς

ρεῖναι, καὶ κατηγορεῖν εἴ τι ἔχοιεν πρός με. Ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν, εἴ τι εὗρον ἐν ἐμοὶ ἀδίκημα, στάντος μου ἐπὶ τοῦ συνεδρίου, ἢ περὶ μιᾶς τοιαύτης φωνῆς, ἧς ἐκέκραξα ἑστὼς ἐν αὐτοῖς, ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ σήμερον κρίνομαι ὑφ' ὑμῶν». Τοῦτο περιουσία δικαιωμάτων, μὴ φεύγειν τοὺς κατηγόρους, ἀλλ' ἕτοιμον εἶναι πᾶσι διδόναι λόγον. «Περὶ ἀναστάσεως νεκρῶν ἐγὼ σήμερον, φησί, κρίνομαι». Καὶ οὐδὲν εἶπεν ὧν εἶχεν εἰκότως εἰπεῖν, ὅτι ἐπεβούλευσαν, ὅτι κατέσχον αὐτόν, ὅτι ἔνεδρον ἐποίησαν (ταῦτα γὰρ παρ' ἐκείνων λέγεται γενέσθαι· παρὰ δὲ τούτου, καὶ κινδύνου ὄντος, οὐκ ἔτι), ἀλλὰ σιγᾷ, καὶ μόνον ἀπολογεῖται, καίτοι μυρία ἔχων εἰπεῖν. Τοῦτο αὐτὸν καὶ ἐν Καισαρείᾳ ἐποίει λαμπρόν, τὸ μετὰ τοσαύτης ἐλθεῖν παρατάξεως. «Ἐν οἷς εὗρόν με», φησίν, «ἡγνισμένον ἐν τῷ ἱερῷ». Πῶς οὖν ἐβεβήλωσεν; οὐ γὰρ ἦν τοῦ αὐτοῦ καὶ ἁγνίζεσθαι καὶ προσκυνεῖν, καὶ διὰ τοῦτο ἔρχεσθαι καὶ βεβηλοῦν. Τοῦτο καὶ δικαιολογίας ὑποψίαν ἔχει τὸ μὴ εἰς μακρὸν ἐμπίπτειν τὸν λόγον ἐᾶν. Καὶ χαρίζεται τῷ δικαστῇ. Ἐμοὶ δὲ δοκεῖ κἀκείνῳ συστέλλειν τὴν ἀπολογίαν. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

Ἐπειδὴ πρὸ τούτου μακρὰ ἐδημηγόρησεν ὁ Τέρτυλλος, δεικνὺς ὅτι ἐγκόπτεται, οὐκ εἶπεν, '"Ακουσον τοῦ πράγματος', ἀλλ' «ἵνα σε μὴ ἐπὶ πλεῖον ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε ἡμῶν τῇ σῇ ἐπιεικείᾳ». Τάχα θεραπεύων οὕτω τὸν λόγον κατασκευάζει· ἢ καὶ ἀληθῶς τοῦτο ἐπιεικείας τεκμήριον, εἰ, παρὸν πολλὰ εἰπεῖν, ὑπὲρ τοῦ μὴ ἐνοχλεῖν ὀλίγα τις λέγοι. «Εὕρομεν γὰρ τὸν ἄνδρα τοῦτον λοιμόν· ὅς», φησί, «καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι». Οὐκοῦν οὐκ ἐβεβήλωσε. Τί οὖν, εἰ ἀλλαχοῦ τοῦτο ἐποίησεν; Οὐδα-

Ἰουδαίους τῆς Ἀσίας, οἱ ὁποῖοι ἔπρεπε νὰ παρουσιασθοῦν μπροστά σου καὶ νὰ μὲ κατηγορήσουν ἐὰν ἔχουν κάτι ἐναντίον μου. Ἢ αὐτοὶ ἐδῶ ἂς ποῦν τί ἀδίκημα μοῦ βρῆκαν, ὅταν παρουσιάσθηκα στὸ συνέδριο, ἐκτὸς ἀπὸ τὰ λόγια ἐκεῖνα ποὺ διεκήρυξα ζωηρὰ ὅταν στεκόμουν ἀνάμεσά τους, δηλαδὴ γιὰ τὴν ἀνάσταση τῶν νεκρῶν, πράγμα γιὰ τὸ ὁποῖο δικάζομαι ἐγὼ σήμερα ἀπὸ σᾶς». Αὐτὸ ἀποτελεῖ μέγιστο δικαίωμα, τὸ νὰ μὴ ἀποφεύγει κανεὶς τοὺς κατηγόρους, ἀλλὰ νὰ εἶναι ἕτοιμος ν' ἀπολογηθεῖ σ' ὅλους. «Γιὰ τὴν ἀνάσταση τῶν νεκρῶν», λέγει, «ἐγὼ σήμερα δικάζομαι». Καὶ τίποτε δὲν εἶπε ἀπὸ ἐκεῖνα ποὺ ἦταν φυσικὸ νὰ πεῖ, ὅτι δηλαδὴ ἔκαναν κακὰ σχέδια ἐναντίον του, ὅτι τὸν συνέλαβαν, ὅτι τοῦ ἔστησαν ἐνέδρα (διότι αὐτὰ λέγεται ὅτι ἔγιναν ἀπὸ ἐκείνους, ἐνῶ ἀπ' αὐτόν, ἂν καὶ ὑπῆρχε κίνδυνος, τίποτε δὲν λέγεται), ἀλλὰ σιωπᾶ καὶ μόνο ἀπολογεῖται, ἂν καὶ μπορεῖ πάρα πολλὰ νὰ πεῖ. Αὐτὸ ἔκαμνε αὐτὸν ἔνδοξο καὶ στὴν Καισάρεια, τὸ ὅτι δηλαδὴ ἦρθε ἐκεῖ μὲ τόση μεγάλη στρατιωτικὴ δύναμη. «Κατὰ τὴν περίσταση αὐτή, λέγει, «μὲ βρῆκαν στὸ ναὸ νὰ ὑποβάλλομαι σὲ ἐξαγνισμό». Πῶς λοιπὸν τὸν βεβήλωσε; καθόσον δὲν ἦταν γνώρισμα αὐτοῦ καὶ νὰ ὑποβάλλεται σὲ ἐξαγνισμὸ καὶ νὰ προσκυνεῖ, καὶ γι' αὐτὸ νὰ ἔρχεται νὰ προξενεῖ βεβήλωση. Αὐτὸ περιέχει καὶ ὑποψία δικαιολογίας, τὸ νὰ μὴ ἀφήνει δηλαδὴ τὸ λόγο νὰ παραταθεῖ. Καὶ κάμνει χάρη στὸ δικαστή. Ἐμένα μοῦ φαίνεται ὅτι ἐξ αἰτίας ἐκείνου συντομεύει τὴν ἀπολογία. Ἀλλὰ ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα ἔχουν λεχθεῖ.

Ἐπειδὴ πρὶν ἀπ' αὐτὸν μίλησε γιὰ πολὺ ὁ Τέρτυλλος, γιὰ νὰ δείξει ὅτι κουράζεται, δὲν εἶπε, '"Ακουσε τὸ ὅλο θέμα', ἀλλὰ «Γιὰ νὰ μὴ σὲ κουράζω περισσότερο, παρακαλῶ δεῖξε τὴν καλωσύνη νὰ μ' ἀκούσεις». Ὁμιλεῖ κατ' αὐτὸν τὸν τρόπο ἀπὸ ἐνδιαφέρον δῆθεν πρὸς αὐτόν, ἢ καὶ πραγματικὰ αὐτὸ εἶναι ἀπόδειξη καλωσύνης, ἐάν, ἐνῶ μποροῦσε νὰ πεῖ κανεὶς πολλά, ὅμως, γιὰ νὰ μὴ γίνεται ἐνοχλητικός, λέγει λίγα. «Διότι θεωροῦμε», λέγει, «τὸν ἄνθρωπο αὐτὸ καταστροφέα, ὁ ὁποῖος ἐπιχείρησε καὶ τὸ ναὸ νὰ βεβηλώσει». Ἀσφαλῶς δὲν τὸν βεβήλωσε. Τί λοι-

μῶς· ἢ γὰρ ἂν καὶ εἶπε· νῦν δὲ «ἐπείρασε» μὲν λέγει, τὸ δὲ πῶς, οὐ προστίθησι. Καὶ τὰ μὲν κατὰ Παύλου οὕτως ἐπῆρεν, ὅρα δὲ καὶ τὰ αὐτῶν πῶς ἐλαττοῖ. «Ὃν καὶ ἐκρατήσαμεν», φησί, «καὶ ἠθελήσαμεν κρῖναι κατὰ τὸν ἡμέτερον νόμον. Παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγεν». Ἐνταῦθα δείκνυσιν ὅτι καὶ ἐπηρεάζονται, εἰς δικαστήρια ἐρχόμενοι ξένα, καὶ ὅτι οὐκ ἂν ἠνώχλησαν αὐτόν, εἰ μὴ ἐκεῖνος ἠνάγκασε, καὶ ὡς οὐ προσῆκον αὐτῷ ἥρπασε τὸν ἄνδρα· καὶ γὰρ τὰ ἀδικήματα πρὸς ἡμᾶς ἦν, καὶ τὸ δικαστήριον παρ' ἡμῖν ἔδει γενέσθαι. Ὅτι γὰρ τοῦτό ἐστιν, ὅρα τὸ ἑξῆς· «Μετὰ πολλῆς», φησί, «βίας»· βία γὰρ τοῦτό ἐστι. «Παρ' οὗ δυνήσῃ γνῶναι»· Οὐδὲ κατηγορῆσαι τολμᾷ (συγγνωμονικὸς γὰρ ἀνὴρ ἦν), οὐδὲ ἁπλῶς παρέρχεται. Εἶτα πάλιν, ἵνα μὴ δόξῃ ψεύδεσθαι, αὐτὸν ἐφίστησιν ἑαυτοῦ κατήγορον τὸν Παῦλον. «Παρ' οὗ», φησί, «δυνήσῃ ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι». Εἶτα καὶ μάρτυρες τῶν εἰρημένων· «Συνεπέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι, φάσκοντες ταῦτα οὕτως ἔχειν». Οἱ κατήγοροι, αὐτοὶ καὶ μάρτυρες καὶ κατήγοροι.

Ἀλλ' ὁ Παῦλος «ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν ἐπιστάμενος δίκαιον» ἀποκρίνεται. Οὐκ ἄρα ξένος τίς ἐστιν, οὐδὲ ἀλλότριος, οὐδὲ νεωτεροποιός, εἴ γε ἐκ πολλῶν ἐτῶν οἶδε τὸν δικαστήν. Καὶ καλῶς ἐπήγαγε τὸ «δίκαιον», ἵνα μὴ πρὸς τὸν ἀρχιερέα ἴδῃ, μηδὲ πρὸς τὸν δῆμον, μηδὲ πρὸς τὸν κατήγορον. Ὅρα πῶς οὐ προήχθη εἰς ὕβριν, καίτοι γε καὶ ἀνάγκης οὔσης. «Πιστεύω», φησί, «πᾶσι τοῖς κατὰ νόμον». Τοῦτο εἶπε, δεικνὺς ὅτι οὐκ ἄνθρωπος, πιστεύων ἀνάστασιν

πὸν ἐὰν αὐτὸ τὸ ἔκανε σὲ ἄλλη περίπτωση; Καθόλου διότι ὁπωσδήποτε θὰ τὸ ἔλεγε· τώρα ὅμως «ἐπιχείρησε» βέβαια λέγει, τὸ πῶς ὅμως, δὲν τὸ λέγει. Καὶ αὐτὰ βέβαια ποὺ εἶναι ἐναντίον τοῦ Παύλου τόσο πολὺ τὰ διόγκωσε, πρόσεχε ὅμως πῶς μικραίνει τὰ ὅσα ἔχουν σχέση μὲ αὐτούς. «Γι' αὐτὸ τὸν πιάσαμε», λέγει, «καὶ θελήσαμε νὰ τὸν δικάσομε σύμφωνα μὲ τὸ νόμο μας, ἀλλ' ἦρθε ὁ Λυσίας ὁ χιλίαρχος καὶ τὸν πῆρε μὲ μεγάλη βία ἀπὸ τὰ χέρια μας». Ἐδῶ δείχνει ὅτι καὶ προσβάλλονται μὲ τὸ νὰ ἔρχονται σὲ ξένα δικαστήρια, καὶ ὅτι δὲν θὰ τὸν ἐνοχλοῦσαν, ἐὰν ἐκεῖνος δὲν τοὺς ἀνάγκαζε, καὶ ὅτι πῆρε τὸν ἄνθρωπο ἀπὸ τὰ χέρια τους χωρὶς νὰ ἦταν ἁρμόδιος· καθόσον τὰ ἀδικήματα ἦταν ἐναντίον μας καὶ ἔπρεπε καὶ τὸ δικαστήριο νὰ γίνει ἀπὸ μᾶς. Τὸ ὅτι βέβαια αὐτὸ θέλει νὰ πεῖ, πρόσεχε τὸ ἑξῆς· «Μὲ μεγάλη βία», λέγει· βία βέβαια αὐτὸ σημαίνει. «Ἀπὸ τὸν ὁποῖο θὰ μπορέσεις νὰ μάθεις». Δὲν τολμᾶ οὔτε νὰ τὸν κατηγορήσει (διότι ἦταν ἄνθρωπος ἐπιεικής), οὔτε ἁπλῶς παρέρχεται τὸ πράγμα. Ἔπειτα πάλι, γιὰ νὰ μὴ φανεῖ ὅτι λέγει ψέματα, παρουσιάζει τὸν ἴδιο τὸν Παῦλο κατήγορο τοῦ ἑαυτοῦ του. «Ἀπὸ τὸν ὁποῖο», λέγει, «θὰ μπορέσεις νὰ μάθεις γιὰ ὅλα αὐτὰ ἀφοῦ τὸν ἀνακρίνεις. Στὴ συνέχεια παρουσιάζει καὶ μάρτυρες γι' αὐτὰ ποὺ λέγει· «Τὴν κατηγορία ὑποστήριξαν καὶ οἱ Ἰουδαῖοι, λέγοντας ὅτι ἔτσι ἔχουν τὰ πράγματα». Οἱ κατήγοροι οἱ ἴδιοι εἶναι καὶ μάρτυρες καὶ κατήγοροι.

Ἀλλ' ὁ Παῦλος ἀπαντώντας λέγει «Ἐπειδὴ γνωρίζω πολὺ καλὰ ὅτι ἀπὸ πολλὰ χρόνια εἶσαι δίκαιος δικαστής». Ἐπομένως δὲν εἶναι κάποιος ἄγνωστος, οὔτε ξένος, οὔτε καὶ στασιαστής, ἐφόσον ἀπὸ πολλὰ χρόνια γνωρίζει τὸ δικαστή. Καὶ πολὺ σωστὰ πρόσθεσε τὸ «δίκαιος», γιὰ νὰ μὴ προσέξει αὐτὸς τὰ λόγια τοῦ ἀρχιερέα, οὔτε τοῦ λαοῦ, οὔτε ἐπίσης καὶ τοῦ κατηγόρου. Πρόσεχε πῶς δὲν προχώρησε σὲ ὕβρη, ἂν καὶ βέβαια τὸ ἀπαιτοῦσε ἡ περίσταση. «Πιστεύω», λέγει, «ὅλα ὅσα εἶναι γραμμένα στὸ νόμο». Αὐτὸ τὸ εἶπε, γιὰ νὰ δείξει ὅτι δὲν θὰ ἦταν δυνατὸ ποτὲ νὰ κάνει τέτοια πράγματα ἕνας ἄνθρωπος ποὺ πιστεύει

ἔσεσθαι, τοιαῦτα πράξειέ ποτε, ἣν καὶ αὐτοὶ οὗτοι ἐκδέχονται. Οὐκ εἶπε περὶ τούτων ὅτι πιστεύουσι τοῖς ἐν τοῖς προφήταις γεγραμμένοις (οὐδὲ γὰρ ἐπίστευον), ἀλλ' οὗτος πᾶσιν ἐπίστευεν, οὐκ ἐκεῖνοι· πῶς δέ, μακροῦ ἂν εἴη λόγου τανῦν λέγειν. Τοσαῦτα εἶπε, καὶ οὐδαμοῦ τοῦ Χριστοῦ μέμνηται. Ἐνταῦθα δέ, «πιστεύων» εἰπών, καὶ τὰ κατὰ τὸν Χριστὸν εἰσήγαγεν, ἀλλὰ τέως τῷ τῆς ἀναστάσεως ἐνδιατρίβει λόγῳ, ὃ κοινὸν ἦν αὐτοῖς δόγμα, καὶ πάσης στάσεως ὑποψίαν ἀνῄρει.

Εἶτα καὶ ἡ αἰτία τῆς ἀνόδου. «Ἐλεημοσύνας», φησί, «καὶ προσφορὰς ποιήσων εἰς τὸ ἔθνος μου, παρεγενόμην», καὶ τοῦτο «δι' ἐτῶν πλειόνων». Πῶς ἂν οὖν ἐτάραξεν, οἷς ὥστε ἐλεημοσύνην ποιῆσαι, τοσαύτην ἦλθεν ὁδόν; «Οὐ μετὰ ὄχλου», φησίν, «οὐδὲ μετὰ θορύβου». Πανταχοῦ τὴν στάσιν ἀναιρεῖ. Καλῶς δὲ καὶ προσκαλεῖται τοὺς κατηγόρους, τοὺς ἀπὸ τῆς Ἀσίας, λέγων· «Οὓς δεῖ ἐπὶ σοῦ κατηγορεῖν, εἴ τι ἔχοιεν πρός με». Οὕτως ἐθάρρει καθαρὸς εἶναι πρὸς ἃ κατηγορεῖτο, ὅτι καὶ προσκαλεῖται αὐτούς. Οὐ τοὺς ἀπὸ τῆς Ἀσίας δὲ μόνον, ἀλλὰ καὶ τοὺς ἐξ Ἱερουσαλὴμ οὐκ ἐκβάλλει κατηγόρους, ἀλλὰ καὶ τούτους προσκαλεῖται πάλιν, ἐπάγων· «Ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν»· καὶ γὰρ διὰ τοῦτο ἐξ ἀρχῆς διεπονοῦντο, ὅτι τὴν ἀνάστασιν ἐκήρυττε. Καὶ καλῶς οὕτως ἐποίει· τούτου γὰρ δειχθέντος, εὐκόλως καὶ τὰ τοῦ Χριστοῦ ἐπεισήγετο, ὅτι ἀνέστη. «Τί εὗρον», φησίν, «ἐν ἐμοὶ ἀδίκημα, στάντος μου ἐπὶ τοῦ συνεδρίου;». «Ἐν τῷ συνεδρίῳ» εἶπε, δεικνὺς ὅτι οὐδὲν εὗρον, οὐχὶ κατ' ἰδίαν τῆς ἐξετάσεως γινομένης, ἀλλὰ παρόντος τοῦ πλήθους καὶ ἀκριβῶς ἀνακρίνοντος,

ὅτι θὰ γίνει ἀνάσταση νεκρῶν, τὴν ὁποία καὶ αὐτοὶ οἱ ἴδιοι δέχονται. Δὲν εἶπε γι' αὐτοὺς ὅτι πιστεύουν σ' ἐκεῖνα ποὺ εἶναι γραμμένα στοὺς προφῆτες (διότι ἀσφαλῶς δὲν πίστευαν), ἀλλ' αὐτὸς σ' ὅλα πίστευε, ὄχι ὅμως καὶ ἐκεῖνοι· πῶς βέβαια δὲν πίστευαν, θὰ χρειαζόταν μακρὺς λόγος γιὰ νὰ τὸ ἐξηγήσομε τώρα. Τόσα εἶπε καὶ πουθενὰ δὲν ἀναφέρει τὸ Χριστό. Ἐδῶ ὅμως λέγοντας «πιστεύω», συμπεριέλαβε σ' αὐτὸ καὶ τὰ τῆς διδασκαλίας τοῦ Χριστοῦ, ἀλλὰ κατ' ἀρχὴ ἀναφέρεται στὸ θέμα τῆς ἀναστάσεως, πράγμα ποὺ ἦταν κοινὴ διδασκαλία, ἀπομακρύνοντας κάθε ὑποψία γιὰ στάση.

Ἔπειτα λέγεται καὶ ἡ αἰτία τοῦ ἐρχομοῦ του στὰ Ἱεροσόλυμα. «Ἦρθα», λέγει, «γιὰ νὰ φέρω στὸ ἔθνος μου χρηματικὴ βοήθεια καὶ προσφορές», καὶ αὐτὸ «μετὰ ἀπὸ πολλὰ χρόνια». Πῶς λοιπὸν θὰ ἦταν δυνατὸ νὰ δημιουργήσει ταραχὴ σ' ἐκείνους, γιὰ τοὺς ὁποίους βάδισε τόσο δρόμο γιὰ νὰ τοὺς φέρει τὸ δῶρο τῆς ἐλεημοσύνης; Μὲ βρῆκαν», λέγει, «ὄχι μαζὶ μὲ πλῆθος οὔτε προξενώντας ταραχή». Παντοῦ ἀντικρούει τὴν κατηγορία γιὰ στάση. Πολὺ σωστὰ ἐπικαλεῖται σὰν μάρτυρες κατηγορίας τοὺς Ἰουδαίους τῆς Ἀσίας, λέγοντας· «Οἱ ὁποῖοι ἔπρεπε νὰ παρουσιασθοῦν μπροστά σου καὶ νὰ μὲ κατηγορήσουν ἐὰν ἔχουν νὰ ποῦν κάτι ἐναντίον μου». Τόσο πολὺ πίστευε ὅτι εἶναι καθαρὸς ἀπὸ ὅλα ἐκεῖνα ποὺ κατηγοροῦνταν, ὥστε ζητεῖ νὰ ρθοῦν καὶ νὰ καταθέσουν. Καὶ δὲν ἀποκλείει ἀπὸ κατηγόρους του ὄχι μόνο τοὺς Ἰουδαίους τῆς Ἀσίας, ἀλλὰ καὶ τῆς Ἱερουσαλήμ, τοὺς ὁποίους καὶ ἐπικαλεῖται ἐπίσης, λέγοντας· «Ἢ αὐτοὶ ἐδῶ ἂς ποῦν»· καθόσον γι' αὐτὸ ἀπὸ τὴν ἀρχὴ ἐνοχλοῦνταν, διότι κήρυττε τὴν ἀνάσταση. Καὶ πολὺ σωστὰ ἐνεργοῦσε ἔτσι· διότι, ἐὰν ἀποδεικνυόταν αὐτό, εὔκολα θὰ κηρύσσονταν καὶ θὰ γίνονταν ἀποδεκτὰ καὶ τὰ σχετικὰ μὲ τὸ Χριστό, ὅτι δηλαδὴ ἀναστήθηκε. «Τί ἀδίκημα», λέγει, «μοῦ βρῆκαν, ὅταν παρουσιάσθηκα στὸ συνέδριο;». Εἶπε «Στὸ συνέδριο», γιὰ νὰ δείξει ὅτι τίποτε δὲν τοῦ βρῆκαν, ὄχι σὲ ἐξέταση ποὺ ἔγινε ἰδιαίτερα, ἀλλ' ἐνῶ ἦταν παρὸν τὸ πλῆθος καὶ τὸν ἀνέκρινε μὲ κάθε προσοχὴ καὶ λεπτομέρεια.

3. Ὅτι δὲ ταῦτα ἀληθῆ λέγω, μαρτυροῦσιν οἱ περὶ τούτου ἐγκαλοῦντες. Διὰ τοῦτο καὶ ἔλεγεν· «Ἐν τούτῳ δὲ αὐτὸς ἀσκῶ, ἀπρόσκοπτον συνείδησιν ἔχων πρός τε τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους»· ἡ τελεία γὰρ αὕτη ἀρετή, ὅταν μηδὲ ἀνθρώποις διδῶμεν λαβάς, καὶ παρὰ Θεῷ σπουδάζομεν εἶναι ἀπρόσκοποι. «Ἧς ἐκέκραξα», φησίν, «ἐν τῷ συνεδρίῳ». Καὶ τὴν βίαν αὐτῶν δηλοῖ ἐκ τοῦ εἰπεῖν, «Ἐκέκραξα», ὡσανεὶ ἔλεγεν· Οὐκ ἔχουσιν εἰπεῖν ὅτι προσχήματι ἐλεημοσύνης ταῦτα ἐποίεις· οὐ γὰρ μετὰ ὄχλου οὐδὲ μετὰ θορύβου τοῦτο ἐποίουν· ἄλλως τε καὶ ἐξετάσεως γενομένης περὶ τούτου, οὐδὲν πλέον εὑρίσκετο. Εἶδες ἐπιείκειαν, κινδύνων ὄντων; εἶδες εὔφημον γλῶτταν, καὶ πῶς ἓν ζητεῖ μόνον ἀπολύσασθαι τὰ ἑαυτοῦ, οὐχὶ κἀκείνους ἐγκλήμασι περιβαλεῖν, πλὴν εἴ που ἀναγκάζοιτο, ἀπολογούμενος; ὥσπερ καὶ ὁ Χριστὸς ἔλεγεν· «Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν Πατέρα μου· ὑμεῖς δὲ ἀτιμάζετέ με».

Τοῦτον μιμώμεθα καὶ ἡμεῖς, ἐπειδὴ καὶ αὐτὸς Χριστοῦ μιμητὴς ἦν. Εἰ τοῖς μέχρι φόνου καὶ σφαγῆς χωρήσασιν οὐδὲν εἶπεν ἐκεῖνος ἐπαχθές, τίνος ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, ἐν λοιδορίᾳ καὶ ὕβρεσιν ἐκθηριούμενοι, μιαροὺς καὶ παμμιάρους ἀποκαλοῦντες τοὺς ἐχθροὺς τοὺς ἡμετέρους; τίνα δὲ ἀπολογίαν ἕξομεν, ἐχθροὺς ὅλως ἔχοντες; Οὐκ ἀκούεις ὅτι ὁ τιμῶν ἑαυτὸν τιμᾷ; Ἡμεῖς δὲ ἑαυτοὺς ὑβρίζομεν. Ἐγκαλεῖς ὅτι ὑβρίσθης, τί οὖν περιπίπτεις τῷ ἐγκλήματι; τί σαυτὸν πληγῇ περιβάλλεις; Μεῖνον ἀπαθής, μεῖνον ἄτρωτος· μή, βουλόμενος ἕτερον πλῆξαι, σαυτὸν περιβάλῃς τῷ κακῷ. Οὐ γὰρ ἀρκεῖ ἡμῖν ὁ ἕτερος θόρυβος τῆς ψυχῆς, ὁ μηδενὸς κινοῦντος κινούμενος (οἷον, αἱ ἐπιθυμίαι αἱ ἄτοποι, αἱ λῦπαι καὶ αἱ ἀθυμίαι καὶ ὅσα τοιαῦτα), ἀλλὰ καὶ ἑτέρας ἐ-

2. Ἰω. 8. 49

3. Τὸ ὅτι βέβαια αὐτὰ ποὺ λέγω εἶναι ἀληθινά, τὸ ἐπιβεβαιώνουν αὐτοὶ ποὺ μὲ κατηγοροῦν γι᾿ αὐτό. Γι᾿ αὐτὸ καὶ ἔλεγε· «Γι᾿ αὐτὸ προσπαθῶ μὲ κάθε τρόπο νὰ ἔχω πάντοτε καθαρὴ συνείδηση ἀπέναντι στὸ Θεὸ καὶ στοὺς ἀνθρώπους»· διότι αὐτὴ εἶναι ἡ τέλεια ἀρετή, ὅταν οὔτε στοὺς ἀνθρώπους δίνομε ἀφορμὲς καὶ φροντίζομε νὰ εἴμαστε ἄψογοι ἀπέναντι στὸ Θεό. «Τὰ ὁποῖα διεκήρυξα ζωηρά», λέγει, «μέσα στὸ συνέδριο». Καὶ τὴ βία αὐτῶν δηλώνει, λέγοντας, «ἐκέκραξα», καὶ εἶναι σὰν νὰ ἔλεγε· Δὲν μποροῦν νὰ ποῦν ὅτι τὰ ἔκαμνες αὐτὰ μὲ τὸ πρόσχημα τῆς ἐλεημοσύνης· διότι αὐτὸ δὲν τὸ ἔκανα μαζὶ μὲ πλῆθος λαοῦ, οὔτε μὲ θόρυβο· ἄλλωστε καὶ ἐξέταση ποὺ ἔγινε γι᾿ αὐτὸ τίποτε ἐπὶ πλέον δὲν διαπιστώθηκε. Εἶδες ἠπιότητα ἂν καὶ ὑπῆρχαν κίνδυνοι; εἶδες γλυκύτητα γλώσσας, καὶ πῶς ἕνα μόνο ἐπιδιώκει, ν᾿ ἀπαλλάξει τὸν ἑαυτό του ἀπὸ τὴν κατηγορία, ὄχι νὰ περιβάλλει καὶ ἐκείνους μὲ κατηγορίες, ἐκτὸς ἐὰν βέβαια ἀναγκαζόταν νὰ τὸ κάνει αὐτὸ ἀπολογούμενος; ὅπως ἀκριβῶς καὶ ὁ Χριστὸς ἔλεγε· «Ἐγὼ δὲν ἔχω δαιμόνιο, ἀλλὰ τιμῶ τὸν Πατέρα μου, ἐνῶ σεῖς μὲ περιφρονεῖτε»[2].

Αὐτὸν ἂς μιμούμαστε καὶ ἐμεῖς, ἐπειδὴ καὶ αὐτὸς ἦταν μιμητὴς τοῦ Χριστοῦ. Ἐὰν ἐκεῖνος δὲν εἶπε τίποτε τὸ βαρὺ γιὰ ἐκείνους ποὺ ἔφθασαν μέχρι τὸ φόνο καὶ τὴ σφαγή, ποιᾶς συγγνώμης θὰ μπορούσαμε ἐμεῖς νὰ εἴμαστε ἄξιοι, ποὺ γινόμαστε σὰν ἄγρια θυρία ὅταν μᾶς κακολογοῦν καὶ μᾶς βρίζουν, ὀνομάζοντας μιαροὺς καὶ παμμίαρους τοὺς ἐχθρούς μας; Ποιὰ ἀπολογία θὰ ἔχομε ἔχοντας ὅλους ἐχθρούς; Δὲν ἀκοῦς ὅτι ἐκεῖνος ποὺ τιμᾶ, τιμᾶ τὸν ἑαυτό του; Ἐμεῖς ὅμως ἀτιμάζομε τὸν ἑαυτό μας. Κατηγορεῖς ὅτι προσβλήθηκες, γιατί λοιπὸν διαπράττεις τὸ ἴδιο ἀδίκημα; γιατί πληγώνεις τὸν ἑαυτό σου; Μεῖνε ἀτάραχος, μεῖνε ἀπρόσβλητος· μή, θέλοντας ἄλλον νὰ πληγώσεις, περιβάλλεις τὸν ἑαυτό σου μὲ τὸ κακό. Δὲν μᾶς φθάνει δηλαδὴ ἡ ἄλλη ταραχὴ τῆς ψυχῆς, ποὺ προξενεῖται χωρὶς νὰ τὴν προκαλεῖ κάποιος (ὅπως γιὰ παράδειγμα οἱ παράλογες ἐπιθυμίες, οἱ λύπες, οἱ στενοχώριες καὶ τόσα ἄλλα παρόμοια), ἀλλὰ καὶ ἄλλες ἐπισω-

πισωρεύομεν. Καὶ πῶς δυνατὸν ὑβριζόμενον φέρειν, φησί; Πῶς δὲ οὐ δυνατόν; εἰπέ μοι· τραῦμα ἡμῖν τίκτεται ἀπὸ τῶν ῥημάτων; μώλωπες περὶ τὰ σώματα; ποία τοίνυν γίνεται ἡμῖν βλάβη; Ὥστε, ἂν βουλώμεθα, δυνάμεθα ἐνεγκεῖν. Θῶμεν ἑαυτοῖς νόμον μὴ ἀλγεῖν, καὶ οἴσομεν· εἴπωμεν πρὸς ἡμᾶς αὐτούς· 'Οὐκ ἔστιν ἔχθρας, ἀσθενείας ἐστίν'· ἀσθενείας καὶ γὰρ ὄντως ἐστίν· ἐπεί, ὅτι ἔχθρας οὐκ ἔστιν οὐδὲ κακοηθείας, ἐβούλετο κἀκεῖνος κατασχεῖν, εἰ καὶ μυρία ἠδικημένος ἦν.

Ἂν τοῦτο ἐννοήσωμεν μόνον, ὅτι ἀσθενείας ἐστίν, οἴσομεν, καὶ συγγνωσόμεθα μὲν ἐκείνῳ, πειρασόμεθα δὲ μὴ περιπεσεῖν καὶ αὐτοί. Ἐπεὶ ἐρωτῶ πάντας τοὺς παρόντας· «Ἄρα, ἂν ἐθελήσητε, οὕτω φιλοσοφεῖν δύνασθε, ὥστε φέρειν τοὺς ὑβρίζοντας;». Ἔγωγε οἶμαι. Οὐκοῦν ἄκων σε ὕβρισε καὶ οὐ βουλόμενος, ἀλλὰ ἀναγκαζόμενος ὑπὸ τοῦ πάθους· ἐπίσχες. Οὐχ ὁρᾷς τοὺς δαιμονοῦντας; Ὥσπερ ἐκεῖνος οὐκ ἀπὸ ἔχθρας τοσοῦτον, ὅσον ἀπὸ ἀσθενείας τοῦτο ὑπομένει, οὕτω καὶ ἡμεῖς οὐκ ἀπὸ τῆς φύσεως τῶν ὕβρεων κινούμεθα, ὅσον ἀφ' ἡμῶν αὐτῶν· ἐπεὶ πῶς τῶν μαινομένων, τὰ αὐτὰ ὑβριζόντων, φέρομεν; Πάλιν, εἰ φίλοι εἶεν οἱ ὑβρίζοντες ἢ καὶ μείζους, καὶ οὕτω φέρομεν, πῶς οὖν οὐκ ἄτοπον, τριῶν μὲν τούτων ὄντων, καὶ φίλων καὶ μαινομένων καὶ μειζόνων, φέρειν, ὁμοτίμων δὲ ἢ καὶ ἡττόνων, μὴ φέρειν; Πολλάκις εἶπον· ῥοπή τίς ἐστι καὶ συναρπαγὴ τὸ πρᾶγμα· καρτερήσωμεν μικρόν, καὶ τὸ πᾶν ἠνύσαμεν. Ὅσῳ ἂν ὑβρίζῃ μείζονα, τοσούτῳ μᾶλλόν ἐστιν ἀσθενής.

Οἶδας πότε ἀλγεῖν χρή; Ὅταν, ὑβρισάντων ἡμῶν, ἐκεῖνος σιγήσῃ (τότε γὰρ αὐτὸς μὲν ἰσχυρός, ἡμεῖς δὲ ἀσθενεῖς)· ἂν δὲ τοὐναντίον γένηται, καὶ

ρεύομε; Καὶ πῶς, λέγει, εἶναι δυνατὸ νὰ ὑποφέρει κανεὶς ὅταν βρίζεται; Καὶ πῶς δὲν εἶναι δυνατό; Πές μου· μᾶς δημιουργεῖται μήπως τραῦμα ἀπὸ τὰ λόγια; μᾶς δημιουργοῦνται μώλωπες στὸ σῶμα; ποιὰ λοιπὸν βλάβη μᾶς γίνεται; Ὥστε, ἐὰν θέλομε, μποροῦμε νὰ τὴν ὑποφέρομε. Ἂς θέσομε νόμο στὸν ἑαυτό μας νὰ μὴ πονάει, καὶ θὰ τὴν ὑποφέρομε τὴν ὕβρη· ἂς ποῦμε στὸν ἑαυτό μας· "Δὲν εἶναι ἀποτέλεσμα ἔχθρας, ἀλλ' ἀποτέλεσμα ἀσθένειας"· καὶ πραγματικὰ εἶναι ἀποτέλεσμα ἀσθένειας· διότι, τὸ ὅτι δὲν εἶναι ἀποτέλεσμα ἔχθρας οὔτε κακοήθειας, γίνεται φανερὸ ἀπὸ τὸ ὅτι καὶ ἐκεῖνος ἤθελε νὰ τοὺς συγκρατήσει, ἂν καὶ εἶχε ὑποστεῖ ἀμέτρητα ἀδικήματα.

Ἂν σκεφθοῦμε μόνο αὐτό, ὅτι εἶναι ἀποτέλεσμα ἀσθένειας, θὰ τὸ ὑποφέρομε, καὶ θὰ συγχωρήσομε τότε ἐκεῖνον, ἐνῶ θὰ προσπαθήσομε νὰ μὴ ὑποπέσομε στὰ ἴδια καὶ ἐμεῖς. Διότι ἐρωτῶ ὅλους τοὺς παρόντες· "Ἄραγε, ἂν θελήσετε νὰ δείξετε τέτοια φιλοσοφικότητα, θὰ μπορέσετε νὰ ὑποφέρετε ἐκείνους ποὺ σᾶς βρίζουν; Ἐγὼ βέβαια τὸ πιστεύω. Σὲ ἔβρισε λοιπὸν ἀπερίσκεπτα καὶ χωρὶς νὰ τὸ θέλει, ἀλλὰ ἀναγκαζόμενος ἀπὸ τὸ πάθος του· ἐπομένως συγκρατήσου. Δὲν βλέπεις τοὺς δαιμονισμένους; Ὅπως ἀκριβῶς ἐκεῖνος τὸ ὑπομένει αὐτὸ ὄχι τόσο ἀπὸ ἔχθρα, ὅσο ἀπὸ ἀσθένεια, ἔτσι καὶ ἐμεῖς δὲν ὑποκινούμαστε τόσο ἀπὸ τὴν φύση τῶν ὕβρεων, ὅσον ἀπὸ τὸν ἴδιο τὸν ἑαυτό μας· διότι πῶς ὑποφέρομε τὶς ἴδιες ὕβρεις ποὺ προέρχονται ἀπὸ τοὺς μανιακούς; Πάλι, ἐὰν εἶναι φίλοι ἐκεῖνοι ποὺ μᾶς βρίζουν ἢ καὶ ἀνώτεροί μας, καὶ τότε ὑποφέρομε τὶς ὕβρεις· πῶς λοιπὸν δὲν εἶναι παράλογο, ὅταν αὐτοὶ ποὺ μᾶς βρίζουν εἶναι ἕνας ἀπὸ τοὺς τρεῖς, φίλοι, μανιακοὶ καὶ ἀνώτεροι, νὰ ὑποφέρομε τὶς ὕβρεις, νὰ μὴ ὑποφέρομε ὅμως αὐτὲς ὅταν αὐτοὶ εἶναι κατώτεροι; Πολλὲς φορὲς εἶπα· τὸ πράγμα αὐτὸ εἶναι κάποια ροπὴ πρὸς αὐτὸ καὶ ὑπερβολικὴ ἀγανάκτηση· ἂς δείξομε λίγη ὑπομονὴ καὶ κατορθώσαμε τὸ πᾶν. Ὅσο περισσότερο βρίζει κανείς, τόσο περισσότερο ἀσθενὴς εἶναι.

Ξέρεις πότε πρέπει νὰ στενοχωρεῖσαι; Ὅταν ἐκεῖνος σιωπήσει, ἐνῶ τὸν βρίσαμε ἐμεῖς (διότι τότε ἐκεῖνος εἶναι ἰσχυρός, ἐνῶ ἐμεῖς ἀσθενεῖς)· ἐὰν ὅμως γίνει τὸ ἀντίθε-

χαίρειν δεῖ· ἐστεφανώθης, ἀνεκηρύχθης· οὐκ εἰς ἀγῶνα καταχθείς, οὐδὲ ἡλίου καὶ ἀκτῖνος καὶ κόνεως ἐπάχθειαν ἐνεγκών, οὐδὲ συμπλακείς, καὶ λαβὰς δούς, ἀλλὰ θελήσας μόνον, καὶ καθήμενος ἢ ἑστώς. ἔλαβες μέγαν τὸν στέφανον· καὶ οὐχ ἁπλῶς μέγαν, ἀλλὰ πολλῷ μείζονα ἐκείνων· οὐ γάρ ἐστιν ἴσον ἐχθρὸν βαλεῖν ἀντίπαλον, καὶ τῶν τῆς ὀργῆς περιγενέσθαι βελῶν. Ἐνίκησας οὐδὲ λαβὴν δούς, κατέβαλες τὸ πάθος τὸ ἐν σοί, ἀπέσφαξας, τὸ θηρίον κεκινημένον, καὶ λυττῶντα τὸν θυμὸν ἐπεστόμισας, καθάπερ τις ἄριστος νομεύς· ἐμφύλιος ἔμελλεν ἡ μάχη εἶναι, οἰκεῖος ὁ πόλεμος. Καθάπερ γὰρ οἱ τείχει προσκαθήμενοι καὶ πολιορκοῦντες ἔξωθεν ἐμφυλίοις περιβάλλουσι πολέμοις, καὶ τότε περιγίνονται, οὕτω δὴ καὶ ἐνυβρίζων, ἂν μὴ τὸ ἐν ἡμῖν ἐγείρῃ πάθος, οὐ δυνήσεται περιγενέσθαι· ἐὰν μὴ ἡμεῖς ἑαυτοὺς ἐμπρήσωμεν, ἐκεῖνος οὐδεμίαν ἰσχὺν ἔχει. Ἔστω παρ' ἡμῖν ὁ τῆς ὀργῆς σπινθήρ, ὥστε εὐκαίρως ἀνάπτεσθαι, μὴ καθ' ἡμῶν αὐτῶν, μηδὲ ἵν' ἡμᾶς μυρίοις περιβάλῃ κακοῖς. Οὐχ ὁρᾶτε ἐν ταῖς οἰκίαις τὸ πῦρ ἀποτεταγμένον, καὶ οὐ πανταχοῦ ἐρριμμένον, οὔτε ἐν χόρτῳ, οὔτε ἐν ἱματίοις, οὔτε ἁπλῶς, ὥστε μή, ἀνέμου ἐμπνέοντος, ἐξάπτεσθαι, ἀλλά, κἂν θεράπαινα λύχνον ἔχῃ, κἂν ὁ μάγειρος ἀνακαίῃ, παραγγελία πολλὴ μὴ παρ' ἄνεμον, μηδὲ σανίδος ἐγγύς, μηδὲ ἐν νυκτὶ τοῦτο ποιεῖν, ἀλλά, ὅταν καταλάβῃ ἡ νύξ, ἐκοιμίσαμεν αὐτό, δεδιότες μή ποτε, καθευδόντων ἡμῶν, καὶ οὐδενὸς ὄντος τοῦ ἐπικουροῦντος, ἀναφῇ, καὶ πάντας ἐμπρήσῃ;

Τοῦτο καὶ ἐπὶ τοῦ θυμοῦ γινέσθω· μὴ πανταχοῦ διεσπάρθω τῶν ἡμετέρων λογισμῶν, ἀλλ' ἔν τινι βά-

το, τότε πρέπει καὶ νὰ χαιρόμαστε· στεφανώθηκες τότε, βγῆκες νικητής· χωρὶς νὰ κατεβεῖς σὲ ἀγώνα, οὔτε ὑπομένοντας τοῦ ἥλιου, τῆς ἀκτίνας καὶ τῆς σκόνης τὴν ἐνόχληση, οὔτε καὶ νὰ συμπλακεῖς καὶ νὰ δώσεις χτυπήματα, ἀλλὰ δείχνοντας μόνο θέληση, καθισμένος καὶ ὄχι ὄρθιος, κέρδισες μεγάλο στεφάνι· καὶ ὄχι ἁπλῶς μεγάλο, ἀλλὰ πολὺ πιὸ μεγαλύτερο ἀπὸ ἐκείνους ποὺ παίρνουν μέρος σὲ ἀγῶνες· διότι δὲν εἶναι τὸ ἴδιο πράγμα νὰ καταβάλεις ἀντίπαλο ἐχθρό, καὶ νὰ νικήσεις τὰ βέλη τῆς ὀργῆς. Νίκησες χωρὶς νὰ δώσεις χτυπήματα, κατέβαλες τὸ πάθος ποὺ ὑπάρχει μέσα σου, κατέσφαξες τὸ ἐξοργισμένο θηρίο, καὶ χαλιναγώγησες τὸν λυσσασμένο θυμό, σὰν ἀκριβῶς κάποιος ἄριστος βοσκός· ἐμφίλια ἐπρόκειτο νὰ εἶναι ἡ μάχη, φιλικὸς ὁ πόλεμος. Διότι ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ βρίσκονται δίπλα στὰ τείχη καὶ μᾶς πολιορκοῦν ἀπὸ ἔξω, δημιουργοῦν πρῶτα ἐμφίλιους πολέμους καὶ τότε κερδίζουν τὴ νίκη, ἔτσι λοιπὸν καὶ ἐκεῖνος ποὺ κακολογεῖ, ἐὰν δὲν ἐξεγείρει τὸ πάθος ποὺ ὑπάρχει μέσα μας, δὲν θὰ μπορέσει νὰ ὑπερισχύσει· ἐὰν ἐμεῖς δὲν ἀνάψομε τὴ φλόγα μέσα μας, ἐκεῖνος δὲν ἔχει καμία δύναμη. Ἂς ὑπάρχει μέσα μας ὁ σπινθήρας τῆς ὀργῆς, γιὰ νὰ ἀνάβει στὴν κατάλληλη στιγμή, ὄχι ὅμως ἐναντίον τοῦ ἴδιου τοῦ ἑαυτοῦ μας, οὔτε γιὰ νὰ μᾶς περιβάλει μὲ ἄπειρα κακά. Δὲν βλέπετε ποὺ ἡ φωτιὰ στὰ σπίτια εἶναι τοποθετημένη σὲ ἕνα ὁρισμένο μέρος, καὶ δὲν εἶναι παντοῦ σκορπισμένη, οὔτε ἐκεῖ ποὺ ὑπάρχει χόρτο, οὔτε ἐκεῖ ποὺ ὑπάρχουν ροῦχα, οὔτε ἔτσι στὴν τύχη, ὥστε νὰ μὴ συμβεῖ, ἀφοῦ φυσήξει ἄνεμος, νὰ δυναμώσει ἡ φλόγα της, ἀλλά, εἴτε ἡ ὑπηρέτρια ἔχει λιχνάρι, εἴτε ὁ μάγειρας ἀνάβει φωτιά, δίνεται αὐστηρὴ ἐντολὴ νὰ μὴ τὴν ἀνάβει οὔτε ὅπου φυσάει, οὔτε κοντὰ σὲ ξύλα, οὔτε νὰ τὸ κάμνει αὐτὸ κατὰ τὴ διάρκεια τῆς νύχτας, ἀλλά, ὅταν προχωρήσει ἡ νύχτα, σβήνομε αὐτήν, φοβούμενοι μήπως κάποτε, ἐνῶ κοιμόμαστε ἐμεῖς καὶ δὲν ὑπάρχει κανένας νὰ βοηθήσει, προκαλέσει πυρκαϊὰ καὶ μᾶς κατακάψει;

Αὐτὸ ἂς γίνεται καὶ μὲ τὸ θυμό· ἂς μὴ εἶναι διασκορπισμένος σ᾽ ὅλες τὶς σκέψεις μας, ἀλλὰ σὲ κάποιο ὁρι-

θει τῆς διανοίας, ὥστε μὴ τὸν ἄνεμον τὸν ἀπὸ τῶν ῥημάτων τοῦ δι' ἐναντίας εὐκόλως ἐφικνεῖσθαι, ἀλλὰ παρ' ἡμῶν δέχεσθαι τὸν ἄνεμον, τῶν εἰδότων συμμέτρως αὐτὸ κινεῖν καὶ ἀσφαλῶς. Ἂν ἔξωθεν ἄνεμον δέχηται, οὐκ οἶδε τὸ μέτρον, ἀλλὰ πάντα ἐμπρήσει· πολλάκις καὶ καθευδόντων ἡμῶν ὁ ἄνεμος οὗτος ἐμπεσεῖται, καὶ τὰ πάντα κατακαύσει. Ἔστω οὖν ἡμῖν ὥστε φῶς ἀνάπτειν μόνον (ἀνάπτει γὰρ φῶς ὁ θυμός, ὅταν προσηκόντως γένηται), καὶ λαμπάδας ἔχωμεν κατὰ τῶν ἀδικούντων ἑτέρους, κατὰ τοῦ διαβόλου. Μὴ πανταχοῦ κείσθω, μηδὲ ἐρρίφθω σπινθήρ, ἀλλ' ἐν τέφρᾳ φυλάττωμεν, ἐν τοῖς λογισμοῖς τοῖς ταπεινοῖς κομίζωμεν αὐτόν. Οὐ πάντοτε αὐτοῦ δεόμεθα, ἀλλά, ὅταν κατεργάσασθαί τι δέῃ καὶ ποιῆσαι ἁπαλόν, ὅταν πώρωσιν μελάξαι δέῃ, ὅταν τῆς ψυχῆς καταγνῶναι.

4. Πόσα θυμοὶ καὶ ὀργαὶ δεινὰ κατειργάσαντο! Καὶ τὸ δὴ χαλεπόν, ὅταν διαναστῶμεν, οὐκ ἔτι τοῦ συνελθεῖν ἐσμεν κύριοι, ἀλλ' ἑτέρους ἀναμένομεν· ἕκαστος αἰσχύνεται καὶ ἐρυθριᾷ, ἐπανελθὼν καταλλάξαι τὸν ἕτερον. Ὅρα· διαστῆναι μὲν καὶ διασχισθῆναι οὐκ αἰσχύνεται, ἀλλὰ τοῦ κακοῦ γίνεται ἀρχηγός, προσελθεῖν δὲ καὶ τὸ ἐσχισμένον ῥάψαι αἰσχύνεται· καὶ ταὐτὸν συμβαίνει, οἷον ἄν, εἴ τις ἀποκόψαι μὲν τὸ μέλος μὴ ὀκνοίη, συναγαγεῖν δὲ αἰσχύνοιτο. Τί λέγεις, ἄνθρωπε; ἠδίκησας μεγάλα, καὶ αὐτὸς αἴτιος ἐγένου τῆς μάχης; Οὐκοῦν δίκαιος ἂν εἴης πρότερος ἀπελθεῖν καὶ καταλλαγῆναι, ἅτε τὴν αἰτίαν αὐτὸς παρασχών. Ἀλλ' ἠδίκησαν, κἀκεῖνος αἴτιός ἐστιν. Οὐκοῦν καὶ διὰ τοῦτο, ἵνα μᾶλλον σε θαυμάσωσιν, ἵνα πρὸς τῷ προτέρῳ καὶ ἐν τῷ δευτέρῳ τὰ πρωτεῖα ἔ-

σμένο βάθος τῆς σκέψεώς μας, ὥστε νὰ μὴ φθάνει ἐκεῖ εὔκολα ὁ ἄνεμος ποὺ προέρχεται ἀπὸ τὰ λόγια τοῦ ἀντιπάλου, ἀλλὰ νὰ δέχεται ἀπὸ μᾶς τὸν ἄνεμο, ποὺ γνωρίζομε νὰ θέτομε σὲ κίνηση τὴ φλόγα αὐτὴ στὴν κατάλληλη στιγμὴ καὶ μὲ ἀσφάλεια. Ἂν δέχεται ἄνεμο ἀπὸ ἔξω, δὲν γνωρίζει τότε τὸ μέτρο, ἀλλὰ ὅλα θὰ τὰ πυρπολήσει· πολλὲς φορὲς ὁ ἄνεμος αὐτὸς θὰ φυσήξει καὶ ἐνῶ κοιμόμαστε, καὶ τότε ὅλα θὰ τὰ κατακάψει. Ἂς ὑπάρχει λοιπὸν αὐτὸς μέσα μας τόσος, ὅσος χρειάζεται γιὰ νὰ ἀνάβει μόνο τὸ φῶς (διότι ὁ θυμὸς ἀνάβει τὸ φῶς, ὅταν ἐκδηλώνεται μὲ τρόπο κατάλληλο), καὶ ἂς ἔχομε φλόγες μεγάλες ἐναντίον ἐκείνων ποὺ ἀδικοῦν ἄλλους, ἐναντίον τοῦ διαβόλου. Ἂς μὴ βρίσκεται παντοῦ, οὔτε ν' ἀφήνεται νὰ πέσει παντοῦ ὁ σπινθήρας, ἀλλὰ νὰ τὸν φυλᾶμε μέσα στὴ στάχτη, νὰ τὸν ἀποκοιμίζομε μέσα στὶς σκέψεις τῆς ταπεινοφροσύνης. Δὲν τὸν χρειαζόμαστε πάντοτε, ἀλλὰ ὅταν χρειάζεται νὰ κάνομε κάποιο ἔργο εὐγενικό, ὅταν χρειάζεται νὰ μαλακώσομε τὴν ἀναισθησία μας, ὅταν χρειάζεται νὰ κατηγορήσομε τὴν ψυχή μας.

4. Πόσα κακὰ προξένησαν θυμοὶ καὶ ὀργές! Καὶ τὸ φοβερὸ βέβαια εἶναι ὅτι, ὅταν ἐπανέλθομε στὰ λογικά μας, δὲν ἔχομε ἀκόμη τὴ δύναμη νὰ συμφιλιωθοῦμε, ἀλλὰ περιμένομε ἄλλους νὰ μᾶς συμφιλιώσουν· ὁ καθένας ντρέπεται καὶ κοκκινίζει, ἐρχόμενος νὰ συμφιλιωθεῖ μὲ τὸν ἄλλο. Πρόσεχε· τὸ νὰ φιλονικήσει καὶ νὰ διακόψει σχέσεις μαζί του δὲν ντρέπεται· καὶ τοῦ κακοῦ γίνεται ἀρχηγός, ὅμως τὸ νὰ ρθεῖ καὶ νὰ συνενώσει τὰ ἀποχωρισμένα ντρέπεται· καὶ συμβαίνει τὸ ἴδιο, ὅπως ἐὰν κανεὶς δὲν δίσταζε ν' ἀποκόψει τὸ μέλος του, ντρεπόταν ὅμως νὰ τὸ συνενώσει. Τί λές, ἄνθρωπε; διέπραξες μεγάλες ἀδικίες καὶ ὁ ἴδιος ἔγινες αἴτιος τῆς διαμάχης; Λοιπὸν θὰ ἦταν σωστὸ πρῶτος νὰ πᾶς καὶ νὰ συμφιλιωθεῖς, ἐπειδὴ σὺ ἔγινες αἴτιος. Ἀλλὰ σὲ ἀδίκησαν καὶ εἶναι αἴτιος ἐκεῖνος. Λοιπὸν καὶ γι' αὐτό, γιὰ νὰ σὲ θαυμάσουν περισσότερο, γιὰ νὰ ἔχεις τὰ πρωτεῖα ὅπως στὴν πρώτη περίπτωση, ἔτσι καὶ στὴ δεύτερη, ὅπως ἀκριβῶς δηλαδὴ δὲν ἔγι-

χης, ὥσπερ οὐ τοῦ γενέσθαι τῆς ἔχθρας αἴτιος, οὕτως οὐδὲ τοῦ ἐκταθῆναι ἐπὶ πλέον τὴν ἔχθραν· ἴσως καὶ ἐκεῖνος, μυρία συνειδὼς ἑαυτῷ, αἰσχύνεται καὶ ἐρυθριᾷ.

'Αλλ' ἀπονενόηται; Ταύτῃ μάλιστα μὴ ὀκνήσῃς προσδραμεῖν· καὶ γὰρ διπλοῦν παρ' αὐτῷ τὸ πάθος, καὶ ἀπόνοια καὶ ὀργή. Σὺ τὴν αἰτίαν εἶπας, δι' ἣν ὀφείλεις πρότερος ἀπελθεῖν, ὁ ὑγιαίνων, ὁ δυνάμενος βλέπειν· ἐκεῖνος γὰρ ἐν σκότῳ ἐστί· τοιοῦτον γὰρ ἡ ὀργὴ καὶ ἡ ἀλαζονεία. Σὺ δὲ ὁ τούτων ἀπηλλαγμένος καὶ ὑγιαίνων πρόσελθε, πρὸς τὸν κάμνοντα ὁ ἰατρός. Μή τις λέγει τῶν ἰατρῶν ''Επειδὴ ἀσθενεῖ, οὐκ ἀπέρχομαι'; 'Αλλὰ διὰ τοῦτο μάλιστα βαδίζουσιν, ὅταν ἴδωσι μὴ δυνηθέντα ἐλθεῖν· τῶν μὲν γὰρ δυναμένων καὶ ἐλάττονα φροντίζουσιν, ὡς οὐ νοσούντων σφόδρα, τῶν δὲ κατακειμένων οὐκέτι. Ἢ οὐ δοκεῖ σοι ἀρρωστίας εἶναι χαλεπώτερον ἀπόνοια καὶ θυμός; οὐχ ὁ μὲν πυρετῷ τινι ἔοικε σφοδρῷ, ἡ δὲ φλεγμαίνοντι σώματι καὶ οἰδαίνοντι; 'Εννόησον ὅσον ἐστὶ πυρετὸν ἔχειν καὶ οἴδημα· ἄπελθε, σβέσον τὸ πῦρ δύνασαι γὰρ τῇ χάριτι τοῦ Θεοῦ· ὥσπερ ὕδατι κατάστειλον τὴν φλεγμονήν.

Τί οὖν, ἂν αὐτῷ τούτῳ πλέον ἐπαίρεται; φησίν. Οὐδὲν παρὰ σέ· σὺ μὲν γὰρ τὸ σαυτοῦ ἐποίησας, ἐκεῖνος δὲ αὐτῷ λογιζέσθω· μὴ καταγινωσκέτω ἡμῶν τὸ συνειδός, ὅτι, ἡμῶν ἐλλειπόντων τι τῶν δεόντων, τοῦτο γίνεται. «Ψώμιζε», φησί, «τὸν ἐχθρόν σου· τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ». Καὶ ὅμως, καὶ τούτου ὄντος, κελεύει ἀπελθεῖν καὶ καταλλαγῆναι καὶ εὐεργετεῖν, οὐχ ἵνα ἄνθρακας πυρὸς σωρεύωμεν, ἀλλ' ἵνα εἰδὼς ἐκεῖνος

---

3. Ρωμ. 12

νες αἴτιος τῆς ἔχθρας, ἔτσι νὰ γίνεις αἴτιος νὰ μὴ ἐπεκταθεῖ περισσότερο ἡ ἔχθρα· ἴσως καὶ ἐκεῖνος ντρέπεται καὶ κοκκινίζει, ἐπειδὴ ἀναγνωρίζει ὅτι εἶναι ἔνοχος γιὰ πολλὰ ἀδικήματα.

Ἀλλ' εἶναι κυριευμένος ἀπὸ ἀλαζονεία; Γι' αὐτὸ πρὸ πάντων μὴ διστάξεις νὰ τρέξεις πρὸς αὐτόν· καθόσον εἶναι διπλὸ τὸ πάθος αὐτοῦ, καὶ ἀλαζονεία καὶ ὀργή. Σὺ εἶπες τὴν αἰτία, γιὰ τὴν ὁποία ὀφείλεις πρῶτος νὰ μεταβεῖς, σὺ ποὺ εἶσαι ὑγιής, ποὺ μπορεῖς νὰ βλέπεις· διότι ἐκεῖνος βρίσκεται μέσα στὸ σκοτάδι· διότι τέτοιο πράγμα εἶναι ἡ ὀργὴ καὶ ἡ ἀλαζονεία. Σὺ ὅμως, ποὺ εἶσαι ἀπαλλαγμένος ἀπὸ αὐτὰ καὶ εἶσαι ὑγιής, πήγαινε πρὸς αὐτόν, σὺ ὁ ἰατρὸς πρὸς τὸν ἀσθενή. Μήπως λέγει κάποιος ἀπὸ τοὺς ἰατρούς, "Ἐπειδὴ εἶναι ἀσθενής, δὲν πηγαίνω"; Ἀλλὰ γι' αὐτὸ πρὸ πάντων πηγαίνουν, ὅταν δοῦν ὅτι δὲν μπορεῖ ἐκεῖνος νὰ ἔρθει· διότι γιὰ ἐκείνους ποὺ μποροῦν φροντίζουν λιγότερο, ἐπειδὴ δὲν εἶναι βαρειὰ ἡ ἀσθένειά τους, δὲν κάνουν ὅμως τὸ ἴδιο γιὰ κείνους ποὺ εἶναι κατάκοιτοι. Ἢ νομίζεις ὅτι δὲν εἶναι φοβερότερη ἡ ἀλαζονεία καὶ ὁ θυμὸς ἀπὸ τὴν ἀρρώστια; δὲν μοιάζει ὁ θυμὸς μὲ κάποιο φοβερὸ πυρετὸ καὶ ἡ ἀλαζονεία μὲ κάποιο σῶμα ποὺ φλογίζεται καὶ βράζει; Σκέψου πόσο μεγάλο κακὸ εἶναι νὰ ἔχει πυρετὸ καὶ νὰ φλέγεται· πήγαινε, σβῆσε τὴ φωτιά· διότι μπορεῖς νὰ τὸ κάνεις μὲ τὴ χάρη τοῦ Θεοῦ· σὰν μὲ νερὸ καταπράυνε τὴ φλόγωση.

Τί λοιπόν, λέγει, ἂν μὲ αὐτὴ τὴν ἐνέργειά μου γίνεται μεγαλύτερη ἡ ἀλαζονεία του; Δὲν ὑπάρχει τίποτε τὸ ἐπιβαρυντικὸ γιὰ σένα· διότι σὺ ἔκανες αὐτὸ ποὺ ἐξαρτᾶται ἀπὸ σένα, ἐκεῖνος ἂς σκεφθεῖ γιὰ τὸν ἑαυτό του· ἂς μὴ μᾶς κατηγορεῖ ἡ συνείδηση, ὅτι αὐτὸ γίνεται, ἐπειδὴ ἐμεῖς παραλείψαμε νὰ κάνομε κάτι ἀπὸ ἐκεῖνα ἔπρεπε. «Δίνεις», λέγει, «ψωμὶ στὸν ἐχθρό σου· διότι κάμνοντας αὐτὸ θὰ συγκεντρώσεις κάρβουνα ἀναμμένα στὸ κεφάλι του»[3]. Καὶ ὅμως καὶ ἂν ἀκόμη συμβαίνει αὐτό, προτρέπει νὰ πᾶμε νὰ συμφιλιωθοῦμε καὶ νὰ εὐεργετοῦμε· ὄχι νὰ ἐπισορεύομε κάρβουνα ἀναμμένα, ἀλλά, γνωρίζοντας ἐκεῖνος αὐτό,

τοῦτο καταστέλληται, ἵνα τρέμῃ, ἵνα φοβῆται τὰς εὐεργεσίας μᾶλλον τῶν ἐχθρῶν καὶ τὰς φιλίας ἢ τὰς ἐπιβουλάς· οὐ γὰρ οὕτως ἐχθρὸς μνησικακῶν βλάπτει τὸν μισοῦντα, ὡς ὁ ὠφελῶν καὶ εὐεργετῶν· μνησικακῶν γάρ, καὶ ἑαυτὸν κἀκεῖνον ἔβλαψεν ἴσως μικρόν τι, εὐεργετῶν δέ, ἄνθρακας πυρὸς ἐσώρευσεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

Οὐκοῦν οὐ δεῖ ποιεῖν, φησίν, ἵνα μὴ σωρεύωμεν ἄνθρακας; Ἀλλ' ἑτέρως ἐπὶ τὴν κεφαλὴν τὴν σὴν ἄνθρακας σωρεύειν θέλεις; καὶ γὰρ τοῦτο ποιεῖ μνησικακία. Ἀλλ' ἐπὶ πλεῖον ἐκτείνειν; Οὐδαμῶς· οὐ γὰρ σὺ τοῦτο ποιεῖς, ἀλλ' ἐκεῖνος ὁ θηριώδης· εἰ γάρ, εὐεργετοῦντός σου καὶ τιμῶντος καὶ καταλλάττοντος, μένει φυλάττων ἐκεῖνος τὴν ἀπέχθειαν, ἑαυτῷ τὸ πῦρ ἀνῆψεν, αὐτὸς ἔφλεξεν αὐτοῦ τὴν κεφαλήν· σὺ δὲ ἀναίτιος εἶ. Μὴ γίνου τοῦ Θεοῦ φιλανθρωπότερος, ἐπεὶ μυρία πείσῃ δεινά· μᾶλλον δέ, οὐδ' ἂν θέλῃς δυνήσῃ, οὐδὲ κατὰ μικρόν. Πῶς γάρ; «Ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς», φησί, «τοσοῦτον ἀπέχουσιν αἱ βουλαί μου ἀπὸ τῶν βουλῶν ὑμῶν»· καὶ πάλιν· «Εἰ ὑμεῖς», φησί, «πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ὑμῖν;».

Ἀλλὰ σκῆψις ταῦτα καὶ πρόφασις. Μὴ δὴ σοφιζώμεθα τὰ προστάγματα τοῦ Θεοῦ. Καὶ πῶς σοφιζόμεθα; φησίν. Εἶπε· «Τοῦτο ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ», σὺ δὲ λέγεις 'Φοβοῦμαι τὸν ἐχθρόν, ὅτι μεγάλα μὲ ἠδίκησεν'. Οὐ ταῦτα λέγεις; Πῶς δὲ ὅλως ἔσχες ἐχθρόν; Ἀδικήσαντα φοβῇ, σαυτὸν δὲ οὐ φοβῇ; Εἴθε σαυτοῦ ἐφρόντιζες! Μὴ ποίει σκοπῷ τοιούτῳ· μᾶλλον δὲ κἂν το-

———

4. Ἡσ. 55, 8 - 9
5. Ματθ. 7, 11
6. Ρωμ. 12, 20

νὰ καταπραΰνει, νὰ κυριεύεται ἀπὸ τρόμο καὶ νὰ φοβᾶται περισσότερο τὶς εὐεργεσίες τῶν ἐχθρῶν καὶ τὶς φιλίες παρὰ τὶς ἐπιβουλές· διότι ὁ ἐχθρὸς ποὺ εἶναι μνησίκακος δὲν βλάπτει τόσο πολὺ ἐκεῖνον ποὺ μισεῖ, ὅσο ἐκεῖνος που ὠφελεῖ καὶ εὐεργετεῖ· διότι δείχνοντας μνησικακία ἔβλαψε καὶ τὸν ἑαυτό του καὶ ἐκεῖνον λιγάκι ἴσως, ἐνῶ εὐεργετώντας αὐτόν, συσσώρευσε κάρβουνα ἀναμμένα στὸ κεφάλι του.

Ὥστε λοιπόν, λέγει, δὲν πρέπει νὰ τὸν εὐεργετοῦμε, γιὰ νὰ μὴ ἐπισωρεύσομε κάρβουνα; Ὅμως ἐνεργώντας διαφορετικὰ θέλεις νὰ συσσωρεύεις κάρβουνα στὸ δικό σου κεφάλι; καθόσον αὐτὸ προξενεῖ ἡ μνησικακία. Ἀλλὰ θὰ πρέπει νὰ ἐπεκτείνομε περισσότερο τὴν ἔχθρα; Καθόλου· διότι αὐτὸ δὲν τὸ κάμνεις ἐσύ, ἀλλ' ἐκεῖνος ὁ θηριώδης· διότι, ἐὰν ἐνῶ σὺ τὸν εὐεργετεῖς, τὸν τιμᾶς, συμφιλιώνεσαι μαζί του, αὐτὸς ἐξακολουθεῖ νὰ διατηρεῖ τὴν ἐχθρότητα, στὸν ἑαυτό του ἄναψε τὴ φωτιά, αὐτὸς ὁ ἴδιος ἔκαψε τὸ κεφάλι του· σὺ εἶσαι ἀνεύθυνος. Μὴ γίνεσαι πιὸ φιλάνθρωπος ἀπὸ τὸ Θεό, διότι θὰ πάθεις ἀμέτρητα κακά· ἢ καλύτερα, οὔτε ἂν θέλεις θὰ μπορέσεις, οὔτε κατὰ τὸ ἐλάχιστο. Πῶς δηλαδὴ θὰ μπορέσεις; Διότι λέγει· «ὅσο ἀπέχει ὁ οὐρανὸς ἀπὸ τὴ γῆ, τόσο πολὺ ἀπέχουν οἱ ἀποφάσεις μου ἀπὸ τὶς ἀποφάσεις σας»[4]· καὶ πάλι· «Ἐὰν σεῖς», λέγει, «ἐνῶ εἶστε πονηροί, γνωρίζετε νὰ δίνετε ὠφέλιμα πράγματα στὰ παιδιά σας, πόσο περισσότερο δὲν θὰ δώσει σὲ σᾶς ὁ οὐράνιος Πατέρας σας»;»[5].

Ἀλλ' αὐτὰ εἶναι δικαιολογία καὶ πρόφαση. Ἂς μὴ κάμνομε λοιπὸν ἐσφαλμένες σκέψεις γιὰ τὰ προστάγματα τοῦ Θεοῦ. Καὶ πῶς, λέγει, κάνομε κακὲς σκέψεις γι' αὐτά; Εἶπε· «Κάμνοντας αὐτό, συγκεντρώνεις κάρβουνα ἀναμμένα στὸ κεφάλι του»[6], σὺ ὅμως λές· 'Φοβᾶμαι τὸν ἐχθρό, διότι μοῦ προξένησε μεγάλες ἀδικίες'. Δὲν λὲς αὐτά; Πῶς ὅμως θέλεις νὰ ἔχεις ἐχθρὸ γιὰ πάντα; Ἐκεῖνον ποὺ σὲ ἀδίκησε τὸν φοβᾶσαι, τὸν ἑαυτό σου ὅμως δὲν τὸν φοβᾶσαι; Μακάρι νὰ φρόντιζες γιὰ τὸν ἑαυτό σου! Μὴ ἐνεργεῖς μὲ τέτοιο σκοπό· ἢ καλύτερα ἐνέργησε ἔστω καὶ μὲ

σούτῳ ποίησον σκοπῷ. Ἀλλ' οὐ ποιεῖς. Οὐ λέγω σοι ὅτι ἄνθρακας πυρὸς σωρεύσεις, ἀλλὰ καὶ ἕτερόν τι πλέον λέγω· μόνον ποίησον. Ταῦτα γὰρ πάντα, ἵνα σε ἐκκαλέσηται, φησὶν ὁ Παῦλος, ἐλπίδι τῆς τιμωρίας λῦσαι τὴν ἔχθραν. Ἐπειδὴ θηριώδεις ἐσμέν, καὶ οὐκ ἂν ἄλλως ἀνασχοίμεθα τὸν ἐχθρὸν φιλῆσαι, εἰ μή τινα προσδοκῶμεν τιμωρίαν, καθάπερ τινὶ θηρίῳ δίδωσι ταύτην τὴν μᾶζαν· ἐπεὶ τοῖς Ἀποστόλοις οὐ τοῦτό φησιν, ἀλλὰ τί; «Ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς». Ἄλλως δὲ οὐκ ἔστιν εὐεργετοῦντα καὶ εὐεργετούμενον μεῖναι ἐχθρόν· διὰ τοῦτο ταῦτα ἔθηκε. Τί ἐν τοῖς λόγοις φιλοσοφῶν, ἐν τοῖς ἔργοις οὐδὲ τὸ μέτρον φυλάττεις; Καλῶς, οὐ ψωμίζεις αὐτόν, ἵνα μὴ ἄνθρακας πυρὸς σωρεύσης· οὐκοῦν φείδῃ; οὐκοῦν φιλεῖς, καὶ σκοπῷ τοιούτῳ ποιεῖς; Οἶδε Θεός, εἰ σκοπῷ τοιούτῳ λέγεις· καὶ μὴν πρὸς ἡμᾶς σοφίζῃ καὶ σκήπτῃ τὸν λόγον. Προνοεῖς τοῦ ἐχθροῦ καὶ φοβῇ μὴ κολασθῇ; Οὐκοῦν ἔσβεσας τὴν ὀργήν· ὁ γὰρ οὕτω φιλῶν, ὡς τὴν οἰκείαν ὠφέλειαν παριδεῖν ὑπὲρ τῶν ἐκείνῳ συμφερόντων, οὐκ ἔχει ἐχθρόν. Ἔχοις ἂν τοῦτο εἰπεῖν· 'Μέχρι τίνος παίζομεν ἐν οὐ παικτοῖς, οὐδὲ ἔχουσι συγγνώμην;'.

Διὸ παρακαλῶ τῇ ὑμετέρᾳ ἀδελφότητι, ἠγαπημένοι ὑπὸ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ δέομαι ὑμῶν καὶ ἀντιβολῶ, τὰς προφάσεις ταύτας περικόψαντες, μὴ καταφρονῶμεν τῶν τοῦ Θεοῦ νόμων, μηδὲ τῶν αὐτοῦ ἐντολῶν παροψώμεθα, ἵνα δυνηθῶμεν εὐαρέστως τῷ Κυρίῳ τὴν παροῦσαν ζωὴν διαγαγεῖν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

7. Ματθ. 5, 45

τέτοιο σκοπό. Ἀλλὰ δὲν τὸ κάνεις. Δὲν σοῦ λέγω ὅτι συσσωρεύεις κάρβουνα ἀναμμένα, ἀλλὰ σοῦ λέγω κάτι ἄλλο πιὸ σπουδαῖο· μόνο κάνε αὐτό. Διότι ὅλα αὐτὰ τὰ λέγει ὁ Παῦλος γιὰ νὰ σὲ παρακινήσει νὰ τερματίσεις τὴν ἔχθρα μὲ τὴν ἐλπίδα τῆς τιμωρίας. Ἐπειδὴ εἴμαστε σὰν τὰ θηρία καὶ δὲν θὰ ἀνεχόμασταν μὲ ἄλλο τρόπο ν' ἀγαπήσομε τὸν ἐχθρό μας, παρὰ μόνο ἂν περιμένομε κάποια τιμωρία, μᾶς δίνει αὐτὴν τὴν τροφὴ σὰν πρὸς κάποιο θηρίο· διότι στοὺς ἀποστόλους δὲν λέγει αὐτό, ἀλλὰ τί; «Γιὰ νὰ γίνετε ὅμοιοι μὲ τὸν Πατέρα σας τὸν οὐράνιο»[7]. Ἐξ ἄλλου δὲν εἶναι δυνατὸ νὰ ἐξακολουθεῖ κανεὶς νὰ εἶναι ἐχθρὸς ὅταν εὐεργετεῖ καὶ εὐεργετεῖται· γι' αὐτὸ τὰ εἶπε αὐτά. Γιατὶ μὲ τὰ λόγια φιλοσοφεῖς, ἐνῶ στὴν πράξη δὲν τηρεῖς οὔτε τὸ μέτρο; Πολὺ καλά, δὲν δίνεις τροφὴ σ' αὐτόν, γιὰ νὰ μὴ ἐπισωρεύσεις κάρβουνα ἀναμμένα· δηλαδὴ τὸν λυπᾶσαι καὶ τὸν ἀγαπᾶς καὶ τὰ κάμνεις αὐτὰ μὲ αὐτὸ τὸ σκοπό; Γνωρίζει ὁ Θεὸς ἐὰν τὰ λὲς μὲ τέτοιο σκοπό· βέβαια σ' ἐμᾶς διατυπώνεις δόλιες σκέψεις καὶ προσποιεῖσαι. Ἐνδιαφέρεσαι γιὰ τὸν ἐχθρὸ καὶ φοβᾶσαι μήπως τιμωρηθεῖ; Ἐπομένως ἔσβησες τὴν ὀργή· διότι ἐκεῖνος ποὺ ἀγαπᾶ τόσο πολὺ ὥστε νὰ παραβλέψει τὴν δική του ὠφέλεια μπροστὰ σ' αὐτὰ ποὺ συμφέρουν σ' ἐκεῖνον, αὐτὸς δὲν ἔχει ἐχθρό. Θὰ μποροῦσες νὰ πεῖς αὐτό· 'Μέχρι πότε θὰ παίζομε μὲ ἐκεῖνα ποὺ δὲν πρέπει νὰ παίζομε καὶ οὔτε ἔχουν συγχώρηση;'.

Γι' αὐτὸ παρακαλῶ τὴν ἀδελφότητά μας, τοὺς ἀγαπημένους ἀπὸ τὸν Κύριο καὶ Θεὸ καὶ Σωτήρα μας Ἰησοῦ Χριστό, καὶ σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω, ἀφοῦ ἀποβάλομε αὐτὲς τὶς προφάσεις, ἂς μὴ περιφρονοῦμε τοὺς νόμους τοῦ Θεοῦ, οὔτε νὰ δείχνουμε ἀδιαφορία γιὰ τὶς ἐντολές του, γιὰ νὰ μπορέσομε νὰ περάσομε τὴν παροῦσα ζωὴ ἔτσι ποὺ νὰ εἶναι ἀρεστὴ στὸν Κύριο, καὶ νὰ ἐπιτύχομε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθεῖ μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΑ΄
(Πράξ. 24, 22 - 25, 22)

«Ἀνεβάλετο δέ», φησίν, «ὁ Φῆλιξ αὐτούς, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἰπών· Ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθ' ὑμᾶς. Διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν Παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων ὑπηρετεῖν ἢ προσέρχεσθαι αὐτῷ».

1. Ὅρα πόση γίνεται βάσανος, πρῶτον μὲν ὑπὸ πολλῶν, εἶτα καὶ ἐν χρόνῳ μακρῷ, ὥστε μὴ εἰπεῖν ὅτι συνηρπάγη τὸ δικαστήριον. Ἐπειδὴ γὰρ ἐμνημόνευσε Λυσίου ὁ ῥήτωρ, εἰπὼν ὅτι μετὰ βίας ἀφείλετο αὐτόν, ἐπήγαγεν εὐκαίρως τὰ περὶ τοῦ Φήλικος, καί φησιν· «Ἀνεβάλετο δὲ ὁ Φῆλιξ αὐτούς, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ»· τουτέστιν, ἐπίτηδες ὑπερέθετο· οὐ δεόμενος μαθεῖν, ἀλλὰ διακρούσασθαι βουλόμενος τοὺς Ἰουδαίους. Ἀφεῖναι οὐκ ἤθελε δι' ἐκείνους, κολάσαι πάλιν οὐκ ἦταν δυνατόν· ἀναίσχυντον γὰρ ἦν. Διὸ καὶ ὑπερτίθεται, εἰπών· «Ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθ' ὑμᾶς. Διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν Παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων ὑπηρετεῖν ἢ προσέρχεσθαι αὐτῷ». «Ἔχειν τε», φησίν, «ἄνεσιν». Οὕτως αὐτὸν καὶ αὐτὸς ἀφῆκεν ἐγκλημάτων.

ΟΜΙΛΙΑ ΝΑ΄
(Πράξ. 24. 22 - 25. 22)

«Ὁ Φήλικας», λέγει, «ἀνέβαλε τὴ δίκη, διότι γνώριζε μὲ μεγαλύτερη ἀκρίβεια τὰ σχετικὰ μὲ τὴ διδασκαλία, καὶ εἶπε· Ὅταν θὰ κατεβεῖ ὁ Λυσίας ὁ χιλίαρχος, θ' ἀποφασίσω γιὰ τὴν ὑπόθεσή σας. Διέταξε τότε τὸν ἑκατόνταρχο νὰ ἐπιτηρεῖ τὸν Παῦλο, νὰ τοῦ παρέχει εὐκολίες καὶ νὰ μὴ ἐμποδίζει κανένα ἀπὸ τοὺς φίλους του νὰ τὸν ὑπηρετεῖ ἢ νὰ τὸν ἐπισκέπτεται».

1. Πρόσεχε πόσο αὐστηρὴ ἐξέταση γίνεται· κατὰ πρῶτο ἀνακρίνεται ἀπὸ πολλούς, ἔπειτα ἡ ἀνάκριση διαρκεῖ ἐπὶ μακρὸ χρόνο, ὥστε νὰ μὴ ποῦν ὅτι ἐξαπατήθηκε τὸ δικαστήριο. Ἐπειδὴ δηλαδὴ ὁ ρήτορας ἀνέφερε τὸ Λυσία, λέγοντας ὅτι ἀπέσπασε αὐτὸν ἀπ' αὐτοὺς μὲ βία, πρόσθεσε μὲ τρόπο εὐκαιριακὸ τὰ σχετικὰ μὲ τὸ Φήλικα, καὶ λέγει· «Ἀνέβαλε ὁ Φήλικας τὴ δίκη, διότι γνώριζε μὲ μεγαλύτερη ἀκρίβεια τὰ σχετικὰ μὲ τὴ διδασκαλία»· δηλαδή, ἐπίτηδες ἀνέβαλε τὴ δίκη· ὄχι ἐπειδὴ χρειαζόταν νὰ μάθει, ἀλλὰ θέλοντας ν' ἀποφύγει τοὺς Ἰουδαίους. Νὰ τὸν ἀφήσει ἐλεύθερο δὲν ἤθελε ἐξ αἰτίας ἐκείνων, νὰ τὸν τιμωρήσει πάλι δὲν ἦταν δυνατό, διότι ἦταν ἀδιαντροπιά. Γι' αὐτὸ καὶ ἀναβάλλει τὴ δίκη, λέγοντας· «Ὅταν θὰ κατεβεῖ ὁ Λυσίας ὁ χιλίαρχος, θ' ἀποφασίσω γιὰ τὴν ὑπόθεσή σας. Διέταξε τότε τὸν ἑκατόνταρχο νὰ ἐπιτηρεῖ τὸν Παῦλο, νὰ τοῦ παρέχει εὐκολίες καὶ νὰ μὴ ἐμποδίζει κανένα ἀπὸ τοὺς φίλους του νὰ τὸν ὑπηρετεῖ ἢ νὰ τὸν ἐπισκέπτεται». «Νὰ τοῦ παρέχει», λέγει, «εὐκολίες». Ἐπομένως καὶ αὐτὸς τὸν ἀπάλλαξε ἀπὸ τὶς κατηγορίες.

Τί οὖν κατέχει ἀφείς; Ἐκείνοις χαριζόμενος, ἢ καὶ ἔτι προσδοκῶν χρήματα λήψεσθαι. Διὸ καὶ μετακαλεῖται τὸν Παῦλον· καὶ ὅτι ἐπὶ τούτῳ μετεκαλέσατο, δῆλον ἡμῖν τοῦτο ποιεῖ ὁ συγγραφεύς, ἐπάγων καὶ λέγων· «Μετὰ δέ τινας ἡμέρας παραγενόμενος ὁ Φῆλιξ σὺν Δρουσίλλῃ τῇ γυναικὶ αὐτοῦ, οὔσῃ Ἰουδαίᾳ, μετεπέμψατο τὸν Παῦλον, καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς Χριστὸν Ἰησοῦν πίστεως. Διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ κρίματος, τοῦ μέλλοντος ἔσεσθαι, ἔμφοβος γενόμενος ὁ Φῆλιξ, ἀπεκρίθη· Τὸ νῦν ἔχον πορεύου· καιρὸν δὲ μεταλαβὼν μετακαλέσομαί σε. Ἅμα καὶ ἐλπίζων ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου, ὅπως λύσῃ αὐτόν· διὸ καὶ πυκνότερον αὐτὸν μεταπεμπόμενος ὡμίλει αὐτῷ». Ὅρα πῶς τῆς ἀληθείας ἔχεται τὰ γραφόμενα. Μετεπέμπετο δὲ αὐτὸν συνεχῶς οὐχὶ θαυμάζων αὐτόν, οὐδὲ ἐπαινῶν τὰ λεγόμενα, οὐδὲ πιστεῦσαι βουλόμενος, ἀλλὰ τί; «Προσδοκῶν», φησί, «χρήματα δοθήσεσθαι αὐτῷ». Σκόπει πῶς οὐ κρύπτει ἐνταῦθα τοῦ δικαστοῦ τὴν γνώμην· καίτοι, εἰ κατεγνώκει, οὐκ ἂν τοῦτο ἐποίησεν, οὐδ' ἂν ἠθέλησεν ἀκοῦσαι παρὰ καταδίκου καὶ πονηροῦ.

Καὶ ὅρα τὸν Παῦλον, καίτοι πρὸς ἄρχοντα διαλεγόμενον, μηδὲν τούτων λέγοντα, ὧν εἰκὸς ἀνεῖναι αὐτοῦ τὴν ψυχήν, ἀλλὰ τοιαῦτα, ἐξ ὧν καὶ φοβεῖται, καὶ κατασείεται τὴν διάνοιαν· διαλεγόμενος» γάρ, φησί, «περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ μέλλοντος κρίματος ἔσεσθαι, «ἔμφοβος ὁ Φῆλιξ ἐγένετο». Τοσαύτη ἦν ἡ ἰσχὺς τοῦ Παύλου ῥημάτων, ὅτι καὶ φοβοῦσι τὸν ἄρχοντα. Καὶ οὗτος μὲν λαμβάνει διάδοχον, καὶ ἀφίησι τοῦτον δέσμιον, καίτοι γε οὐκ ἔδει, ἀλλὰ τέλος ἐπιθεῖναι, ἀλλὰ χαριζόμενος ἐκείνοις κατέλιπεν αὐτόν. Οὗτοι δὲ οὕτως ἐνέκειντο, ὡς πάλιν ἐντυχεῖν, καίτοι οὐδενὶ τῶν Ἀποστόλων οὕτως ἐπε-

Γιατί λοιπὸν τὸν κρατεῖ, ἀφοῦ τὸν ἀπάλλαξε; Γιὰ τὸ χατήρι ἐκείνων, ἢ καὶ ἀκόμη περιμένοντας νὰ πάρει χρήματα. Γι' αὐτὸ καλεῖ καὶ πάλι τὸν Παῦλο· καὶ ὅτι γιὰ τὸ σκοπὸ αὐτὸ τὸν κάλεσε ξανά, μᾶς τὸ φανερώνει αὐτὸ ὁ συγγραφέας, προσθέτοντας τὰ παρακάτω καὶ λέγοντας· «Μετὰ ἀπὸ λίγες ἡμέρες ἦρθε ὁ Φήλικας μαζὶ μὲ τὴ γυναίκα του τὴ Δρουσίλλα, ποὺ ἦταν Ἰουδαία, κάλεσε τὸν Παῦλο καὶ ἄκουσε τὴν ὁμιλία αὐτοῦ γιὰ τὴν πίστη στὸν Ἰησοῦ Χριστό, ἐνῶ ὅμως τοῦ μιλοῦσε γιὰ τὰ ζητήματα τῆς δικαιοσύνης, τῆς ἐγκράτειας καὶ τῆς κρίσεως ποὺ πρόκειται νὰ γίνει στὸ μέλλον, κυριεύθηκε ὁ Φήλικας ἀπὸ φόβο καὶ εἶπε· Τώρα μπορεῖς νὰ πηγαίνεις, ὅταν ὅμως θὰ ἔχω καιρὸ θὰ σὲ καλέσω καὶ πάλι, ἐλπίζοντας συγχρόνως ὅτι θὰ τοῦ δοθοῦν ἀπὸ τὸν Παῦλο χρήματα, γιὰ νὰ τὸν ἐλευθερώσει· γι' αὐτὸ ἔστελνε καὶ τὸν καλοῦσε πιὸ συχνὰ καὶ μιλοῦσε μαζί του». Πρόσεχε πῶς τὰ γραφόμενα λένε τὴν ἀλήθεια. Ἔστελνε καὶ καλοῦσε αὐτὸν συχνά, ὄχι ἐπειδὴ τὸν θαύμαζε, οὔτε ἐπειδὴ ἐπιδοκίμαζε τὰ λεγόμενά του, οὔτε καὶ ἐπειδὴ ἤθελε νὰ πιστέψει, ἀλλὰ γιατί; «Περιμένοντας», λέγει, «νὰ τοῦ δοθοῦν χρήματα». Πρόσεχε πῶς ἐδῶ δὲν κρύβει τὴν ἐπιθυμία τοῦ δικαστῆ· ἂν καὶ βέβαια, ἐὰν τὸν εἶχε καταδικάσει, δὲν θὰ τὸ ἔκαμνε αὐτό, οὔτε θὰ ἤθελε ν' ἀκούσει ἀπὸ κατάδικο καὶ κακὸ ἄνθρωπο.

Καὶ πρόσεχε τὸν Παῦλο, ἂν καὶ ὁμιλεῖ πρὸς ἄρχοντα, τίποτε δὲν λέγει ἀπὸ ἐκεῖνα ποὺ ἦταν δυνατὸ νὰ μαλακώσουν τὴν ψυχὴ αὐτοῦ, ἀλλὰ τέτοια λέγει, μὲ τὰ ὁποῖα φοβίζει καὶ συνταράσσει τὴ σκέψη του· διότι, λέγει, «Ἐνῶ μιλοῦσε γιὰ ζητήματα δικαιοσύνης, ἐγκράτειας καὶ τῆς μελλοντικῆς κρίσεως, κυριεύθηκε ὁ Φήλικας ἀπὸ φόβο». Τόσο μεγάλη ἦταν ἡ δύναμη τῶν λόγων τοῦ Παύλου, ὥστε καὶ φοβίζουν τὸν ἄρχοντα. Καὶ αὐτὸν βέβαια τὸν διαδέχθηκε ἄλλος, ποὺ τὸν ἀφήνει ὅμως φυλακισμένο, ἂν καὶ βέβαια δὲν ἔπρεπε, ἀλλ' ἔπρεπε νὰ θέσει τέρμα στὴν κράτησή του, ὅμως γιὰ χατήρι ἐκείνων τὸν ἄφησε φυλακισμένο. Αὐτοὶ λοιπὸν ἔτσι ἐνεργοῦσαν, ἕτοιμοι νὰ ἐπιτεθοῦν καὶ πάλι

τέθησαν, ἀλλ' ἐπιτιθέμενοι πάλιν ἀφίσταντο. Οὕτως οἰκονομικῶς ἀφίσταται τῶν Ἱεροσολύμων, πρὸς τοιαῦτα θηρία ἔχων, καὶ ὅμως ἀξιοῦσιν αὐτὸν πάλιν ἀχθῆναι ἐκεῖ δικασόμενον. Ἀλλὰ καὶ ἐνταῦθα λοιπὸν ᾠκονόμησεν ὁ Θεός, οὐκ ἐπιτρέπων τῷ ἄρχοντι· εἰκὸς γὰρ αὐτὸν νεωστὶ τῆς ἀρχῆς ἐπιβάντα καὶ θελῆσαι χαρίσασθαι, ἀλλ' οὐκ ἀφίησιν ὁ Θεός. Ἐπειδὴ δὲ κατῆλθον, λοιπὸν ἀναισχύντως καὶ μειζόνως ἐποιοῦντο τὰς κατηγορίας· καὶ οὐκ ἰσχύσαντες ἀπὸ τῶν νομικῶν ἑλεῖν, πάλιν ἐπὶ τὸ εἰωθὸς αὐτοῖς ἔθος τὰ κατὰ Καίσαρα ἐκίνουν, ὅπερ καὶ ἐπὶ τοῦ Χριστοῦ ἐποίουν· τὸ γὰρ τὸν Παῦλον ἀπολογεῖσθαι περὶ τῶν εἰς Καίσαρα ἁμαρτημάτων, δῆλον τοῦτο ἦν, ὅθεν καὶ αὐτὸ ἑρμηνεύων ἐπάγει· «Διετίας δὲ πληρωθείσης, ἔλαβε διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον. Θέλων δὲ χάριν καταθέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ, κατέλιπε τὸν Παῦλον δεδεμένον».

«Φῆστος οὖν, ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρείας. Ἐνεφάνισάν τε αὐτῷ οἱ ἀρχιερεῖς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου, καὶ παρεκάλουν αὐτόν, αἰτούμενοι χάριν παρ' αὐτοῦ, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ, ἔνεδρον ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν. Ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦλον ἐν Καισαρείᾳ, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι. Οἱ οὖν δυνατοὶ ἐν ὑμῖν», φησί, «συγκαταβάντες, εἴ τί ἐστιν ἐν τῷ ἀνδρὶ τούτῳ, κατηγορείτωσαν αὐτοῦ. Διατρίψας δὲ ἐν αὐτοῖς ἡμέ-

ἐναντίον του, ἂν καὶ βέβαια σὲ κανένα ἀπὸ τοὺς Ἀποστόλους δὲν ἐπιτέθηκαν ἔτσι, ἀλλ', ἀφοῦ ἔκαμναν τὴν ἐπίθεσή τους, πάλι ἀποσύρονταν. Μὲ τὴν πρόνοια λοιπὸν τοῦ Θεοῦ ἀπομακρύνεται ἀπὸ τὰ Ἱεροσόλυμα, βρισκόμενος ἀνάμεσα σὲ τέτοια θηρία, καὶ ὅμως ζητοῦν καὶ πάλι νὰ ὁδηγηθεῖ ἐκεῖ γιὰ νὰ δικασθεῖ. Ἀλλὰ καὶ ἐδῶ τώρα ρύθμισε ὁ Θεὸς τὰ πράγματα ἔτσι, μὴ ἐπιτρέποντας στὸν ἄρχοντα νὰ τὸ κάνει αὐτό· διότι φυσικὸ ἦταν, ἐπειδὴ πρόσφατα αὐτὸς ἀνέβηκε στὴν ἐξουσία, νὰ θελήσει νὰ τοὺς κάνει τὸ χατήρι, ἀλλ' ὅμως ὁ Θεὸς δὲν τὸ ἐπιτρέπει. Ὅταν ὅμως ἐπέστρεψαν στὰ Ἱεροσόλυμα, στὴ συνέχεια ἐξαπέλυαν μὲ μεγαλύτερη ἀδιαντροπιὰ τὶς κατηγορίες ἐναντίον του· καὶ ἐπειδὴ δὲν μπόρεσαν νὰ τὸν συλλάβουν σύμφωνα μὲ τὸ νόμο, πάλι σύμφωνα μὲ τὴ συνήθειά τους ἀνακινοῦσαν τὰ σχετικὰ μὲ τὸν Καίσαρα, πράγμα ποὺ ἔκαμναν καὶ στὴν περίπτωση τοῦ Χριστοῦ· ἦταν φανερὸ δηλαδὴ ὅτι ἤθελαν ν' ἀπολογηθεῖ ὁ Παῦλος γιὰ τὰ ἀδικήματά του ἀπέναντι στὸν Καίσαρα, καὶ αὐτὸ ἀκριβῶς ἑρμηνεύοντας ὁ συγγραφέας προσθέτει· «Ἀφοῦ συμπληρώθηκαν δύο χρόνια, τὸ Φήλικα διαδέχθηκε ὁ Πόρκιος Φῆστος. Θέλοντας ὁ Φήλικας νὰ κάνει τὸ χατήρι τῶν Ἰουδαίων ἄφησε τὸν Παῦλο φυλακισμένο».

«Ὁ Φῆστος λοιπόν, τρεῖς ἡμέρες μετὰ τὸν ἐρχομό του στὴν ἐπαρχία, ἀνέβηκε ἀπὸ τὴν Καισάρεια στὰ Ἱεροσόλυμα. Οἱ ἀρχιερεῖς τότε καὶ οἱ προύχοντες τῶν Ἰουδαίων διατύπωσαν σ' αὐτὸν κατηγορίες ἐναντίον τοῦ Παύλου καὶ τὸν παρακαλοῦσαν, ζητώντας χάρη ἀπ' αὐτόν, νὰ στείλει ἀνθρώπους καὶ νὰ τὸν φέρουν στὴν Ἱερουσαλήμ, σχεδιάζοντας νὰ στήσουν ἐνέδρα στὸ δρόμο καὶ νὰ τὸν σκοτώσουν. Ὁ Φῆστος λοιπὸν ἀποκρίθηκε καὶ εἶπε ὅτι ὁ Παῦλος βρίσκεται ὑπὸ ἐπιτήρηση στὴν Καισάρεια, καὶ ὅτι ὁ ἴδιος πρόκειται γρήγορα ν' ἀναχωρήσει ἀπὸ τὴν Ἱερουσαλήμ. Οἱ πρόκριτοι λοιπὸν ἀπὸ σᾶς», λέγει, «ἂς κατεβοῦν μαζί μου, καὶ ἂν ὑπάρχει τίποτε ἐναντίον τοῦ ἀνθρώπου αὐτοῦ, ἂς τὸν κατηγορήσουν. Ἀφοῦ παρέμεινε κοντά τους περισσότερες ἀπὸ δέκα ἡμέρες,

ρας πλείους ἢ δέκα, καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσε τὸν Παῦλον ἀχθῆναι. Παραγενομένου δὲ αὐτοῦ, περιέστησαν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα φέροντες κατὰ τοῦ Παύλου, ἃ οὐκ ἴσχυον ἀποδεῖξαι, ἀπολογουμένου αὐτοῦ ὅτι οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων, οὔτε εἰς τὸ ἱερόν, οὔτε εἰς Καίσαρά τι ἥμαρτον. Ὁ Φῆστος δέ, τοῖς Ἰουδαίοις θέλων χάριν καταθέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ, εἶπε· Θέλεις, εἰς Ἱεροσόλυμα ἀναβάς, ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ' ἐμοῦ;».

Ὅρα πῶς καὶ αὐτὸς τοῖς Ἰουδαίοις χαρίζεται, δήμῳ ὁλοκλήρῳ, καὶ πόλει. Διὰ τοῦτο πάλιν καὶ αὐτὸν ἐκφοβεῖ, ἀνθρωπίνῳ χρησάμενος ὅπλῳ· καὶ ἄκουε πῶς. «Εἶπε δὲ ὁ Παῦλος· Ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις· εἰ μὲν γὰρ ἀδικῶ, καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν, εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσί μου, οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι. Καίσαρα ἐπικαλοῦμαι». Ἀλλ' εἴποι ἄν τις ἐνταῦθα· Καὶ τίνος ἕνεκεν, ἀκούσας ὅτι «καὶ ἐν Ρώμῃ σε δεῖ μαρτυρῆσαι τὰ περὶ ἐμοῦ», ὡς ἀπιστῶν ταῦτα ἐποίει; Μὴ γένοιτο! ἀλλὰ καὶ σφόδρα πιστεύων. Μᾶλλον οὖν πειράζοντος ἦν τὸ θαρρεῖν ἐκείνῃ τῇ ἀποφάσει, καὶ εἰς μυρίους ἑαυτὸν ἐμβάλλειν κινδύνους, καὶ λέγειν, 'Ἴδωμεν εἰ δύναται ὁ Θεὸς καὶ οὕτως ἐξελέσθαι με'. Ἀλλ' οὐ ποιεῖ τοῦτο Παῦλος, ἀλλὰ τὰ καθ' ἑαυτὸν πάντα εἰσφέρει, τὸ πᾶν ἐπιτρέπων τῷ Θεῷ· ἠρέμα δὲ καὶ καθάπτεται τοῦ ἄρχοντος, οὕτως ἀπολογούμενος· μονονουχὶ γὰρ τοῦτο λέγει·

1. Πράξ. 23. 11

κατέβηκε στὴν Καισάρεια, καὶ τὴν ἄλλη ἡμέρα, ἀφοῦ κάθησε στὴ δικαστικὴ ἔδρα, διέταξε νὰ φέρουν τὸν Παῦλο ἐκεῖ. Ὅταν αὐτὸς ἦρθε, παρουσιάσθηκαν καὶ οἱ Ἰουδαῖοι ποὺ εἶχαν κατεβεῖ ἀπὸ τὰ Ἱεροσόλυμα, διατυπώνοντας πολλὲς καὶ βαρειὲς κατηγορίες ἐναντίον τοῦ Παύλου, τὶς ὁποῖες δὲν μποροῦσαν ν' ἀποδείξουν, διότι ὁ Παῦλος ἀπολογοῦνταν καὶ ἔλεγε, ὅτι δὲν διέπραξε κανένα παράπτωμα οὔτε ἐναντίον τοῦ νόμου τῶν Ἰουδαίων, οὔτε ἐναντίον τοῦ ναοῦ, οὔτε καὶ ἐναντίον τοῦ Καίσαρα. Ὁ Φῆστος ὅμως, θέλοντας νὰ κάνει τὸ χατήρι τῶν Ἰουδαίων, ἀποκρίθηκε καὶ εἶπε στὸν Παῦλο· Θέλεις ν' ἀνεβεῖς στὰ Ἱεροσόλυμα καὶ νὰ δικασθεῖς ἐκεῖ ἐνώπιόν μου γιὰ τὶς κατηγορίες αὐτές;».

Πρόσεχε πῶς καὶ αὐτὸς χαρίζεται στοὺς Ἰουδαίους, σ' ὁλόκληρο τὸ λαὸ καὶ στὴν πόλη. Γι' αὐτὸ πάλι καὶ αὐτὸν τὸν ἐκφοβίζει, χρησιμοποιώντας ἀνθρώπινο ὅπλο· καὶ ἄκου πῶς. «Εἶπε τότε ὁ Παῦλος· Βρίσκομαι μπροστὰ σὲ δικαστήριο τοῦ Καίσαρα, στὸ ὁποῖο πρέπει νὰ δικασθῶ. Στοὺς Ἰουδαίους δὲν ἔκανα κανένα κακό, ὅπως πολὺ καλὰ τὸ ξέρεις καὶ σύ· ἐὰν πραγματικὰ ἔχω ἄδικο καὶ ἔκανα κάτι, ποὺ εἶναι ἄξιο θανάτου, δὲν ζητῶ ν' ἀποφύγω τὸ θάνατο, ἐὰν ὅμως δὲν εἶναι ἀληθινὴ καμία κατηγορία ἀπὸ ἐκεῖνες ποὺ μοῦ ἀποδίδουν αὐτοί, κανένας δὲν μπορεῖ νὰ μὲ παραδώσει σ' αὐτούς. Ἐπικαλοῦμαι τὸν Καίσαρα». Ἀλλὰ θὰ μποροῦσε νὰ πεῖ κανεὶς ἐδῶ· Καὶ γιὰ ποιὸ λόγο, ἐνῶ ἄκουσε ὅτι «Πρέπει σὺ νὰ δώσεις μαρτυρία γιὰ μένα καὶ στὴ Ρώμη»[1], ἔκαμνε αὐτὰ σὰν νὰ μὴ πίστευε; Μακριὰ μία τέτοια σκέψη! ἀλλὰ τὰ ἔκαμνε πιστεύοντας καὶ μάλιστα πάρα πολύ. Τὸ νὰ πιστεύει σ' ἐκείνη τὴν ἀπόφαση καὶ νὰ ρίχνει τὸν ἑαυτό του σὲ ἄπειρους κινδύνους καὶ νὰ λέγει, ‘Ἂς δοῦμε ἐὰν μπορεῖ ὁ Θεὸς καὶ ἔτσι νὰ μὲ σώσει', ὁπωσδήποτε αὐτὸ ἦταν ἀνθρώπου ποὺ ἤθελε νὰ πειράξει τὸ Θεό. Ὁ Παῦλος ὅμως δὲν τὸ κάνει αὐτό, ἀλλὰ προσφέρει ὅλα ὅσα ἐξαρτῶνται ἀπ' αὐτόν, ἀναθέτοντας τὸ πᾶν στὸ Θεό· μὲ ἠρεμία ἐπιτίθεται ἐναντίον τοῦ ἄρχοντα, ἀπολογούμενος κατ' αὐ-

'Εἰ μὲν ἀδικῶ, καλῶς, εἰ δὲ οὐκ ἀδικῶ, τί με ἐκδίδως'. «Οὐδείς δύναταί με», φησί, «χαρίσασθαι». Εἰς φόβον αὐτὸν ἐνέβαλεν, ὥστε μηδὲ ἑκόντα χαρίσασθαι, ἀλλὰ καὶ πρὸς ἐκείνους ἔχειν ἀπολογίαν τὴν ἔφεσιν. «Τότε ὁ Φῆστος, συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη· Καίσαρα ἐπικέκλησαι, ἐπὶ Καίσαρα πορεύσῃ».

2. Ὅρα, ἀνακοινοῦται τῷ Ἀγρίππᾳ, ὥστε καὶ ἑτέρους γενέσθαι πάλιν ἀκροατάς, καὶ τὸν βασιλέα, καὶ τὸν στρατόν, καὶ τὴν Βερνίκην. Εἶτα δὲ πάλιν ἀπολογία. «Ἡμερῶν δὲ διαγενομένων, Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν, ἀσπασόμενοι τὸν Φῆστον. Ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν Παῦλον, λέγων· Ἀνήρ τίς ἐστι καταλελειμμένος ὑπὸ Φήλικος δέσμιος, περὶ οὗ, γενομένου μου εἰς Ἱεροσόλυμα, ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ' αὐτοῦ δίκην· πρὸς οὓς ἀπεκρίθην ὅτι οὐκ ἔστιν ἔθος Ρωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν, πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους, τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος. Συνελθόντων οὖν αὐτῶν ἐνθάδε, ἀναβολὴν μηδεμίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα· περὶ οὗ σταθέντες οἱ κατήγοροι οὐδεμίαν αἰτίαν ἐπέφερον, ὧν ὑπενόουν ἐγώ· ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς αὐτόν καὶ περί τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ Παῦλος ζῆν. Ἀπορούμενος δὲ ἐγὼ περὶ τὴν τούτου ζήτησιν, ἔλεγον εἰ βούλοιτο πορεύεσθαι εἰς Ἱερουσαλήμ, κἀκεῖ κρίνεσθαι περὶ τούτων. Τοῦ δὲ Παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτόν, ἕως ἂν πέμψω αὐτὸν πρὸς Καίσαρα. Ἀγρίππας δὲ

τὸν τὸν τρόπο· σὰν δηλαδὴ νὰ λέγει τὸ ἑξῆς· "Ἐὰν μὲν ἀδικῶ, σωστά, ἐὰν ὅμως δὲν ἀδικῶ, γιατί μὲ παραδίνεις;». «Κανένας», λέγει, «δὲν μπορεῖ νὰ μὲ παραδώσει σ' αὐτούς». Τὸν ἔκανε νὰ φοβηθεῖ, ὥστε οὔτε ἐὰν ἤθελε αὐτὸς νὰ τοὺς κάνει τὸ χατήρι, ἀλλὰ καὶ πρὸς ἐκείνους νὰ ἔχει σὰν ἀπολογία τὴν ἔφεση. «Τότε ὁ Φῆστος, ἀφοῦ συνομίλησε μὲ τοὺς συμβούλους του, ἀποκρίθηκε· Τὸν Καίσαρα ἔχεις ἐπικαλεσθεῖ, στὸν Καίσαρα θὰ μεταβεῖς».

2. Πρόσεχε, ἀνακοινώνεται τὸ γεγονὸς στὸν Ἀγρίππα, ὥστε καὶ ἄλλοι πάλι νὰ γίνουν ἀκροατές, καὶ ὁ βασιλιάς, καὶ ὁ στρατός, καὶ ἡ Βερνίκη. Ἔπειτα πάλι ἀπολογία. «Ἀφοῦ πέρασαν μερικὲς ἡμέρες ἔφθασαν στὴν Καισάρεια ὁ βασιλιὰς Ἀγρίππας καὶ ἡ Βερνίκη, γιὰ νὰ χαιρετήσουν τὸν Φῆστο. Ἐπειδὴ ὅμως ἔμειναν ἐκεῖ πολλὲς ἡμέρες, ὁ Φῆστος ἀνέφερε στὸ βασιλιὰ τὰ σχετικὰ μὲ τὸν Παῦλο, λέγοντας· Ὑπάρχει κάποιος ἄνδρας ποὺ ἔχει ἀφεθεῖ φυλακισμένος ἀπὸ τὸ Φήλικα, ἐναντίον τοῦ ὁποίου, ὅταν πῆγα στὰ Ἱεροσόλυμα, διατύπωσαν κατηγορίες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, ζητώντας τὴν καταδίκη του. Ἀπαντώντας σ' αὐτοὺς εἶπα, ὅτι δὲν συνηθίζεται ἀπὸ τοὺς Ρωμαίους νὰ παραδίνουν ἕναν ἄνθρωπο σὲ θάνατο, προτοῦ ὁ κατηγορούμενος ἔρθει ἀντιμέτωπος μὲ τοὺς κατηγόρους του, καὶ τοῦ δοθεῖ ἡ εὐκαιρία ν' ἀπολογηθεῖ γιὰ τὴν κατηγορία. Ἀφοῦ αὐτοί, χωρὶς καμία ἀναβολή, ἦρθαν ἐδῶ μαζί μου τὴν ἑπόμενη ἡμέρα καὶ κάθισα στὴ δικαστικὴ ἕδρα, διέταξα νὰ φέρουν τὸν ἄνθρωπο, ἐναντίον τοῦ ὁποίου, ἀφοῦ παρουσιάσθηκε, οἱ κατήγοροι δὲν διατύπωσαν καμία κατηγορία ἀπὸ ἐκεῖνες ποὺ περίμενα ἐγώ, ἀλλ' εἶχαν μαζί του διαφορὲς γιὰ ζητήματα ποὺ ἔχουν σχέση μὲ τὴ δική τους θρησκεία καὶ μὲ κάποιον Ἰησοῦ, ποὺ ἔχει πεθάνει, ἀλλ' ὁ Παῦλος ἔλεγε ὅτι ζεῖ. Μὴ ξέροντας λοιπὸν ἐγὼ πῶς νὰ ἐξετάσω τέτοια ζητήματα, εἶπα ἐὰν ἤθελε νὰ μεταβεῖ στὴν Ἰερουσαλὴμ καὶ ἐκεῖ νὰ δικασθεῖ γι' αὐτά. Ἐπειδὴ ὅμως ὁ Παῦλος ζήτησε ν' ἀφεθεῖ στὴν κρίση τοῦ Σεβαστοῦ, διέταξα νὰ τὸν ἐπιτηροῦν, μέχρι ποὺ νὰ τὸν στείλω

πρὸς τὸν Φῆστον ἔφη· Ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι. Ὁ δέ, αὔριον», φησίν, «ἀκούσῃ αὐτοῦ».

Ὅρα κατηγορίαν Ἰουδαίων πάλιν, οὐ παρὰ τοῦ Παύλου, ἀλλὰ παρὰ τοῦ ἄρχοντος. «Ἐνεφάνισαν», φησίν, «οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ' αὐτοῦ δίκην· πρὸς οὓς ἐγὼ ἀπεκρίθην». Ὅρα καὶ τί ἀποκρίνεται εἰς αἰσχύνην αὐτῶν· ὅτι «οὐκ ἔστιν ἔθος Ρωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν»· τουτέστι, πρὶν ἢ λόγου αὐτῷ μεταδοῦναι ἀδύνατον τὸ χαρίζεσθαι ἁπλῶς. Κατὰ τὸ εἰωθὸς δὲ ποιήσας, οὐχ εὗρεν αἰτίαν· ὅθεν καὶ ἀπορεῖται ἐπὶ τούτῳ· Καὶ δῆλον τοῦτο δι' ὧν ἐπήγαγε, λέγων· «Ἀπορούμενος δὲ ἐγὼ περὶ τὴν τούτου ζήτησιν». Οὕτως εἶπε, συσκιάζων τὸ οἰκεῖον ἁμάρτημα. Καὶ ἐκεῖνος μὲν συσκιάζει, Ἀγρίππας δὲ ἐπιθυμεῖ ἰδεῖν αὐτόν. Ὅρα ἀεὶ τοὺς ἄρχοντας διακρουομένους τὴν ἐπάχθειαν τὴν ἰουδαϊκήν, καὶ παρὰ τὸ δίκαιον ἀναγκαζομένους πολλάκις ποιεῖν, καὶ προφάσεις ἐπιζητοῦντας τῆς ἀναβολῆς· οὐ γὰρ δὴ ἀγνοῶν ἀνεβάλετο, ἀλλ' εἰδώς. Ὁ δὲ Ἀγρίππας οὐ μόνον οὐ διακρούεται, ἀλλὰ καὶ ἀκοῦσαι βούλεται· ὃ καὶ θαυμάσαι ἄξιον, πόθεν εἰς ἐπιθυμίαν κατέστη τοῦ βούλεσθαι ἰδεῖν ἄνθρωπον, εἰ καὶ ἀδίκως, ὅμως κατηγορούμενον. Οὕτως ἦν καὶ τοῦτο οἰκονομίας· διὸ καὶ ἡ γυνὴ αὐτοῦ συνακούει, καὶ τῆς ἀκροάσεως οὐκ ἀπολιμπάνεται. Καὶ οὐδὲ ἁπλῶς ἀκροᾶται, ἀλλὰ μετὰ πολλῆς τῆς τιμῆς. Τοσαύτην ἔσχε τὴν ἐπιθυμίαν· οὐ γὰρ ἄν, εἰ μὴ ἐπεθύμησεν, ἐζήτησεν ἂν ἀκοῦσαι, οὐδ' ἂν καὶ τὴν γυναῖκα κοινωνὸν ἐποιήσατο τῆς ἀκροάσεως, εἰ μὴ μεγάλα περὶ αὐτοῦ ἐφαντάζετο. Ἐ-

στὸν Καίσαρα. Εἶπε τότε ὁ Ἀγρίππας πρὸς τὸν Φῆστο· Θὰ ἤθελα καὶ ἐγὼ ν' ἀκούσω αὐτὸν τὸν ἄνθρωπο. Καὶ αὐτὸς εἶπε· Αὔριο», λέγει, «θὰ τὸν ἀκούσεις».

Πρόσεχε πάλι κατηγορία ἐναντίον τῶν Ἰουδαίων, ὄχι ἀπὸ τὸν Παῦλο, ἀλλὰ ἀπὸ τὸν ἄρχοντα. «Διατύπωσαν», λέγει, «κατηγορίες ἐναντίον του οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, ζητώντας τὴν καταδίκη του, πρὸς τοὺς ὁποίους ἀποκρίθηκα ἐγώ». Πρόσεχε καὶ τί ἀπάντηση δίνει καταντροπιάζοντας αὐτούς· ὅτι δηλαδὴ «Δὲν συνηθίζεται ἀπὸ τοὺς Ρωμαίους νὰ παραδίνουν ἕναν ἄνθρωπο σὲ θάνατο»· δηλαδή, προτοῦ ἀπολογηθεῖ αὐτὸς εἶναι ἀδύνατο νὰ παραδοθεῖ στὰ καλὰ καθούμενα. Ἀφοῦ ἐνέργησε ὅπως συνηθιζόταν, δὲν βρῆκε καμία αἰτία· γι' αὐτὸ καὶ δὲν ξέρει τί νὰ κάνει στὴν περίπτωση αὐτή. Καὶ αὐτὸ γίνεται φανερὸ μὲ ἐκεῖνα πού πρόσθεσε, λέγοντας· «Μὴ ξέροντας πῶς νὰ ἐξετάσω τέτοια ζητήματα». Μίλησε ἔτσι, καλύπτοντας τὸ δικό του σφάλμα. Καὶ ἐκεῖνος βέβαια τὸ καλύπτει, ὁ Ἀγρίππας ὅμως ἐπιθυμεῖ νὰ δεῖ αὐτόν. Πρόσεχε τοὺς ἄρχοντες πού πάντοτε προσπαθοῦν ν' ἀποφύγουν τὴν ἰουδαϊκὴ ἐνόχληση, καὶ πολλὲς φορές ἀναγκάζονται νὰ ἐνεργοῦν ἀντίθετα μὲ τὸ δίκιο, προσπαθώντας νὰ βροῦν δικαιολογίες γιὰ τὴν ἀναβολή· διότι βέβαια ἀνέβαλε τὴ δίκη ὄχι ἀπὸ ἄγνοια, ἀλλὰ γνωρίζοντας πολὺ καλά. Ὁ Ἀγρίππας ὅμως ὄχι μόνο δὲν τὸν ἀποφεύγει, ἀλλὰ καὶ θέλει νὰ τὸν ἀκούσει, πράγμα πού εἶναι ἄξιο ἀπορίας, ἀπὸ ποῦ δηλαδὴ ὁδηγήθηκε στὴν ἐπιθυμία νὰ θέλει νὰ δεῖ ἄνθρωπο, πού, ἂν καὶ ἄδικα, ἦταν ὅμως κατηγορούμενος. Ἄρα καὶ αὐτὸ ἦταν ἔργο τῆς πρόνοιας τοῦ Θεοῦ· γι' αὐτὸ καὶ ἡ γυναίκα του τὸν ἀκούει μαζί του, καὶ δὲν ἀπουσιάζει ἀπὸ τὴν ἀκρόαση. Καὶ ὄχι ἁπλῶς τὸν ἀκούει, ἀλλὰ καὶ δείχνοντας μεγάλη ἐκτίμηση πρὸς αὐτόν. Τόσο μεγάλη ἦταν ἡ ἐπιθυμία του· διότι, ἐὰν δὲν τὸ ἐπιθυμοῦσε πολύ, δὲν θὰ ζητοῦσε νὰ τὸν ἀκούσει, οὔτε θὰ ἔπαιρνε μαζί του στὴν ἀκρόαση καὶ τὴ γυναίκα του, ἐὰν δὲν εἶχε μεγάλη γνώμη γι' αὐτόν. Ἐμένα μοῦ φαίνεται ὅτι καὶ ἐκείνη τὸ ἐπιθυμοῦσε αὐτό.

μοὶ δὲ δοκεῖ κἀκείνην τοῦτο ποθῆσαι. Καὶ ὅρα τὸν Παῦλον εὐθέως οὐ περὶ πίστεως μόνον οὐδὲ περὶ ἀφέσεως ἁμαρτημάτων, ἀλλὰ καὶ περὶ τῶν πρακτέων διαλεγόμενον. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

«Τὸ νῦν ἔχον», φησί, «πορεύου· καιρὸν δὲ λαβών, μετακαλέσομαί σε». Ὅρα τὴν πώρωσιν· τοιαῦτα ἀκούων, χρήματα προσεδόκα λήψεσθαι παρ' αὐτοῦ. Καὶ οὐ τοῦτο μόνον δεινόν, ἀλλὰ καὶ διαλεχθεὶς οὐκ ἀφῆκεν αὐτόν, ἀλλά, ἐπειδὴ πρὸς τῷ τέλει τῆς ἀρχῆς ἦν, κατέλιπεν αὐτὸν δέσμιον, ἵνα χαρίσηται τοὺς Ἰουδαίους· ὥστε οὐ χρημάτων ἤρα μόνον, ἀλλὰ καὶ δόξης. Πῶς χρήματα, μιαρέ, παρὰ ἀνθρώπου, τὸ ἐναντίον κηρύττοντος, ἐπιζητεῖς; Ὅτι δὲ οὐκ ἔλαβε, δῆλον ἐξ ὧν εἴασε δεδεμένον, λύσας ἄν, εἴ περ ἔλαβε. Περὶ ἐγκρατείας οὗτος διελέγετο, ἐκεῖνος δὲ χρήματα προσεδόκα λαβεῖν παρ' αὐτοῦ, ταῦτα διαλεγομένου. Καὶ αἰτῆσαι μὲν οὐκ ἐτόλμα (τοιοῦτον γὰρ ἡ κακία, δειλὸν καὶ πάντα ὑποπτεῦον), ἤλπιζε δέ· ὥστε εἰκότως αὐτοῖς ἐχαρίζετο ἅτε τοσοῦτον ἄρξας ἐκεῖ.

«Φῆστος οὖν, ἐπιβὰς τῇ ἐπαρχίᾳ· ἐνεφάνισαν αὐτῷ ὅ τε ἀρχιερεὺς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ Παύλου», φησίν. Εὐθέως καὶ ἐν ἀρχῇ προσῆλθον οἱ ἱερεῖς, οὐκ ἂν ὀκνήσαντες καὶ εἰς Καισάρειαν ἐλθεῖν, εἰ μὴ ἔφθη ἀνελθών, ὅπου γε εὐθέως ἐπιβάντι προσέρχονται. «Καὶ καταβὰς ἐν Καισαρείᾳ διατρίβει δέκα ἡμέρας». Τάχα, δοκῶ, ὥστε ἐγγενέσθαι τοῖς βουλομένοις αὐτὸν διαφθεῖραι. Παῦλος δὲ ἦν ἐν τῷ δεσμωτηρίῳ. «Καὶ παρεκάλουν αὐτόν», φησίν, «ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἰερουσαλήμ». Καὶ διὰ τί χάριν ᾔτησαν, εἰ δίκαιός ἐστιν ἀποθανεῖν; Ἀλ-

Καὶ πρόσεχε τὸν Παῦλο ποὺ ὁμιλεῖ ἀμέσως ὄχι μόνο γιὰ τὴν πίστη, οὔτε γιὰ συγχώρηση ἁμαρτημάτων, ἀλλὰ καὶ γιὰ ἐκεῖνα ποὺ πρέπει νὰ πράττει κανείς. Ἀλλὰ ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα λέχθηκαν.

«Πρὸς τὸ παρὸν πήγαινε», λέγει· «ὅταν θὰ ἔχω καιρὸ θὰ σὲ καλέσω καὶ πάλι». Πρόσεχε τὴν πώρωση· ἐνῶ ἀκούει τέτοια, περίμενε νὰ πάρει χρήματα ἀπ' αὐτόν. Καὶ δὲν εἶναι αὐτὸ μόνο τὸ φοβερό, ἀλλὰ καί, μολονότι συνομίλησε μαζί του, δὲν τὸν ἄφησε ἐλεύθερο, ἀλλά, ἐπειδὴ βρισκόταν πρὸς τὸ τέλος τῆς ἐξουσίας του, τὸν ἄφησε φυλακισμένο, γιὰ νὰ κάνει τὸ χατήρι τῶν Ἰουδαίων. Ἑπομένως δὲν ἀγαποῦσε μόνο τὰ χρήματα, ἀλλὰ καὶ τὴ δόξα. Πῶς, μιαρέ, ζητᾶς χρήματα ἀπὸ ἄνθρωπο ποὺ κηρύττει ἀντίθετα πράγματα; Τὸ ὅτι δὲν ἔλαβε χρήματα, γίνεται φανερὸ ἀπὸ τὸ ὅτι τὸν ἄφησε φυλακισμένο, ἐνῶ θὰ τὸν ἐλευθέρωνε, ἐὰν εἶχε λάβει. Γιὰ ἐγκράτεια ὁ Παῦλος μιλοῦσε, ἐνῶ ἐκεῖνος περίμενε νὰ λάβει χρήματα ἀπ' αὐτόν, ἂν καὶ αὐτὸς μιλοῦσε γιὰ τέτοια πράγματα. Καὶ νὰ ζητήσει βέβαια νὰ τοῦ δώσει χρήματα δὲν τολμοῦσε (διότι τέτοιο πράγμα εἶναι ἡ κακία, εἶναι δειλὴ καὶ ὅλα τὰ ὑποπτεύεται), ἔλπιζε ὅμως νὰ λάβει· ἑπομένως πολὺ σωστὰ ἔκαμνε τὸ χατήρι αὐτῶν, ἐπειδὴ τόσο χρόνο ἄσκησε ἐκεῖ τὴν ἐξουσία.

«Ἀφοῦ ὁ Φῆστος ἦρθε στὴν ἐπαρχία διετύπωσαν», λέγει, «οἱ ἀρχιερέας καὶ οἱ πρόκριτοι τῶν Ἰουδαίων κατηγορίες ἐναντίον τοῦ Παύλου». Ἀμέσως καὶ στὴν ἀρχὴ ἦρθαν οἱ ἱερεῖς, καὶ δὲν θὰ δίσταζαν καὶ στὴν Καισάρεια νὰ ρθοῦν, ἐὰν δὲν προλάβαινε ν' ἀνεβεῖ ἐκεῖνος πρῶτος, τὴ στιγμὴ βέβαια ποὺ ἀμέσως ἔρχονται πρὸς αὐτὸν ὅταν ἀνέβηκε στὴν Ἰερουσαλήμ. «Καὶ ἀφοῦ ἀνέβηκε ἀπὸ τὴν Καισάρεια στὴν Ἰερουσαλὴμ παραμένει ἐκεῖ δέκα ἡμέρες». Κατὰ τὴ γνώμη μου ἀνεβαίνει ἀμέσως ἐκεῖ, γιὰ νὰ βρεθεῖ ἀνάμεσα σ' ἐκείνους ποὺ θέλουν νὰ τὸν φονεύσουν. Ὁ Παῦλος βέβαια βρισκόταν στὴ φυλακή. «Καὶ τὸν παρακαλοῦσαν», λέγει, «νὰ στείλει ἀνθρώπους καὶ νὰ τὸν φέρει στὴν Ἰερουσαλήμ». Καὶ γιατί ζήτησαν χάρη, ἐὰν

λ' οὕτω κἀκείνῳ δήλη ἐγένετο ἡ ἐπιβουλή, ὡς διαλεγόμενον εἰπεῖν· «"Ανδρες οἱ συμπαρόντες, θεωρεῖτε τοῦτον, περὶ οὗ τὸ πλῆθος ἐνέτυχόν μοι τῶν 'Ιουδαίων»· διὰ γὰρ τοῦ «ἐνέτυχον» τὸ 'αἰτούμενοι κατ' αὐτοῦ χάριν' δηλοῖ. "Ωστε ἤδη ἐβούλοντο αὐτὸν εἰς ἀπόφασιν ἐξενεγκεῖν, φοβούμενοι τὴν Παύλου γλῶτταν. Τί φοβεῖσθε; τί ἐπείγετε; (Τοῦτο γὰρ ἐμφαίνει τὸ «φυλάττεσθαι αὐτόν»). Μὴ γὰρ φεύγει; «Οἱ οὖν ἐν ὑμῖν», φησί, «δυνατοὶ κατηγορείτωσαν αὐτοῦ». Πάλιν κατήγοροι ἐν Καισαρείᾳ, καὶ πάλιν ἐξάγεται Παῦλος.

3. «Τῇ δὲ ἐπαύριον καθίσας», φησίν, «ἐπὶ τοῦ βήματος». "Ορα, εὐθέως ἐλθὼν ἐκάθισεν ἐπὶ τοῦ βήματος· οὕτως αὐτὸν ὤθουν μετὰ τοσαύτης σπουδῆς, οὕτως ἐπείγουσιν. "Εως μὲν οὖν οὐδέπω πεῖραν ἦν λαβὼν τῶν 'Ιουδαίων, καὶ τῆς τιμῆς τῆς παρ' αὐτῶν, ὀρθῶς ἀπεκρίνατο, ἐπειδὴ δὲ ἐγένετο ἐν τοῖς 'Ιεροσολύμοις, καὶ οὗτος χαρίζεται αὐτοῖς· οὐχ ἁπλῶς δὲ χαρίζεται, ἀλλὰ μετὰ ἀπάτης τοῦτο ποιεῖ· καὶ ὅπως, ἄκουε· ἐπάγει γάρ· «Θέλεις, εἰς 'Ιεροσόλυμα ἀναβάς, ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ' ἐμοῦ;». 'Ωσεὶ ἔλεγεν· 'Οὐχὶ αὐτοῖς δίδωμί σε, ἀλλ' αὐτὸς κριτὴς ἔσομαι'. Τοῦτο δὲ λέγει, καὶ αὐτὸν ποιεῖ κύριον, ἵνα τῇ τιμῇ αὐτὸν χαλάσῃ· ἐπειδή, εἰ ἦν ἀπόφασις, καὶ πάνυ ἀναίσχυντον ἐδόκει, μηδὲν ἐνταῦθα ἐλεγχθέντα, ἐκεῖ θέλειν ἀπάγειν. 'Ο δὲ Παῦλος οὐκ εἶπεν, 'Οὐ βούλομαι', μή ποτε καὶ σφοδρότερον ποιήσῃ τὸν δικαστήν, ἀλλὰ πάλιν παρρησιάζεται, καί φησιν· «'Επὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι». Μεγάλη ἡ παρρησία. Καὶ ὅρα πῶς αὐτοὺς συλλογίζεται· μονονουχὶ γὰρ τοῦτο λέγει δι' ὧν ἀπολογεῖται· «'Εξέβαλόν με ἅπαξ αὐτοί, καὶ τοῦ-

2. Πράξ. 25, 24

ἦταν δίκιο νὰ πεθάνει; Ἀλλ' ἔτσι καὶ σ' ἐκεῖνον ἔγινε φανερὴ ἡ ἐπιβουλή, ὥστε μιλώντας γι' αὐτὸν νὰ πεῖ' «Ἄνδρες ποὺ εἶστε παρόντες ἐδῶ, βλέπετε αὐτόν, γιὰ τὸν ὁποῖο παρουσιάσθηκε σ' ἐμένα ὅλος ὁ ἰουδαϊκὸς λαός»[1]. διότι μὲ τὸ «ἐνέτυχον» δηλώνει ὅτι 'Ζητοῦσαν χάρη ἐναντίον του'. Ὥστε ἤθελαν ἀπὸ τὴν πρώτη στιγμὴ αὐτὸς νὰ ἐκδώσει ἀπόφαση, ἐπειδὴ φοβοῦνταν τὴ γλώσσα τοῦ Παύλου. Γιατί φοβᾶσθε; γιατί βιάζεσθε; (Διότι αὐτὸ φανερώνει τὸ «φυλάσσεται αὐτός»). Διότι μήπως μπορεῖ νὰ φύγει; «Οἱ πρόκριτοι λοιπόν», λέγει, «ἀναμεταξύ σας ἂς τὸν κατηγορήσουν». Πάλι κατήγοροι ἔρχονται στὴν Καισάρεια, καὶ πάλι βγαίνει ὁ Παῦλος ἀπὸ τὴ φυλακή.

3. «Τὴν ἄλλη ἡμέρα», λέγει, «ἀφοῦ κάθισε στὴ δικαστικὴ ἕδρα». Πρόσεχε, ἀμέσως, μόλις ἦρθε, κάθισε στὴ δικαστικὴ ἕδρα· μὲ τόση μεγάλη βιασύνη καταπίεζαν αὐτόν, τόσο πολὺ τὸν ἐξανάγκαζαν. Μέχρι τὴ στιγμὴ λοιπὸν ποὺ δὲν γνώρισε ἀκόμη τοὺς Ἰουδαίους καὶ δὲν ἔλαβε τὴν ἐκ μέρους τους τιμή, ὀρθὰ ἀποκρινόταν γι' αὐτόν, ἀπὸ τὴ στιγμὴ ὅμως ποὺ πῆγε στὰ Ἱεροσόλυμα καὶ αὐτὸς κάμνει χάρη σ' αὐτούς· καὶ ἄκου πῶς· διότι προσθέτει· «Θέλεις, ἀφοῦ ἀνεβεῖς στὰ Ἱεροσόλυμα, νὰ δικασθεῖς ἐκεῖ ἐνώπιόν μου γι' αὐτά;». Εἶναι σὰν νὰ ἔλεγε· 'Δὲν σὲ παραδίνω σ' αὐτούς, ἀλλὰ θὰ εἶμαι ὁ ἴδιος δικαστής'. Αὐτὸ τὸ λέγει καὶ δίνει σ' αὐτὸν τὴ δυνατότητα νὰ διαλέξει, ὥστε μὲ τὴν τιμὴ ποὺ τοῦ κάνει νὰ τὸν φονεύσει· ἐπειδή, ἂν παίρνονταν ἀπόφαση ἀπ' αὐτὸν νὰ μεταβεῖ ἐκεῖ θὰ φαινόταν αὐτὴ πολὺ ἀδιάντροπη, ἐφόσον θὰ ἤθελε νὰ τὸν ὁδηγήσει ἐκεῖ, χωρὶς καθόλου νὰ τὸν ἀνακρίνει ἐδῶ. Ὁ Παῦλος ὅμως δὲν εἶπε, 'Δὲν θέλω', μὴ τυχὸν κάνει πιὸ σκληρὸ τὸ δικαστή, ἀλλὰ δείχνει καὶ πάλι τὸ θάρρος του καὶ λέγει· «Βρίσκομαι ἐνώπιον τοῦ δικαστηρίου τοῦ Καίσαρα, ὅπου πρέπει νὰ δικασθῶ». Μεγάλο τὸ θάρρος του. Καὶ πρόσεχε πῶς διατυπώνει τὶς σκέψεις του γι' αὐτούς· διότι μ' αὐτὰ ποὺ ἀπολογεῖται εἶναι σὰν νὰ λέγει τὸ ἑξῆς· 'Μὲ καταδίωξαν αὐτοὶ μία φορά, καὶ

το νομίζουσι κατακρίνειν τῷ δεικνύειν ὅτι εἰς Καίσαρα ἥμαρτον· ἐπ' αὐτοῦ βούλομαι κριθῆναι τοῦ ἠδικημένου'. Οὕτως εἰπών, ἐπάγει· «'Ιουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις». Καθήψατο αὐτοῦ λοιπόν, ὡς καὶ χαριζομένου.

Εἶτα, ἐπεὶ καθήψατο, πάλιν ἐκλύει τὸν λόγον, ἐπάγων· «Εἰ μὲν οὖν ἀδικῶ, ἢ ἄξιόν τι θανάτου πέπραχα, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν». Κατ' ἐμαυτοῦ τὴν ψῆφον ἐκφέρω, φησί. Τοῦτο οὐ θανατῶντος, ἀλλὰ σφόδρα θαρροῦντός ἐστιν, οἷς ἐλάλει· μετὰ γὰρ τῆς παρρησίας καὶ τὴν δικαιολογίαν εἶναι δεῖ, ὥστε ἐντρέψαι. «Εἰ δὲ οὐδέν ἐστιν, ὧν κατηγοροῦσί μου, οὐδείς με δύναται χαρίσασθαι». Κἂν θέλῃ, φησίν, οὐ δυνήσεται. Οὐκ εἶπεν, 'Οὐκ ἄξιός εἰμι ἀποθανεῖν', οὐδὲ 'ἀπολυθῆναι', ἀλλ' «ἕτοιμος κρίνεσθαι ἐπὶ Καίσαρος'· ἅμα καὶ τοῦ ὀνείρατος μνησθείς, μᾶλλον ἐθάρρησεν ἐπικαλέσασθαι. Καὶ οὐκ εἶπε, 'Σύ', ἀλλ' «οὐδείς», καὶ προσέθηκε, «Καίσαρα ἐπικαλοῦμαι». ὥστε μὴ εἶναι εἰς ἐκεῖνον τὴν ὕβριν. «Τότε ὁ Φῆστος, συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη· Καίσαρα ἐπικέκλησαι· ἐπὶ Καίσαρα πορεύσῃ». Εἶδες πῶς χαρίζεται; Τοῦτο γὰρ χάρις ἐστί, τὸ συλλαλεῖν μετὰ τῶν κατηγόρων, ὃ διεφθαρμένης γνώμης ἐστί, καὶ συγχεούσης τὴν τάξιν. Ὅρα πάλιν ἐκτεινομένην αὐτοῦ τὴν δίκην, καὶ τὴν ἐπιβουλὴν ἀφορμὴν τοῦ κηρύγματος γινομένην· ταῦτα γὰρ οἰκονομεῖται, ὥστε μετὰ εὐκολίας καὶ φυλακῆς ἀπενεχθῆναι αὐτὸν εἰς τὰ 'Ιεροσόλυμα ὑπὸ μηδενὸς ἐπιβουλευόμενον· οὐ γὰρ ἦν ἴσον ἁπλῶς παραγενέσθαι, καὶ ἐπὶ αἰτίᾳ τοιαύτῃ. Τοῦτο καὶ συνελθεῖν ἐποίησεν 'Ιουδαίους ἐκεῖ. Εἶτα πάλιν χρόνος γίνεται, ἐνδιατρίβοντος αὐτοῦ τοῖς

νομίζουν ὅτι αὐτὸ μὲ καταδικάζει, τὸ νὰ ὑποστηρίζουν ὅτι διέπραξα ἀδίκημα ἀπέναντι στὸν Καίσαρα· ἐνώπιον αὐτοῦ, ποὺ ἔχει ἀδικηθεῖ, θέλω νὰ δικασθῶ'. Ἀφοῦ εἶπε αὐτά, προσθέτει· «Τοὺς Ἰουδαίους σὲ τίποτε δὲν τοὺς ἀδίκησα, ὅπως σὺ τὸ γνωρίζεις πολὺ καλύτερα». Τὸν κατηγόρησε πλέον μ' αὐτό, ἐπειδὴ κάμνει χάρη σ' αὐτούς.

Ἔπειτα, ἐπειδὴ τὸν κατηγόρησε, πάλι μαλακώνει τὸ λόγο, προσθέτοντας· «Ἐὰν ἔχω ἄδικο ἢ ἔκανα κάτι ποὺ εἶναι ἄξιο θανάτου, δὲν ζητῶ ν' ἀποφύγω τὸ θάνατο». Ἐναντίον τοῦ ἑαυτοῦ μου, λέγει, ψηφίζω. Τὰ λόγια αὐτὰ ποὺ λέγει δὲν εἶναι λόγια ἀνθρώπου ποὺ θέλει νὰ πεθάνει, ἀλλὰ λόγια ἀνθρώπου πάρα πολὺ θαρραλέου· διότι μαζὶ μὲ τὸ θάρρος πρέπει νὰ ὑπάρχει καὶ ἡ δικαιολογία, ὥστε νὰ τοῦ ἀλλάξει τὴν ἀπόφαση. «Ἐὰν ὅμως δὲν στέκει καμία κατηγορία ἀπὸ ἐκεῖνα ποὺ μοῦ ἀποδίδουν, κανένας δὲν μπορεῖ νὰ μὲ παραδώσει σ' αὐτούς». Καὶ ἂν ἀκόμη θέλει, λέγει, δὲν θὰ μπορέσει. Δὲν εἶπε, 'Δὲν πρέπει νὰ πεθάνω', οὔτε 'ν' ἀπολυθῶ', ἀλλ' 'εἶμαι ἕτοιμος νὰ δικασθῶ ἐνώπιον τοῦ Καίσαρα'· συγχρόνως, ἐπειδὴ θυμήθηκε καὶ τὸ ὄνειρο, πῆρε περισσότερο θάρρος γιὰ νὰ ἐπικαλεσθεῖ τὸν Καίσαρα. Καὶ δὲν εἶπε, 'Σύ', ἀλλὰ «κανένας», καὶ πρόσθεσε, «Ἐπικαλοῦμαι τὸν Καίσαρα», ὥστε νὰ μὴ τὸν προσβάλει. «Τότε ὁ Φῆστος, ἀφοῦ συνομίλησε μὲ τοὺς συμβούλους του, ἀποκρίθηκε· Τὸν Καίσαρα ἔχεις ἐπικαλεσθεῖ, στὸν Καίσαρα θὰ μεταβεῖς». Εἶδες πῶς τοὺς κάμνει τὴ χάρη; Διότι αὐτὸ σημαίνει χάρη, τὸ νὰ συνομιλεῖ κανεὶς μὲ τοὺς κατηγόρους, πράγμα ποὺ εἶναι γνώρισμα διεφθαρμένης γνώμης, ποὺ διαταράσσει τὴν τάξη. Πρόσεχε πάλι ποὺ παρατείνεται ἡ δίκη του καὶ ἡ ἐπιβουλὴ ἐναντίον του γίνεται ἀφορμὴ γιὰ τὸ κήρυγμα· διότι, αὐτὰ ρυθμίζονται ἔτσι ἀπὸ τὴν πρόνοια τοῦ Θεοῦ, ὥστε αὐτὸς νὰ ὁδηγηθεῖ μὲ εὐκολία καὶ φρουρὰ στὰ Ἱεροσόλυμα χωρὶς νὰ ἐπιβουλεύεται ἀπὸ κανένα· διότι δὲν ἦταν τὸ ἴδιο τὸ νὰ μεταβεῖ ἐκεῖ χωρὶς καμία αἰτία, καὶ τὸ νὰ μεταβεῖ μὲ μία τέτοια αἰτία. Αὐτὸ ἔκανε τοὺς Ἰουδαίους νὰ συγκεντρωθοῦν ἐκεῖ. Ἔπειτα πάλι παραμένοντας

'Ιεροσολύμοις, ἵνα μάθῃς ὅτι, καὶ χρόνου γενομένου, οὐδὲν τὰ τῆς ἐπιβουλῆς αὐτῷ ἰσχύει, τοῦ Θεοῦ μὴ συγχωροῦντος.

«'Αγρίππας δὲ οὗτος ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν». Οὗτος ὁ 'Αγρίππας ὁ καὶ 'Ηρώδης, ἕτερός μοι δοκεῖ, ὡς εἶναι τέταρτον τοῦτον μετ' ἐκεῖνον τὸν ἐπὶ 'Ιακώβου). Ὅρα τοὺς ἐχθροὺς συμπράττοντας ἄκοντας. Ὥστε δὲ μέγα γενέσθαι τὸ ἀκροατήριον, εἰς ἐπιθυμίαν ἐνέπεσεν ὁ 'Αγρίππας τῆς ἀκροάσεως· καὶ οὐχ ἁπλῶς ἀκούει, ἀλλὰ μετὰ παρασκευῆς. Καὶ ἴδε τὴν ἀπολογίαν, ἣν ὁ ἄρχων φησί· «Καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν Σεβαστόν, ἔκρινα πέμπειν αὐτόν, περὶ οὗ ἀσφαλές τι τῷ κυρίῳ γράψαι οὐκ ἔχω. Οὕτω γράφει ὁ Φῆστος, καὶ ἐκπομπεύεται ἡ ὠμότης ἡ ἰουδαϊκή· ὅταν γὰρ ταῦτα ὁ ἄρχων λέγῃ, ἀνύποπτός ἐστι. Διὰ τοῦτο δὲ λέγει, ὥστε καὶ παρ' αὐτοῦ καταγνωσθῆναι τοὺς 'Ιουδαίους· μετὰ δὲ τὸ πάντας αὐτῶν καταψηφίσασθαι, τότε ἐπάγει τὴν κόλασιν ὁ Θεός. Σκόπει δέ· κατέγνω Λυσίας, κατέγνω Φῆλιξ, κατέγνω Φῆστος καὶ οἱ χαριζόμενοι αὐτοῖς, κατέγνω 'Αγρίππας. Τί λοιπόν; Κατέγνωσαν αὐτῶν καὶ οἱ Φαρισαῖοι. Καὶ ὅτι κατέγνω, ἄκουε αὐτοῦ λέγοντος· «Οὐδεμίαν αἰτίαν ἐπέφερον, ὧν ὑπενόουν ἐγώ». Καὶ μὴν ἤνεγκαν, ἀλλ' οὐκ ἤλεγξαν· ἡ μὲν γὰρ ἐπιβουλὴ καὶ τὸ τόλμημα τοῦτο ὑποπτεύειν ἐδίδου, ἡ δὲ ἐξέτασις οὐδὲν τοιοῦτον.

«Καὶ περί τινος», φησίν, ''Ιησοῦ τεθνηκότος». Εἰκότως «περί τινος» λέγει, ἅτε ἄνθρωπος ἐν ἀρχῇ ὤν, καὶ τούτων οὐ φροντίζων. 'Από ταύτης τῆς αἰτίας καὶ τὸ «ἀπορούμενος ἐγώ», εἶπεν, «εἰς τὴν περὶ

------

3. Πράξ. 25. 25 - 26

αὐτὸς στὰ Ἱεροσόλυμα, περνᾶ ἀρκετὸς χρόνος, γιὰ νὰ μάθεις, ὅτι, ἂν καὶ περνᾶ τόσος χρόνος, τίποτε δὲν κατορθώνουν νὰ ἐπιτύχουν οἱ ἐπιβουλὲς τους, ἐφόσον ὁ Θεὸς δὲν τὸ ἐπιτρέπει.

«Ὁ βασιλιὰς Ἀγρίππας καὶ ἡ Βερνίκη ἔφθασαν στὴν Καισάρεια». (Αὐτὸς ὁ Ἀγρίππας, ποὺ ὀνομαζόταν καὶ Ἡρώδης, μοῦ φαίνεται ὅτι εἶναι ἄλλος, ὅτι εἶναι ὁ τέταρτος μετὰ ἀπὸ ἐκεῖνον ποὺ ἔζησε στὰ χρόνια τοῦ Ἰακώβου). Πρόσεχε τοὺς ἐχθροὺς ποὺ συνεργάζονται χωρὶς νὰ τὸ θέλουν. Μὲ σκοπὸ νὰ γίνει μεγάλο τὸ ἀκροατήριο, κυριεύθηκε ὁ Ἀγρίππας ἀπὸ τὴν ἐπιθυμία ν' ἀκούσει τὸν Παῦλο, καὶ ὄχι ἁπλῶς τὸν ἀκούει, ἀλλὰ καὶ μὲ μεγάλη προετοιμασία. Καὶ πρόσεξε τὴν ἀπολογία ποὺ διατυπώνει ὁ ἄρχοντας· «Καὶ ἐπειδὴ αὐτὸς ὁ ἴδιος ἐπικαλέσθηκε τὸν Σεβαστό, ἀποφάσισα νὰ τὸν στείλω, γιὰ τὸν ὁποῖο ὅμως δὲν ἔχω τίποτε τὸ σίγουρο νὰ γράψω στὸν κύριό μου»[3]. Αὐτὰ γράφει ὁ Φῆστος καὶ ἀποκαλύπτεται ἡ ἰουδαϊκὴ ἀπανθρωπιά· διότι, ὅταν ὁ ἄρχοντας λέγει αὐτά, εἶναι πέρα ἀπὸ κάθε ὑποψία. Καὶ γι' αὐτὸ τὰ λέγει, ὥστε καὶ ἀπ' αὐτὸν νὰ καταδικασθοῦν οἱ Ἰουδαῖοι· καὶ μετὰ ἀπὸ τὴν καταδίκη αὐτῶν ἀπὸ ὅλους, τότε ὁ Θεὸς προσθέτει τὴν τιμωρία. Καὶ πρόσεχε· Τοὺς καταδίκασε ὁ Λυσίας, τοὺς καταδίκασε ὁ Φήλικας, τοὺς καταδίκασε ὁ Φῆστος καὶ ἐκεῖνοι ποὺ ἔκαμναν χάρη σ' αὐτούς, τοὺς καταδίκασε καὶ ὁ Ἀγρίππας. Τί λοιπόν; Τοὺς καταδίκασαν καὶ οἱ Φαρισαῖοι. Καὶ ὅτι τοὺς καταδίκασε ὁ Φῆστος, ἄκου αὐτὸν ποὺ λέγει· «Καμία κατηγορία δὲν τοῦ ἀπέδωσαν ἀπὸ ἐκεῖνες ποὺ περίμενα ἐγώ». Καὶ βέβαια διατύπωσαν κατηγορίες ἐναντίον του, ἀλλὰ δὲν ἦταν καταδικαστικές· διότι ἡ ἐπιβουλὴ καὶ ἡ τολμηρή τους αὐτὴ πράξη δημιουργοῦσε αὐτὴν τὴν ὑποψία, ἡ ἐξέταση ὅμως τίποτε παρόμοιο δὲν ἀπέδειξε.

«Καὶ γιὰ κάποιον Ἰησοῦ», λέγει, «ποὺ ἔχει πεθάνει». Πολὺ σωστὰ λέγει «γιὰ κάποιον», διότι ἦταν ἄνθρωπος ποὺ κατεῖχε τὴν ἐξουσία καὶ δὲν ἔδειχνε καμία φροντίδα γι' αὐτά. Ἐξ αἰτίας αὐτοῦ τοῦ πράγματος εἶπε καὶ τό,

τούτων ἐξέτασιν»· καὶ γὰρ ὄντως τοιούτου δικαστοῦ ὑπερέβαινεν ἀκοὰς ἡ τῶν τοιούτων ζήτησις. Καὶ εἰ ἐν ἀπορίᾳ εἶ, τί εἰς Ἰεροσόλυμα ἕλκεις; Διὰ τοῦτο καὶ Παῦλος, οὐκ ἀξιῶν ὑπ' αὐτοῦ κρίνεσθαι, Καίσαρα ἐπικαλεῖται, λέγων· «Ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι»· καὶ γὰρ περὶ τούτου ἐνεκάλουν. Ἀκούεις ἔφεσιν; ἀκούεις ἐπιβουλὴν Ἰουδαίων; ἀκούεις στάσιν;

4. Ταῦτα πάντα τὸν Ἀγρίππαν εἰς ἐπιθυμίαν ἐξήγειρεν ἀκούοντα. Καὶ δίδωσιν ὁ Φῆστος τὴν χάριν, καὶ γίνεται λοιπὸν λαμπρότερος ὁ Παῦλος. Τοιαῦτα, ὅπερ ἔφην, αἱ ἐπιβουλαὶ προεξένησαν. Εἰ μὴ ταῦτα ἦν, οὐδεὶς ἂν τούτων κατηξίωσεν ἀκοῦσαι αὐτοῦ τῶν ἀρχόντων, οὐδεὶς ἂν μετὰ τοσαύτης ἡσυχίας καὶ σιγῆς. Καὶ δοκεῖ μὲν διδάσκειν καὶ ἀπολογεῖσθαι, δημηγορεῖ δὲ μᾶλλον μετὰ πολλῆς τῆς εὐταξίας. Μὴ δὴ χαλεπόν τι πρᾶγμα νομίσωμεν τὰς ἐπιβουλάς. Ἕως ἂν ἑαυτοῖς ἐπιβουλεύωμεν, οὐδεὶς ἡμῖν ἐπιβουλεῦσαι δυνήσεται, μᾶλλον δὲ ἐπιβουλεύουσι μέν, οὐδὲν δὲ βλάπτουσιν, ἀλλὰ καὶ ὠφελοῦσιν ἡμᾶς τὰ μέγιστα· ὥστε ἡμεῖς ἑαυτῶν κύριοι καὶ τοῦ παθεῖν κακῶς καὶ τοῦ μὴ παθεῖν. Ἰδοὺ διαμαρτύρομαι, καὶ μεγάλῃ λέγω τῇ φωνῇ καὶ σάλπιγγος τρανότερον, καί, εἰ ἦν ἐφ' ὑψηλοῦ ἀναβάντα βοῆσαι, οὐκ ἂν παρῃτησάμην, ὅτι τὸν Χριστιανὸν οὐδεὶς ἀνθρώπων τῶν οἰκούντων τὴν γῆν βλάψαι δυνήσεται. Καὶ τί λέγω ἀνθρώπων; Οὐδὲ αὐτὸς ὁ δαίμων, ὁ τύραννος, ὁ διάβολος, ἂν μὴ αὐτὸς ἑαυτὸν ἀδικήσῃ· κἂν ὁτιοῦν τις ἡμᾶς κακὸν ἐργάσασθαι βουληθῇ, μάτην πειράσεται. Ὥσπερ γὰρ ἄγγελον οὐδεὶς ἂν βλάψειεν ἐπὶ γῆς ὄν-

«ἐπειδὴ ἐγὼ δὲν ἤξερα πῶς νὰ ἐξετάσω τέτοια ζητήματα»· διότι πραγματικὰ ἡ ἐξέταση τέτοιων ζητημάτων ξέφευγε ἀπὸ τὴν προσοχὴ καὶ ἱκανότητα τέτοιου δικαστῆ. Καὶ ἐφόσον βρίσκεσαι σὲ ἀπορία, γιατί τὸν σύρεις στὰ Ἱεροσόλυμα; Γι' αὐτὸ καὶ ὁ Παῦλος, μὴ θέλοντας νὰ δικασθεῖ ἀπ' αὐτόν, ἐπικαλεῖται τὸν Καίσαρα, λέγοντας· «Βρίσκομαι ἐνώπιον τοῦ δικαστηρίου τοῦ Καίσαρα, ὅπου πρέπει νὰ δικασθῶ»· Καθόσον γι' αὐτὸ τὸ πράγμα τὸν κατηγοροῦσαν. Ἀκοῦς ἔφεση; ἀκοῦς ἰουδαϊκὴ ἐπιβουλή; ἀκοῦς στάση;

4. Ὅλα αὐτὰ δημιούργησαν στὸν Ἀγρίππα τὴν ἐπιθυμία νὰ τὸν ἀκούσει. Καὶ ὁ Φῆστος ἱκανοποιεῖ τὴν ἐπιθυμία του καὶ γίνεται πλέον λαμπρότερος ὁ Παῦλος. Ὅπως εἶπα, τέτοια πράγματα προξένησαν οἱ ἐπιβουλές. Ἐὰν δὲν συνέβαιναν αὐτά, κανένας ἀπὸ τοὺς ἄρχοντες αὐτοὺς δὲν θὰ ἐπιθυμοῦσε ν' ἀκούσει αὐτόν, κανένας δὲν θὰ τὸν ἄκουε μὲ τόση ἡσυχία καὶ σιωπή. Καὶ φαίνεται βέβαια ὅτι διδάσκει καὶ ἀπολογεῖται, μᾶλλον ὅμως ὁμιλεῖ μὲ μεγάλη κοσμιότητα. Ἂς μὴ νομίσομε λοιπὸν τὶς ἐπιβουλὲς σὰν κάποιο φοβερὸ πράγμα. Ἐφόσον δὲν ἐπιβουλευόμαστε ἐμεῖς οἱ ἴδιοι τὸν ἑαυτό μας, κανένας δὲν θὰ μπορέσει νὰ μᾶς ἐπιβουλευθεῖ, ἢ καλύτερα θὰ μᾶς ἐπιβουλεύονται βέβαια, ὅμως δὲν θὰ μᾶς βλάπτουν καθόλου, ἀλλὰ καὶ θὰ μᾶς ὠφελοῦν πάρα πολύ· ὥστε ἀπὸ μᾶς ἐξαρτᾶται καὶ τὸ νὰ κακοπαθήσομε καὶ τὸ νὰ μὴ κακοπαθήσομε. Νὰ τὸ διακηρύσσω μὲ μεγάλη παρρησία καὶ τὸ φωνάζω μὲ δυνατὴ φωνὴ καὶ πιὸ δυνατὰ ἀπὸ σάλπιγγα, καί, ἂν ἦταν δυνατὸ ν' ἀνεβῶ σὲ ψηλὸ μέρος καὶ νὰ τὸ βροντοφωνάξω, δὲν θ' ἀπέφευγα νὰ τὸ κάνω, ὅτι δηλαδὴ τὸν Χριστιανὸ κανένας ἀπὸ τοὺς ἀνθρώπους ποὺ κατοικοῦν στὴ γῆ δὲν θὰ μπορέσει νὰ τὸν βλάψει. Καὶ γιατί λέγω ἀπὸ τοὺς ἀνθρώπους; Οὔτε ὁ ἴδιος ὁ δαίμονας, ὁ τύραννος, ὁ διάβολος, ἐὰν δὲν ἀδικήσει ὁ ἴδιος τὸν ἑαυτό του· καὶ ἂν ἀκόμη θελήσει κάποιος νὰ μᾶς κάνει ὁποιοδήποτε κακό, ἄδικα θὰ τὸ ἐπιχειρήσει. Διότι, ὅπως ἀκριβῶς κανένας δὲν θὰ μποροῦσε νὰ βλάψει ἄγ-

τα ἄνθρωπον, οὐδὲ οὕτως ἄνθρωπος ἄνθρωπον. Ἀλλ' οὐδὲ αὐτὸς ἕτερον βλάψαι δυνήσεται, ἕως ἂν ᾖ ἀγαθός.

Τί οὖν ἂν τούτου γένοιτο ἴσον, ὅταν μήτε βλαβῆναι δύνηται, μήτε βλάψαι ἕτερον; Τοῦτο γὰρ ἐκείνου οὐκ ἔλαττον, τὸ μὴ βούλεσθαι βλάπτειν ἕτερον. Ἄρα ἄγγελός τίς ἐστι καὶ Θεῷ ὅμοιος· τοιοῦτος γὰρ καὶ ὁ Θεός· ἀλλ' ἐκεῖνος μὲν φύσει, οὗτος δὲ προαιρέσει. Οὔτε οὖν βλαβῆναι δύναται, οὔτε βλάψαι ἕτερον. Τὸ δὲ «οὐ δύναται», μὴ ἀδυναμίας νομίσῃς (τοὐναντίον γὰρ ἀδυναμία), ἀλλὰ τὸ ἀνένδεκτον λέγω· ἡ γὰρ φύσις ἐκείνη οὔτε βλάβης ἐστὶ δεκτική, οὔτε τοῦ ἀδικεῖν ἕτερον· ἐπεὶ καὶ τοῦτο ἑτέρα βλάβη· ἄλλως γὰρ ἑαυτοὺς οὐ βλάπτομεν, ἢ τῷ βλάπτειν ἕτερον, καὶ τὰ μείζονα τῶν ἁμαρτημάτων ἡμῶν ἐκ τῆς εἰς ἡμᾶς ἀδικίας οὕτω γίνεται. Ὥστε καὶ διὰ τοῦτο ὁ Χριστιανὸς οὐ δύναται βλάπτεσθαι, ὅτι οὐδὲ βλάπτειν δύναται. Πῶς δέ, ἑτέρους βλάπτοντες, ἑαυτοὺς βλάπτομεν, φέρε καθ' ἕκαστον τῶν πραγμάτων προχειρισάμενοι τὸν λόγον γυμνάσωμεν τὸ λεγόμενον.

Ἀδικείτω τις, ὑβριζέτω, πλεονεκτείτω· τίνα ἄρα ἔβλαψεν οὕτως; οὐχ ἑαυτὸν πρότερον; Παντί που δῆλον· τῷ μὲν γὰρ εἰς χρήματα ἡ ζημία, αὐτῷ δὲ εἰς ψυχήν· καὶ γὰρ εἰς ἀπώλειαν καὶ εἰς κόλασιν παραδίδοται τοῦ τοιούτου ἡ ψυχή. Πάλιν φθονείτω ἕτερος· τίνα οὖν ὁ τοιοῦτος ἠδίκησεν; οὐχ ἑαυτόν; εἰπέ μοι. Τοιαύτη γὰρ ἡ τῆς ἀδικίας φύσις· τὸν τίκτοντα πρῶτον βλάπτει μυρία, μικρὰ δὲ ἕτερον, μᾶλλον δὲ οὐδὲ μικρὸν βλάπτει, ἀλλὰ καὶ ὠφελεῖ. Ἀλλ' οὐδὲν ἀξιόπιστον εἴρηκα. Ἔστω τοίνυν (μάλιστα γὰρ ἐν τούτοις ἐστὶ τὸ πᾶν) πένης, χρήματα ἔχων ὀλίγα, καὶ τῆς ἀναγ-

γελο πού βρίσκεται στή γῆ σάν ἄνθρωπος, ἔτσι οὔτε ἄνθρωπος ἄνθρωπο. Ἀλλ' οὔτε ὁ ἴδιος εἶναι δυνατό νά βλάψει ἄλλον, ἐνόσω θά εἶναι ἀγαθός.

Τί λοιπόν θά μποροῦσε νά ἐξισωθεῖ μ' αὐτό, ὅταν δέν εἶναι δυνατό οὔτε νά βλαβεῖ, οὔτε νά βλάψει ἄλλον; Διότι αὐτό δέν εἶναι κατώτερο ἀπό ἐκεῖνο, τό νά μή θέλει νά βλάπτει ἄλλον. Ἐπομένως αὐτός εἶναι ἕνας ἄγγελος καί ὅμοιος μέ τό Θεό· διότι τέτοιος εἶναι καί ὁ Θεός· ἀλλ' ἐκεῖνος βέβαια εἶναι τέτοιος ἀπό τή φύση του, ἐνῶ αὐτός μέ τή θέλησή του. Οὔτε λοιπόν νά βλαβεῖ εἶναι δυνατό, οὔτε νά βλάψει ἄλλον. Ἀλλά τό «δέν μπορεῖ», μή τό θεωρήσεις σάν ἀποτέλεσμα ἀδυναμίας (διότι τό ἀντίθετο εἶναι ἀδυναμία), ἀλλ' ἐννοῶ μ' αὐτό τήν ἱκανότητα νά μή δέχεται βλάβη· διότι ἡ φύση ἐκείνη οὔτε βλάβη δέχεται, οὔτε ἀδικεῖ ἄλλον· καθόσον καί αὐτό εἶναι ἄλλη βλάβη· διότι μέ ἄλλο τρόπο δέν βλάπτομε τόν ἑαυτό μας, παρά μέ τό νά βλάπτομε ἄλλον, καί τά μεγαλύτερα ἀπό τά ἁμαρτήματά μας προξενοῦνται μέ τόν τρόπο αὐτό τῆς ἀδικίας πρός τόν ἑαυτό μας. Ἐπομένως καί γι' αὐτό ὁ χριστιανός δέν εἶναι δυνατό νά βλάπτεται, ἐπειδή δέν μπορεῖ οὔτε νά βλάπτει. Πῶς ὅμως, βλάπτοντας ἄλλους, βλάπτομε τόν ἑαυτό μας, ἐμπρός συζητώντος τήν κάθε μία ἀπό τίς περιπτώσεις τῆς ζωῆς, ἄς προσπαθήσομε ν' ἀποδείξομε τό λεγόμενο.

Ἔστω ὅτι κάποιος ἀδικεῖ, ὅτι κακολογεῖ, ὅτι εἶναι πλεονέκτης· ποιόν ἄραγε ἔβλαψε αὐτός; δέν ἔβλαψε πρῶτα τόν ἑαυτό του; Στόν καθένα βέβαια εἶναι φανερό· διότι ἡ ζημιά σ' ἐκεῖνον εἶναι χρηματική, ἐνῶ σ' αὐτόν ψυχική· καθόσον ἡ ψυχή αὐτοῦ παραδίνεται σέ ἀπώλεια καί τιμωρία. Ἔστω πάλι ὅτι ἕνας ἄλλος φθονεῖ· ποιόν ἀδίκησε αὐτός; Πές μου, δέν ἀδίκησε τόν ἑαυτό του; διότι τέτοια εἶναι ἡ φύση τῆς ἀδικίας· πρῶτα βλάπτει ἀφάνταστα ἐκεῖνον πού προξενεῖ τή βλάβη, ἐλάχιστα δέ τόν ἄλλο, ἤ καλύτερα οὔτε στό ἐλάχιστο τόν βλάπτει, ἀντίθετα μάλιστα τόν ὠφελεῖ. Ἀλλά δέν εἶπα τίποτε τό ἀξιόπιστο. Ἄς ὑποθέσομε λοιπόν ὅτι ὑπάρχει κά-

καίας εὐπορῶν τροφῆς, ἕτερος δὲ πλούσιος καὶ εὔπορος, καὶ πολλὴν ἔχων δύναμιν, καὶ λαμβανέτω τὰ τοῦ πένητος λοιπόν, καὶ γυμνὸν ποιείτω, καὶ παραδιδότω λιμῷ, αὐτὸς δὲ ἐντρυφάτω τοῖς ἐξ ἐκείνου ληφθεῖσιν ἀδίκως· ὁ τοιοῦτος οὐ μόνον οὐδὲν αὐτὸν ἔβλαψεν, ἀλλὰ καὶ ὠφέλησεν, ἑαυτὸν δὲ οὐ μόνον οὐκ ὠφέλησεν, ἀλλὰ καὶ ἔβλαψε. Πῶς; Πρῶτον μὲν ὑπὸ τοῦ συνειδότος μαστιζόμενος τοῦ πονηροῦ, καὶ καθ' ἑκάστην ἡμέραν κεντούμενος, καὶ παρὰ πάντων καταγινωσκόμενος, ἔπειτα ἐν τῷ μέλλοντι κρίματι.

'Αλλ' ὅτι μὲν αὐτὸς βλάπτεται δῆλον ἐντεῦθεν κατέστη, πῶς δὲ ὠφελεῖται ἐκεῖνος εἰπέ. Ὅτι τὸ κακῶς παθεῖν καὶ φέρειν γενναίως, μέγα κέρδος ἔχει· ἔτι γὰρ ἁμαρτημάτων λύσις τὸ παθεῖν κακῶς, ἔστι φιλοσοφίας γυμνάσιον, ἔστιν ἀρετῆς διδασκαλία. Ἴδωμεν οὖν τίς ἐν κακοῖς, οὗτος ἢ ἐκεῖνος· ἐκεῖνος μὲν γάρ, ἂν ᾖ φιλόσοφος, γενναίως οἴσει, οὗτος δὲ καθ' ἑκάστην ἡμέραν ἐν τρόμῳ ἔσται καὶ ὑποψίᾳ· τίς οὖν ἀδικεῖται, οὗτος ἢ ἐκεῖνος; **Μύθους** *λέγεις, φησίν· ὅταν γάρ τις μὴ ἔχῃ φαγεῖν, καὶ ἀναγκάζηται ἀποδύρεσθαι καὶ ἀποδυσπετεῖν, ἢ προσελθὼν ἐπαιτεῖν καὶ μὴ λάβῃ, οὐχὶ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα προσαπολύει;* **Μύθους** *σὺ λέγεις· ἐγὼ γὰρ ἐπιδεικνύω πράγματα.* **Εἰπὲ** *γάρ μοι, οὐδεὶς τῶν πλουτούντων ἀποδυσπετεῖ;* **Τί** *οὖν; μὴ ἡ πενία αἰτία τούτου; 'Αλλὰ οὐ λιμώττει;* **Καὶ** *τί τοῦτο;* **Μείζων** *ἡ δίκη, ὅταν μετὰ πλούτου τοῦτο ποιῇ.* **Οὔτε** *γὰρ πλοῦτος γενναῖον ποιεῖ, οὔτε ἀσθενῆ πενία· ἐπεὶ οὐδεὶς ἂν τῶν ἐν πλούτῳ ζώντων μοχθηρὸν ἔζη βίον, οὐδ' ἂν ἑαυτῷ κατηράσατο οὐδεὶς τῶν ἐν πενίᾳ.*

ποιος φτωχός (διότι σ' αὐτοὺς πρὸ πάντων συμβαίνουν ὅλα αὐτά), ποὺ ἔχει λίγα χρήματα, καὶ ἐξασφαλίζει τὴν ἀναγκαία τροφή, ὑπάρχει δὲ καὶ ἕνας ἄλλος πλούσιος καὶ εὔπορος, καὶ ποὺ ἔχει μεγάλη δύναμη, ὁ ὁποῖος παίρνει τὰ ὑπάρχοντα τοῦ φτωχοῦ, τὸν ἀφήνει γυμνό, καὶ τὸν παραδίνει στὴν πείνα, ἐνῶ αὐτὸς ἀπολαμβάνει τὰ ἀγαθὰ ποὺ πῆρε ἄδικα ἀπὸ ἐκεῖνον· αὐτὸς ὄχι μόνο δὲν ἔβλαψε αὐτόν, ἀλλὰ καὶ τὸν ὠφέλησε, ἐνῶ τὸν ἑαυτό του ὄχι μόνο δὲν τὸν ὠφέλησε, ἀλλὰ καὶ τὸν ἔβλαψε. Πῶς; Κατὰ πρῶτο μὲ τὸ νὰ βασανίζεται ἀπὸ τὴ συνείδησή του καὶ νὰ πληγώνεται καθημερινά, καθὼς καὶ νὰ κατηγορεῖται ἀπὸ ὅλους, ἔπειτα μὲ τὴ μελλοντικὴ καταδίκη.

Ἀλλὰ τὸ ὅτι αὐτὸς βλάπτεται ἔγινε φανερὸ ἀπὸ αὐτό, πὲς ὅμως πῶς ὠφελεῖται ἐκεῖνος. Μὲ τὸ νὰ κακοπαθεῖ καὶ νὰ ὑπομένει γενναῖα τὰ κακοπαθήματα ἔχει μεγάλο κέρδος· διότι τὰ κακοπαθήματα συντελοῦν στὴν ἀπαλλαγὴ ἀπὸ τὰ ἁμαρτήματα, ἀποτελοῦν ἄσκηση εὐσέβειας, εἶναι διδασκαλία ἀρετῆς. Ἂς δοῦμε λοιπὸν ποιὸς κακοπαθεῖ, αὐτὸς ἢ ἐκεῖνος· διότι ἐκεῖνος, ἐὰν ἀντιμετωπίζει μὲ φιλοσοφημένη σκέψη τὰ κακοπαθήματα, θὰ τὰ ὑπομείνει μὲ γενναιότητα, ἐνῶ αὐτὸς καθημερινὰ θὰ ζεῖ μὲ τρόμο καὶ ὑποψία· ποιὸς λοιπὸν ἀδικεῖται, αὐτὸς ἢ ἐκεῖνος; Παραμύθια, λέγει, λές· διότι, ὅταν κανεὶς δὲν ἔχει νὰ φάει καὶ ἀναγκάζεται νὰ θρηνεῖ καὶ νὰ χάνει τὴν ἐμπιστοσύνη του πρὸς τὸ Θεό, ἢ πηγαίνει νὰ ἐπαιτήσει καὶ δὲν παίρνει τίποτε, δὲν χάνει συγχρόνως καὶ τὴν ψυχὴ καὶ τὸ σῶμα του; Σὺ λὲς παραμύθια, ἐνῶ ἐγὼ παρουσιάζω γεγονότα. Διότι πές μου, κανένας ἀπὸ τοὺς πλουσίους δὲν χάνει τὴν ἐμπιστοσύνη του πρὸς τὸ Θεό; Τί λοιπόν; μήπως ἡ φτώχεια εἶναι αἰτία αὐτοῦ; Ἀλλὰ δὲν ὑποφέρει ἀπὸ πείνα; Καὶ τί σημασία ἔχει αὐτό; Εἶναι μεγαλύτερη ἡ τιμωρία, ὅταν αὐτὸ τὸ κάμνει μὲ πλοῦτο. Διότι οὔτε ὁ πλοῦτος τὸν κάμνει γενναῖο, οὔτε ἡ φτώχεια ἀνίσχυρο· διότι κανένας ἀπὸ τοὺς πλουσίους δὲν θὰ ἦταν δυνατὸ νὰ κάνει ζωὴ μοχθηρή, οὔτε καὶ κανένας ἀπὸ τοὺς φτωχοὺς θὰ καταριόταν τὸν ἑαυτό του.

Ὅτι δὲ ὄντως μῦθοι τὰ παρ' ὑμῶν, ἐκεῖθεν ὑμῖν ποιήσω φανερόν. Εἰπέ μοι, ὁ Παῦλος ἐν πενίᾳ ἦν, ἢ ἐν πλούτῳ; ἐλίμωττεν, ἢ οὐχί; Αὐτοῦ ἔστιν ἀκοῦσαι λέγοντος· «Ἐν λιμῷ καὶ δίψει». Οἱ προφῆται ἐλίμωττον, ἢ οὐχί; Κἀκεῖνοι ἀπεδυσπέτουν; Πάλιν Παῦλόν μοι φέρεις, πάλιν τοὺς προφήτας, δέκα καὶ εἴκοσιν ἀνθρώπους. Ἀλλὰ πόθεν βούλει; Ἀπὸ τῶν πολλῶν, φησί, δεῖξόν μοί τινας φέροντας γενναίως. Ἀλλὰ τὸ σπάνιον ἀεὶ τοιοῦτον, καὶ ὀλίγοι οἱ καλοί. Εἰ βούλει δέ, καθ' ἑαυτὸ τὸ πρᾶγμα ἐξετάσωμεν. Ἴδωμεν τίνος ἡ φροντὶς μείζων καὶ δριμυτέρα, καὶ τίνος εὐφορωτέρα. Οὐχ ὁ μὲν ὑπὲρ τῆς ἀναγκαίας μεριμνᾷ τροφῆς, ὁ δὲ ὑπὲρ μυρίων πραγμάτων ταύτης ἀφέμενος; Οὐ δέδοικεν ὑπὲρ λιμοῦ ὁ πλούσιος, ἀλλ' ὑπὲρ ἑτέρων δέδοικε· πολλάκις ὑπὲρ σωτηρίας αὐτῆς. Οὐχ ἔχει τὴν ἀμεριμνίαν τῆς τροφῆς ὁ πένης, ἀλλ' ἔχει τὴν ἑτέραν ἀμεριμνίαν, τὴν ἀσφάλειαν, τὴν ἡσυχίαν, τὴν ἄδειαν.

5. Ἄλλως δέ, εἰ μὴ κακὸν τὸ ἀδικεῖν, ἀλλὰ καλόν, διὰ τί αἰσχυνόμεθα; διὰ τί ἐγκαλυπτόμεθα; διὰ τί ὀνειδιζόμενοι ἀγανακτοῦμεν καὶ δυσχεραίνομεν; Εἰ μὴ καλὸν τὸ ἀδικεῖσθαι, διὰ τί ἐναβρυνόμεθα καὶ ἐγκαλλωπιζόμεθα τῷ πράγματι, καὶ δικαιολογούμεθα ἐν τούτῳ; Θέλεις μαθεῖν πῶς τοῦτο ἐκείνου βέλτιον; Ὅρα τοὺς ἐν τούτῳ, ὅρα τοὺς ἐν ἐκείνῳ. Διὰ τί νόμοι; διὰ τί δικαστήρια; διὰ τί τιμωρίαι; οὐχὶ δι' ἐκείνους, ὡς νοσοῦντας καὶ κάμνοντας; Ἀλλ' ἡ ἡδονὴ πολλή, φησί. Μὴ εἴπωμεν τὰ μέλλοντα· τὰ παρόντα ἐξετάσωμεν. Τί χεῖρον ἀνδρός, τοιαύτην ἔχοντος ὑποψίαν; τί σφαλερώτερον; τί σαθρότερον; οὐκ ἐν ναυαγίῳ διὰ παντός ἐστι; Κἂν δίκαιόν τι πράττῃ,

------

4. Β' Κορ. 11, 27

Τὸ ὅτι πραγματικὰ εἶναι παραμύθια τὰ λεγόμενα ἀπὸ σᾶς, θὰ σᾶς τὸ κάνω φανερὸ ἀπὸ τὰ ἑξῆς. Πές μου, ὁ Παῦλος ζοῦσε μέσα στὴ φτώχεια ἢ μέσα στὸν πλοῦτο; ὑπόφερε ἀπὸ πείνα ἢ ὄχι; Μποροῦμε ν' ἀκούσομε τὰ ὅσα λέγει ὁ ἴδιος· «Μὲ πείνα καὶ δίψα»[4]. Οἱ προφῆτες ὑπόφεραν ἀπὸ πείνα ἢ ὄχι; Καὶ ἐκεῖνοι ἔχαναν τὴν ἐμπιστοσύνη τους πρὸς τὸ Θεό; Πάλι τὸν Παῦλο μοῦ ἀναφέρεις, πάλι τοὺς προφῆτες, δέκα καὶ εἴκοσι ἀνθρώπους. Ἀλλ' ἀπὸ ποῦ θέλεις; Ἀπὸ τοὺς πολλούς, λέγει, δεῖξε μου μερικοὺς ποὺ ὑπομένουν μὲ γενναιότητα τὶς δυσκολίες. Ἀλλὰ τὸ σπάνιο πάντοτε εἶναι τέτοιο, καὶ λίγοι εἶναι οἱ καλοί. Ἐὰν θέλεις ὅμως ἂς ἐξετάσομε τὸ πράγμα αὐτὸ καθ' ἑαυτό. Ἂς δοῦμε ποιοῦ ἡ φροντίδα εἶναι μεγαλύτερη καὶ σκληρότερη, καὶ ποιοῦ ἐλαφρότερη. Δὲν φροντίζει ὁ μὲν ἕνας γιὰ τὴν ἀναγκαία τροφή, ἐνῶ ὁ ἄλλος, ἀδιαφορώντας γι' αὐτήν, φροντίζει γιὰ ἀμέτρητα ἄλλα πράγματα; Δὲν φοβᾶται ὁ πλούσιος γιὰ πείνα, ἀλλὰ φοβᾶται γιὰ ἄλλα πράγματα· πολλὲς φορὲς φοβοῦνται γιὰ τὴν ἴδια τὴ σωτηρία τους. Δὲν ἔχει ὁ φτωχὸς τὴν ἀμεριμνησία τῆς τροφῆς, ἀλλ' ἔχει τὴν ἄλλη ἀμεριμνησία, τὴν ἀσφάλεια, τὴν ἡσυχία, τὴν ἀφοβία.

5. Ἄλλωστε, ἐὰν ἡ ἀδικία δὲν εἶναι κακό, ἀλλὰ καλό, γιατί ντρεπόμαστε; γιατί ἀποφεύγομε τοὺς ἀνθρώπους; γιατί ὅταν μᾶς κατηγοροῦν ἀγανακτοῦμε καὶ δυσαναςχετοῦμε; Ἐὰν τὸ ν' ἀδικούμαστε δὲν εἶναι καλό, γιατί θεωροῦμε τὸ πράγμα καμάρι καὶ καύχημά μας καὶ δικαιολογούμαστε γι' αὐτό; Θέλεις νὰ μάθεις πῶς αὐτὸ εἶναι καλύτερο ἀπὸ ἐκεῖνο; Πρόσεχε αὐτοὺς ποὺ παθαίνουν αὐτό, πρόσεχε ἐκείνους ποὺ κάνουν ἐκεῖνο. Γιατί ὑπάρχουν οἱ νόμοι; γιατί τὰ δικαστήρια; γιατί οἱ τιμωρίες; δὲν ὑπάρχουν γιὰ ἐκείνους, ἐπειδὴ εἶναι σὰν ἀσθενεῖς καὶ ἄρρωστοι; Ἀλλ' εἶναι, λέγει, μεγάλη ἡ εὐχαρίστηση. Ἂς μὴ μιλήσομε γιὰ τὰ μελλοντικά· ἂς ἐξετάσομε τὰ παρόντα. Τί ὑπάρχει χειρότερο ἀπὸ τὸν ἄνθρωπο ἐκεῖνο ποὺ ἔχει τέτοια ὑποψία; τί πιὸ ἐπικίνδυνο; τί πιὸ σαθρό; δὲν βρίσκεται αὐτό, γιὰ πάντα μέσα σὲ ναυάγιο; Καὶ ἂν ἀκό-

οὐ πιστεύεται, ἀπὸ τῆς δυνάμεως καταδικαζόμενος παρὰ πάντων (πάντας γὰρ τοὺς συνοικοῦντας κατηγόρους ἔχει) οὐ φιλίᾳ χρήσασθαι δύναται· οὐδεὶς γὰρ ἂν ἕλοιτο ταχέως τοιαύτην δόξαν ἔχοντος ἀνθρώπου γενέσθαι φίλος, ὥστε μὴ κοινωνῆσαι αὐτῷ τῆς ὑπολήψεως. Καθάπερ θηρίον, οὕτω πάντες ἀποστρέφονται· καθάπερ λυμεῶνα καὶ ἐχθρὸν καὶ ἀνδροφόνον καὶ τῆς φύσεως πολέμιον, τὸν ἄδικον ἄνθρωπον. Ἂν εἰς δικαστήριον ἐμπέσῃ, οὐδὲ κατηγόρου δεῖται ὁ ἠδικηκώς, τῆς δόξης ἀντὶ παντὸς κατηγόρου καταδικαζούσης αὐτόν. Ἀλλ' οὐχ ὁ ἀδικούμενος οὕτως, ἀλλὰ πάντας ἔχει προστάτας, συναλγοῦντας, χεῖρα ὀρέγοντας· ἐπ' ἀσφαλείᾳ ἕστηκεν. Εἰ καλὸν τὸ ἀδικεῖν καὶ ἀσφαλές, ὁμολογείτω τις εἶναι ἄδικος· εἰ δὲ οὐ τολμᾷ, τί δήποτε ὡς ἀγαθὸν μετέρχεται;

Ἴδωμεν δὲ πῶς καὶ ἐν ἡμῖν αὐτοῖς, ἂν γένηται τοῦτο, πόσα γίνεται κακά. Εἰπὲ γάρ μοι, ἄν τι τῶν ἐν ἡμῖν, τὸ οἰκεῖον ὑπερβὰν μέτρον, τοῦ ἑτέρου ἐφίηται, καὶ βουληθῇ ἀφεὶς ὁ σπλὴν τὸν οἰκεῖον τόπον λαβεῖν τὸ ἀλλότριον μετὰ τοῦ οἰκείου, οὐχὶ νόσος τοῦτό ἐστι; Τὸ ὑγρὸν πάλιν τὸ ἐν ἡμῖν, ὁ χυμός, εἰ πάντα πληρώσει, οὐχὶ ὕδερος τοῦτό ἐστι; Μετ' ἐκείνου ἡ χολὴ πάλιν εὐρυχωρίαν ζητείτω, καὶ πανταχοῦ διαχείσθω τὸ αἷμα. Τί δὲ ἐν τῇ ψυχῇ ὁ θυμός, ἡ ἐπιθυμία, καὶ τὰ ἄλλα πάντα, ἐὰν ὑπερβῇ τὸ μέτρον, οὐχὶ ἑαυτὸν συνδιέφθειρεν; Οὕτω καὶ ἡ τροφή· ἐὰν ὑπὲρ ὃ δύναται πέπτεσθαι προσληφθῇ, νόσος τὸ σῶμα περιέβαλε· πόθεν γὰρ αἱ ποδαλγίαι; πόθεν αἱ

μη κάμνει κάτι τὸ δίκαιο, δὲν πιστεύεται, ἀλλὰ καταδικάζεται ἀπὸ ὅλους ἐξ αἰτίας τῆς ἰδιότητάς του (διότι ἔχει κατηγόρους ὅλους τοὺς συνανθρώπους του). Δὲν μπορεῖ νὰ χρησιμοποιήσει τὴ φιλία· διότι κανένας δὲν θὰ δεχόταν ἀμέσως νὰ γίνει φίλος ἑνὸς ἀνθρώπου ποὺ ἔχει τέτοια φήμη, γιὰ νὰ μὴ ἀποκτήσει τὴν ἴδια φήμη μὲ αὐτόν. Ὅπως ἀκριβῶς τὸ θηρίο, ἔτσι ὅλοι τὸν ἀποστρέφονται· ἀποστρέφονται τὸν ἄδικο ἄνθρωπο σὰν ἀκριβῶς καταστροφέα καὶ ἐχθρὸ καὶ φονιὰ καὶ ἐχθρὸ τῆς φύσεως. Ἂν ὁδηγηθεῖ σὲ δικαστήριο, δὲν χρειάζεται, ἐκεῖνος ποὺ ἔχει ἀδικήσει, οὔτε κἂν κατήγορο, διότι ἡ φήμη του τὸν καταδικάζει ἀντὶ ὁποιουδήποτε κατηγόρου. Ὅμως δὲν συμβαίνει τὸ ἴδιο μὲ τὸν ἀδικούμενο, ἀλλ' ἔχει ὅλους ποὺ τὸν ὑπερασπίζονται, ποὺ τοῦ δείχνουν τὴ συμπόνοιά τους, ποὺ τοῦ ἁπλώνουν χέρι βοήθειας· βρίσκεται σὲ μεγάλη ἀσφάλεια. Ἐὰν ἡ ἀδικία εἶναι καλὸ καὶ ἀκίνδυνο πράγμα, ἂς ὁμολογήσει κάποιος ὅτι εἶναι ἄδικος· ἐὰν ὅμως δὲν τολμᾶ, γιατί λοιπὸν τὸ ἐκτελεῖ σὰν καλὸ πράγμα;

Ἀλλ' ἂς δοῦμε πόσα κακὰ προξενοῦνται καὶ σ' ἐμᾶς τοὺς ἴδιους, ὅταν συμβεῖ αὐτό. Διότι πές μου, ἂν κάποιο ἀπὸ τὰ ὄργανά μας, ἀφοῦ ὑπερβεῖ τὸ μέτρο ποὺ ὑπάρχει γι' αὐτό, ἐπεκτείνεται πρὸς ἄλλο, καὶ θελήσει ἡ σπλήνα, ἀφήνοντας τὸ μέρος ποὺ ὑπάρχει γι' αὐτήν, νὰ καταλάβει μαζὶ μὲ τὸ δικό της μέρος καὶ τὸ ἄλλο μέρος, δὲν εἶναι αὐτὸ ἀρρώστια; Ἐπίσης τὸ ὑγρὸ ποὺ ὑπάρχει μέσα μας, δηλαδὴ ὁ χυμός, ἐὰν καταλάβει τὰ πάντα, δὲν προξενεῖται τότε ὑδρωπικία; Τὸ ἴδιο πάλι μαζί μ' ἐκεῖνο θὰ συμβεῖ ἐὰν ἡ χολὴ ἐπιδιώκει ν' ἀποκτήσει εὐρυχωρία καὶ νὰ διασκορπισθεῖ μέσα σ' ὅλο τὸ αἷμα. Τί θὰ συμβεῖ ἐπίσης ἐὰν μέσα στὴν ψυχὴ ὁ θυμός, ἡ ἐπιθυμία καὶ ὅλα τὰ ἄλλα, ὑπερβοῦν τὸ μέτρο; δὲν καταστρέφεται τότε ἡ ψυχή; Κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ τροφή· ἐὰν τὸ στομάχι λάβει περισσότερη ἀπὸ ἐκείνη ποὺ μπορεῖ νὰ χωνέψει, τότε ἔγινε πρόξενος ἀσθένειας στὸ σῶμα. Διότι ἀπὸ ποῦ προέρχονται οἱ πόνοι στὰ πόδια; ἀπὸ ποῦ οἱ παραλύσεις

παρέσεις καὶ ὁ κλόνος τοῦ σώματος; ἆρα οὐκ ἀπὸ τῆς τῶν τροφῶν ἀμετρίας;

Πάλιν ἐν τῷ σώματι ἐὰν πλεῖον βουληθῇ λαβεῖν ὁ ὀφθαλμός, ἢ πλέον ἰδεῖν τοῦ ὡρισμένου θελήσειεν, ἢ μεῖζον ἀναλάβοι φῶς, ἔβλαψε μᾶλλον ἢ ὠφέλησε τὸ ὑπὲρ μέτρον. Εἰ δέ, ἔνθα ἀγαθόν τι τὸ φῶς ἐστιν, ὁ ὀφθαλμός, εἰ πλέον ἰδεῖν θελήσειεν, ἀπόλλυται, ὅταν λαμπρότερον ἴδῃ, ἐννόησον ἐπὶ τοῦ κακοῦ. Ἡ ἀκοὴ ἐὰν μεγάλην δέξηται φωνήν, ἀπόπληκτος ἡ διάνοια γίνεται· ὁ νοῦς, ἐπειδὰν τὰ ὑπὲρ ἑαυτὸν λογίσηται, ἐκπλήττεται, καὶ ὅπερ ἂν πλέον τοῦ δέοντος γένηται παραπόλλυσι· τοῦτο γὰρ πλεονεξία, πλέον ἔχειν τοῦ ὡρισμένου. Οὕτω δὴ καὶ ἐπὶ χρημάτων, ὅταν βουλώμεθα ἐπιτιθέναι φορτία πλείονα, εἰ καὶ μὴ αἰσθανόμεθα, χαλεπὸν ἐν ἑαυτοῖς τρέφομεν τὸ θηρίον· πολλὰ ἔχοντες, πολλῶν δεόμενοι, φροντίσι μυρίαις περιβάλλοντες ἑαυτούς, πολλὰς τῷ διαβόλῳ παρέχοντες λαβάς. Διὰ τοῦτο οὐδὲ χρεία καμάτου ἐπὶ τῶν πλουτούντων τῷ διαβόλῳ· ἕτοιμοι γὰρ αὐτῷ πρὸς καταφορὰν ἀπὸ τοῦ πλούτου μάλιστα γίνονται. Ἀλλ' οὐκ ἐπὶ τῶν πενίᾳ συζώντων, ἀλλὰ πᾶν τὸ ἐναντίον. Οὕτως αὐτὰ καθ' ἑαυτὰ ἀπόλλυσι τὰ πράγματα.

Διὸ παρακαλῶ ἀπέχεσθαι τῆς τούτων ἐπιθυμίας, ἵνα δυνηθῶμεν διαδράναι τὰς τοῦ πονηροῦ παγίδας, καί, ἀρετῆς ἐπιλαβόμενοι, τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καὶ οἱ σπασμοὶ τοῦ σώματος; ἄραγε δὲν προέρχονται ἀπὸ τὴν ἔλλειψη μέτρου στὶς τροφές;

Ἐπίσης στὸ σῶμα ἐὰν ὁ ὀφθαλμὸς θελήσει νὰ καταλάβει περισσότερο μέρος, ἢ νὰ δεῖ περισσότερο ἀπὸ τὸ καθορισμένο, ἢ νὰ δεχθεῖ περισσότερο φῶς, τὸ πέρα ἀπὸ τὸ κανονικὸ ἔβλαψε περισσότερο παρὰ ὠφέλησε. Ἐὰν ὅμως, ἐκεῖ ὅπου τὸ φῶς εἶναι ὠφέλιμο, καταστρέφεται ὁ ὀφθαλμός, ἐὰν θελήσει νὰ δεῖ περισσότερο ἀπὸ τὸ κανονικό, σκέψου πόσο θὰ εἶναι τὸ κακὸ ὅταν δεῖ λαμπρότερο φῶς. Ἡ ἀκοὴ ἐὰν δεχθεῖ μεγάλη φωνή, ὁ νοῦς κυριεύεται ἀπὸ ἀποπληξία· ὁ νοῦς, ὅταν συλλογισθεῖ ἐκεῖνα ποὺ ὑπερβαίνουν τὶς δυνατότητές του, κυριεύεται ἀπὸ κατάπληξη, καὶ ἐκεῖνο ποὺ συμβαίνει πέρα ἀπὸ ἐκεῖνο πού χρειάζεται, προξενεῖ καταστροφή· διότι αὐτὸ εἶναι ἡ πλεονεξία, τὸ νὰ ἔχει δηλαδὴ περισσότερα ἀπὸ τὰ κανονικά. Ἔτσι λοιπὸν καὶ στὴν περίπτωση τῶν χρημάτων· ὅταν θέλομε νὰ προσθέτομε περισσότερα φορτία, ἂν καὶ δὲν τὸ αἰσθανόμαστε, τρέφομε μέσα μας φοβερὸ θηρίο, ἔχοντας πολλά, χρειαζόμαστε πολλούς, περιβάλλομε τὸν ἑαυτό μας μὲ ἀμέτρητες φροντίδες, δίνοντας ἔτσι πολλὲς ἀφορμὲς στὸ διάβολο. Γι' αὐτὸ ὁ διάβολος δὲν χρειάζεται στὴν περίπτωση τῶν πλουσίων νὰ κοπιάσει· διότι ἐξ αἰτίας τοῦ πλούτου τους ἰδίως εἶναι ἕτοιμοι νὰ δεχθοῦν τὴν ἐπίθεσή του. Δὲν συμβαίνει ὅμως τὸ ἴδιο μ' ἐκείνους ποὺ ζοῦν μέσα στὴ φτώχεια, ἀλλ' ἐντελῶς τὸ ἀντίθετο. Ὥστε λοιπὸν αὐτὰ τὰ ἴδια τὰ πράγματα ὁδηγοῦν στὴν καταστροφή.

Γι' αὐτὸ παρακαλῶ ν' ἀποφεύγετε νὰ ἐπιθυμεῖτε αὐτά, γιὰ νὰ μπορέσομε ν' ἀποφύγομε τὶς παγίδες τοῦ πονηροῦ, καί, ἀσκώντας τὴν ἀρετή, νὰ ἐπιτύχομε τὰ αἰώνια ἀγαθά, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη, καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΒ΄
(Πράξ. 25, 23 - 26, 29)

«Τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ Ἀγρίππα καὶ τῆς Βερνίκης μετὰ πολλῆς φαντασίας καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν τε τοῖς χιλιάρχοις καὶ ἀνδράσι τοῖς κατ' ἐξοχὴν οὖσι τῆς πόλεως, καὶ κελεύσαντος τοῦ Φήστου, ἤχθη ὁ Παῦλος».

1. Ὅρα οἷον συλλέγεται ἀκροατήριον τῷ Παύλῳ. «Τοῖς κατ' ἐξοχήν», φησί, «τῆς πόλεως»· τοὺς δορυφόρους γὰρ πάντας συναγαγὼν ὁ ἄρχων καὶ ὁ βασιλεύς, οὕτως ἀπαντῶσι. Σὺν αὐτοῖς δὲ καὶ οἱ χιλίαρχοι καὶ οἱ πρῶτοι τῆς πόλεως παραγεγόνασι· τούτους γὰρ «κατ' ἐξοχὴν» καλεῖ. Εἶτα καὶ Παῦλος ἄγεται· καὶ ὅρα πῶς, αὐτοῦ ἀχθέντος, ἀνακηρύττεται ὑπὸ τοῦ Φήστου· οὐ μόνον γὰρ αὐτὸν ἀφίησι τῶν ἐγκλημάτων, ἀλλὰ καὶ ὑπεραπολογεῖται. Τί λέγων; «Ἀγρίππα βασιλεῦ, καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον, περὶ οὗ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων ἐνέτυχόν μοι ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε, ἐπιβοῶντες μὴ δεῖν ζῆν αὐτὸν μηκέτι. Ἐγὼ δέ, καταλαβόμενος μηδὲν ἄξιον θανάτου αὐτὸν πεπραχέναι, καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν Σεβαστόν, ἔκρινα πέμπειν αὐτόν. Περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω· διὸ προήγαγον αὐτὸν ἐφ' ὑμῶν, καὶ μάλιστα ἐπὶ σοῦ, βασιλεῦ Ἀγρίππα, ὅπως, τῆς ἀνακρίσεως γενομένης, σχῶ τι γράψαι· ἄλογον γάρ μοι δοκεῖ πέμποντα δέσμιον μὴ καὶ τὰς κατ' αὐτοῦ αἰτίας σημᾶναι».

Ο Μ Ι Λ Ι Α ΝΒ΄
(Πράξ. 25, 23 - 26, 29)

«Τὴν ἄλλη ἡμέρα ἦρθε ὁ Ἀγρίππας καὶ ἡ Βερνίκη μὲ πολλοὺς ἀκολούθους καὶ μπῆκαν στὴν αἴθουσα τῶν ἀκροάσεων μαζὶ μὲ τοὺς χιλιάρχους καὶ τὰ ἐξέχοντα πρόσωπα τῆς πόλεως, καὶ ἀφοῦ δόθηκε ἐντολὴ ἀπὸ τὸν Φῆστο, ὁδηγήθηκε ἐκεῖ ὁ Παῦλος».

1. Πρόσεχε ποιὸ ἀκροατήριο συγκεντρώνεται γιὰ τὸν Παῦλο. «Μαζὶ μὲ τὰ ἐξέχοντα πρόσωπα», λέγει «τῆς πόλεως»· τὸν συναντοῦν δηλαδὴ ἀφοῦ ὁ ἄρχοντας καὶ ὁ βασιλιὰς συγκέντρωσε ὅλους τοὺς ἀκολούθους. Μαζὶ μ' αὐτοὺς παραβρίσκονται καὶ οἱ χιλίαρχοι καὶ οἱ προύχοντες τῆς πόλεως· διότι αὐτοὺς ὀνομάζει σὰν «κατ' ἐξοχὴ» πρόσωπα. Ἔπειτα ὁδηγεῖται καὶ ὁ Παῦλος· καὶ πρόσεχε πῶς, ἀφοῦ ὁδηγήθηκε αὐτός, παρουσιάζεται ἀπὸ τὸν Φῆστο· διότι ὄχι μόνο τὸν ἀπαλλάσσει ἀπὸ τὶς κατηγορίες, ἀλλὰ καὶ ἀπολογεῖται ὑπὲρ αὐτοῦ. Τί λέγοντας; «Βασιλιὰ Ἀγρίππα, καὶ ὅλοι οἱ παραβρισκόμενοι ἐδῶ, βλέπετε αὐτόν, γιὰ τὸν ὁποῖο ὅλος ὁ ἰουδαϊκὸς λαὸς παρουσιάσθηκε σ' ἐμένα στὰ Ἱεροσόλυμα καὶ ἐδῶ, φωνάζοντας δυνατὰ ὅτι αὐτὸς δὲν πρέπει πλέον νὰ ζεῖ. Ἐγὼ ὅμως, ἐπειδὴ δὲν βρῆκα νὰ ἔχει κάνει τίποτε ἄξιο θανάτου καὶ ἐπειδὴ αὐτὸς ὁ ἴδιος ἐπικαλέσθηκε τὸν Σεβαστό, ἀποφάσισα νὰ τὸν στείλω σ' αὐτόν. Ὅμως δὲν ἔχω νὰ γράψω τίποτε τὸ συγκεκριμένο στὸν κύριό μου· γι' αὐτὸ τὸν παρουσίασα σὲ σᾶς, καὶ μάλιστα σὲ σένα, βασιλιὰ Ἀγρίππα, γιὰ νὰ μπορέσω νὰ γράψω κάτι πρὸς αὐτόν, ἀφοῦ γίνει ἡ ἀνάκριση. Διότι μοῦ φαίνεται παράλογο νὰ στείλω κάποιον ἀλυσοδεμένο, χωρὶς ν' ἀναφέρω καὶ τὶς κατηγορίες ἐναντίον του».

Σκόπει πῶς ἐκείνων μὲν κατηγορεῖ, τοῦτον δὲ ἀφίησιν. Ὢ τῆς τῶν δικαιωμάτων περιουσίας! ὅπως καταδικάσῃ, οὐχ εὑρίσκει ὁ ἄρχων, μυρίας γενομένης ἐξετάσεως· ἐκεῖνοι δὲ τοῦτον ἄξιον θανάτου ἔφασκον εἶναι. Διὰ τοῦτο καὶ ἔλεγεν· «Ἐγὼ δὲ καταλαβόμενος», φησί, «μηδὲν ἄξιον θανάτου πεπραχέναι αὐτόν»· εἶτα ἐπήγαγε, λέγων· «Περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω». Καὶ τοῦτο τῆς τοῦ Παύλου καθαρότητος, τὸ μηδὲν ἔχειν τὸν δικαστὴν ὅ,τι εἴπῃ περὶ αὐτοῦ. «Διὸ προήγαγον αὐτόν», φησίν, «ἐφ' ὑμῶν· ἄλογον γάρ μοι δοκεῖ εἶναι πέμποντα δέσμιον μὴ καὶ τὰς κατ' αὐτοῦ αἰτίας σημᾶναι». Ὅρα εἰς οἵας ἐνέβαλον οἱ Ἰουδαῖοι τοὺς ἄρχοντας αὐτῶν ἀπορίας μεγάλας. Τί οὖν ὁ Ἀγρίππας; Ἐπὶ τούτοις βουλόμενός τι μαθεῖν, πρὸς τὸν Παῦλον ἔφη· «Ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν». Τῇ πολλῇ περὶ τοῦ ἀκοῦσαι ἐπιθυμίᾳ ἐπιτρέπει αὐτῷ λέγειν ὁ βασιλεύς.

Ὁ δὲ Παῦλος μετὰ παρρησίας φθέγγεται λοιπόν, οὐ κολακεύων, ἀλλὰ διὰ τοῦτο μακάριον ἑαυτὸν φάσκων εἶναι, ἐπειδὴ πρὸς πάντα εἰδότα τὸν λόγον ποιεῖται· καὶ ὅτι διὰ τοῦτο, ἄκουε ἃ δὴ καὶ προτείνεται, λέγων· «Τότε ὁ Παῦλος ἀπελογεῖτο, ἐκτείνας τὴν χεῖρα. Περὶ πάντων, ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ Ἀγρίππα, ἥγημαι ἐμαυτὸν μακάριον, ἐπὶ σοῦ μέλλων ἀπολογεῖσθαι σήμερον, μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ Ἰουδαίους ἐθῶν καὶ ζητημάτων· διὸ δέομαί σου μακροθύμως ἀκοῦσαί μου». Καίτοι γε, εἰ συνῄδει ἑαυτῷ, φοβηθῆναι ἐχρῆν παρὰ τῷ πάντα εἰδότι δικαζόμενον· ἀλλὰ καθαροῦ συνειδότος τοῦτό ἐστι, τὸ μὴ παραιτεῖσθαι δικαστὴν τὸν ἀκριβῶς εἰδότα τὰ γεγενημένα, ἀλλὰ καὶ χαίρειν· ὅθεν καὶ μακάριον ἑαυτὸν

Πρόσεχε πῶς κατηγορεῖ ἐκείνους, ἐνῶ αὐτὸν τὸν ἀπαλλάσσει ἀπὸ τὴν κατηγορία. Πώ, πὼ μέγεθος δικαιώσεως! Δὲν βρίσκει ὁ ἄρχοντας αἰτία νὰ τὸν καταδικάσει, ἂν καὶ ἔγινε τόσο μεγάλη ἀνάκριση· ἐκεῖνοι ὅμως ισχυρίζονταν ὅτι εἶναι ἄξιος θανάτου. Γι' αὐτὸ καὶ ἔλεγε· «Ἐγὼ ὅμως», λέγει, «δὲν βρῆκα νὰ ἔχει κάνει τίποτε ἄξιο θανάτου»· ἔπειτα πρόσθεσε καὶ εἶπε· «Ὅμως δὲν ἔχω νὰ γράψω τίποτε τὸ συγκεκριμένο στὸν κύριό μου». Καὶ αὐτὸ ἀποτελεῖ ἀπόδειξη τῆς ἀθωότητας τοῦ Παύλου, τὸ ὅτι δηλαδὴ ὁ δικαστὴς δὲν ἔχει νὰ πεῖ κάτι γι' αὐτόν. «Γι' αὐτό», λέγει, «τὸν παρουσίασα σὲ σᾶς· διότι μοῦ φαίνεται παράλογο νὰ στείλω κάποιον ἀλυσοδεμένο χωρὶς ν' ἀναφέρω τὶς κατηγορίες ἐναντίον του». Πρόσεχε ποιὲς μεγάλες ἀπορίες δημιούργησαν οἱ Ἰουδαῖοι στοὺς ἄρχοντές τους. Τί κάνει λοιπὸν ὁ Ἀγρίππας; Θέλοντας νὰ μάθει κάτι γι' αὐτά, εἶπε πρὸς τὸν Παῦλο· «Ἔχεις τὴν ἄδεια νὰ μιλήσεις γιὰ τὸν ἑαυτό σου». Ὁ βασιλιὰς δίνει τὴν ἄδεια σ' αὐτὸν νὰ μιλήσει ἐξ αἰτίας τῆς μεγάλης ἐπιθυμίας του νὰ τὸν ἀκούσει.

Ὁ Παῦλος τότε ὁμιλεῖ μὲ μεγάλο θάρρος, ὄχι κολακεύοντας, ἀλλὰ λέγοντας ὅτι γι' αὐτὸ εἶναι εὐτυχής, ἐπειδὴ ὁμιλεῖ πρὸς ἐκεῖνον ποὺ τὰ γνωρίζει ὅλα· καὶ τὸ ὅτι γι' αὐτὸ θεωρεῖ εὐτυχὴ τὸν ἑαυτόν, ἄκου ἐκεῖνα ποὺ δηλώνει, λέγοντας· «Τότε ὁ Παῦλος, ἀφοῦ ἅπλωσε τὸ χέρι του, ἄρχισε τὴν ἀπολογία του. Βασιλιὰ Ἀγρίππα, θεωρῶ εὐτυχὴ τὸν ἑαυτό μου, διότι πρόκειται σήμερα ν' ἀπολογηθῶ γιὰ ὅλα ἐκεῖνα ποὺ κατηγοροῦμαι ἀπὸ τοὺς Ἰουδαίους μπροστὰ σὲ σένα ποὺ εἶσαι ὁ κατ' ἐξοχὴ γνώστης ὅλων τῶν ἰουδαϊκῶν ἐθίμων καὶ ζητημάτων· γι' αὐτὸ σὲ παρακαλῶ νὰ μ' ἀκούσεις μὲ πολλὴ ὑπομονή». Ἂν καὶ βέβαια, ἐὰν αἰσθανόταν κάποια ἐνοχὴ γιὰ τὸν ἑαυτό του, ἔπρεπε νὰ φοβηθεῖ δικαζόμενος μπροστὰ σ' ἐκεῖνον ποὺ γνώριζε ὅλα· ἀλλ' αὐτὸ ἀποτελεῖ ἀπόδειξη τῆς καθαρῆς συνειδήσεώς του, τὸ ὅτι δηλαδὴ δὲν ἀποφεύγει δικαστὴ ποὺ γνωρίζει μὲ ἀκρίβεια ὅλα ἐκεῖνα ποὺ ἔγιναν, ἀλλὰ καὶ χαίρεται· γι' αὐτὸ καὶ θεωρεῖ εὐτυχὴ τὸν ἑαυτό

ἡγεῖται, καὶ λέγει· «Δέομαί σου μακροθύμως ἀκοῦσαί μου». Ἐπειδὴ μέλλει λόγον ἐκτείνειν καὶ λέγειν τι περὶ ἑαυτοῦ, διὰ τοῦτο προλαβὼν παρεκάλεσε, καί φησι· «Τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος, τὴν ἀπ' ἀρχῆς γενομένην ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις, ἴσασι πάντες οἱ Ἰουδαῖοι, προγινώσκοντές με ἄνωθεν ἐὰν θέλωσι μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα Φαρισαῖος». Ὃ λέγει, τοῦτό ἐστι· 'Πῶς ἂν στασιαστὴς ἐγενόμην, ὁ νέος τοιοῦτος ὢν καὶ μαρτυρούμενος ὑπὸ πάντων;'.

Εἶτα καὶ ἀπὸ τῆς αἱρέσεως ἡ πίστις οὗ εἶπεν· ἐπάγει γάρ· «Κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς θρησκείας ἔζησα». Καὶ ἐπεὶ πάλιν εἰκὸς ἦν τινας εἰπεῖν· 'Τί οὖν, εἰ ἡ μὲν αἵρεσις θαυμαστή, σὺ δὲ πονηρός;' ὅρα πῶς τὸ ὑφορμοῦν θεραπεύει· μάρτυρας γὰρ καλεῖ πάντας τοὺς Ἰουδαίους, τοὺς γινώσκοντας τὸν αὐτοῦ βίον καὶ τὴν ἀναστροφήν· «ἴσασι» γάρ, φησί, «πάντες Ἰουδαῖοι, προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι μαρτυρεῖν».

«Καὶ νῦν ἐπ' ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἡμῶν γενομένης ἐπαγγελίας ὑπὸ τοῦ Θεοῦ, ἕστηκα κρινόμενος, εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν, ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον, ἐλπίζει καταντῆσαι· περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι, βασιλεῦ Ἀγρίππα, ὑπὸ Ἰουδαίων. Τί; ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει;». Δύο τίθησι περὶ ἀναστάσεως λογισμούς, ἕνα μὲν τὸν ἀπὸ προφητῶν (καὶ οὐ παράγει προφήτην, ἀλλ' αὐτὴν τῶν Ἰουδαίων τὴν δόξαν), ἄλλον δέ, τὸν καὶ ἰσχυρότερον, τῶν ἀπὸ πραγμάτων. Ποῖον δὴ τοῦτον; Ὅτι διελέχθη αὐτῷ ὁ

του καὶ λέγει· «Σὲ παρακαλῶ νὰ μ' ἀκούσεις μὲ πολλὴ ὑπομονή». Ἐπειδὴ πρόκειται ν' ἀπευθύνει μακρὺ λόγο καὶ νὰ πεῖ κάτι γιὰ τὸν ἑαυτό του, γι' αὐτὸ ἀπευθύνει εὐθὺς ἐξ ἀρχῆς τὴν παράκλησή του καὶ λέγει· «Τὸν τρόπο τῆς ζωῆς μου ἀπὸ τὰ νεανικά μου χρόνια, ποὺ πέρασα, ἀπὸ τὴν ἀρχὴ στὰ Ἱεροσόλυμα ἀνάμεσα στὸ ἔθνος μου, τὸν γνωρίζουν ὅλοι οἱ Ἰουδαῖοι, διότι γνωρίζουν ἀπὸ τὴν ἀρχή, καὶ μποροῦν ἂν θέλουν νὰ τὸ ἐπιβεβαιώσουν, ὅτι ἔζησα σύμφωνα μὲ τὴν πιὸ αὐστηρὴ αἵρεση τῆς θρησκείας μας, δηλαδὴ σὰν Φαρισαῖος». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Πῶς θὰ μποροῦσα νὰ γίνω ἐπαναστάτης, ἐγὼ ποὺ ἀπὸ νέος ἤμουν τέτοιος καὶ ἐπιβεβαιώνεται αὐτὸ ἀπὸ ὅλους;'

Ἔπειτα ἡ ἀξιοπιστία ἐκείνου ποὺ εἶπε γίνεται φανερὴ καὶ ἀπὸ τὴν αἵρεση στὴν ὁποία ἀνῆκε· διότι προσθέτει· «Ἔζησα σύμφωνα μὲ τὴν πιὸ αὐστηρὴ αἵρεση τῆς θρησκείας μας». Καὶ ἐπειδὴ πάλι φυσικὸ ἦταν νὰ ποῦν μερικοί, Τί λοιπόν, ἐὰν ἡ αἵρεση εἶναι θαυμαστή, σὺ ὅμως εἶσαι κακός;' πρόσεχε πῶς θεραπεύει τὴ σφοδρότητα μιᾶς τέτοιας ἐπιθέσεως· διότι καλεῖ μάρτυρες ὅλους τοὺς Ἰουδαίους, ποὺ γνωρίζουν τὸν τρόπο ζωῆς του καὶ τὴ συναναστροφή του. Καθόσον «τὴ γνωρίζουν», λέγει, «ὅλοι οἱ Ἰουδαῖοι, διότι γνωρίζουν ἀπὸ τὴν ἀρχή, καὶ μποροῦν ἐὰν θέλουν νὰ τὸ ἐπιβεβαιώσουν».

«Καὶ τώρα στέκομαι ἐδῶ καὶ δικάζομαι γιὰ τὴν ἐλπίδα μου στὴν ὑπόσχεση ποὺ δόθηκε ἀπὸ τὸ Θεὸ στοὺς πατέρες μας, στὴν ὁποία ἐλπίζουν οἱ δώδεκα φυλές μας νὰ καταλήξουν, λατρεύοντας αὐτὸν ἀδιάκοπα νύχτα καὶ ἡμέρα. Γι' αὐτὴ τὴν ἐλπίδα κατηγοροῦμαι, βασιλιὰ Ἀγρίππα, ἀπὸ τοὺς Ἰουδαίους. Γιατί; δὲν πιστεύετε ὅτι ὁ Θεὸς ἀνασταίνει νεκρούς;». Δύο συλλογισμοὺς παραθέτει γιὰ τὴν ἀνάσταση, ἕνα ἀπὸ τοὺς προφῆτες (καὶ δὲν ἀναφέρει προφήτη, ἀλλὰ τὴν ἴδια τὴ πίστη τῶν Ἰουδαίων), καὶ τὸν ἄλλο, ποὺ εἶναι καὶ ἰσχυρότερος, ἀπὸ τὰ ἴδια τὰ γεγονότα. Ποιὸς λοιπὸν εἶναι αὐτός; Ὅτι συνομίλησε μὲ αὐτὸν ὁ Χριστὸς ποὺ ἀναστήθηκε ἀπὸ τοὺς νεκρούς.

Χριστός, ἀναστὰς ἐκ νεκρῶν. Καὶ κατασκευάζει καὶ τοῦτον ἀπὸ λογισμῶν, τὴν προτέραν αὐτοῦ μανίαν διηγούμενος ἀκριβῶς· εἶτα καὶ μετὰ ἐγκωμίου τῶν Ἰουδαίων. «Νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει», φησί, «καταντῆσαι». Ὥστε, εἰ καὶ μὴ ἀλήπτου βίου ἤμην, ὑπὲρ τούτων οὐκ ἔδει κρίνεσθαι, βασιλεῦ Ἀγρίππα. Εἶτα καὶ ἄλλος λογισμός. «Τί; ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει;». Εἰ γὰρ μὴ τοιαύτη δόξα ἦν, εἰ γὰρ μὴ ἀνατεθραμμένοι ἦσαν ἐν τούτοις τοῖς δόγμασι, νῦν δὲ εἰσεφέρετο, ἴσως οὐκ ἂν ἐδέξατό τις τὸν λόγον. Εἶτα λέγει πῶς ἐδίωκε (καὶ τοῦτο κατασκευαστικὸν) καὶ τοὺς ἀρχιερεῖς παράγει μάρτυρας, καὶ τὰς ἔξω πόλεις, καὶ ὅτι ἤκουσε λέγοντος αὐτῷ· «Σκληρόν σοι πρὸς κέντρα λακτίζειν». Ἔπειτα δείκνυσι καὶ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ὅτι καὶ διωκόμενος ὤφθη, καὶ ὅτι οὐκ ἐμὲ μόνον εὐεργέτησεν, ἀλλὰ καὶ ἑτέροις ἔπεμψε διδάσκαλον.

2. Δείκνυσι δὲ καὶ τὴν προφητείαν, ἣν ἤκουσεν· «Εἰς τοῦτο ὤφθην σοι· ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς ἐγώ σε ἀποστέλλω». Ταῦτα πάντα δεικνύς, ἔλεγεν· «Ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι, ὃ καὶ ἐποίησα ἐν Ἱεροσολύμοις, καὶ πολλοὺς τῶν ἁγίων ἐγὼ φυλακαῖς κατέκλεισα, τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών· ἀναιρουμένων τε αὐτῶν κατήνεγκα ψῆφον· καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτοὺς ἠνάγκαζον βλασφημεῖν· περισσῶς τε ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις. Ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν ἀρχιερέων, ἡμέρας μέσης κατὰ τὴν ὁδὸν εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν

1. Πράξ. 9, 5 καὶ 26, 14

Καὶ αὐτὸν τὸν συλλογισμὸ τὸν συνθέτει ἀπὸ συλλογισμούς, διηγούμενος μὲ λεπτομέρεια τὴν προηγούμενη μανία του. Ἔπειτα ἐγκωμιάζοντας καὶ τοὺς Ἰουδαίους «Ἐλπίζοντας», λέγει, «νὰ καταλήξουν σ' αὐτήν, λατρεύοντας ἀδιάκοπα τὸ Θεὸ νύχτα καὶ ἡμέρα». Ὥστε, καὶ ἂν ἀκόμη δὲν ἦταν ἀδιάβλητος ὁ τρόπος ζωῆς μου, δὲν ἔπρεπε, βασιλιὰ Ἀγρίππα νὰ δικάζομαι γι' αὐτά. Ἔπειτα παραθέτει καὶ ἄλλο συλλογισμό. «Γιατί; δὲν πιστεύετε, ὅτι ὁ Θεὸς ἀνασταίνει νεκρούς;». Διότι, ἐὰν δὲν ὑπῆρχε τέτοια πίστη, ἐὰν δὲν ἦταν ἀναθρεμμένος μὲ τέτοιες διδασκαλίες, ἀλλὰ τώρα παρουσιάζονταν αὐτές, ἴσως θὰ μποροῦσε κάποιος νὰ μὴ δεχθεῖ τὸ λόγο αὐτό. Ἔπειτα λέγει πῶς δίωκε τὸ Χριστὸ (καὶ αὐτὸ σὰν ἀποδεικτικὸ στοιχεῖο) καὶ παρουσιάζει μάρτυρες τοὺς ἀρχιερεῖς καὶ τὶς πόλεις ἐκτὸς τῆς Ἰουδαίας, καὶ ὅτι ἄκουσε αὐτὸν νὰ τοῦ λέγει· «Εἶναι σκληρὸ σὲ σένα νὰ κλωτσᾶς ἐπάνω στὰ καρφιά»[1]. Ἔπειτα δείχνει καὶ τὴ φιλανθρωπία τοῦ Θεοῦ, διότι παρουσιάσθηκε σ' αὐτὸν ἂν καὶ διωκόταν ἀπ' αὐτόν, καὶ ὅτι, ὄχι μόνο εὐεργέτησε ἐμένα, ἀλλὰ καὶ μὲ ἔστειλε σ' ἄλλους δάσκαλο.

2. Ἀναφέρει καὶ τὴν προφητεία ποὺ ἄκουσε· «Διότι γι' αὐτὸ παρουσιάσθηκα σὲ σένα· σώζοντάς σε ἀπὸ τὸ λαὸ καὶ τοὺς ἐθνικούς, στοὺς ὁποίους ἐγὼ σὲ στέλνω». Γιὰ νὰ δείξει ὅλα αὐτὰ ἔλεγε· «Ἐγὼ βέβαια νόμισα ὅτι ἔπρεπε νὰ κάνω πολλὰ ἐναντίον τοῦ ὀνόματος τοῦ Ἰησοῦ τοῦ Ναζωραίου, πράγμα ποὺ ἔκανα στὰ Ἱεροσόλυμα, κλείνοντας πολλοὺς ἀπὸ τοὺς πιστοὺς στὶς φυλακές, παίρνοντας τὴν ἐξουσία ἀπὸ τοὺς ἀρχιερεῖς· καὶ ὅταν φονεύονταν αὐτοὶ ἔδινα καὶ ἐγὼ τὴν καταδικαστικὴ ψῆφο μου· ἐπίσης σὲ ὅλες τὶς συναγωγὲς πολλὲς φορὲς τοὺς ἐξανάγκαζα μὲ τιμωρίες νὰ βλασφημοῦν, καταδιώκοντάς τους μὲ ὑπερβολικὴ μανία μέχρι καὶ τὶς πόλεις ἔξω ἀπὸ τὴν Ἰουδαία. Μὲ τέτοιες προθέσεις πήγαινα στὴ Δαμασκὸ μὲ ἐξουσία καὶ ἐντολὴ ἀπὸ τοὺς ἀρχιερεῖς, καὶ ἐνῶ, βασιλιά μου, προχωροῦσα στὸ δρόμο μου, μέσα στὸ καταμεσήμερο εἶδα ἕνα φῶς ποὺ ἐρχόταν ἀπὸ τὸν οὐρανὸ καὶ ἦταν

λαμπρότητα τοῦ ἡλίου περιλάμψαν με φῶς, καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. Πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φωνὴν λαλοῦσαν πρός με, καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ· Σαούλ, Σαούλ, τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν. Ἐγὼ δὲ εἶπον· Τίς εἶ, Κύριε; Ὁ δὲ εἶπεν· Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις. Ἀλλὰ ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί σοι, ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς ἐγώ σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν τοῦ ἀποστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν Θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ».

Σκόπει πῶς ἡμέρως διαλέγεται· «Ὁ Θεός», φησίν, εἶπε πρός με ὅτι «ὤφθην σοι προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί σοι, ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς ἐγώ σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἀποστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν Θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν». Ὡσεὶ ἔλεγε· Τούτοις ἐπείσθην, ταύτῃ τῇ ὀπτασίᾳ με ἐπηγάγετο, καὶ οὕτως ἔπεισεν, ὥστε μὴ ἀναβάλλεσθαι'.

«Ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ, ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον καὶ Ἱεροσολύμοις, εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν ἀπαγγέλλω μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν Θεόν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας» (Ὁ τοίνυν καὶ τοὺς ἄλλους παιδεύων περὶ

λαμπρότερο ἀπὸ τὸν ἥλιο, καὶ τὸ ὁποῖο ἔλαμπε γύρω ἀπὸ ἐμένα καὶ γύρω ἀπὸ ἐκείνους ποὺ βάδιζαν μαζί μου. Καὶ ἀφοῦ ὅλοι μας πέσαμε κάτω στὴ γῆ, ἄκουσα τότε μία φωνὴ νὰ ὁμιλεῖ πρὸς ἐμένα καὶ νὰ μοῦ λέγει στὴν ἑβραϊκὴ γλώσσα· Σαούλ, Σαούλ, γιατί μὲ καταδιώκεις; Εἶναι σκληρὸ γιὰ σένα νὰ κλωτσᾶς ἐπάνω στὰ καρφιά. Ἐγὼ εἶπα τότε· Ποιὸς εἶσαι, Κύριε; Καὶ ἐκεῖνος εἶπε· Ἐγὼ εἶμαι ὁ Ἰησοῦς, τὸν ὁποῖο σὺ καταδιώκεις. Ἀλλὰ σήκω καὶ στάσου στὰ πόδια σου· διότι γι' αὐτὸ παρουσιάσθηκα σὲ σένα, γιὰ νὰ σὲ κάνω ὑπηρέτη καὶ μάρτυρα ὅλων αὐτῶν ποὺ εἶδες τώρα καὶ ἐκείνων ποὺ πρόκειται νὰ δεῖς ἀπὸ μένα, σώζοντάς σε ἀπὸ τὸ λαὸ αὐτὸ καὶ τοὺς ἐθνικούς, στοὺς ὁποίους ἐγὼ σὲ στέλνω γιὰ ν' ἀνοίξεις τὰ μάτια τους, ὥστε νὰ ἐπιστρέψουν ἀπὸ τὸ σκοτάδι στὸ φῶς, καὶ ἀπὸ τὴν ἐξουσία τοῦ σατανᾶ στὸ Θεό, γιὰ νὰ λάβουν, μὲ τὴν πίστη τους σ' ἐμένα, συγχώρηση τῶν ἁμαρτιῶν τους καὶ μερίδα μεταξὺ ἐκείνων ποὺ ὁ Θεὸς ὅρισε γιὰ δικούς του».

Πρόσεχε πῶς ὁμιλεῖ μὲ ἠρεμία· Ὁ Θεός, λέγει, εἶπε πρὸς ἐμένα, ὅτι «παρουσιάσθηκα σὲ σένα γιὰ νὰ σὲ κάνω ὑπηρέτη καὶ μάρτυρα ἐκείνων ποὺ εἶδες, καὶ ἐκείνων ποὺ πρόκειται νὰ δεῖς ἀπὸ μένα, σώζοντάς σε ἀπὸ τὸ λαὸ αὐτὸ καὶ τοὺς ἐθνικούς, στοὺς ὁποίους ἐγὼ σὲ στέλνω, γιὰ ν' ἀνοίξεις τὰ μάτια τους, ὥστε νὰ ἐπιστρέψουν ἀπὸ τὸ σκοτάδι στὸ φῶς καὶ ἀπὸ τὴν ἐξουσία τοῦ σατανᾶ στὸ Θεό, καὶ νὰ λάβουν συγχώρηση τῶν ἁμαρτιῶν τους». Εἶναι σὰν νὰ ἔλεγε· Μ' αὐτὰ πίστεψα, μ' αὐτὴν τὴν ὀπτασία μὲ ὁδήγησε κοντά του, καὶ τόσο πολὺ πίστεψα, ὥστε νὰ μὴν ἀναβάλλω καθόλου.

«Μετὰ ἀπὸ ὅλα αὐτά, βασιλιὰ Ἀγρίππα, δὲν ἔδειξα ἀπείθεια πρὸς τὴν οὐράνια ὀπτασία, ἀλλὰ κήρυττα πρῶτα στοὺς κατοίκους τῆς Δαμασκοῦ καὶ ὕστερα τῶν Ἱεροσολύμων καὶ ὅλης τῆς χώρας τῶν Ἰουδαίων καθὼς καὶ στοὺς ἐθνικοὺς νὰ μετανοήσουν καὶ νὰ ἐπιστρέψουν στὸ Θεό, κάμνοντας ἔργα ἄξια τῆς μετάνοιάς τους» (ἐγὼ λοιπὸν ποὺ διδάσκω στοὺς ἄλλους γιὰ ἄριστο τρόπο

βίου ἀρίστου πῶς ἂν αὐτὸς στάσεως καὶ φιλονεικίας, φησίν, ἀρχηγὸς γέγονα;). «Ἕνεκα τούτων οἱ Ἰουδαῖοί με συλλαβόμενοι ἐν τῷ ἱερῷ ἐπειρῶντο διαχειρίσασθαι. Ἐπικουρίας οὖν τυχὼν τῆς παρὰ τοῦ Θεοῦ, ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα, μαρτυρόμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων γίνεσθαι καὶ Μωϋσῆς, εἰ παθητὸς ὁ Χριστός, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν τῷ τε λαῷ καὶ τοῖς ἔθνεσιν». Ὅρα πῶς ἐκτὸς κολακείας ἐστὶν ὁ λόγος αὐτοῦ, καὶ τὸ πᾶν ἐπιγράφει τῷ Θεῷ. Εἶτα ἡ παρρησία, ''Ἀλλ' οὐδὲ νῦν ἀφίσταμαι', καὶ τὸ ἀσφαλές· ἀπὸ γὰρ προφητῶν ἰσχυρίζομαι, «εἰ παθητὸς ὁ Χριστός, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν»· ὡσεὶ ἔλεγεν ὅτι «πρῶτος ὁ Χριστὸς ἀναστὰς οὐκέτι ἀποθνήσκει». Δῆλον ἐκ τοῦ πᾶσι καταγγεῖλαι τοῦτο καὶ εἰς ἑαυτοὺς προσδοκᾶν.

Εἶτα, τὴν παρρησίαν ὁ Φῆστος ἰδών, ἐπειδὴ πρὸς τὸν βασιλέα διελέγετο, μὴ μεθιστάμενος τοῦ πρὸς αὐτὸν ἀποβλέπειν, ὥσπερ ἔπαθέ τι, καί φησι· «Μαίνῃ, Παῦλε». Ὅτι δὲ παθὼν τοῦτο λέγει, ἄκουε τῶν ἑξῆς· «Ταῦτα δὲ αὐτοῦ διαλεγομένου, ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη· Μαίνῃ, Παῦλε· τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει». Τί οὖν ὁ Παῦλος; μετὰ ἐπιεικείας ἀποκρινόμενος, «οὐ μαίνομαι», φησί, «κράτιστε Φῆστε, ἀλλὰ ἀληθείας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι». Εἶτα καὶ τὴν αἰτίαν διδάσκει, δι' ἣν πρὸς τὸν βασιλέα τὸν λόγον ἀπέστρεψεν· «Ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεύς, πρὸς ὃν καὶ παρρησιαζόμενος λαλῶ· λανθάνειν γὰρ τούτων αὐτόν τι οὐ πείθομαι οὐδέν· οὐ γάρ ἐστιν ἐν γωνίᾳ πε-

---

2. Ρωμ. 6, 9

ζωῆς πῶς, λέγει, θὰ ἦταν δυνατὸ νὰ γίνω ἀρχηγὸς ἐπαναστάσεως καὶ φιλονεικίας;). «Ἐξ αἰτίας ὅλων αὐτῶν οἱ Ἰουδαῖοι μὲ συνέλαβαν στὸ ναὸ καὶ προσπαθοῦσαν νὰ μὲ φονεύσουν. Ἀλλ' ὅμως ἔτυχα τῆς βοηθείας τοῦ Θεοῦ καὶ ἔτσι μέχρι τὴν ἡμέρα αὐτὴ ὑπάρχω καὶ δίνω μαρτυρία σὲ μικρὸ καὶ σὲ μεγάλο, μὴ λέγοντας τίποτε περισσότερο ἀπὸ ἐκεῖνα ποὺ εἶπαν οἱ προφῆτες καὶ ὁ Μωϋσῆς ὅτι πρόκειται νὰ γίνουν, ὅτι δηλαδὴ ὁ Χριστὸς πρέπει νὰ πάθει, καὶ ὅτι θὰ εἶναι ὁ πρῶτος ποὺ θ' ἀναστηθεῖ ἀπὸ τοὺς νεκρούς, ἐξαγγέλλοντας τὸ φῶς στὸν ἰουδαϊκὸ λαὸ καὶ στοὺς ἐθνικούς». Πρόσεχε πῶς ὁ λόγος αὐτοῦ εἶναι ἀπαλλαγμένος ἀπὸ κολακεία καὶ τὸ πᾶν ἀποδίδει στὸ Θεό. Ἔπειτα τὸ θάρρος, 'Ἀλλ' οὔτε καὶ τώρα παραιτοῦμαι ἀπὸ τὸ ἔργο αὐτό', καὶ τὸ βέβαιο τῶν λόγων του· διότι τοὺς ἰσχυρισμοὺς αὐτοὺς τοὺς στηρίζω στοὺς προφῆτες· «Ὅτι δηλαδὴ ὁ Χριστὸς πρέπει νὰ πάθει, καὶ ὅτι πρέπει ν' ἀναστηθεῖ πρῶτος ἀπὸ τοὺς νεκροὺς κηρύσσοντας τὸ φῶς»· εἶναι σὰν νὰ ἔλεγε· «Ἀφοῦ ὁ Χριστὸς ἀναστήθηκε πρῶτος, δὲν θὰ πεθάνει πλέον»[2]. Γίνεται φανερὸ ἀπὸ τὸ ὅτι κήρυξαν αὐτὸ σ' ὅλους καὶ τὸ περιμένουν καὶ γιὰ τὸν ἴδιο τὸν ἑαυτό τους.

Στὴ συνέχεια, βλέποντας ὁ Φῆστος τὸ θάρρος αὐτοῦ, ἐπειδὴ μιλοῦσε πρὸς τὸ βασιλιά, μὴ σταματώντας οὔτε μία στιγμὴ νὰ ἔχει στραμμένο τὸ βλέμμα του πρὸς αὐτόν, σὰν ἀκριβῶς νὰ ἔπαθε κάτι, λέγει πρὸς αὐτόν· «Εἶσαι τρελλός, Παῦλε». Τὸ ὅτι τὰ λέγει αὐτὰ ἐπειδὴ ἔπαθε κάτι, ἄκου τὰ λεγόμενα στὴ συνέχεια· «Ἐνῶ ὁ Παῦλος ἔλεγε αὐτά, ὁ Φῆστος εἶπε μὲ δυνατὴ φωνή· Εἶσαι τρελλός, Παῦλε· τὰ πολλὰ γράμματα σὲ ὁδηγοῦν στὴν τρέλλα». Τί κάμνει λοιπὸν ὁ Παῦλος; ἀπαντώντας μὲ καλωσύνη, «Δὲν εἶμαι τρελλός», λέγει, «ἐξοχότατε Φῆστε, ἀλλὰ τὰ λόγια μου εἶναι γεμάτα ἀπὸ ἀλήθεια καὶ σύνεση». Ἔπειτα ἀναφέρει καὶ τὴν αἰτία γιὰ τὴν ὁποία ἀπηύθυνε τὸ λόγο πρὸς τὸ βασιλιά· «Διότι γνωρίζει πολὺ καλὰ ὅλα αὐτὰ ὁ βασιλιὰς πρὸς τὸν ὁποῖο καὶ ὁμιλῶ μὲ τὸ θάρρος αὐτό· διότι πιστεύω ὅτι δὲν τοῦ διαφεύγει κανένα ἀπὸ

πραγμένον τοῦτο. Πιστεύεις, βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; Οἶδα ὅτι πιστεύεις». Τοῦτο οὕτως εἶπε, μονονουχὶ διασύρων καὶ λέγων πρὸς αὐτούς· Ὁἶδα ὅτι πάντα οἶδεν ἀκριβῶς· καὶ ἔδει μὲν πρώτους ὑμᾶς ταῦτα εἰδέναι (τὸ γὰρ ἐπαγόμενον τοῦτο δηλοῖ, τὸ «οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο»), ἀλλ' οὐκ ἠθελήσατε'.

«Πιστεύεις, βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; Οἶδα ὅτι πιστεύεις. Ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον ἔφη· Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι. Ὁ δὲ Παῦλος εἶπεν· Εὐξαίμην ἂν τῷ Θεῷ καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ οὐ μόνον σέ, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι τοιούτους, ὁποῖος κἀγώ εἰμι παρεκτὸς τῶν δεσμῶν τούτων». Ὅρα πῶς εὔχεται, λέγων· «Εὐξαίμην ἂν ἔγωγε τῷ Θεῷ καὶ ἐν ὀλίγῳ», τουτέστι, 'παρὰ μικρόν'. Καὶ οὐχ ἁπλῶς εὔχεται, ἀλλὰ καὶ ἐπιτεταμένως. «Τοιούτους», φησί, «γενέσθαι πάντας, οὐ μόνον σέ, ἀλλὰ καὶ πάντας, ὁποῖος κἀγώ εἰμι». Εἶτα καὶ προστίθησι· «Παρεκτὸς τῶν δεσμῶν τούτων». Οὐκ ἀποδυσπετῶν διὰ τὰ δεσμά, οὐδὲ αἰσχυνόμενος διότι ἐδέδετο, (τοῦτο γὰρ ἦν αὐτῷ, εἴ πέρ τι ἄλλο, ἄξιον δόξης), ἀλλὰ πρὸς τὴν ἐκείνων ὑπόληψιν ἀφορῶν, οὕτως εἶπε· διὰ τοῦτο προσέθηκε τὸ «παρεκτὸς τῶν δεσμῶν τούτων». Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ ἀνεγνωσμένα.

3. «Τῇ οὖν ἐπαύριον εἰσελθόντων εἰς τὸ ἀκροατήριον, κελεύσαντος τοῦ Φήστου», φησίν, «ἤχθη ὁ Παῦλος». Ἀπέστησαν λοιπὸν οἱ Ἰουδαῖοι, τῇ ἐφέσει χρησαμένου ἐκείνου, καὶ τότε αὐτῷ λαμπρὸν τὸ θέατρον γίνεται· μετὰ πολλῆς γὰρ τῆς φαντασίας ὁ βασιλεὺς καὶ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων παρῆσαν οὐχ οἱ μέν, οἱ δὲ οὔ. «Τὸ πλῆθος τῶν Ἰουδαίων», φησί, «συνέτυχόν μοι ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε,

ὅλα αὐτά· διότι αὐτὰ δὲν ἔγιναν στὰ κρυφά. Πιστεύεις, βασιλιὰ Ἀγρίππα, στοὺς προφῆτες; Γνωρίζω πολὺ καλὰ ὅτι πιστεύεις». Αὐτὸ τὸ εἶπε ἔτσι, σὰν κατὰ κάποιο τρόπο νὰ ἐμπαίζει καὶ νὰ λέγει πρὸς αὐτούς· Γνωρίζω πολὺ καλὰ ὅτι τὰ γνωρίζει ὅλα μὲ λεπτομέρεια· καὶ ἔπρεπε βέβαια αὐτὰ πρῶτα νὰ τὰ γνωρίζετε σεῖς, καθόσον ἐκεῖνο ποὺ προσθέτει αὐτὸ φανερώνει, δηλαδὴ τὸ «διότι αὐτὰ δὲν ἔγιναν στὰ κρυφά»), ἀλλὰ δὲν θελήσατε'.

«Πιστεύεις, βασιλιὰ Ἀγρίππα στοὺς προφῆτες; Γνωρίζω ὅτι πιστεύεις. Ὁ Ἀγρίππας εἶπε τότε πρὸς τὸν Παῦλο· Κοντεύεις νὰ μὲ πείσεις νὰ γίνω χριστιανός. Καὶ ὁ Παῦλος εἶπε· Θὰ εὐχόμουν στὸ Θεὸ ἀργὰ ἢ γρήγορα ὄχι μόνο ἐσύ, ἀλλὰ καὶ ὅλοι αὐτοὶ ποὺ μὲ ἀκοῦν σήμερα νὰ γίνουν τέτοιοι, σὰν καὶ ἐμένα, ἐκτὸς βέβαια ἀπὸ αὐτὲς τὶς ἀλυσίδες». Πρόσεχε ποιὰ ἀρχὴ κάνει, λέγοντας· «Θὰ εὐχόμουν στὸ Θεὸ μέσα σὲ λίγο χρόνο», δηλαδὴ 'πολὺ γρήγορα'. Καὶ ὄχι ἁπλῶς εὔχεται γι' αὐτόν, ἀλλὰ καὶ ἐπεκτείνει τὴν εὐχή του. «Νὰ γίνουν», λέγει, «ὅλοι, ὄχι μόνο ἐσύ, ἀλλὰ καὶ ὅλοι, σὰν καὶ ἐμένα». Ἔπειτα προσθέτει· «Ἐκτὸς ἀπὸ τὶς ἀλυσίδες αὐτές». Δὲν τὸ λέγει αὐτὸ δυσανασχετώντας γιὰ τὰ δεσμά, οὔτε νοιώθοντας ντροπὴ γιὰ τὸ ὅτι ἦταν φυλακισμένος (διότι αὐτὸ ἦταν γι' αὐτόν, παρὰ ὁποιοδήποτε ἄλλο, ἄξιο δόξας), ἀλλὰ τὸ εἶπε αὐτὸ ἔχοντας ὑπ' ὄψη τὴν ἀντίληψη ἐκείνων· γι' αὐτὸ πρόσθεσε τὸ «ἐκτὸς ἀπὸ τὶς ἀλυσίδες αὐτές». Ἀλλ' ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα ἀναγνώσθηκαν.

3. «Τὴν ἐπόμενη ἡμέρα ἀφοῦ μπῆκαν στὴν αἴθουσα τῶν ἀκροάσεων, ἔδωσε ὁ Φῆστος ἐντολή», λέγει «νὰ ὁδηγηθεῖ ἐκεῖ ὁ Παῦλος». Παραιτήθηκαν πλέον οἱ Ἰουδαῖοι ἀπὸ τὴν ὅλη προσπάθειά τους, ἐπειδὴ ὁ Παῦλος ζήτησε ἔφεση τῆς δίκης του καὶ τότε γίνεται λαμπρὸ τὸ ἀκροατήριο γι' αὐτόν· διότι ὁ βασιλιὰς παραβρισκόταν ἐκεῖ μὲ πολλοὺς ἀκολούθους καθὼς καὶ ὅλο τὸ πλῆθος, καὶ ὄχι μόνο οἱ μέν, ἐνῶ οἱ ἄλλοι ὄχι. «Τὸ πλῆθος τῶν Ἰουδαίων», λέγει, «παρουσιάσθηκε σ' ἐμένα στὰ Ἱεροσόλυμα καὶ ἐδῶ,

ἐπιβοῶντες μὴ δεῖν αὐτὸν ζῆν μηκέτι». Ὅρα τὴν μανίαν· ἐβόων, δεῖν αὐτὸν ἀποθανεῖν λέγοντες. Ἐντεῦθεν δείκνυσιν ὅτι δικαίως ἐπεκαλέσατο Καίσαρα· εἰ γὰρ οὐδὲν μὲν εἶχον δεινὸν εἰπεῖν, ἐκεῖνοι δὲ ἐμεμήνεσαν, εἰκότως ἐπ' ἐκεῖνον ἔρχεται.

«Ὅπως, τῆς ἀνακρίσεως ὑφ' ὑμῶν γενομένης, σχῶ τι γράψαι», φησίν. Ὁρᾷς πῶς βασανίζεται πολλάκις τὸ πρᾶγμα; Καὶ τῆς ἀπολογίας τοίνυν ταύτης Ἰουδαῖοι αἴτιοι, ἣν ἔμελλον μανθάνειν καὶ οἱ ἐν τῇ Ρώμῃ.

«Περὶ πάντων, ὧν ἐγκαλοῦμαι, βασιλεῦ Ἀγρίππα», φησίν, «ἥγημαι ἐμαυτὸν μακάριον, μέλλων ἐπὶ σοῦ ἀπολογεῖσθαι». Ὅρα πῶς κήρυκες ἄκοντες καὶ τῆς οἰκείας γίνονται κακίας καὶ τῆς Παύλου ἀρετῆς καὶ αὐτῷ τῷ κρατοῦντι· ὥστε λαμπρότερον ἀπήγετο Παῦλος, ἤ, εἰ χωρὶς δεσμῶν ἀπῆλθεν· οὐκέτι γὰρ ὡς πλάνος καὶ γόης, τοσούτων αὐτὸν ἀφέντων δικαστῶν, ἀπήγετο. Πάντα τοίνυν ἀποδυσάμενος παρ' οἷς ἐτέχθη καὶ ἐτράφη, οὐχ ἁπλῶς, ἀλλ' οὕτω καθαρὸς ὑποψίας ἐπιβαίνει τῆς Ρώμης. Καὶ οὐκ εἶπε, 'Τί δὴ τοῦτο; ἅπαξ ἐπεκαλεσάμην Καίσαρα· μυριάκις ἐκρίθην· μέχρι πότε;' ἀλλὰ τί; Πάλιν ἕτοιμος ἐγένετο δοῦναι εὐθύνας καὶ ἐπὶ τοῦ μάλιστα εἰδότος τὰ κατὰ Ἰουδαίους. Διὸ καὶ μετὰ πολλῆς τῆς παρρησίας ἀπολογεῖται, ἅτε οὐκ ὄντων κυρίων τῶν καταδικαζόντων αὐτόν· ὅς, καίπερ οὐκ ὄντων κυρίων, ἀλλὰ τῆς ἀποφάσεως ἐκείνης κρατούσης, ὅτι «πρὸς Καίσαρα πορεύσῃ», δίδωσι λόγον ὅμως, καὶ πολλὰς τὰς εὐθύνας περὶ πάντων· οὐ περὶ τῶν μέν, περὶ τῶν δὲ οὔ. Μονονουχὶ δὲ τοῦτο λέγει δι' ὧν ἀποκρίνεται· 'Ἐγκαλοῦσιν ὑπὲρ στάσεως, ἐγκαλοῦσιν ὑπὲρ αἱρέ-

------

3. Πράξ. 25, 12

φωνάζοντας δυνατά, ὅτι αὐτὸς δὲν πρέπει πλέον νὰ ζεῖ». Πρόσεχε τὴ μανία τους· φώναζαν καὶ ἔλεγαν, ὅτι αὐτὸς πρέπει νὰ πεθάνει. Μὲ αὐτὸ δείχνει ὅτι πολὺ σωστὰ ἐπικαλέσθηκε τὸν Καίσαρα· διότι, ἐὰν ἐκεῖνοι δὲν εἶχαν νὰ ποῦν τίποτε τὸ κακό, ἀλλὰ κυριεύθηκαν ἀπὸ μεγάλη μανία, πολὺ σωστὰ ἔρχεται πρὸς ἐκεῖνον.

«Γιὰ νὰ ἔχω νὰ γράψω κάτι», λέγει, «ἀφοῦ γίνει ἡ ἀνάκριση ἀπὸ σένα». Βλέπεις πῶς τὸ πράγμα πολλὲς φορὲς ἐξετάζεται μὲ μεγάλη προσοχή; Καὶ τῆς ἀπολογίας λοιπὸν αὐτῆς, τὴν ὁποία ἐπρόκειτο νὰ μάθουν καὶ ἐκεῖνοι ποὺ διέμεναν στὴ Ρώμη, αἴτιοι γίνονται οἱ Ἰουδαῖοι.

«Βασιλιὰ Ἀγρίππα, θεωρῶ εὐτυχὴ τὸν ἑαυτό μου, διότι πρόκειται ν᾿ ἀπολογηθῶ ἐνώπιόν σου γιὰ ὅλα ὅσα κατηγοροῦμαι». Πρόσεχε πῶς γίνονται χωρὶς νὰ τὸ θέλουν κήρυκες καὶ τῆς δικῆς τους κακίας καὶ τῆς ἀρετῆς τοῦ Παύλου καὶ στὸν ἴδιο τὸν ἄρχοντα· ἑπομένως ὁ Παῦλος ὁδηγοῦνταν ἐκεῖ μὲ μεγαλύτερη λαμπρότητα τώρα, παρὰ ἐὰν ἔφευγε γιὰ ἐκεῖ χωρὶς ἁλυσίδες· διότι δὲν ὁδηγοῦνταν ἐκεῖ σὰν ἀπατεώνας καὶ ἀγύρτης, ἀφοῦ ἀθωώθηκε ἀπὸ τόσους δικαστές. Καὶ ἀφοῦ λοιπὸν κατέβαλε κάθε προσπάθεια γιὰ ἐκείνους κοντὰ στοὺς ὁποίους γεννήθηκε καὶ ἀνατράφηκε, μεταβαίνει στὴ Ρώμη ὄχι ἔτσι ἁπλά, ἀλλὰ καθαρὸς ἀπὸ κάθε ὑποψία. Καὶ δὲν εἶπε, Ἰατί λοιπὸν συμβαίνει αὐτό; μία φορὰ ἐπικαλέσθηκα τὸν Καίσαρα καὶ ἄπειρες φορὲς ἀνακρίθηκα· μέχρι πότε θὰ γίνεται αὐτό;', ἀλλὰ τί κάνει; Πάλι ἦταν ἕτοιμος ν᾿ ἀπολογηθεῖ καὶ σ᾿ ἐκεῖνον ποὺ κατ᾿ ἐξοχὴ γνώριζε τὰ ὅσα εἶχαν σχέση μὲ τοὺς Ἰουδαίους. Γι᾿ αὐτὸ καὶ ἀπολογεῖται μὲ μεγάλο θάρρος, καθόσον δὲν εἶχαν ἐξουσία ἐκεῖνοι ποὺ τὸν καταδίκαζαν· αὐτὸς βέβαια ἂν καὶ δὲν εἶχαν τὴν ἐξουσία αὐτή, ἀλλ᾿ ἴσχυε ἡ ἀπόφαση ἐκείνη, «Στὸν Καίσαρα θὰ μεταβεῖς»[3], ὅμως ἀπολογεῖται καὶ λογοδοτεῖ γιὰ ὅλα· δὲν λογοδοτεῖ μόνο γιὰ ὡρισμένα, ἐνῶ γιὰ τὰ ὑπόλοιπα ὄχι. Μὲ ἐκεῖνα ποὺ ἀποκρίνεται εἶναι σὰν νὰ λέγει τὸ ἑξῆς· Μὲ κατηγοροῦν γιὰ ἐπανάσταση,

σεως, καὶ ὅτι τὸν ναὸν ἐβεβήλωσα, περὶ πάντων ἀπολογοῦμαι· «Τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος ἴσασι πάντες οἱ Ἰουδαῖοι»· ὅτι μὲν οὐ τοῦ ἐμοῦ τρόπου τὸ στάσεις ποιεῖν, αὐτοὶ μάρυρες οἱ κατήγοροι'. Ὃ καὶ πρὸ τούτου λέγει, «Ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων», τοῦτο καὶ ἐνταῦθα αἰνίττεται διὰ τοῦ εἰπεῖν· «Τὴν ἐκ νεότητός μου βίωσιν». Καὶ ὅτε ὅλος ὁ δῆμος παρῆν, τότε καλεῖ αὐτῶν τὴν μαρτυρίαν. Οὐκ ἐπὶ τοῦ δικαστηρίου δὲ τοῦ Λυσίου τοῦτο ποιεῖ μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ Φήστου· καὶ πάλιν ἐνταῦθα, ὅτε πλείους παρῆσαν· ἐκεῖ δὲ οὐ πολλῆς ἀπολογίας ἔδει, τῶν γραμμάτων τοῦ Λυσίου ἀφιέντων αὐτόν.

«Ἴσασι», φησί, «πάντες Ἰουδαῖοι προγινώσκοντές με ἄνωθεν». Καὶ οὐ λέγει ποταπὸς αὐτοῦ ὁ βίος, ἀλλὰ ἀφίησιν αὐτῶν τῷ συνειδότι, καὶ τὸ πᾶν ἐν τῇ αἱρέσει τίθησι, δεικνὺς ἐντεῦθεν οὐκ ἂν ἑλόμενος αὐτήν, εἰ πονηρὸς ἦν καὶ μοχθηρός. Ὑπερ τῆς αἱρέσεως τοίνυν ταύτης, ἧς, φησίν, ἕστηκα κρινόμενος· αὕτη καὶ παρ' αὐτοῖς πρεσβεύεται, διὰ ταύτην ηὔχοντο, διὰ ταύτην λατρεύουσιν, ἵνα ταύτης τύχωσι· ταύτην ἐγὼ καταγγέλλω, καὶ περὶ τῆς ἐλπίδος ταύτης ἐγκαλοῦμαι· ἄρα μαινομένων ἐστὶ πάντα μὲν ὑπὲρ τοῦ τυχεῖν ταύτης ποιεῖν, τὸν δὲ εἰς ταύτην πιστεύοντα ἐλαύνειν.

«Ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ Ναζωραίου», φησί, «δεῖν πολλὰ ἐναντία πρᾶξαι»· τουτέστιν, 'ἔκρινα ταῦτα ποιεῖν, ὅτι οὐκ ἤμην τῶν μαθητῶν τοῦ Χριστοῦ, ἀλλὰ τῶν πολεμούντων αὐτῷ ὑπῆρχον'. Ὅθεν καὶ ἀξιόπιστος γίνεται μάρτυς, ὅτι ὁ μυρία ποιῶν, καὶ πολεμῶν τοὺς πιστεύον-

------

4. Γαλ. 1, 14

μὲ κατηγοροῦν γιὰ αἵρεση καὶ ὅτι βεβήλωσα τὸ ναό· γιὰ ὅλα αὐτὰ δίνω τὴν ἑξῆς ἀπολογία· «Τὸν τρόπο τῆς ζωῆς μου ἀπὸ τὰ νεανικά μου χρόνια τὸν γνωρίζουν ὅλοι οἱ Ἰουδαῖοι»· τὸ ὅτι δὲν εἶναι γνώρισμα τοῦ χαρακτήρα μου νὰ ὑποκινῶ ἐπαναστάσεις μάρτυρες εἶναι οἱ ἴδιοι οἱ κατήγοροι'. Ἐκεῖνο ἀκριβῶς ποὺ λέγει καὶ πρὶν ἀπ' αὐτό, «Δείχνοντας τὸ ζῆλο μου γιὰ τὶς πατρικές μου παραδόσεις»[4], αὐτὸ καὶ ἐδῶ ὑπαινίσσεται μὲ τὰ λόγια αὐτά· «Τὸν τρόπο ζωῆς μου ἀπὸ τὰ νεανικά μου χρόνια». Καὶ ὅταν παραβρισκόταν ἐκεῖ ὅλο τὸ πλῆθος, τότε ἐπικαλεῖται τὴ μαρτυρία αὐτῶν. Καὶ δὲν τὸ κάνει αὐτὸ μόνο στὴν περίπτωση τῆς δίκης του ἐνώπιον τοῦ Λυσία, ἀλλὰ καὶ στὴν περίπτωση τῆς δίκης του ἐνώπιον τοῦ Φήστου. Καὶ ἐδῶ πάλι τὸ κάνει αὐτὸ ὅταν ἦταν παρόντες πάρα πολλοί· ἐκεῖ ὅμως δὲν χρειαζόταν μεγάλη ἀπολογία, ἀφοῦ ἀπάλλασσαν αὐτὸν ἀπὸ τὴν κατηγορία τὰ γραφάμενα τοῦ Λυσία.

«Τὸν γνωρίζουν», λέγει, «ὅλοι οἱ Ἰουδαῖοι, ποὺ μὲ γνωρίζουν ἀπὸ τὴν ἀρχή». Καὶ δὲν λέγει τί λογῆς εἶναι ὁ τρόπος ζωῆς του, ἀλλὰ τὸν ἀφήνει νὰ τὸν σκεφθοῦν καὶ τὸ πᾶν συγκεντρώνει γύρω ἀπὸ τὴν αἵρεση, γιὰ νὰ δείξει μ' αὐτὸ ὅτι δὲν θὰ προτιμοῦσε αὐτήν, ἐὰν ἦταν πονηρὸς καὶ μοχθηρός. Γιὰ τὴν διδασκαλία αὐτή, λέγει, γιὰ τὴν ὁποία τώρα κρίνομαι ἐδῶ μέσα· αὐτὴ καὶ ἀπὸ αὐτοὺς εἶναι ἀποδεκτή, γι' αὐτὴν προσεύχονταν, γι' αὐαὐτὴν προσφέρουν τὴ λατρεία τους, γιὰ νὰ ἐπιτύχουν αὐτήν. Αὐτὴν ἐγὼ κηρύττω καὶ γιὰ τὴν ἐλπίδα αὐτὴ κατηγοροῦμαι· ἄρα εἶναι γνώρισμα μανιακῶν τὸ νὰ κάμνουν τὰ πάντα γιὰ νὰ ἐπιτύχουν αὐτήν, νὰ καταδιώκουν ὅμως ἐκεῖνον ποὺ πιστεύει σ' αὐτήν.

«Ἐγὼ βέβαια νόμισα ὅτι ἔπρεπε νὰ κάνω πολλὰ ἐναντίον τοῦ ὀνόματος τοῦ Ἰησοῦ τοῦ Ναζωραίου»· δηλαδή, 'ἀποφάσισα νὰ τὰ κάνω αὐτά, διότι δὲν ἤμουν ἕνας ἀπὸ τοὺς μαθητὲς τοῦ Χριστοῦ, ἀλλ' ἤμουν ἕνας ἀπὸ ἐκείνους ποὺ πολεμοῦσαν αὐτόν'. Γι' αὐτὸ καὶ γίνεται ἀξιόπιστος μάρτυρας, διότι αὐτὸς ποὺ ἔκαμνε τόσα πολ-

τας, καὶ πείθων βλασφημεῖν, καὶ πάντα κινῶν, πόλεις, ἄρχοντας, καὶ δι' ἑαυτοῦ ταῦτα πράττων, οὕτως ἐξαίφνης μεταβέβληται. Εἶτα πάλιν οἱ μάρτυρες οἱ συνόντες· εἶτα δείκνυσιν ἑαυτὸν δικαίως πεισθέντα ἀπό τε τοῦ φωτός, ἀπό τε τῶν προφητῶν, ἀπό τε τῶν ἐκβάσεων, ἀπό τε τῶν νῦν γεγενημένων· ἐπήγαγε γάρ· «Ἡμέρας μέσης κατὰ τὴν ὁδὸν εἶδον περιλάμψαν με φῶς, καὶ τοὺς σὺν ἐμοὶ πορευομένους». Ὅρα γοῦν πῶς καὶ ἀπὸ τῶν προφητῶν, καὶ ἀπὸ τούτων αὐτοὺς πιστοῦται. Ἵνα γὰρ μὴ δόξῃ καινοτομεῖν, καίτοι ἔχων μεγάλα εἰπεῖν, πάλιν ἐπὶ τοὺς προφήτας καταφεύγει, καὶ τὰ αὐτῶν εἰς μέσον τίθησι. Τοῦτο μὲν οὖν ἀξιοπιστότερον, ἅτε νῦν γενόμενον, ἀλλά, ἐπειδὴ μόνος εἶδε, πάλιν αὐτὸ ἀπὸ προφητῶν πιστοῦται. Καὶ ὅρα αὐτὸν οὐχ ὁμοίως διαλεγόμενον ἐν δικαστηρίῳ, καὶ ἐν ἐκκλησίᾳ· ἐκεῖ μὲν οὖν λέγει ὅτι καὶ «ἀνείλετε», ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ὥστε μὴ πλέον ἐκκαῦσαι τὸν θυμόν, ἀλλὰ τὸ αὐτὸ δείκνυσιν, εἰπών· «Εἰ παθητὸς ὁ Χριστός». Οὕτως ἀφίησιν αὐτοὺς ἐγκλημάτων. Ὅπερ οὖν ἐγὼ καταγγέλλω, εἰ ἀνέστη πρῶτος ἐκ τῶν νεκρῶν, ἐκ τῶν προφητῶν δείκνυμι· καὶ γὰρ καὶ οἱ προφῆται τοῦτο καταγγέλλουσιν. Οὐκοῦν δέξασθε τὸν λόγον ὡς τὸν αὐτοῦ ὄντα τῶν προφητῶν.

Ἐπεὶ δὲ εἶπε τὴν ὄψιν, λοιπὸν καὶ μετὰ ἀδείας καὶ τὰ κατορθώματα λέγει. Ποῖα ταῦτα; «Τοῦ ἀνοῖξαι αὐτῶν», φησίν, «ὀφθαλμούς, καὶ ἀποστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ ἀπὸ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν Θεόν· εἰς τοῦτο γὰρ ὤφθην σοι»· τουτέστιν, 'οὐχ ὥστε κολάσαι, ἀλλ' ὥστε ἀπόστολον ποιῆ-

λά, πού πολεμοῦσε ἐκείνους πού πίστευαν στό Χριστό καί τούς ἀνάγκαζε νά βλασφημοῦν, καί τά πάντα παρακινοῦσε, καί πόλεις καί ἄρχοντες καί ὅλα αὐτά τά ἔκαμνε αὐτός ὁ ἴδιος, αὐτός τόσο ξαφνικά ἄλλαξε. Στή συνέχεια πάλι παρουσιάζει τούς μάρτυρες πού συνόδευαν αὐτόν, καί ἔπειτα δείχνει τόν ἑαυτό του ὅτι πολύ ὀρθά πείσθηκε καί ἀπό τό φῶς πού εἶδε, καί ἀπό τούς προφῆτες, καί ἀπό τά ἴδια τά ἀποτελέσματα καί ἀπό τά ὅσα συνέβηκαν τώρα· διότι προσθέτει· «Μέσα στό καταμεσήμερο καί ἐνῶ προχωροῦσα στό δρόμο μου εἶδα ἕνα φῶς πού ἔλαμψε γύρω ἀπό μένα καί γύρω ἀπό ἐκείνους πού βάδιζαν μαζί μου». Πρόσεχε λοιπόν πῶς πείθει αὐτούς καί ἀπό τούς προφῆτες καί ἀπό αὐτά. Διότι, γιά νά μή φανεῖ ὅτι διδάσκει καινούρια πράγματα, ἄν καί ἔχει νά πεῖ σπουδαῖα πράγματα, πάλι καταφεύγει στούς προφῆτες καί ἀναφέρει τά λόγια ἐκείνων. Αὐτό βέβαια εἶναι πιό ἀξιόπιστο, ἐπειδή συνέβηκε τώρα, ἀλλά ἐπειδή μόνος τό εἶδε, πάλι ἐπιβεβαιώνει αὐτό ἀπό τούς προφῆτες. Καί πρόσεχε αὐτόν πού δέν ὁμιλεῖ κατά τόν ἴδιο τρόπο ἐνώπιον τοῦ δικαστηρίου καί ἐνώπιον τοῦ συγκεντρωμένου πλήθους· διότι ἐκεῖ λέγει ὅτι καί «φονεύσατε αὐτόν», ἐδῶ ὅμως τίποτε παρόμοιο δέν λέγει, γιά νά μή ἀνάψει τό θυμό τους, ἀλλά δείχνει τό ἴδιο, λέγοντας «Ὅτι ὁ Χριστός πρέπει νά πάθει». Μέ τόν τρόπο αὐτό ἀπαλλάσσει αὐτούς ἀπό τίς κατηγορίες. Ἐκεῖνο λοιπόν πού κηρύττω ἐγώ, τό ὅτι δηλαδή ἀναστήθηκε πρῶτος ἀπό τούς νεκρούς, αὐτό τό ἀποδεικνύω ἀπό τούς προφῆτες· καθόσον καί οἱ προφῆτες κηρύττουν αὐτό. Ἑπομένως δεχθεῖτε τό λόγο μου σάν αὐτός νά εἶναι λόγος τῶν προφητῶν.

Ἀφοῦ ὅμως εἶπε τήν ὀπτασία, στή συνέχεια λέγει μέ ἀφοβία καί τά κατορθώματα. Ποιά εἶναι αὐτά; «Γιά ν' ἀνοίξεις», λέγει, «τά μάτια αὐτῶν, ὥστε νά ἐπιστρέψουν ἀπό τό σκοτάδι στό φῶς καί ἀπό τήν ἐξουσία τοῦ σατανᾶ στό Θεό· διότι γι' αὐτό παρουσιάσθηκα σέ σένα»· δηλαδή, ὄχι γιά νά σέ τιμωρήσω, ἀλλά γιά νά σέ κάνω

σαι'. Ὅρα, τὰ συνέχοντα κατὰ τοὺς ἀπίστους δείκνυσι, τὸν σατανᾶν, τὸ σκότος, ὥσπερ καὶ τὰ ἀγαθὰ τῶν πιστῶν, τὸ φῶς, τὸν Θεόν, τὸν κλῆρον τῶν ἁγίων. Καὶ οὐχ ἁπλῶς μετανοεῖν παραινεῖ, ἀλλὰ καὶ βίον ἐπιδείκνυσθαι θαυμαστόν. Καὶ ὅρα πανταχοῦ τὰ ἔθνη συμπλεκόμενα τῷ λόγῳ· οἱ γὰρ παρόντες ἐξ ἐθνῶν ἦσαν. «Μαρτυρόμενος», φησί, «μικρῷ τε καὶ μεγάλῳ», τουτέστι, 'καὶ ἐπισήμῳ καὶ ἀσήμῳ'. Τοῦτο διὰ τοὺς στρατιώτας οὕτως εἶπεν. Εἶτα, ἀφεὶς τὴν τάξιν τοῦ ἀπολογουμένου, τὴν τοῦ διδασκάλου ἔλαβε· διὸ καὶ ὁ Φῆστός φησι πρὸς αὐτόν· «Μαίνῃ». Εἶτα, ἵνα μὴ δόξῃ αὐτὸς διδάσκαλος εἶναι, ἐπάγει τοὺς προφήτας, τὸν Μωσέα· «Εἰ παθητός», φησίν, «ὁ Χριστός, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν τῷ τε λαῷ καὶ τοῖς ἔθνεσιν». «Ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη». Οὕτω θυμοῦ ἦν καὶ ὀργῆς ἡ φωνή.

4. Τί οὖν ὁ Παῦλος; «Οὐ γάρ ἐστι», φησίν, «ἐν γωνίᾳ πεπραγμένον τοῦτο». Ἐνταῦθα περὶ τοῦ σταυροῦ λέγει τοῦτο, περὶ τῆς ἀναστάσεως καὶ ὅτι πανταχοῦ τῆς οἰκουμένης γέγονε τὸ δόγμα, «πιστεύεις, βασιλεῦ», φησίν, «Ἀγρίππα;». Οὐκ εἶπε, 'Τῇ ἀναστάσει', ἀλλὰ «τοῖς προφήταις». Εἶτα προκαταλαμβάνει αὐτόν, καί φησιν· «Οἶδα ὅτι πιστεύεις». Πρὸς ὃν καὶ ὁ Ἀγρίππας· «Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι». Οὐκ ἐννόησεν ὁ Παῦλος τί ἐστιν, «Ἐν ὀλίγῳ», ἀλλ' ἐνόμισεν ὅτι 'ἐξ ὀλίγου' διὸ καὶ πρὸς τοῦτο ἀποκρίνεται· οὕτως ἰδιώτης ἦν. Καὶ οὐκ εἶπεν, 'Οὐ βούλομαι', ἀλλ' «εὔχομαι οὐ μόνον σέ, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντας». Ὅρα κολακείας ἀπηλλαγμένον τὸν λόγον. «Εὔχομαι», φησί, «σήμερον γενέσθαι πάντας τοιούτους, ὁποῖος καὶ ἐγώ εἰμι, πα-

ἀπόστολο'. Πρόσεχε, παρουσιάζει τὰ κακὰ ποὺ ἐξουσιάζουν τοὺς ἀπίστους, τὸ σατανᾶ, τὸ σκοτάδι, καθὼς καὶ τὰ ἀγαθὰ τῶν πιστῶν, τὸ φῶς δηλαδή, τὸ Θεό, τὴν κληρονομία τῶν ἁγίων. Καὶ δὲν τοὺς προτρέπει ἁπλῶς νὰ μετανοήσουν, ἀλλὰ καὶ νὰ ἐπιδείξουν τρόπο ζωῆς θαυμαστό. Καὶ πρόσεχε ποὺ παντοῦ στὸ λόγο του ἀναφέρονται καὶ οἱ ἐθνικοί· διότι οἱ παραβρισκόμενοι ἦταν ἐθνικοί. «Δίνοντας», λέγει, «μαρτυρία καὶ σὲ μικρὸ καὶ σὲ μεγάλο», δηλαδὴ 'καὶ σὲ ἐπίσημο καὶ σὲ ἄσημο'. Αὐτὸ τὸ εἶπε ἔτσι γιὰ τοὺς στρατιῶτες. Ἔπειτα, ἀφήνοντας τὴ θέση τοῦ ἀπολογουμένου, ἔλαβε τὴ θέση τοῦ δασκάλου· γι' αὐτὸ καὶ ὁ Φῆστος λέγει πρὸς αὐτόν· «Εἶσαι τρελλός». Ἔπειτα, γιὰ νὰ μὴ φανεῖ ὁ ἴδιος ὅτι εἶναι δάσκαλος, παρουσιάζει τοὺς προφῆτες, τὸ Μωϋσῆ· «Ὁ Χριστός», λέγει, «πρέπει νὰ πάθει, καὶ ἀφοῦ ἀναστηθεῖ πρῶτος ἀπὸ τοὺς νεκρούς, θὰ κηρύξει τὸ φῶς στὸν ἰουδαϊκὸ λαὸ καὶ στοὺς ἐθνικούς». «Ὁ Φῆστος εἶπε τότε μὲ δυνατὴ φωνή». Τόσο πολὺ ἡ φωνή του ἦταν γεμάτη ἀπὸ θυμὸ καὶ ὀργή.

4. Τί λέγει λοιπὸν ὁ Παῦλος; «Αὐτὰ τὰ πράγματα», λέγει, «δὲν ἔγιναν στὰ κρυφά». Ἐδῶ τὸ λέγει αὐτὸ γιὰ τὸ σταυρό, γιὰ τὴν ἀνάσταση, καὶ ὅτι ἡ διδασκαλία εἶχε γίνει γνωστὴ σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης· διότι λέγει, «Πιστεύεις, βασιλιὰ Ἀγρίππα;». Δὲν εἶπε, 'Στὴν ἀνάσταση', ἀλλὰ «στοὺς προφῆτες». Ἔπειτα προλαβαίνει τὴν ἀπάντηση αὐτοῦ καὶ λέγει· «Γνωρίζω πολὺ καλὰ ὅτι πιστεύεις». Καὶ ὁ Ἀγρίππας τότε ἀπαντᾶ πρὸς αὐτόν· «Λίγο ἀκόμη καὶ μὲ πείθεις νὰ γίνω Χριστιανός». Δὲν κατάλαβε ὁ Παῦλος τί σημαίνει τὸ «Ἐν ὀλίγῳ», ἀλλὰ νόμισε ὅτι σημαίνει 'λίγο ἀκόμη', γι' αὐτὸ καὶ δίνει ἀπάντηση ἀνάλογη πρὸς αὐτό· τόσο πολὺ ἀπονήρευτος ἦταν. Καὶ δὲν εἶπε 'Δὲν θέλω', ἀλλ' «Εὔχομαι νὰ γίνεις χριστιανὸς ὄχι μόνο σύ, ἀλλὰ καὶ ὅλοι ὅσοι μὲ ἀκοῦν τώρα». Πρόσεχε τὸ λόγο του ποὺ εἶναι ἀπαλλαγμένος ἀπὸ κολακεία. «Εὔχομαι», λέγει, «ὅλοι ὅσοι σήμερα μὲ ἀκοῦν νὰ γίνουν τέτοιοι, ὅπως εἶμαι ἐγώ, ἐκτὸς ἀπὸ αὐτὲς τὶς

ρεκτὸς τῶν δεσμῶν τούτων». Ὅρα· ὁ καυχώμενος ἐπὶ τοῖς δεσμοῖς, ὁ προφέρων αὐτοὺς καθάπερ ἅλυσιν χρυσῆν, τούτοις ἀπεύχεται νῦν. Καὶ μὴ θαυμάσῃς· ἔτι γὰρ ἀσθενέστερον διέκειντο, καὶ συγκαταβατικώτερος ἦν ὁ λόγος αὐτῷ. Ἐπεί, ὅτι τὰ δεσμὰ βέλτιον ἡγεῖτο, ἄκουε πῶς ἀεὶ ἐν ταῖς ἐπιστολαῖς πάντων προτίθησι τῶν ἄλλων, λέγων· «Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ», καὶ πάλιν· «Τούτου χάριν τὴν ἅλυσιν περίκειμαι, ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται», καὶ «ἄχρι δεσμῶν ὡς κακοῦργος».

Ὅρα· οὐχὶ «δεσμῶν» μόνον, ἀλλὰ καὶ «ὡς κακοῦργος» προσέθηκεν, αὔξων τὴν ἀπὸ τῶν δεσμῶν δόξαν. Διπλῆ δὲ ἡ τιμωρία, καὶ ὅτι ἐδέδετο, καὶ ὅτι ὡς κακοῦργος· εἰ μὲν γὰρ οὕτως ἐδέδετο, ὡς ἐπ' ἀγαθῷ, ἔφερέ τινα ἂν παραμυθίαν τὸ πρᾶγμα, νῦν δὲ καὶ ὡς κακοῦργος, καὶ ὡς ἐπὶ τοῖς δεινοῖς ἁλούς· καὶ ὅμως οὐδενὸς τούτων ἐφρόντιζε. Τοιοῦτον ψυχή, πτερωθεῖσα τῷ οὐρανίῳ ἔρωτι· εἰ γὰρ οἱ τὸν αἰσχρὸν τοῦτον ἐρῶντες ἔρωτα οὐδὲν ἡγοῦνται οὔτε ἔνδοξον οὔτε τίμιον, ἀλλ' ἐκεῖνα, ὅσα ἂν αὐτοῖς πρὸς τὴν ἐπιθυμίαν συντείνῃ, ταῦτα κρίνεται καὶ ἔνδοξα καὶ ἔντιμα, καὶ τοῦτο πάντα αὐτοῖς ἐστιν ἡ ἐρωμένη, πολλῷ μᾶλλον οἱ τούτῳ τῷ ἔρωτι οὐδὲν ἡγοῦνται τὰ ἐπιτίμια. Εἰ δὲ οὐ νοοῦμεν τὰ λεγόμενα, οὐ θαυμαστόν· ἄπειροι γάρ ἐσμεν τῆς φιλοσοφίας ταύτης. Εἰ γάρ τις ἁλῷ τῷ πυρὶ τοῦ Χριστοῦ, τοιοῦτος γίνεται, οἷος ἂν γένηται ἄνθρωπος μόνος ἐπὶ τῆς γῆς οἰκῶν· οὕτως οὐδενὸς αὐτῷ μέλει δόξης καὶ ἀτιμίας, ἀλλ' ὥσπερ ἄν, εἰ μόνος οἰκῶν οὐδενὸς ἂν ἐφρόντισεν, οὕτως οὐδὲ τότε ὁ τοιοῦτος φροντίζει. Πειρα-

------

5. Ἐφ. 3, 1
6. Β΄ Τιμ. 2, 9 καὶ Κολ. 4, 3
7. Β΄ Τιμ. 2, 9

ἁλυσίδες». Πρόσεχε· ἐκεῖνος ποὺ καυχιέται γιὰ τὰ δεσμά του, ποὺ ὁμιλεῖ γι' αὐτὰ σὰν νὰ πρόκειται γιὰ χρυσὴ ἁλυσίδα, τώρα εὔχεται νὰ μὴ συμβοῦν αὐτὰ σ' αὐτούς. Καὶ μὴ ἀπορήσεις· διότι πνευματικὰ ἦταν ἀκόμη πολὺ ἀδύναμοι, καὶ γι' αὐτὸ ὁ λόγος του ἦταν πιὸ συγκαταβατικός. Διότι, τὸ ὅτι θεωροῦσε πολὺ πιὸ σπουδαιότερο πράγμα τὰ δεσμά, ἄκου πῶς πάντοτε στὶς ἐπιστολὲς θέτει αὐτὰ πρὶν ἀπὸ ὅλα τὰ ἄλλα, λέγοντας· «Ὁ Παῦλος, ὁ φυλακισμένος τοῦ Ἰησοῦ Χριστοῦ»[5]· καὶ πάλι· «Γιὰ χάρη αὐτοῦ φορῶ τὴν ἁλυσίδα, ἀλλ' ὁ λόγος τοῦ Θεοῦ δὲν δένεται»[6]· καὶ «Φορώντας ἀκόμη καὶ τὶς ἁλυσίδες σὰν κακοῦργος»[7].

Πρόσεχε· δὲν μίλησε μόνο γιὰ «δεσμά», ἀλλὰ πρόσθεσε καὶ «σὰν κακοῦργος», αὐξάνοντας τὴν τιμὴ ἀπὸ τὰ δεσμά. Διπλὴ εἶναι ἡ τιμωρία· καὶ ὅτι ἦταν δεμένος μὲ ἁλυσίδες, καὶ ὅτι αὐτὸ τὸ ὑπέφερε σὰν κακοῦργος· διότι, ἐὰν μὲν ἦταν δεμένος μὲ ἁλυσίδες γιὰ κάποιο τυχὸν καλό, θὰ εἶχε τὸ πράγμα κάποια παρηγοριά, τώρα ὅμως εἶναι δεμένος καὶ μάλιστα σὰν κακοῦργος καὶ σὰν νὰ συνελήφθηκε γιὰ κακά· καὶ ὅμως γιὰ τίποτε ἀπ' αὐτὰ δὲν φρόντιζε. Τέτοια γίνεται ἡ ψυχή, ὅταν ἀναπτερωθεῖ μὲ τὸν οὐράνιο ἔρωτα· διότι, ἐὰν αὐτοὶ ποὺ εἶναι κυριευμένοι ἀπὸ αὐτὸν τὸν αἰσχρὸ ἔρωτα τίποτε δὲν σκέφτονται οὔτε ἔνδοξο, οὔτε τίμιο, ἀλλ', ἐκεῖνα ποὺ αὐξάνουν τὴν ἐπιθυμία τους, αὐτὰ θεωροῦν καὶ ἔνδοξα καὶ ἔντιμα, καὶ αὐτὸ εἶναι γι' αὐτοὺς τὸ πᾶν, δηλαδὴ ἡ ἐρωμένη τους, πολὺ περισσότερο δὲν θεωροῦν τίποτε τὶς τιμωρίες ἐκεῖνοι ποὺ εἶναι κυριευμένοι ἀπὸ τὸν ἔρωτα αὐτό. Ἐὰν ὅμως δὲν καταλαβαίνομε τὰ λεγόμενα, δὲν εἶναι ἄξιο θαυμασμοῦ· διότι δὲν εἴμαστε γνῶστες τῆς φιλοσοφίας αὐτῆς. Διότι, ἐὰν κάποιος κυριευθεῖ ἀπὸ τὴ φλόγα τοῦ Χριστοῦ γίνεται τέτοιος, ὅπως θὰ γινόταν κάποιος ἄνθρωπος κατοικώντας μόνος ἐπάνω στὴ γῆ· τόσο πολὺ ἀδιαφορεῖ γιὰ ὁποιαδήποτε δόξα καὶ ἀτιμία, ἀλλά, ὅπως ἀκριβῶς ἂν κατοικοῦσε μόνος ἐπάνω στὴ γῆ δὲν θὰ φρόντιζε γιὰ τίποτε, ἔτσι οὔτε καὶ αὐτὸς φροντίζει

σμῶν δὲ οὕτω καταφρονεῖ καὶ μαστίγων καὶ δεσμωτηρίων, ὥσπερ ἄν, εἰ ἐν ἀλλοτρίῳ σώματι ταῦτα ἔπασχεν, ἢ ὥσπερ ἄν, εἰ ἀδαμάντινον ἐκέκτητο σῶμα· τῶν δὲ ἡδέων τῶν ἐν τῷ βίῳ οὕτω καταγελᾷ, καὶ ἀνεπαίσθητος αὐτῶν ἐστιν, ὥσπερ τῶν νεκρῶν σωμάτων ἡμεῖς, ἢ αὐτοὶ ὄντες νεκροί. Τοσοῦτον δὲ ἀπέχει ἁλῶναι πάθει τινί, ὅσον χρυσὸς πυρούμενος ὁ καθαρὸς ἂν ἀπόσχοιτο κηλῖδος. Ὥσπερ γὰρ μυῖαι εἰς μέσην φλόγα οὐκ ἂν ἐμπέσοιεν, ἀλλὰ φεύγουσιν, οὕτω καὶ τὰ πάθη οὐδὲ ἐγγὺς γενέσθαι τούτου τολμᾷ. Καὶ τούτων ἐβουλόμην μὲν ἀφ' ἡμῶν τὰ παραδείγματα παραγαγεῖν δύνασθαι, ἐπειδὴ δὲ ἀποροῦμεν, ἀνάγκη πρὸς αὐτὸν τοῦτον καταφυγεῖν.

Ὅρα γοῦν αὐτὸν πρὸς πάντα τὸν κόσμον πῶς διέκειτο. «Ἐμοὶ κόσμος ἐσταύρωται», φησί, «κἀγὼ τῷ κόσμῳ»· τουτέστι, 'νεκρός εἰμι τῷ κόσμῳ, κἀκεῖνος ἐμοὶ νεκρός'. Καὶ πάλιν· «Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός». Τοῦτο μόνου Παύλου λέγειν ἐστίν, ἡμῶν δέ, τῶν ἐκείνου τοσοῦτον ἀπολειπομένων, ὅσον τῆς γῆς ὁ οὐρανός, ἐγκαλύπτεσθαι, ὡς μηδὲ τὸ στόμα διᾶραι τολμᾶν. Ὅτι δὲ ὡς ἐν ἐρημίᾳ ἦν, καὶ οὕτως ἑώρα τὰ παρόντα, ἄκουε αὐτοῦ λέγοντος· «Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα». Τί λέγεις; Καὶ μὴν τὸ ἐναντίον οὗ λέγεις ἐστί· τὰ μὲν γὰρ ἀόρατα οὐ βλέπομεν, τὰ δὲ ὁρατὰ βλέπομεν. Ὁποίους ἔσχες ὀφθαλμούς, τοιοῦτοί εἰσιν οἱ παρὰ τοῦ Χριστοῦ δεδομένοι· καθάπερ γὰρ οὗτοι τὰ μὲν ὁρώμενα ὁρῶσι, τὰ δὲ οὐχ ὁρώμενα οὐχ ὁρῶσιν, οὕτως ἐκεῖνοι τοὐναντίον· οὐδείς, τὰ ἀόρατα βλέπων, τὰ ὁρατὰ βλέπει· οὐδείς, τὰ ὁρώμενα βλέ-

------

8. Γαλ. 6, 14
9. Γαλ. 2, 20
10. Β΄ Κορ. 4, 18

τότε. Τόσο πολὺ περιφρονεῖ τὶς δοκιμασίες, τὶς μαστιγώσεις καὶ τὶς φυλακίσεις, σὰν ἀκριβῶς νὰ τὰ πάθαινε αὐτὰ μὲ ξένο σῶμα, ἢ σὰν ἀκριβῶς νὰ εἶχε ἀδαμάντινο σῶμα. Τὰ εὐχάριστα πάλι πράγματα αὐτῆς τῆς ζωῆς τόσο πολὺ τὰ θεωρεῖ ἄξια γιὰ γέλια καὶ δὲν αἰσθάνεται τίποτε γι' αὐτά, ὅπως ἀκριβῶς ἐμεῖς θεωροῦμε τὰ νεκρὰ σώματα, ἢ σὰν οἱ ἴδιοι νὰ εἴμαστε νεκροί. Τόσο πολὺ ἀπέχει ἀπὸ τὸ νὰ κυριευθεῖ ἀπὸ κάποιο πάθος, ὅσο ἀπέχει ὁ καθαρὸς χρυσὸς ἀπὸ τὴν ἀκαθαρσία ὅταν δοκιμάζεται στὴ φωτιά. Διότι, ὅπως ἀκριβῶς οἱ μύγες δὲν θὰ μποροῦσαν νὰ πέσουν μέσα στὴ φλόγα, ἀλλὰ φεύγουν ἀπ' αὐτήν, ἔτσι καὶ τὰ πάθη δὲν τολμοῦν οὔτε κἂν νὰ πλησιάσουν σ' αὐτόν. Καὶ γιὰ ὅλα αὐτὰ θὰ ἤθελα νὰ μποροῦσα νὰ παρουσιάσω τὰ παραδείγματα ἀπὸ ἐμᾶς, ἐπειδὴ ὅμως ἀδυνατῶ νὰ τὸ κάνω αὐτό, εἶμαι ἀναγκασμένος νὰ καταφύγω πρὸς αὐτόν.

Πρόσεχε λοιπὸν αὐτὸν πῶς συμπεριφερόταν πρὸς ὅλο τὸν κόσμο. «Ὁ κόσμος εἶναι σταυρωμένος γιὰ μένα», λέγει, «καὶ ἐγὼ γιὰ τὸν κόσμο»[8]· δηλαδή, 'ἐγὼ εἶμαι νεκρὸς γιὰ τὸν κόσμο, καὶ ὁ κόσμος εἶναι νεκρὸς γιὰ μένα'. Καὶ πάλι· «Δὲν ζῶ πλέον ἐγώ, ἀλλὰ ζεῖ μέσα μου ὁ Χριστός»[9]. Αὐτὸ μόνο ὁ Παῦλος μπορεῖ νὰ τὸ λέγει, ἐνῶ ἐμεῖς, ποὺ ἀπέχομε τόσο πολὺ ἀπὸ ἐκεῖνον, ὅσο ὁ οὐρανὸς ἀπὸ τὴ γῆ, πρέπει νὰ καλυπτόμαστε, ὥστε νὰ μὴ τολμᾶμε οὔτε τὸ στόμα νὰ ἀνοίξομε. Τὸ ὅτι βέβαια ἦταν σὰν νὰ κατοικοῦσε στὴν ἐρημιά, καὶ ἔβλεπε ἔτσι τὰ πράγματα τῆς ἐδῶ ζωῆς, ἄκου αὐτὸν ποὺ λέγει· «Δὲν προσέχομε ἐκεῖνα ποὺ βλέπονται, ἀλλ' ἐκεῖνα ποὺ δὲν βλέπονται»[10]. Τί λές; Καὶ ὅμως τὸ ἀντίθετο συμβαίνει ἀπὸ ἐκεῖνο ποὺ λές· διότι ἐκεῖνα ποὺ δὲν βλέπονται δὲν τὰ προσέχομε, ἀντίθετα προσέχομε ἐκεῖνα ποὺ βλέπονται. Ὅποια εἶναι τὰ μάτια ποὺ εἶχες, τέτοια εἶναι καὶ ἐκεῖνα ποὺ ἔχουν δοθεῖ ἀπὸ τὸ Χριστό· διότι, ὅπως ἀκριβῶς τὰ μάτια αὐτὰ βλέπουν ἐκεῖνα ποὺ εἶναι ὁρατά, δὲν βλέπουν ὅμως ἐκεῖνα ποὺ εἶναι ἀόρατα, ἔτσι καὶ ἐκεῖνα βλέπουν τὸ ἀντίθετο· κανένας, ποὺ βλέπει τὰ ἀό-

πων, τὰ ἀόρατα βλέπει. Ἢ οὐχὶ καὶ παρ' ἡμῖν τοῦτο γίνεται; Ὅταν γάρ, τὸν νοῦν συστρέψαντες, λογιζώμεθά τι τῶν ἀοράτων, μετέωροι τῶν ἐνεργειῶν ἡμῖν γίνονται αἱ ὄψεις.

Καταφρονήσωμεν δόξης, γελᾶσθαι βουλώμεθα μᾶλλον ἢ ἐπαινεῖσθαι· ὁ μὲν γὰρ γελώμενος οὐδὲν βλάπτεται, ὁ δὲ ἐπαινούμενος, μεγάλα. Μὴ μέγα φρονῶμεν ἐπὶ τοῖς ἐκφοβοῦσι τοὺς ἀνθρώπους, ἀλλ' ὡς ἐπὶ τῶν παίδων τοῦτο πράττωμεν· οὐδὲ γάρ, εἴ τινα ἴδοιμεν ἐκφοβοῦντα παιδία, θαυμάζομεν τοῦτον· εἰ γάρ τις φοβεῖ, παιδία φοβεῖ· ἄνδρα γὰρ οὐκ ἂν δύναιτο φοβεῖν. Καὶ καθάπερ οἱ ἐκφοβοῦντες ἢ τὰς βλεφαρίδας ἕλκοντες ἄνω, ἢ ἄλλως τὸ πρόσωπον διαστρέφοντες τοῦτο ποιοῦσιν, ὑγιεινὸν δὲ ἔχοντες καὶ ἥμερον τὸ ὄμμα, οὐκ ἂν δύναιντο τοῦτο ποιῆσαι, οὕτω δὴ καὶ οὗτοι, τὸ διορατικὸν τῆς διανοίας διαστρέφοντες, τοῦτο ποιοῦσιν. Ὥστε ἥμερόν γε ἄνθρωπον καὶ καλὸν τῇ ψυχῇ οὐδεὶς ἂν φοβηθείη, ἀλλ' αἰδούμεθα πάντες, τιμῶμεν, ἐντρεπόμεθα. Οὐχ ὁρᾶτε πῶς ὁ φοβερὸς καὶ μισητός ἐστι καὶ πᾶσιν ἡμῖν ἀπευκτός; Τί γὰρ τῶν δυναμένων φοβεῖν μόνον οὐκ ἀποστρεφόμεθα; οὐχὶ θηρία, οὐχὶ φωνάς, οὐχὶ ὄψεις, οὐχὶ τόπους, οὐχὶ ἀέρα, οἷον τὸ σκότος;

5. Μὴ δὴ μέγα νομίζωμεν, εἰ ἄνθρωποι φοβοῦνται ἡμᾶς· πρῶτον μὲν γὰρ οὐδεὶς ἡμᾶς ἄνθρωπος πτοεῖται, δεύτερον τὸ καὶ πτοουμένους ἡμᾶς μὴ μέγα τοῦτο εἶναι. Μέγα ἀγαθὸν ἡ ἀρετή· καὶ ὅρα πῶς μέγα. Ἄθλια τὰ πράγματα νομίζοντες, δι' ὧν συνέστηκεν, αὐτὴν θαυμάζομεν καὶ μακαρίζομεν· τίς γὰρ

ρατα, δὲν βλέπει τὰ ὁρατά, καὶ κανένας, ποὺ βλέπει τὰ ὁρατά, δὲν βλέπει τὰ ἀόρατα. Ἢ μήπως αὐτὸ δὲν συμβαίνει καὶ σ' ἐμᾶς; Διότι, ὅταν συγκεντρώσομε τὴ σκέψη μας καὶ σκεφτόμαστε κάτι ἀπὸ τὰ ἀόρατα, τὰ μάτια μας τότε ἀπομακρύνονται ἀπὸ τὶς ἐνέργειές μας.

Ἂς περιφρονήσομε τὴ δόξα, ἂς προτιμᾶμε νὰ χλευαζόμαστε μᾶλλον, παρὰ νὰ ἐπαινούμαστε· διότι ἐκεῖνος ποὺ *χλευάζεται σὲ τίποτε δὲν βλάπτεται, ἐνῶ ἐκεῖνος ποὺ ἐπαινεῖται, βλάπτεται πάρα πολύ.* Ἂς μὴν ὑπερηφανευόμαστε γιὰ ἐκεῖνα ποὺ προξενοῦν φόβο στοὺς ἀνθρώπους, ἀλλ' ἂς τὸ κάμνομε αὐτὸ ὅπως ἀκριβῶς στὴν περίπτωση τῶν παιδιῶν· καθόσον δὲν θαυμάζομε κάποιον ἐὰν τὸν δοῦμε νὰ φοβερίζει τὰ παιδιά· διότι, ἐὰν κάποιος φοβερίζει, φοβερίζει παιδιά, ἐνῶ ἄνδρα κανένας δὲν θὰ ἦταν δυνατὸ νὰ φοβερίσει. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ φοβερίζουν ἢ σηκώνουν ἐπάνω τὶς βλεφαρίδες, ἢ τὸ κάμνουν αὐτὸ δημιουργώντας κάποια διαφορετικὴ παραμόρφωση στὸ πρόσωπο, ἐνῶ ἐὰν ἔχουν τὸ βλέμμα τους στὴν φυσική του κατάσταση καὶ ἥμερο, δὲν θὰ μποροῦσαν νὰ τὸ κάνουν αὐτό, ἔτσι λοιπὸν καὶ αὐτοὶ τὸ κάμνουν αὐτὸ διαστρεβλώνοντας τὴ διορατικὴ ἱκανότητα τοῦ νοῦ. Ὥστε λοιπὸν κανένας δὲν θὰ ἦταν δυνατὸ νὰ φοβηθεῖ ἄνθρωπο μὲ ἤρεμο βλέμμα καὶ καλὴ ψυχή, ἀλλ' αὐτὸν ὅλοι μας τὸν σεβόμαστε, τὸν τιμοῦμε, τὸν ντρεπόμαστε. Δὲν βλέπετε πῶς ὁ φοβερὸς καὶ μισητὸς εἶναι καὶ ἀνεπιθύμητος ἀπὸ ὅλους μας; Διότι τί δὲν ἀποφεύγομε ἀπὸ ἐκεῖνα ποὺ μποροῦν μόνο νὰ μᾶς φοβίζουν; δὲν ἀποφεύγομε τὰ θηρία, δὲν ἀποφεύγομε τὶς φωνές, τὶς μορφές, τοὺς τόπους, τὸν ἀέρα καθὼς καὶ τὸ σκοτάδι;

5. Ἂς μὴ θεωροῦμε λοιπὸν σπουδαῖο πράγμα, τὸ ἐὰν μᾶς φοβοῦνται οἱ ἄνθρωποι· διότι κατὰ πρῶτο κανένας ἄνθρωπος δὲν μᾶς φοβᾶται, δεύτερο δὲν εἶναι σπουδαῖο πράγμα τὸ ἐὰν μᾶς φοβοῦνται. Μεγάλο ἀγαθὸ εἶναι ἡ ἀρετή· καὶ πρόσεχε πόσο μεγάλο εἶναι. Ἂν καὶ θεωροῦμε ἄθλια τὰ πράγματα μὲ τὰ ὁποῖα συνίσταται αὐτή, ὅμως

οὐκ ἂν μακαρίσειε τὸν φιλόσοφον, καίτοι πενία, καὶ ὅσα τοιαῦτα ἄθλια εἶναι δοκεῖ; Ὅταν οὖν διὰ τῶν ἀθλίων εἶναι δοκούντων λάμπῃ, ὅρα τὴν ὑπερβολήν. Μέγα φρονεῖς ἐπὶ δυναστείᾳ, ἄνθρωπε; Καὶ ποία δυναστεία, εἰπέ μοι, ἐχειροτονήθη; Παρὰ ἀνθρώπων ἐγένου δυνατός· ἔνδοθεν χειροτόνησον σεαυτόν. Ἄρχων γὰρ οὐχ ὁ καλούμενός ἐστιν, ἀλλ' ὁ ὤν. Ὥσπερ γὰρ ἰατρὸν οὐκ ἂν ποιήσειε βασιλεὺς οὐδὲ ῥήτορα, οὕτως οὐδὲ ἄρχοντα· οὐ γὰρ τὰ γράμματα ποιεῖ ἄρχοντα, οὐδὲ τὸ ὄνομα. Ἐπεί, εἰ βούλει, οἰκοδομείτω τις ἰατρεῖον, ἐχέτω καὶ μαθητάς, ἐχέτω καὶ ὄργανα καὶ φάρμακα, καὶ εἰσίτω πρὸς τοὺς κάμνοντας· ἆρα ἀρκεῖ ταῦτα ποιῆσαι ἰατρόν; Οὐδαμῶς· ἀλλὰ δεῖ τῆς τέχνης, καὶ ταύτης ἄνευ οὐ μόνον ταῦτα οὐδὲν ὠφελεῖ, ἀλλὰ καὶ βλάπτει· τὸν γὰρ οὐκ ἰατρὸν βέλτιον μηδὲ ἔχειν φάρμακα. Ὁ μὲν οὖν μὴ ἔχων οὔτε σώζει, οὔτε ἀπόλλυσιν, ὁ δὲ ἔχων ἀπόλλυσιν, οὐκ εἰδὼς ὅπως χρήσεται· ἐπειδὴ οὐκ ἐν τῇ φύσει τῶν φαρμάκων ἐστὶν ἡ σωτηρία μόνον, ἀλλὰ καὶ ἐν τῇ τέχνῃ τοῦ προσάγοντος· τούτου γὰρ μὴ ὄντος, πάντα διέφθαρται.

Τοιοῦτος καὶ ὁ ἄρχων ἐστίν· ἔχει ὄργανα, τὴν φωνήν, τὸν θυμόν, τοὺς δημίους, τὰς ὑπερορίας, τὰς τιμάς, τὰς δωρεάς, τοὺς ἐπαίνους· ἔχει καὶ φάρμακα, τοὺς νόμους· ἔχει καὶ κάμνοντας, τοὺς ἀνθρώπους· ἔχει ἐργαστήριον, τὸ δικαστήριον· ἔχει μαθητάς, τοὺς στρατιώτας· ἂν οὖν μὴ εἰδῇ τὴν ἐπιστήμην τὴν ἰατρικήν, οὐδὲν τούτων ὄφελος. Ὁ δικαστὴς ἰατρὸς ψυχῶν ἐστιν, οὐχὶ σωμάτων· εἰ δὲ αὐ-

θαυμάζομε καὶ μακαρίζομε αὐτήν· διότι ποιός θὰ ἦταν δυνατὸ νὰ μὴ μακαρίσει τὸν ἐνάρετο ἄνθρωπο ἄν καὶ τὸν συνοδεύει ἡ φτώχεια καὶ ὅσα ἄλλα παρόμοια πράγματα ποὺ θεωροῦνται ἄθλια; Ὅταν λοιπὸν λάμπει αὐτὸς μὲ ἐκεῖνα ποὺ θεωροῦνται ὅτι εἶναι ἄθλια, σκέψου τότε τὴν ὑπεροχή του. Ὑπερηφανεύεσαι, ἄνθρωπε, γιὰ τὴν ἐξουσία σου; Καὶ ποιά ἐξουσία, πές μου, ἐγκαταστάθηκε μὲ ἀπόφαση τοῦ λαοῦ; Ἔγινες δυνατὸς ἀπὸ τοὺς ἀνθρώπους· κάνε ἐσωτερικὰ τὸν ἑαυτό σου ἄξιο ἄρχοντα. Καθόσον ἄρχοντας δὲν εἶναι ἐκεῖνος ποὺ ὀνομάζεται ἔτσι, ἀλλ' ἐκεῖνος ποὺ εἶναι ἄρχοντας. Διότι, ὅπως ἀκριβῶς ὁ βασιλιὰς δὲν θὰ μποροῦσε νὰ κάνει ἰατρὸ οὔτε ρήτορα, ἔτσι οὔτε καὶ ἄρχοντα· καθόσον δὲν κάμνουν τὸν ἄρχοντα οἱ βασιλικὲς ἐπιστολές, οὔτε καὶ τὸ ὄνομα. Διότι, ἐὰν θέλεις, ἄς κατασκευάσει κάποιος ἰατρεῖο, ἄς ἔχει καὶ μαθητές, ἄς ἔχει καὶ ὄργανα καὶ φάρμακα, καὶ ἄς ἐπισκέφτεται τοὺς ἀσθενεῖς· ἄραγε εἶναι αὐτὰ ἀρκετὰ γιὰ νὰ τὸν κάνουν ἰατρό; Καθόλου· ἄλλα χρειάζεται νὰ ξέρει καὶ τὴν τέχνη, καὶ χωρὶς αὐτὴν ὄχι μόνο αὐτὰ δὲν ὠφελοῦν καθόλου, ἀλλὰ καὶ βλάπτουν· διότι ἐκεῖνος ποὺ δὲν εἶναι ἰατρὸς εἶναι προτιμότερο οὔτε φάρμακα νὰ ἔχει. Καθόσον ἐκεῖνος ποὺ δὲν ἔχει φάρμακα οὔτε σώζει, οὔτε ὁδηγεῖ στὸ θάνατο, ἐνῶ ἐκεῖνος ποὺ ἔχει προξενεῖ τὸ θάνατο, μὴ γνωρίζοντας πῶς νὰ χρησιμοποιήσει αὐτά· διότι ἡ σωτηρία δὲν βρίσκεται μόνο στὴ φύση τῶν φαρμάκων, ἀλλὰ καὶ στὴν τέχνη ἐκείνου ποὺ παρέχει τὰ φάρμακα· ἐὰν δὲν ὑπάρχει αὐτό, ὅλα καταστράφηκαν.

Τέτοιος εἶναι καὶ ὁ ἄρχοντας· ἔχει ὄργανα, τὴ φωνή, τὸ θυμό, τοὺς δημίους, τὶς ἐξορίες, τὶς τιμές, τὶς δωρεές, τοὺς ἐπαίνους· ἔχει καὶ φάρμακα, τοὺς νόμους· ἔχει καὶ ἀσθενεῖς, τοὺς ἀνθρώπους· ἔχει καὶ ἐργαστήριο, ποὺ εἶναι τὸ δικαστήριο· ἐπίσης ἔχει καὶ μαθητές, ποὺ εἶναι οἱ στρατιῶτες· ἄν λοιπὸν δὲν γνωρίζει τὴν ἰατρικὴ ἐπιστήμη, δὲν ὠφελεῖται σὲ τίποτε ἀπ' αὐτά. Ὁ δικαστὴς εἶναι ἰατρὸς τῶν ψυχῶν, ὄχι τῶν σωμάτων· ἐὰν ἡ

τη ἢ σωμάτων τοσαύτης δεῖται ἐπιμελείας, πολλῷ μᾶλλον ἢ τῆς ψυχῆς, ἐπειδὴ καὶ μείζων ψυχὴ σωμάτων. Οὐκ ἄρα τὸ ὄνομα ἔχειν ἄρχοντος ἄρχοντά ἐστιν εἶναι· ἐπεὶ καὶ ἄλλοι καλοῦνται μεγάλα ὀνόματα (οἷον· Παῦλος, Πέτρος, Ἰάκωβος, Ἰωάννης), ἀλλ' οὐκ ἀπὸ τῶν ὀνομάτων εἰσὶν ἅπερ καλοῦνται, καθάπερ οὐδὲ ἐγώ· ἀλλ' εἰμὶ τοῦ μακαρίου μὲν ἐκείνου ὁμώνυμος, οὐ μὴν συνώνυμος· οὐκ εἰμὶ Ἰωάννης, ἀλλὰ καλοῦμαι.

Οὕτω κἀκεῖνοι οὐκ εἰσὶν ἄρχοντες, ἀλλὰ καλοῦνται. Εἰσὶ δὲ ἐκεῖνοι ἄρχοντες καὶ χωρὶς τούτων, ὥσπερ καὶ ἰατρός, κἂν μὴ χρῆται τῇ ἐπιστήμῃ, ἔχῃ δὲ αὐτὴν ἐν τῇ ψυχῇ, ἰατρός ἐστιν. Εἰσὶν ἄρχοντες ἑαυτῶν ἄρχοντες. Τρία γὰρ ταῦτά ἐστι ψυχῇ, οἰκία, πόλις, οἰκουμένη· καὶ ὁδῷ τὰ πράγματα προβαίνει. Δεῖ τοίνυν τὸν μέλλοντα ἐπιστήσεσθαι οἰκίας, καὶ καλῶς αὐτὴν οἰκοδομήσειν, πρότερον τὴν ψυχὴν τὴν ἑαυτοῦ ρυθμίζειν· οἰκία γὰρ αὐτοῦ ἐστιν· εἰ δὲ τὴν ἑαυτοῦ μὴ δύναιτο, ἔνθα μία ψυχή, ἔνθα κύριος αὐτός, ἔνθα ἀεὶ σύνεστιν ἑαυτῷ, πῶς τοὺς ἄλλους οἰκοδομήσει; Ὁ τὴν ψυχὴν τὴν ἑαυτοῦ ρυθμίσαι δυνάμενος, καὶ τὸ μὲν ποιῶν ἄρχειν, τὸ δὲ ἄρχεσθαι, οὗτος καὶ οἰκίαν δυνήσεται· ὁ δὲ οἰκίαν, καὶ πόλιν· ὁ δὲ πόλιν, καὶ οἰκουμένην. Εἰ δὲ ψυχὴν οὐκ ἂν δύναιτο, πῶς οἰκουμένην δυνήσεται;

Ταῦτα μοι εἴρηται, ἵνα μὴ ὦμεν ἐπτοημένοι πρὸς

θεραπεία τῶν σωμάτων χρειάζεται τόση μεγάλη φροντίδα, πολὺ περισσότερη φροντίδα χρειάζεται ἡ θεραπεία τῆς ψυχῆς, ἐπειδὴ ἡ ψυχὴ εἶναι ἀνώτερη ἀπὸ τὰ σώματα. Ἑπομένως δὲν σημαίνει, τὸ νὰ ἔχει κανεὶς τὸ ὄνομα τοῦ ἄρχοντα ὅτι εἶναι καὶ ἄρχοντας· καθόσον καὶ ἄλλοι ἔχουν μεγάλα ὀνόματα (ὅπως Παῦλος, Πέτρος, Ἰάκωβος, Ἰωάννης), ἀλλ᾽ ὅμως ἀπὸ τὰ ὀνόματα δὲν εἶναι καὶ αὐτὸ ποὺ δηλώνουν τὰ ὀνόματα, ὅπως ἀκριβῶς οὔτε καὶ ἐγώ· ἀλλ᾽ ἔχω τὸ ἴδιο ὄνομα μὲ τὸν μακάριο ἐκεῖνο, δὲν ἔχει ὅμως τὸ ὄνομά μου τὴν ἴδια σημασία μὲ τὸ ὄνομα ἐκείνου· δὲν εἶμαι Ἰωάννης, ἀλλὰ ὀνομάζομαι.

Ἔτσι καὶ ἐκεῖνοι δὲν εἶναι ἄρχοντες, ἀλλὰ ὀνομάζονται. Ἐκεῖνοι εἶναι ἄρχοντες καὶ χωρὶς αὐτά, ὅπως ἀκριβῶς καὶ ὁ ἰατρός, καὶ ἂν ἀκόμη δὲν κάνει χρήση τῆς ἐπιστήμης, ἀλλ᾽ ἔχει αὐτὴν μέσα στὴν ψυχή του, εἶναι ἰατρός. Ἄρχοντες εἶναι ἐκεῖνοι ποὺ εἶναι ἄρχοντες τοῦ ἑαυτοῦ τους. Διότι τὰ τρία αὐτὰ πράγματα ὑπάρχουν μέσα στὴν ψυχή, ἡ οἰκία, ἡ πόλη καὶ ἡ οἰκουμένη· καὶ τὰ πράγματα προχωροῦν μὲ τὴ σειρά τους. Πρέπει λοιπὸν ἐκεῖνος ποὺ πρόκειται νὰ οἰκοδομήσει οἰκία, καὶ νὰ οἰκοδομήσει αὐτὴν σωστά, τακτοποιώντας πρῶτα σωστὰ τὴ δική του ψυχή· διότι αὐτὴ εἶναι οἰκία δική του· ἐὰν ὅμως δὲν μπορεῖ νὰ τακτοποιήσει τὴ δική του, ποὺ εἶναι μία ψυχή, ὅπου κύριος εἶναι αὐτὸς ὁ ἴδιος, καὶ πάντοτε αὐτὴ βρίσκεται μαζὶ μ᾽ αὐτόν, πῶς θὰ οἰκοδομήσει τοὺς ἄλλους; Ἐκεῖνος ποὺ μπορεῖ νὰ ρυθμίζει τὴν ψυχή του καὶ φροντίζει ἀπὸ τὸ ἕνα μέρος νὰ ἄρχει, ἀπὸ τὸ ἄλλο νὰ ἄρχεται, αὐτὸς θὰ μπορέσει νὰ διοικήσει καὶ οἰκία· ἐκεῖνος ποὺ θὰ μπορέσει νὰ διοικήσει οἰκία, θὰ μπορέσει νὰ διοικήσει καὶ πόλη, καὶ ἐκεῖνος ποὺ θὰ μπορέσει νὰ διοικήσει πόλη, θὰ μπορέσει νὰ κυβερνήσει καὶ τὴν οἰκουμένη. Ἐὰν ὅμως δὲν θὰ μποροῦσε νὰ ρυθμίσει τὴν ψυχή του, πῶς θὰ μπορέσει νὰ κυβερνήσει τὴν οἰκουμένη;

Αὐτὰ τὰ εἶπα, γιὰ νὰ μὴ νιώθομε φόβο πρὸς τὶς ἐξ-

ἀρχάς, ἵνα εἰδῶμεν τί ποτέ ἐστιν ἀρχή· τοῦτο γὰρ οὐκ ἀρχή, ἀλλὰ κατάγελως καὶ δουλεία, καὶ μυρία ἕτερα ἄν τις καλέσειεν. Εἰπέ μοι τί ἐστιν ἄρχοντος ἴδιον; ἆρα οὐχὶ τὸ ὠφελεῖν τοὺς ἀρχομένους καὶ εὐεργετεῖν; Τί οὖν, ἂν τοῦτο μὴ γένηται; πῶς ἑτέρους ὠφελήσει ὁ ἑαυτὸν μὴ ὠφελήσας; ὁ μυρίας ἔχων τυραννίδας ἐν τῇ ψυχῇ τῶν παθῶν πῶς τὰς ἑτέρων ἐκκόψει; Οὕτω καὶ τρυφή· οὐχ αὕτη ἐστὶ τρυφή, ἀλλ' ἑτέρα. Ὥσπερ γὰρ ἄρχων ἐδείχθη οὐχ οὗτος, ἀλλ' ἕτερος, οὕτω καὶ ὁ τρυφῶν ἕτερός ἐστι· δοκεῖ μὲν γὰρ εἶναι τρυφὴ τὸ τῆς ἡδονῆς ἀπολαύειν καὶ γαστρίζεσθαι, οὐκ ἔστι δὲ τοῦτο, ἀλλὰ τοὐναντίον, τὸ ψυχὴν ἔχειν θαυμαστὴν καὶ ἐν ἡδονῇ εἶναι. Ἔστω γάρ τις ἐσθίων, πίνων, σπαταλῶν, ἔπειτα φροντιζέτω καὶ ἀθυμείτω, μὴ δύναται οὗτος εἶναι ἐν τρυφῇ; Οὐκ ἄρα τὸ ἐσθίειν καὶ πίνειν τρυφή, ἀλλὰ τὸ ἐν ἡδονῇ εἶναι. Ἔστω τις ξηρὸν λαμβάνων ἄρτον, καὶ ἐμπιπλάσθω μετ' εὐφροσύνης, ἆρα τοῦτο ἡδονή; Οὐκοῦν καὶ τρυφή. Ἴδωμεν οὖν τίνι παραγίνεται αὕτη, τοῖς πλουτοῦσιν ἢ τοῖς μὴ πλουτοῦσιν; Οὔτε τούτοις ἁπλῶς, οὔτε ἐκείνοις, ἀλλὰ τοῖς οὕτω κατασκευάζουσι τὴν ψυχὴν τὴν ἑαυτῶν, ὥστε μὴ πολλὰς ἔχειν ἀθυμιῶν ὑποθέσεις.

Καὶ ποῖός ἐστιν οὗτος ὁ βίος; ἴσως ἐρεῖ τις· ὁρῶ γὰρ κεχηνότας ἅπαντας καὶ βουλομένους ἀκοῦσαι τίς ἐστιν ὁ βίος οὗτος, ὁ μὴ ἔχων ἀθυμίας. Οὐκοῦν ὁμολογείσθω παρ' ὑμῶν πρῶτον ὅτι τοῦτο ἡδονή, τοῦτο τρυφή, ὅταν ἀθυμία μὴ ἐνοχλῇ, καὶ μὴ ἀπαιτῇ

ουσίες, γιὰ νὰ γνωρίσομε τί τέλος πάντων σημαίνει ἐξουσία· διότι αὐτό δὲν εἶναι ἐξουσία, ἀλλὰ περίγελως καὶ δουλεία, καὶ πολλὰ ἄλλα ὀνόματα θὰ μποροῦσε κανεὶς νὰ τῆς δώσει. Πές μου σὲ παρακαλῶ, ποιό εἶναι τὸ γνώρισμα τοῦ ἄρχοντα; ἄραγε δὲν εἶναι τὸ νὰ ὠφελεῖ τοὺς ἀρχομένους καὶ νὰ τοὺς εὐεργετεῖ; τί λοιπόν, ἂν αὐτό δὲν γίνεται; πῶς θὰ ὠφελήσει ἄλλους ἐκεῖνος ποὺ δὲν ὠφέλησε τὸν ἑαυτό του; ἐκεῖνος ποὺ ἔχει στὴν ψυχή του ἄπειρες τυραννικὲς ἐξουσίες τῶν παθῶν, πῶς θὰ ξερριζώσει τὶς τυραννικὲς ἐξουσίες ἄλλων; Κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ ἀπολαυστικὴ ζωή· δὲν εἶναι αὐτὴ ἀπόλαυση, ἀλλὰ ἄλλη. Διότι ὅπως ἀκριβῶς ἀποδείχθηκε ὅτι ἄρχοντας δὲν εἶναι αὐτὸς ἀλλὰ ἄλλος, ἔτσι καὶ ἄλλος εἶναι ἐκεῖνος ποὺ κάνει ἀπολαυστικὴ ζωή· διότι φαίνεται βέβαια ὅτι ἀπολαυστικὴ ζωὴ εἶναι ἡ ἀπόλαυση τῶν ἡδονῶν καὶ τὸ ὑπερβολικὸ γέμισμα τῆς κοιλιᾶς, δὲν εἶναι ὅμως αὐτό, ἀλλὰ τὸ ἀντίθετο, τὸ νὰ ἔχει δηλαδὴ ψυχὴ θαυμαστὴ καὶ ν' ἀπολαμβάνει πνευματικὴ ἡδονή. Διότι ἂς ὑποθέσομε ὅτι ὑπάρχει κάποιος ποὺ τρώγει, καὶ πίνει, ποὺ σπαταλᾶ,, καὶ στὴ συνέχεια κυριεύεται ἀπὸ σκέψεις καὶ λύπη· μήπως αὐτὸς μπορεῖ νὰ θεωρηθεῖ ὅτι κάνει ἀπολαυστικὴ ζωή; Ἑπομένως ἀπόλαυση δὲν εἶναι τὸ νὰ τρώγει καὶ νὰ πίνει, ἀλλὰ τὸ νὰ νοιώθει εὐχαρίστηση. Ἂς ὑποθέσομε ὅτι κάποιος τρώγει ξερὸ ψωμὶ καὶ χορταίνει μὲ ὑπερβολικὴ εὐχαρίστηση· ἄραγε αὐτὸ δὲν εἶναι ἡδονή; Ἑπομένως εἶναι καὶ ἀπόλαυση. Ἂς δοῦμε λοιπὸν σὲ ποιὸν συμβαίνει αὐτή, στοὺς πλούσιους ἢ στοὺς φτωχούς; Γενικὰ οὔτε σ' αὐτούς, οὔτε σ' ἐκείνους, ἀλλὰ σ' ἐκείνους ποὺ ἔτσι ρυθμίζουν τὴν ψυχή τους, ὥστε νὰ μὴ ἔχουν πολλὲς ἀφορμὲς λύπης.

Ἴσως ὅμως πεῖ κάποιος· Καὶ ποιός εἶναι αὐτὸς ὁ τρόπος ζωῆς; διότι βλέπω ὅλους νὰ ἔχουν ἀνοιχτὸ τὸ στόμα τους καὶ νὰ θέλουν ν' ἀκούσουν ποιός εἶναι αὐτὸς ὁ τρόπος ζωῆς, ποὺ δὲν ἔχει λύπες. Λοιπὸν ἂς ὁμολογηθεῖ ἀπὸ σᾶς πρῶτα ὅτι αὐτὸ εἶναι ἡδονή, αὐτὸ εἶναι ἀπόλαυση, ὅταν δὲ ἐνοχλεῖ ἡ λύπη καὶ ἂς μὴ ζη-

παρ' ἐμοῦ κρέα, καὶ οἶνον, καὶ καρυκεύματα, καὶ ἱμάτια σηρικά, καὶ πλῆθος τραπέζης. 'Αλλ' ἂν δείξω τούτων χωρὶς παρόντα τὸν βίον τὸν τοιοῦτον, ταύτην τὴν ἡδονὴν ἀγάπησον, τοῦτον τὸν βίον· τὰ γὰρ πολλὰ ἐκ τοῦ μὴ λογίζεσθαι δεόντως παραγίνεται ἡμῖν τῶν λυπηρῶν. Τίς οὖν πλείονα λυπηθήσεται, ὁ μηδενὸς αὐτῶν φροντίζων, ἢ ὁ φροντίζων; ὁ φοβούμενος τὰς μεταβολάς, ἢ ὁ μὴ φοβούμενος; ὁ βασκανίαν, ὁ φθόνον, ὁ συκοφαντίας, ὁ ἐπιβουλάς, ὁ ἀπώλειαν δεδοικώς, ἢ ὁ τούτων ἐκτός; ὁ πλειόνων δεόμενος, ἢ ὁ μηδενός; ὁ μυρίοις δουλεύων, ἢ ὁ μηδενί; ὁ μυρίων χρείαν ἔχων, ἢ ὁ ἐλεύθερος; ὁ ἕνα δεσπότην δεδοικώς, ἢ ὁ μυρίους; Οὐκοῦν μείζων ἡ ἡδονὴ ἐνταῦθα.

Ταύτην τοίνυν διώκωμεν, καὶ μὴ περὶ τὰ παρόντα ὦμεν ἐπτοημένοι, ἀλλὰ καταγελῶμεν πάσης τῆς τοῦ βίου φαντασίας, καὶ πανταχοῦ τῆς συμμετρίας ὦμεν, ἵνα δυνηθῶμεν ἄλυπον τὸν βίον τοῦτον διαγαγεῖν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

τάει ἀπὸ μένα κρέατα, καὶ κρασί, καὶ καρικεύματα, καὶ ροῦχα μεταξωτά, καὶ πλουσιοπάροχο τραπέζι. Ἂν λοιπὸν ἀποδείξω ὅτι αὐτὸς ὁ τρόπος ζωῆς ὑπάρχει ὅταν δὲν ὑπάρχουν αὐτά, τότε ἀγάπησε αὐτὴ τὴν ἡδονή, ἀγάπησε αὐτὴ τὴ ζωή· διότι οἱ πιὸ πολλὲς λύπες δημιουργοῦνται σὲ μᾶς ἀπὸ τὸ γεγονὸς ὅτι δὲν σκεφτόμαστε σωστά. Ποιὸς λοιπὸν θὰ λυπηθεῖ περισσότερο, ἐκεῖνος ποὺ δὲν φροντίζει γιὰ κανένα ἀπ' αὐτά, ἢ ἐκεῖνος ποὺ φροντίζει; Ἐκεῖνος ποὺ φοβᾶται τὶς μεταβολές, ἢ ἐκεῖνος ποὺ δὲν φοβᾶται; ἐκεῖνος ποὺ φοβᾶται τὴ μοχθηρία, τὸ φθόνο, τὶς συκοφαντίες, τὶς ἐπιβουλές, τὸ θάνατο, ἢ ἐκεῖνος ποὺ εἶναι ἀπαλλαγμένος ἀπ' αὐτά; Ἐκεῖνος ποὺ ἔχει ἀνάγκη ἀπὸ πολλά, ἢ ἐκεῖνος ποὺ δὲν ἔχει ἀνάγκη ἀπὸ τίποτε; Ἐκεῖνος ποὺ εἶναι δοῦλος σὲ πολλούς, ἢ ἐκεῖνος ποὺ δὲν εἶναι δοῦλος σὲ κανένα; Ἐκεῖνος ποὺ ἔχει ἀνάγκη ἀπὸ πολλούς, ἢ ἐκεῖνος ποὺ εἶναι ἐλεύθερος; Ἐκεῖνος ποὺ φοβᾶται ἕναν κύριο, ἢ ἐκεῖνος ποὺ φοβᾶται πολλούς; Ὥστε λοιπὸν εἶναι μεγαλύτερη ἡ ἡδονὴ στὴ δεύτερη περίπτωση.

Αὐτὴν λοιπὸν ἂς ἐπιδιώκομε καὶ ἂς μὴ κυριευόμαστε ἀπὸ σφοδρὸ πόθο γιὰ τὰ παρόντα πράγματα, ἀλλὰ νὰ θεωροῦμε ἄξια χλευασμοῦ ὅλα τὰ ἐξωτερικὰ σχήματα τῆς ζωῆς αὐτῆς, καὶ παντοῦ νὰ προτιμοῦμε τὴν ἁρμονικὴ ἀναλογία, γιὰ νὰ μπορέσομε νὰ περάσομε χωρὶς λύπη αὐτὴ τὴ ζωή, καὶ νὰ ἐπιτύχομε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθεῖ ὁ Θεός, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη καὶ ἡ τιμὴ καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΓ΄
(Πράξ. 26, 30 - 28, 1)

«Ἀνέστη δὲ ὁ βασιλεύς, καὶ ὁ ἡγεμών, ἥ τε Βερνίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους, λέγοντες ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσμῶν πράσσει ὁ ἄνθρωπος οὗτος. Ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη· Ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἀπεκέκλητο Καίσαρα».

1. Ὅρα πῶς καὶ πάλιν ὑπὲρ αὐτοῦ ψηφίζονται, καὶ μετὰ τὸ εἰπεῖν, «Μαίνῃ» ἀφιᾶσιν αὐτὸν οὐ τοῦ θανάτου, ἀλλὰ καὶ τῶν δεσμῶν· καὶ τέλεον ἂν ἀφῆκαν, εἰ μὴ Καίσαρα ἀπεκέκλητο. Ἀλλὰ τοῦτο οἰκονομικῶς γέγονεν· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸ μετὰ δεσμῶν ἀπελθεῖν. Διὰ τοῦτο ἔλεγε· «Μέχρι δεσμῶν ὡς κακοῦργος»· εἰ γὰρ ὁ Κύριος αὐτοῦ μετὰ ἀνόμων ἐλογίσθη, πολλῷ μᾶλλον οὗτος· ἀλλ' ὥσπερ ἐκεῖνος οὐκ ἐκοινώνησε τῆς δόξης, οὕτως οὐδὲ οὗτος. Τὸ γὰρ θαυμαστὸν τότε φαίνεται τὸ ἀναμεμιγμένον τούτοις μηδὲν παρ' αὐτῶν βλάπτεσθαι.

«Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν Ἰταλίαν, παρεδίδουν τόν τε Παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ, ὀνόματι Ἰουλίῳ, σπείρας Σεβαστῆς. Ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ, μέλλοντες πλεῖν τοὺς κατὰ τὴν Ἀσίαν τόπους, ἀνήχθημεν, ὄντος σὺν ἡμῖν Ἀριστάρχου Μακεδόνος

------

1. Πράξ. 26, 24
2. Β΄ Τιμ. 2, 9

ΟΜΙΛΙΑ ΝΓ΄
(Πράξ. 26, 30 - 28, 1)

«Σηκώθηκε τότε ὁ βασιλιὰς καὶ ὁ ἡγεμόνας καὶ ἡ Βερνίκη καὶ ὅλοι ὅσοι κάθονταν μαζὶ μ' αὐτούς, καὶ ἀφοῦ ἔφυγαν συνομιλοῦσαν ἀναμεταξύ τους καὶ ἔλεγαν, ὅτι ὁ ἄνθρωπος αὐτὸς δὲν κάνει τίποτε ἄξιο θανάτου ἢ φυλακίσεως. Εἶπε τότε ὁ 'Αγρίππας στὸ Φῆστο· Θὰ μποροῦσε ν' ἀπολυθεῖ ὁ ἄνθρωπος αὐτός, ἐὰν δὲν εἶχε ἐπικαλεσθεῖ τὸν Καίσαρα».

1. Πρόσεχε πῶς καὶ πάλι ἀποφασίζουν ὑπὲρ αὐτοῦ, καὶ μετὰ ἀπὸ ἐκεῖνο ποὺ εἶπαν, «Εἶσαι τρελλός»[1], ἀπαλάσσουν αὐτὸν ὄχι μόνο ἀπὸ τὸ θάνατο, ἀλλὰ καὶ ἀπὸ τὰ δεσμά· καὶ θὰ τὸν ἐλευθέρωναν ἐξ ὁλοκλήρου, ἐὰν δὲν εἶχε ἐπικαλεσθεῖ τὸν Καίσαρα. 'Αλλὰ καὶ αὐτὸ ρυθμίσθηκε ἀπὸ τὴν πρόνοια τοῦ Θεοῦ· καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ τὸ νὰ φύγει ἀπὸ ἐκεῖ ἀλυσσοδεμένος. Γι' αὐτὸ καὶ ἔλεγε· «'Ακόμη καὶ ἀλυσσοδεμένος σὰν κακοῦργος»[2]. Διότι, ἐὰν ὁ Κύριος αὐτοῦ συμπεριελήφθηκε μεταξὺ τῶν ἀνόμων, πολὺ περισσότερο αὐτός· ἀλλ' ὅπως ἀκριβῶς ἐκεῖνος δὲν εἶχε σχέση μὲ τὴν κρίση ἐκείνη, ἔτσι οὔτε καὶ αὐτός. Διότι τὸ θαυμαστὸ τότε φαίνεται, τὸ νὰ ἔχει ἀναμειχθεῖ κανεὶς μὲ αὐτούς, χωρὶς ὅμως νὰ βλάπτεται καθόλου ἀπ' αὐτούς.

«῞Οταν ἀποφασίσθηκε ν' ἀποπλεύσομε γιὰ τὴν 'Ιταλία παρέδωσαν καὶ τὸν Παῦλο καὶ μερικοὺς φυλακισμένους σὲ κάποιον ἑκατόνταρχο, ποὺ ὀνομαζόταν 'Ιούλιος, καὶ ἦταν τῆς αὐτοκρατορικῆς φρουρᾶς. 'Αφοῦ ἀνεβήκαμε σὲ κάποιο 'Αδραμυττηνὸ πλοῖο, μὲ τὸ ὁποῖο ἐπρόκειτο νὰ πλεύσομε στὰ λιμάνια τῆς 'Ασίας, ἀναχωρήσαμε, ἔχοντας μαζί μας τὸν 'Αρίσταρχο, Μακεδόνα ἀπὸ τὴ Θεσσαλονίκη.

Θεσσαλονικέως. Τῇ δὲ ἑτέρᾳ κατήχθημεν εἰς Σιδῶνα». Ὅρα μέχρι ποῦ συνέρχεται τῷ Παύλῳ καὶ Ἀρίσταρχος. Καλῶς καὶ χρησίμως πάρεστιν ὁ Ἀρίσταρχος, μέλλων ἅπαντα ἀπαγγέλλειν εἰς Μακεδονίαν. «Φιλανθρώπως τε ὁ Ἰούλιος τῷ Παύλῳ χρησάμενος, ἐπέτρεψε πρὸς τοὺς φίλους πορευθέντα ἐπιμελείας τυχεῖν. Κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους». «Ἐπέτρεψε», φησίν, «Ἰούλιος φιλανθρώπως τῷ Παύλῳ χρησάμενος». Καλῶς ποιῶν τοῦτο ἐπιτρέπει, ὥστε ἐπιμελείας τυχεῖν ἀπελθόντα παρὰ τοὺς γνωρίμους· εἰκὸς γὰρ ἦν αὐτὸν ἀπὸ πολλῆς κακώσεως εἶναι τῶν δεσμῶν, τοῦ φόβου, τοῦ ἄγεσθαι καὶ φέρεσθαι. Ὅρα πῶς οὐδὲ τοῦτο κρύπτει, ὅτι ἐβούλετο ἐπιμελείας τυχεῖν.

Πάλιν πειρασμοί, πάλιν ἄνεμοι ἐναντίοι. Ὅρα διὰ πάντων οὕτω τὸν βίον τῶν ἁγίων ὑφαινόμενον· ἐξέφυγον τὸ δικαστήριον, καὶ περιπίπτουσι ναυαγίῳ καὶ χειμῶνι· ὃ καὶ δηλῶν, ἐπάγει· «Τό τε πέλαγος, τὸ κατὰ τὴν Κιλικίαν καὶ Παμφυλίαν, διαπλεύσαντες, κατήλθομεν εἰς Μύρα τῆς Λυκίας. Κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρχος πλοῖον Ἀλεξανδρῖνον πλέον εἰς τὴν Ἰταλίαν, ἀνεβίβασεν ἡμᾶς εἰς αὐτό». «Εὑρὼν πλοῖον», φησίν, «Ἀλεξανδρῖνον». Εἰκότως εὑρίσκεται, ὥστε κἀκείνους ἀπαγγεῖλαι εἰς τὴν Ἀσίαν τὰ κατὰ τὸν Παῦλον καὶ τούτους εἰς τὴν Λυκίαν. Ὅρα τὸν Θεὸν οὐδὲν καινίζοντα, οὐδὲ μεταβάλλοντα, ἀλλὰ ἀφιέντα αὐτὸν εἰς τοὺς ἀνέμους τοὺς ἀνεπιτηδείους πλεῖν. Ἀλλά καὶ οὕτω θαῦμα ἐργάζεται· ὥστε γὰρ ἀσφαλῶς πλεῖν, οὐκ ἀφῆκεν αὐτοὺς εἰς πέλαγος, ἀλλ' ἀεὶ παρὰ γῆν ἔπλεον.

«Ἐν ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες, καὶ μόλις γενόμενοι κατὰ τὴν Κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν τὴν Κρήτην κατὰ τὴν Σαλμώνην· μόλις τε παραλεγόμενοι αὐτήν, ἤλθομεν εἰς τόπον τινά, καλούμενον Καλοὺς λιμένας, ᾧ

Τὴν ἑπόμενη ἡμέρα φθάσαμε στὴ Σιδώνα». Πρόσεχε μέχρι ποῦ πηγαίνει ὁ Ἀρίσταρχος μαζὶ μὲ τὸν Παῦλο. Πολὺ καλὰ καὶ χρήσιμα παραβρίσκεται καὶ ὁ Ἀρίσταρχος, ὁ ὁποῖος πρόκειται νὰ τὰ γνωστοποιήσει ὅλα στὴ Μακεδονία. «Ὁ Ἰούλιος φέρθηκε μὲ εὐγένεια πρὸς τὸν Παῦλο, καὶ τὸν ἐπέτρεψε νὰ μεταβεῖ στοὺς φίλους του γιὰ νὰ τὸν περιποιηθοῦν. Ἀπὸ ἐκεῖ ἀναχωρήσαμε καὶ πλεύσαμε πρὸς τὰ ὑπήνεμα μέρη τῆς Κύπρου, διότι οἱ ἄνεμοι ἦταν ἀντίθετοι». «Ὁ Ἰούλιος», λέγει, «φέρθηκε μὲ εὐγένεια πρὸς τὸν Παῦλο καὶ τὸν ἐπέτρεψε νὰ μεταβεῖ στοὺς φίλους του γιὰ νὰ τὸν περιποιηθοῦν»· διότι φυσικὸ ἦταν νὰ εἶχε πολλὲς κακώσεις ἀπὸ τὶς ἁλυσίδες, ἀπὸ τὸ φόβο, καὶ ἀπὸ τὸ νὰ ὁδηγεῖται ἐδῶ καὶ ἐκεῖ. Πρόσεχε πῶς οὔτε αὐτὸ κρύβει, τὸ ὅτι δηλαδὴ ἤθελε νὰ τύχει περιποιήσεως.

Πάλι δοκιμασίες, πάλοι ἄνεμοι ἀντίθετοι. Πρόσεχε τὴ ζωὴ τῶν ἁγίων ποὺ ὑφαίνεται ἔτσι μὲ ὅλα αὐτά. Ξέφυγαν τὸ δικαστήριο καὶ περιπίπτουν σὲ ναυάγιο καὶ τρικυμία, πράγμα ποὺ γιὰ νὰ δηλώσει, προσθέτει· «Καὶ ἀφοῦ πλεύσαμε τὸ πέλαγος τῆς Κιλικίας καὶ τῆς Παμφιλίας, ἤρθαμε στὰ Μύρα τῆς Λυκίας. Ἐκεῖ ὁ ἑκατόνταρχος βρῆκε κάποιο Ἀλεξανδρινὸ πλοῖο ποὺ προοριζόταν γιὰ τὴν Ἰταλία, καὶ μᾶς ἐπιβίβασε σ' αὐτό». «Βρῆκε», λέγει, «πλοῖο Ἀλεξανδρινό». Πολὺ σωστὰ βρίσκεται τὸ πλοῖο, ὥστε καὶ ἐκεῖνοι νὰ γνωστοποιήσουν τὰ σχετικὰ μὲ τὸν Παῦλο στὴν Ἀσία, καὶ αὐτοὶ στὴ Λυκία. Πρόχεσε ποὺ ὁ Θεὸς τίποτε νέο δὲν ἐπινοεῖ, οὔτε μεταβάλλει τὰ πράγματα, ἀλλ' ἀφήνει αὐτὸν νὰ πλέει στοὺς ἀντίθετους ἀνέμους. Ὅμως καὶ ἔτσι θαῦμα πραγματοποιεῖ διότι, γιὰ νὰ πλέουν μὲ ἀσφάλεια, δὲν τοὺς ἄφησε στὸ πέλαγος, ἀλλὰ συνέχεια ἔπλεαν δίπλα στὴν ξηρά.

«Γιὰ πολλὲς ἡμέρες πλέαμε σιγὰ -- σιγὰ καὶ μὲ δυσκολία φθάσαμε κοντὰ στὴν Κνίδο, ἐπειδὴ ὅμως δὲν μᾶς ἐπέτρεπε ὁ ἄνεμος νὰ προχωρήσομε, ὅταν περάσαμε τὴ Σαλμώνη, πλεύσαμε νότια τῆς Κρήτης. Ἐνῶ πλέαμε μὲ κόπο δίπλα στὴν ἀκτή, ἤρθαμε σὲ κάποιο τόπο ποὺ ὀνομαζόταν Καλοὶ Λιμένες, κοντὰ στὸν ὁποῖο ἦταν ἡ πόλη

ἐγγὺς ἦν πόλις Λασαία. Ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη τοῦ πλοὸς ἐπισφαλοῦς διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι, παρῄνει ὁ Παῦλος αὐτοῖς λέγων· Ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας οὐ μόνον τοῦ φορτίου καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν. Ὁ δὲ ἑκατόνταρχος τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον, ἢ τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις». Τὴν νηστείαν ἐνταῦθα τὴν τῶν Ἰουδαίων λέγειν ἡγοῦμαι. Μετὰ γὰρ τὴν Πεντηκοστὴν ἐξῆλθον ἐκεῖθεν μετὰ πολὺν χρόνον, ὡς ἐν αὐτῷ σχεδὸν τῷ χειμῶνι παραγενέσθαι εἰς τὰ μέρη τῆς Κρήτης. Καὶ τοῦτο δὲ οὐ μικρὸν θαῦμα, τὸ διασωθῆναι δι' αὐτὸν καὶ ἐκείνους. «Ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας», φησίν, «οὐ μόνον τοῦ φορτίου καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν». Ὁ μὲν οὖν Παῦλος ἐκέλευσε μένειν, καὶ τὰ μέλλοντα προλέγει, ἐκεῖνοι δὲ ἐπειγόμενοι, καὶ ὑπὸ τοῦ τόπου κωλυόμενοι, ἤθελον εἰς Φοίνικα παραχειμάσαι. Καὶ σκόπει τὴν οἰκονομίαν· πρῶτον μὲν ἦραν τὸ σκάφος καὶ ἐξήρχοντο, ἔπειτα, ὡς ἐνέπεσεν ἄνεμος, ἐδίδουν τῷ φέροντι, καὶ μόλις ἐσώζοντο.

2. «Ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ πλείους ἔθεντο βουλὴν ἀναχθῆναι ἐκεῖθεν, εἴ πως δύναιντο καταντήσαντες εἰς Φοίνικα παραχειμάσαι, λιμένα τῆς Κρήτης, βλέποντα κατὰ Λίβα καὶ κατὰ Χῶρον. Ὑποπνεύσαντος δὲ Νότου, δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες ἆσσον παρελέγοντο τὴν Κρήτην. Μετ' οὐ πολὺ δὲ ἔβαλε κατ' αὐτὴν ἄνεμος τυφωνικός, ὁ καλούμενος Εὐροκλύδων· συναρπασθέντος δὲ τοῦ πλοίου, καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, ἐπιδόντες ἐφερόμεθα. Νησίον δέ τι ὑποδραμόντες, καλούμενον Κλαύ-

Λασαία. Ἀφοῦ εἶχε περάσει ἀρκετὸς χρόνος καὶ τὸ ταξίδι ἦταν ἐπικίνδυνο, ἡ δὲ νηστεία εἶχε ἤδη περάσει, εἶπε ὁ Παῦλος σ' αὐτούς· Ἄνδρες, βλέπω ὅτι τὸ ταξίδι πρόκειται νὰ γίνει μὲ τρικυμία μεγάλη καὶ ζημιὰ ὄχι μόνο τοῦ φορτίου καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῆς ζωῆς μας. Ὁ ἑκατόνταρχος ὅμως πίστευε περισσότερο τὰ λόγια τοῦ πλοίαρχου καὶ τοῦ ἰδιοκτήτη τοῦ πλοίου, παρὰ τοῦ Παύλου». Νομίζω ὅτι ἐδῶ ἐννοεῖ τὴ νηστεία τῶν Ἰουδαίων. Διότι ἀναχώρησαν ἀπὸ ἐκεῖ μετὰ τὴν Πεντηκοστὴ καὶ ἀφοῦ εἶχε περάσει πολὺς χρόνος, ὥστε σχεδὸν κατὰ τὴ διάρκεια τοῦ χειμώνα νὰ φθάσουν στὰ μέρη τῆς Κρήτης. Καὶ αὐτὸ δὲν εἶναι μικρὸ θαῦμα, τὸ νὰ σωθοῦν ἐξ αἰτίας αὐτοῦ καὶ ἐκεῖνοι. «Ἄνδρες, βλέπω ὅτι τὸ ταξίδι πρόκειται νὰ γίνει μὲ τρικυμία», λέγει, «καὶ μεγάλη ζημία, ὄχι μόνο τοῦ φορτίου τοῦ πλοίου ἀλλὰ καὶ τῆς ζωῆς μας». Ὁ Παῦλος λοιπὸν συμβούλεψε νὰ παραμείνουν, προλέγοντας ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν, ἐκεῖνοι ὅμως βιάζονται, καὶ ἐνῶ ἐμποδίζονταν ἀπὸ τὸ μέρος, ἤθελαν νὰ περάσουν τὸ χειμώνα στὸ Φοίνικα. Καὶ πρόσεχε τὴν πρόνοια τοῦ Θεοῦ. Στὴν ἀρχὴ πῆραν τὸ σκάφος καὶ ἀπέπλευσαν, ἔπειτα ὅμως, μόλις σηκώθηκε δυνατὸς ἄνεμος, τὸ ἄφησαν στὴν τύχη καὶ μόλις καὶ μετὰ βίας σώθηκαν.

2. «Ἐπειδὴ τὸ λιμάνι δὲν ἦταν κατάλληλο γιὰ νὰ περάσουν τὸ χειμώνα, οἱ περισσότεροι εἶχαν τὴ γνώμη ν' ἀναχωρήσουν ἀπὸ ἐκεῖ, μήπως καὶ μπορέσουν νὰ φθάσουν στὸ Φοίνικα, ποὺ εἶναι λιμάνι τῆς Κρήτης καὶ βλέπει πρὸς τὰ νοτιοδυτικὰ καὶ βορειοδυτικὰ ὥστε νὰ περάσουν ἐκεῖ τὸ χειμώνα. Μόλις ἄρχισε νὰ πνέει ἐλαφρὸς νότιος ἄνεμος, νόμισαν ὅτι μποροῦν νὰ πραγματοποιήσουν τὸ σχέδιό τους καί, ἀφοῦ σήκωσαν τὴν ἄγκυρα, ἔπλεαν κατὰ μῆκος τῆς Κρήτης, κοντὰ στὶς ἀκτές. Ὅμως μετὰ ἀπὸ λίγο ξέσπασε ἐναντίον τους ἕνας ἀνεμοστρόβιλος ποὺ ὀνομάζεται εὐροκλύδωνας. Ἐπειδὴ τὸ πλοῖο παρασύρθηκε καὶ δὲν μποροῦσε ν' ἀντισταθεῖ στὸν ἄνεμο, παραδοθήκαμε σ' αὐτὸν καὶ μᾶς ἔφερνε ὅπου ἤθελε. Ὅταν πλεύσαμε στὰ

δην, μόλις ἰσχύσαμεν περικρατεῖς γενέσθαι τῆς σκάφης, ἣν ἄραντες, βοηθείαις ἐχρῶντο ὑποζωννύντες τὸ πλοῖον· φοβούμενοί τε μὴ εἰς τὴν Σύρτιν ἐκπέσωσι, χαλάσαντες τὰ ἱστία, οὕτως ἐφέροντο. Σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο· καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν. Μήτε δὲ ἡλίου μήτε ἄστρων ἐπιφαινομένων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ σώζεσθαι ἡμᾶς. Πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν εἶπεν». Ὅρα· μετὰ τὸν τοιοῦτον χειμῶνα οὐκ ἐπεμβαίνων αὐτοῖς διαλέγεται, ἀλλὰ βουλόμενος κἂν εἰς τὸ μέλλον πιστευθῆναι. Ὅθεν καὶ τὰ γεγενημένα παραλαμβάνει εἰς μαρτυρίαν τῆς τῶν ῥηθησομένων ἀληθείας. Καὶ δύο προλέγει, ὅτι τε εἰς νῆσον ἐκπεσεῖν δεῖ, καὶ ὅτι τὸ μὲν πλοῖον ἀπολεῖται, οἱ δὲ ἐνόντες σωθήσονται (ὅπερ οὐκ ἦν στοχασμοῦ, ἀλλὰ προφητείας), καὶ ὅτι αὐτὸν Καίσαρι δεῖ παραστῆναι. Τὸ δὲ «κεχάρισταί σοι ὁ Θεὸς ἅπαντας», ὅπερ εἶπεν, οὐκ ἀλαζονείας ἐστίν, ἀλλὰ βουλομένου προσαγαγέσθαι τοὺς ἐμπλέοντας· οὐχ ἵνα γὰρ αὐτῷ χάριν ἔχωσιν, ἀλλ' ἵνα πείθωνται τοῖς ὑπ' αὐτοῦ λεγομένοις, οὕτως εἶπε. Τὸ δὲ «κεχάρισταί σοι ὁ Θεὸς» τῷ Παύλῳ εἴρηται. Τοῦτο μονονουχὶ λέγων αὐτῷ· '῎Αξιοι μέν εἰσιν ἀποθανεῖν, ἐπειδὴ παρήκουσαν· πλὴν εἰς τὴν χάριν τὴν σὴν τοῦτο γίνεται'.

«Πολλῆς δέ», φησίν, «ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν εἶπεν· Ἔδει μέν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι, μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης, κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν

νότια κάποιου μικροῦ νησιοῦ, ποὺ ὀνομάζεται Κλαύδη, κατορθώσαμε μόλις καὶ μετὰ δυσκολίας νὰ γίνομε κύριοι τοῦ σκάφους, τὸ ὁποῖο, ἀφοῦ τὸ ἔσυραν ἐπάνω, χρησιμοποιοῦσαν βοηθητικὰ μέσα, ζώνοντας τὸ πλοῖο τριγύρω μὲ καραβόσχοινο. Ἐπειδὴ ὅμως φοβοῦνταν μήπως πέσουν ἔξω στὴ Σύρτη, ἀφοῦ κατέβασαν τὰ πανιὰ σύρονταν ἀπὸ τὸ ρεῦμα τοῦ ἀέρα, καὶ ἐπειδὴ ἀντιμετωπίζαμε μεγάλες δυσκολίες ἐξ αἰτίας τῆς θαλασσοταραχῆς, τὴν ἑπόμενη ἡμέρα ἔρριξαν στὴ θάλασσα ἕνα μέρος ἀπὸ τὸ φορτίο καὶ κατὰ τὴν τρίτη ἡμέρα μὲ τὰ ἴδια τὰ χέρια μας ρίξαμε στὴ θάλασσα τὶς ἀποσκευὲς τοῦ πλοίου. Ἐπειδὴ ὅμως οὔτε ἥλιος οὔτε ἄστρα φαίνονταν γιὰ πολλὲς ἡμέρες καὶ φοβερὴ θύελλα μᾶς ἔζωνε ἀπὸ παντοῦ, εἶχε χαθεῖ πλέον κάθε ἐλπίδα γιὰ τὴ σωτηρία μας. Ἀφοῦ πέρασαν ἀρκετὲς ἡμέρες χωρὶς νὰ φάνε τίποτε, τότε, ἀφοῦ στάθηκε ὁ Παῦλος ἀνάμεσά τους, εἶπε». Πρόσεχε˙ μετὰ ἀπὸ τὴν τόση τρικυμία ὁμιλεῖ πρὸς αὐτοὺς χωρὶς νὰ θέλει νὰ τοὺς κατηγορήσει, ἀλλὰ θέλοντας νὰ γίνει πιστευτὸς ἔστω καὶ στὸ μέλλον. Γι' αὐτὸ καὶ προβάλλει τὰ ὅσα συνέβηκαν σὰν ἐπιβεβαίωση τῆς ἀλήθειας ἐκείνων ποὺ θὰ λεχθοῦν. Καὶ προλέγει δύο πράγματα, καὶ ὅτι πρέπει ν' ἀποβιβασθοῦν σὲ κάποιο νησί, καὶ ὅτι τὸ μὲν πλοῖο θὰ καταστραφεῖ, οἱ ἐπιβάτες του ὅμως θὰ σωθοῦν (πράγμα ποὺ δὲν ἦταν σκέψη του, ἀλλὰ προφητεία) καὶ ὅτι αὐτὸς πρέπει νὰ παρουσιασθεῖ στὸν Καίσαρα. Τὰ λόγια ποὺ εἶπε, «Ὁ Θεὸς σοῦ χάρισε ὅλους τοὺς συνταξιδιῶτες σου», δὲν εἶναι λόγια ἀλαζονείας, ἀλλ' εἶναι λόγια μὲ τὰ ὁποῖα θέλει νὰ προσελκύσει τοὺς συνταξιδιῶτες του˙ μίλησε δηλαδὴ ἔτσι, ὄχι γιὰ νὰ τοῦ ὀφείλουν εὐγνωμοσύνη, ἀλλὰ γιὰ νὰ πιστεύουν στὰ λεγόμενά του. Τὰ λόγια, «Σοῦ τοὺς χάρισε ὁ Θεός», λέχθηκαν γιὰ τὸν Παῦλο. Εἶναι σὰν νὰ λέγει σ' αὐτὸν τὸ ἑξῆς˙ Βέβαια ἐπειδὴ παράκουσαν εἶναι ἄξιοι νὰ πεθάνουν, πλὴν ὅμως αὐτὸ γίνεται γιὰ χάρη δική σου'.

«Ἀφοῦ πέρασαν», λέγει, «πολλὲς ἡμέρες χωρὶς νὰ φάνε τίποτε, τότε, ἀφοῦ στάθηκε ὁ Παῦλος ἀνάμεσά τους, εἶπε˙ "Ἔπρεπε, ἄνδρες, νὰ ὑπακούσετε στὰ λόγια μου καὶ νὰ μὴ ἀναχωρήσετε ἀπὸ τὴν Κρήτη, διότι ἔτσι θ' ἀποφεύ-

ζημίαν. Καὶ τανῦν παραινῶ ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου. Παρέστη γάρ μοι ταύτῃ τῇ νυκτὶ ἄγγελος τοῦ Θεοῦ, οὗ εἰμι, ᾧ καὶ λατρεύω, λέγων· Μὴ φοβοῦ, Παῦλε· Καίσαρί σε δεῖ παραστῆναι· καὶ ἰδοὺ κεχάρισταί σοι ὁ Θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ. Διὸ εὐθυμεῖτε, ἄνδρες· πιστεύω γὰρ τῷ Θεῷ ὅτι οὕτως ἔσται, καθ' ὃν τρόπον λελάληταί μοι. Εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν. Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, διαφερομένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ κατὰ μέσον τῆς νυκτὸς ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν· καὶ βολίσαντες εὗρον ὀργυιὰς εἴκοσι· βραχὺ δὲ διαστήσαντες, καὶ πάλιν βολίσαντες, εὗρον ὀργυιὰς δέκα πέντε· φοβούμενοί τε μή πως εἰς τραχεῖς τόπους ἐκπέσωσιν, ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας, ηὔχοντο ἡμέραν γενέσθαι. Τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου, καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει ὡς ἐκ πρώρας μελλόντων ἀγκύρας ἐκτείνειν, εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις· Ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε. Τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν». Ἐνταῦθα δείκνυσιν ὅτι ἔμελλον οἱ ναῦται φεύγειν, ἀπιστοῦντες τῷ λεγομένῳ· ὁ δὲ ἑκατόνταρχος πιστεύει σὺν τοῖς στρατιώταις· διὸ καί φησιν· «Ἐὰν οὗτοι φύγωσιν, ὑμεῖς σωθῆναι οὐ δύνασθε», οὐ διὰ τοῦτο εἰπών, ἀλλ' ἵνα κατάσχῃ αὐτούς, καὶ ἡ προφητεία μὴ διαπέσῃ. Ὅρα καθάπερ ἐν ἐκκλησίᾳ παιδευομένους αὐτοὺς τοῦ Παύλου τὴν φιλοσοφίαν, οὓς καὶ ἐκ μέσων αὐτῶν σώζει τῶν κινδύνων. Καὶ οἰκονομικῶς ἀπιστεῖται ὁ Παῦλος, ἵνα μετὰ τὴν πεῖραν τῶν πραγμάτων πιστευθῇ· ὅπερ οὖν καὶ γέγονε. Καὶ παραινεῖ πάλιν μεταλαβεῖν τροφῆς, καὶ πείθονται· καὶ αὐτὸς

γατε αὐτὴ τὴν τρικυμία καὶ τὴ ζημιά. Καὶ τώρα σᾶς συμβουλεύω νὰ ἔχετε θάρρος· καθόσον κανένας ἀπὸ σᾶς δὲν πρόκειται νὰ χαθεῖ, ἐκτὸς μόνο ἀπὸ τὸ πλοῖο. Διότι μοῦ παρουσιάσθηκε τὴ νύχτα αὐτὴ ἄγγελος τοῦ Θεοῦ, στὸν ὁποῖο πιστεύω καὶ τὸν ὁποῖο λατρεύω, λέγοντάς μου· Μὴ φοβᾶσαι, Παῦλε· πρέπει νὰ παρουσιασθεῖς στὸν Καίσαρα· καὶ νὰ ὁ Θεὸς σοῦ χάρισε ὅλους τοὺς συνταξιδιῶτες σου. Γι' αὐτό, ἄνδρες, ἔχετε θάρρος· διότι πιστεύω στὸ Θεό, ὅτι ἔτσι θὰ συμβεῖ, ὅπως ἀκριβῶς λέχθηκε σὲ μένα. Πρέπει ὅμως νὰ ἀποβιβασθοῦμε σὲ κάποιο νησί. Τὴ δέκατη τέταρτη νύχτα καὶ ἐνῶ πλέαμε ἀκόμη στὸ Ἀδριατικὸ πέλαγος, ἀντιλήφθηκαν οἱ ναῦτες κατὰ τὰ μεσάνυχτα κάποια ξηρὰ ποὺ ἦταν κοντά μας, καί, ἀφοῦ μέτρησαν τὸ βάθος τοῦ βυθοῦ, βρῆκαν ὅτι ἦταν εἴκοσι ὀργυιές, καὶ ἀφοῦ πέρασε λίγη ὥρα ἀκόμη ξανὰ βυθομέτρησαν καὶ βρῆκαν δέκα πέντε ὀργυιές. Ἐπειδὴ φοβοῦνταν μήπως πέσομε ἐπάνω σὲ βράχους, ἀφοῦ ἔρριξαν ἀπὸ τὴν πρύμνη τέσσερις ἄγκυρες, παρακαλοῦσαν νὰ ξημερώσει. Ἐπειδὴ ὅμως οἱ ναῦτες ἤθελαν νὰ φύγουν ἀπὸ τὸ πλοῖο καὶ εἶχαν κατεβάσει τὴ λέμβο στὴ θάλασσα, μὲ τὴ δικαιολογία ὅτι θὰ ρίξουν ἄγκυρες καὶ ἀπὸ τὴν πρώρα, εἶπε τότε ὁ Παῦλος στὸν ἑκατόνταρχο καὶ στοὺς στρατιῶτες· ἐὰν αὐτοὶ δὲν μείνουν στὸ πλοῖο, δὲν θὰ μπορέσετε σεῖς νὰ σωθεῖτε. Τότε οἱ στρατιῶτες ἔκοψαν τὰ σχοινιὰ τῆς λέμβου καὶ τὴν ἄφησαν νὰ πέσει κάτω». Ἐδῶ δείχνει ὅτι οἱ ναῦτες ἐπρόκειτο νὰ φύγουν, μὴ πιστεύοντας στὰ λόγια του, ὁ ἑκατόνταρχος ὅμως μὲ τοὺς στρατιῶτες πιστεύει σ' αὐτὰ γι' αὐτὸ καὶ λέγει· «Ἐὰν αὐτοὶ φύγουν, σεῖς δὲν θὰ μπορέσετε νὰ σωθεῖτε»· δὲν τὸ λέγει γι' αὐτό, ἀλλὰ γιὰ νὰ συγκρατήσει αὐτοὺς καὶ νὰ μὴ διαψευσθεῖ ἡ προφητεία. Πρόσεχε ποὺ αὐτοὶ διδάσκονται σὰν μέσα σὲ ἐκκλησία τὴν εὐσέβεια τοῦ Παύλου, τοὺς ὁποίους σώζει καὶ μέσα ἀπὸ τοὺς ἴδιους τοὺς κινδύνους. Καὶ κατ' οἰκονομία ὁ Παῦλος δὲν γίνεται πιστευτός, γιὰ νὰ πιστευθεῖ ἀφοῦ πραγματοποιηθοῦν τὰ λεγόμενά του, πράγμα βέβαια καὶ ποὺ συνέβηκε. Καὶ τοὺς προτρέπει πάλι νὰ φάνε καὶ ὑπακούουν·

πρῶτος μεταλαμβάνει, οὐ λόγῳ, ἀλλὰ καὶ ἔργῳ πείθων ὡς οὐδὲν ἔβλαψεν ὁ χειμών, ἀλλὰ μᾶλλον αὐτῶν τὰς ψυχὰς καὶ ὠφέλησεν.

«Ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων· Τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες, ἄσιτοι διατελεῖτε, μηδὲν προσλαβόμενοι. Διὸ παρακαλῶ ὑμᾶς μεταλαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· οὐδενὸς γὰρ ὑμῶν θρὶξ τῆς κεφαλῆς πεσεῖται. Εἰπὼν δὲ ταῦτα, καὶ λαβὼν ἄρτον, εὐχαρίστησε τῷ Θεῷ ἐνώπιον πάντων, καὶ κλάσας ἤρξατο ἐσθίειν. Εὔθυμοι δὲ γενόμενοι πάντες, καὶ αὐτοὶ προσελάβοντο τροφῆς. Ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ διακόσιαι ἑβδομήκοντα ἕξ. Κορεσθέντες δὲ τῆς τροφῆς, ἐκούφιζον τὸ πλοῖον, ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν. Ὅτε δὲ ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον· κόλπον δέ τινα κατενόουν, ἔχοντα αἰγιαλόν, εἰς ὃν ἐβουλεύσαντο, εἰ δυνατόν, ἐξῶσαι τὸ πλοῖον. Καὶ τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων· καὶ ἐπάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ κατεῖχον εἰς τὸν αἰγιαλόν. Περιπεσόντες δὲ εἰς τόπον διθάλασσον, ἐπώκειλαν τὴν ναῦν· καὶ ἡ μὲν πρῷρα ἐρείσασα ἔμεινεν ἀσάλευτος, ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμάτων». Πάλιν πειρᾶται ὁ διάβολος ἐμποδίσαι τῇ προφητείᾳ· καὶ ἐβούλοντό τινας ἀνελεῖν, ἀλλ' οὐκ εἴασεν ὁ ἑκατόνταρχος, ἵνα τὸν Παῦλον σώσῃ· οὕτως ἤδη ᾠκειωμένος ἦν αὐτῷ.

3. «Τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μή τις ἐκκολυμβήσας διαφύγοι. Ὁ δὲ ἑκατόνταρχος, βουλόμενος διασῶσαι τὸν Παῦλον, ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέ τε τοὺς δυναμένους κολυμβᾶν ἀπορρίψαντας

καὶ ὁ ἴδιος τρώγει, πείθοντάς τους ὄχι μόνο μὲ τὰ λόγια, ἀλλὰ καὶ μὲ τὰ ἔργα, ὅτι σὲ τίποτε δὲν τοὺς ἔβλαψε ἡ τρικυμία, ἀλλὰ μᾶλλον καὶ ὠφέλησε τὶς ψυχές τους.

«Ἐνῶ περίμεναν νὰ ξημερώσει ὁ Παῦλος προέτρεπε ὅλους νὰ φάγουν, λέγοντας· Σήμερα εἶναι δέκατη τέταρτη ἡμέρα ποὺ βρίσκεσθε σὲ ἀναμονὴ καὶ εἴστε νηστικοί, χωρὶς νὰ φάγατε τίποτε. Γι' αὐτὸ σᾶς παρακαλῶ νὰ φάτε· διότι αὐτὸ εἶναι γιὰ τὸ συμφέρον τῆς ζωῆς σας· κανενὸς ἀπὸ σᾶς δὲν θὰ πέσει οὔτε τρίχα ἀπὸ τὸ κεφάλι του. Ἀφοῦ εἶπε αὐτά, πῆρε ψωμί, εὐχαρίστησε τὸ Θεὸ μπροστὰ σ' ὅλους, καί, ἀφοῦ τὸ κομμάτιασε, ἄρχισε νὰ τρώγει. Τότε πῆραν ὅλοι θάρρος καὶ ἔφαγαν καὶ αὐτοί. Ἤμασταν στὸ πλοῖο συνολικὰ διακόσια ἑβδομήντα ἕξι ἄτομα. Ἀφοῦ χόρτασαν ὅλοι ἀπὸ τροφή, ξελάφρωναν τὸ πλοῖο, ρίχνοντας τὸ σιτάρι στὴ θάλασσα. Ὅταν ξημέρωσε δὲν μποροῦσαν νὰ γνωρίσουν τὴ χώρα· διαπίστωσαν ὅτι ὑπῆρχε κάποιος κόλπος, ποὺ εἶχε ἀκρογιαλιά, στὸν ὁποῖο σκέφθηκαν, ἐὰν ἦταν δυνατό, νὰ προσαράξουν τὸ πλοῖο. Ἀφοῦ ἔλυσαν τὶς ἄγκυρες τὶς ἔρριψαν στὴ θάλασσα, χαλαρώνοντας συγχρόνως τὰ λουριὰ τῶν πηδαλίων, καὶ ἀφοῦ κατέβασαν τὸ πανὶ τῆς πρώρας, προχωροῦσαν ὁδηγούμενοι ἀπὸ τὸν ἄνεμο πρὸς τὴν ἀκρογιαλιά. Ἐπειδὴ ὅμως ἔπεσαν σὲ μέρος ποὺ κυκλωνόταν ἀπὸ δύο θάλασσες, ἔρριξαν τὸ πλοῖο στὴν ξηρά· ἡ πρώρα τότε, ἐπειδὴ ἀκούμπησε στὴν ἀμμουδιά, ἔμεινε ἀκίνητη, ἐνῶ ἡ πρύμνα ἄρχισε νὰ διαλύεται ἀπὸ τὴν ὀργὴ τῶν κυμάτων». Πάλι προσπαθεῖ ὁ διάβολος, νὰ ἐμποδίσει τὴν πραγματοποίηση τῆς προφητείας· καὶ σκέφτονταν νὰ φονεύσουν μερικούς, ἀλλὰ δὲν ἄφησε ὁ ἑκατόνταρχος, γιὰ νὰ σώσει τὸν Παῦλο· τόσο πολὺ φίλος του εἶχε γίνει.

3. «Τότε οἱ στρατιῶτες σκέφθηκαν νὰ φονεύσουν τοὺς φυλακισμένους, γιὰ νὰ μὴ κολυμπήσει κανεὶς καὶ φύγει. Ὁ ἑκατόνταρχος ὅμως, θέλοντας νὰ σώσει τὸν Παῦλο, ἐμπόδισε αὐτοὺς νὰ πραγματοποιήσουν τὸ σχέδιό τους, καὶ διέταξε νὰ ριχτοῦν στὴ θάλασσα πρῶτοι ὅσοι ἤξεραν νὰ κολυμποῦν, καὶ νὰ κατευθύνονται πρὸς τὴν ξηρά, ἐνῶ

πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι, καὶ τοὺς λοιπούς, οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου. Καὶ οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν. Καὶ διασωθέντες, τότε ἐπέγνωσαν ὅτι Μελίτη ἡ νῆσος καλεῖται. Ὁρᾷς ὅσον γέγονεν ἀγαθὸν ἀπὸ τοῦ χειμῶνος; Οὐκ ἄρα ἐγκαταλείψεως ἦν ὁ χειμών. Καὶ πῶς, φησίν, ἔφερον, ἄσιτοι ὄντες, καὶ μηδενὸς μεταλαβόμενοι; Ὁ φόβος κατεῖχεν αὐτοὺς καὶ οὐκ εἴα εἰς ἐπιθυμίαν τροφῆς ἐμπεσεῖν, μέλλοντας ὑπὲρ τῶν ἐσχάτων κινδυνεύειν. Τὸ μὲν οὖν γενόμενον ἀπὸ τοῦ καιροῦ ἐγένετο, τὸ δὲ θαῦμα μεῖζον, ὅτι ἐν καιρῷ τοιούτῳ ἐκ μέσων ἐσώθησαν τῶν κινδύνων αὐτός τε καὶ δι' αὐτὸν οἱ λοιποί.

«Καὶ ἐπάραντες τὸν ἀρτέμονα, τῇ πνεούσῃ κατεῖχον εἰς τὸν αἰγιαλόν». Τοῦτο εἶπε, τὴν βίαν δεῖξαι βουλόμενος, ἣν ὑπέμενον χειμαζόμενοι· πολλάκις γὰρ οὐχ οὕτω ποιοῦσι. Διὸ καὶ κατήγαγον τὴν ὀθόνην, τουτέστι τὰ ἱστία (ὅταν γὰρ σφοδρὸς ἄνεμος ᾖ, τοῦτο γίνεται), ἐγκόπτοντες τοῦ πνεύματος τὴν ρύμην. Ταῦτα δὲ πάσχουσιν ἐν τῷ Ἀδρίᾳ, ἔνθα τὸ σώζεσθαι χαλεπόν. «Ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ διακόσιαι ἑβδομήκοντα ἕξ». Καὶ πόθεν δῆλον ὅτι τοσοῦτοι ἦσαν οἱ συμπλέοντες; Εἰκὸς ἦν αὐτοὺς ἐρωτᾶν τὴν αἰτίαν, δι' ἣν πλέουσι, καὶ μαθεῖν πάντα. Οἱ δὲ οὐδενὸς μετέλαβον, ὅτι οὐκ ἦν αὐτοῖς φροντὶς τροφῆς, ἅτε οὐ περὶ τῶν τυχόντων ὄντος τοῦ κινδύνου. Καὶ ὅρα πῶς οὐχ ἁπλῶς οὐδὲ ἡ παρολκὴ τοῦ πλοὸς γέγονε τῷ Παύλῳ, οὐδὲ ἄκαιρος ὁ πλοῦς, ἀλλὰ ποιεῖται αὐτὸν διδασκαλίας καιρόν. Οὐ μικρὸν δὲ τοῦτο, εἴ γε πάντες οὗτοι ἐπίστευσαν. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

«Ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοός, παρῄνει ὁ Παῦλος, λέγων αὐτοῖς· Ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ ζημίας μέλλειν ἔσεσθαι τὸν πλοῦν». Ὅρα τὸ ἄτυφον· ἵνα μὴ

οἱ ὑπόλοιποι νὰ βγοῦν, ἄλλοι ἐπάνω σὲ σανίδια καὶ ἄλλοι ἐπάνω σὲ συντρίμματα τοῦ πλοίου. Καὶ ἔτσι μπόρεσαν ὅλοι νὰ βγοῦν στὴν ξηρὰ καὶ νὰ σωθοῦν. Ἀφοῦ σωθήκαμε, μάθαμε τότε ὅτι τὸ νησὶ ὀνομάζεται Μελίτη». Βλέπεις πόσο μεγάλο καλὸ προέκυψε ἀπὸ τὴν κακοκαιρία; Ἄρα ἡ κακοκαιρία δὲν ἦταν δεῖγμα ἐγκαταλείψεως. Καὶ πῶς, λέγει, ὑπέφεραν ἐνῶ ἦταν νηστικοὶ καὶ δὲν εἶχαν φάγει τίποτε; Ἦταν κυριευμένοι ἀπὸ τὸ φόβο καὶ δὲν τοὺς ἄφηνε να ἐπιθυμήσουν τροφή, ἐπειδὴ ἀντιμετώπιζὰν κίνδυνο μέχρι θανάτου. Καὶ ἐκεῖνο λοιπὸν πού ἔγινε συνέβηκε ἐξ αἰτίας τοῦ καιροῦ, τὸ θαῦμα ὅμως εἶναι μεγαλύτερο, διότι, ἐνῶ ἐπικρατοῦσε ἕνας τέτοιος καιρός, σώθηκαν μέσα ἀπὸ τοὺς κινδύνους καὶ αὐτὸς καὶ ἐξ αἰτίας αὐτοῦ καὶ οἱ ὑπόλοιποι.

«Καὶ ἀφοῦ κατέβασαν τὰ πανιὰ τῆς πρώρας, κατευθύνονταν ἀπὸ τὸν ἄνεμο πρὸς τὴν ἀκρογιαλιά». Αὐτὸ τὸ εἶπε θέλοντας νὰ δείξει τὶς δυσκολίες ποὺ ὑπέμεναν ἀντιμετωπίζοντας τὴν κακοκαιρία· διότι πολλὲς φορὲς δὲν ἐνεργοῦν κατὰ τὸν ἴδιο τρόπο. Γι' αὐτὸ καὶ κατέβασαν τὴν ὀθόνη, δηλαδὴ τὰ πανιὰ (διότι, ὅταν ἐπικρατεῖ ἰσχυρὸς ἄνεμος, αὐτὸ γίνεται), ἐμποδίζοντας τὴν ὁρμητικὴ πνοὴ τοῦ ἀνέμου. Αὐτὰ παθαίνουν στὸ Ἀδριατικὸ πέλαγος, ὅπου ἡ σωτηρία εἶναι δύσκολη. «Ἤμασταν στὸ πλοῖο συνολικὰ διακόσια ἑβδομήντα ἕξι ἄτομα». Καὶ ἀπὸ ποῦ εἶναι φανερὸ ὅτι τόσοι ἦταν οἱ συνταξιδιῶτες; Φυσικὸ ἦταν νὰ τοὺς ρωτοῦσε τὴν αἰτία γιὰ τὴν ὁποία ταξίδευαν καὶ νὰ τὰ ἔμαθε ὅλα. Αὐτοὶ ὅμως τίποτε δὲν ἔφαγαν, διότι δὲν τοὺς ἐνδιέφερε ἡ τροφή, ἀφοῦ ὁ κίνδυνος δὲν ἦταν τυχαῖος. Καὶ πρόσεχε πῶς οὔτε ἡ ὁδήγηση τοῦ πλοίου στὴν ξηρὰ ὑπῆρξε τυχαία γιὰ τὸν Παῦλο, οὔτε τὸ ταξίδι ἀκατάλληλο γιὰ δράση, ἀλλὰ μεταβάλλει αὐτὸ σὲ εὐκαιρία διδασκαλίας. Δὲν εἶναι μικρὸ πράγμα αὐτό, ἐφόσον δηλαδὴ ὅλοι αὐτοὶ πίστεψαν. Ἀλλ' ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα λέχθηκαν.

«Ἀφοῦ πέρασε ἀρκετὸς χρόνος καὶ τὸ ταξίδι ἦταν ἐπικίνδυνο, ὁ Παῦλος συμβούλευε καὶ ἔλεγε σ' αὐτούς· Ἄνδρες, βλέπω ὅτι τὸ ταξίδι πρόκειται νὰ γίνει μὲ τρικυμία καὶ ζημιά». Πρόσεχε τὴν ἔλλειψη ὑπερηφάνειας· γιὰ

δόξῃ προφητεύειν, ἀλλ' ὡς ἀπὸ στοχασμοῦ λέγειν, «θεωρῶ» φησιν· οὐ γὰρ ἂν ἐδέξαντο, εὐθέως εἰ τοῦτο εἶπε. Πρότερον γοῦν προφητεύει, καὶ λέγει· «Ὁ Θεός, ᾧ λατρεύω», ἐνάγων αὐτούς. Πῶς οὖν οὐκ ἐγένετο μετὰ ζημίας ψυχῶν; Ἐγένετο ἄν, εἰ μὴ ὁ Θεὸς διέσωσεν. Ὅσον γὰρ κατὰ τὴν φύσιν τοῦ πράγματος, ἀπώλοντο ἄν· ἀλλ' ὁ Θεὸς ἐκώλυσεν. «Ὁ δὲ ἑκατοντάρχης», φησί, «τῷ κυβερνήτῃ μᾶλλον ἐπείθετο ἢ τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις». Ἵνα δειχθῇ ὅτι οὐκ ἀπὸ στοχασμοῦ ταῦτα ἔλεγεν, ὁ κυβερνήτης τὰ ἐναντία λέγει, καὶ ταῦτα ἔμπειρος ὤν· οὕτως οὐκ ἀπὸ στοχασμοῦ ἦν τὰ λεγόμενα. «Ἀνευθέτου δὲ τοῦ λιμένος», φησίν, «ὑπάρχοντος». Ὅρα καὶ ὁ τόπος διδάσκει μὴ ἀπὸ στοχασμοῦ εἶναι, ἀνεύθετος ὤν· μᾶλλον δὲ ἀπὸ στοχασμοῦ φαίνονται λέγοντες ἐκείνων οἱ πλείους, οἳ καὶ βουλεύονται ἀναχθῆναι ἐκεῖθεν· ἀλλ' οὐδὲν αὐτοῖς πλέον ἐκ τούτου γίνεται· περιπίπτουσι γὰρ κλύδωνι, καὶ ἐκβολὴν ὧν ἐπεφέροντο ποιοῦνται. Διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγε· «Σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν». Ἵνα μὴ ἔχωσι μετὰ ταῦτα ἀπειθεῖν, ταῦτα συγχωρεῖται. Καὶ χαλεπὸς χειμὼν ἐγείρεται, καὶ πολὺ τὸ σκότος γίνεται.

Εἶτα, ἵνα μὴ ἀπόλωνται, καὶ ὁ σῖτος ῥίπτεται καὶ πάντα· τοῦτο γάρ ἐστι· «Τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν». Πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, εἶπεν ὁ Παῦλος· Ἔδει πειθαρχήσαντάς μοι κερδῆσαι τὴν ζημίαν». Εἶδες πῶς οὐ μικρὰ πρὸς τὴν ἀκρόασιν συνεβάλετο καὶ ὁ χειμὼν καὶ τὸ σκότος; Καὶ ὅρα πῶς πείθεται ὁ ἑκατόνταρχος, ὥστε καὶ τὴν σκάφην ἀφεῖναι καὶ ἀπολέσαι. Εἰ δὲ οἱ ναῦται οὐδέπω ἐπείσθη-

νὰ μὴ φανεῖ ὅτι προφητεύει, ἀλλ' ὅτι τὰ λόγια αὐτὰ ἀποτελοῦν δική του σκέψη, λέγει, «βλέπω» διότι δὲν θὰ τὸ δέχονταν αὐτὸ ἐὰν τοὺς τὸ ἔλεγε ἀμέσως. Προηγουμένως λοιπὸν προφητεύει καὶ λέγει· «Ὁ Θεός, τὸν ὁποῖο λατρεύω» διεγείροντας καὶ ἐνθαρρύνοντας αὐτούς. Πῶς λοιπὸν συνέβηκε νὰ μὴ ἔχουν ἀπώλειες ζωῆς; Θὰ συνέβαινε αὐτό, ἐὰν δὲν τοὺς ἔσωζε ὁ Θεός. Διότι, σύμφωνα μὲ τὴν φύση τοῦ πράγματος, ὁπωσδήποτε θὰ χάνονταν, ἀλλ' ὅμως ἐμπόδισε ὁ Θεός. «Ὁ ἑκατόνταρχος ὅμως», λέγει, «ἔδειχνε πίστη περισσότερο στὰ λόγια τοῦ πλοιάρχου, παρὰ στὰ λόγια τοῦ Παύλου». Γιὰ νὰ δειχθεῖ ὅτι αὐτὰ δὲν τὰ ἔλεγε ἀπὸ δική του σκέψη, ὁ κυβερνήτης λέγει τὰ ἀντίθετα, καὶ ὅλα αὐτὰ ἐνῶ αὐτὸς ἦταν ἔμπειρος τῶν πραγμάτων αὐτῶν· ὥστε λοιπὸν τὰ λεγόμενό του δὲν ἦταν δικές του σκέψεις. «Ἐπειδή», λέγει, «τὸ λιμάνι δὲν ἦταν κατάλληλο». Πρόσεχε ὅτι καὶ τὸ μέρος διδάσκει, ὅτι τὰ λεγόμενά του δὲν ἦταν δικές του σκέψεις, ἀφοῦ αὐτὸ ἦταν ἀκατάλληλο· οἱ περισσότεροι ὅμως ἀπὸ ἐκείνους φαίνονται νὰ λένε ὅτι τὰ λεγόμενά του ἦταν δικές του σκέψεις, οἱ ὁποῖοι καὶ θέλουν ν' ἀποπλεύσουν ἀπὸ ἐκεῖ· ἀλλ' ὅμως αὐτοὶ τίποτε περισσότερο δὲν κερδίζουν ἀπ' αὐτό· διότι περιπίπτουν σὲ τρικυμία καὶ ρίχνουν στὴ θάλασσα τὶς ἀποσκευὲς ποὺ ἔφερναν μαζί τους. Γι' αὐτό, γιὰ νὰ δηλώσει αὐτό, πρόσθεσε· «Ἐπειδὴ ἀντιμετωπίζαμε ἰσχυρὴ θαλασσοταραχή, μὲ τὰ ἴδια τὰ χέρια μας ρίξαμε στὴ θάλασσα τὶς ἀποσκευὲς τοῦ πλοίου». Γιὰ νὰ μὴ μποροῦν στὴ συνέχεια νὰ ἀπιστοῦν, ἐπιτρέπεται αὐτὰ νὰ συμβοῦν. Καὶ φοβερὴ τρικυμία σηκώνεται, καὶ πολὺ σκοτάδι ἁπλώνεται.

Ἔπειτα, γιὰ νὰ μὴ χαθοῦν, καὶ τὸ σιτάρι ρίχνεται καὶ ὅλα· διότι αὐτὸ σημαίνει τό· «Ρίξαμε τὶς ἀποσκευὲς τοῦ πλοίου». «Ἀφοῦ πέρασαν ἀρκετὲς ἡμέρες χωρὶς νὰ φάγουν τίποτε εἶπε ὁ Παῦλος· Ἔπρεπε νὰ μ' ἀκούσετε καὶ θ' ἀποφεύγατε τὴ ζημιά». Εἶδες πῶς δὲν ἦταν μικρὴ ἡ συμβολὴ τῆς κακοκαιρίας καὶ τοῦ σκότους γιὰ τὴν ἀκρόαση; Καὶ πρόσεχε πῶς πείθεται ὁ ἑκατόνταρχος, ὥστε καὶ τὴ λέμβο νὰ ἐπιτρέψει νὰ χαθεῖ. Ἐὰν ὅμως οἱ ναῦτες δὲν

σαν, ἀλλ' ὕστερον πείθονται, μὴ θαυμάσῃς· καὶ γὰρ τὸ γένος τὸ τούτων ἰταμὸν πώς ἐστι καὶ σκληρὸν πρὸς τὸ πείθεσθαι. Σὺ δέ μοι σκόπει τὴν σύνεσιν καὶ ἐντεῦθεν τοῦ Παύλου· οὐ γὰρ ἐπιτιμᾷ καὶ τραχύνεται, ἀλλ' ἡμέρως «οὕτως ἔδει» φησίν· ᾔδει γὰρ ὅτι οὐκ ἔστιν εὐπαράδεκτος ἐγκαλῶν τις ἐν συμφορᾷ, ἀλλά, ὅταν καὶ τὰ πλείονα παρατρέχῃ τῆς συμφορᾶς, τότε εὐπαράδεκτος γίνεται. Τότε τοίνυν ἐπιτίθεται, ὅτε πᾶσα ἡ ἐλπὶς τοῦ σωθῆναι περιῃρέθη· τότε καὶ τὰ χρηστὰ προλέγει.

«Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο», φησί, «φοβούμενοι ηὔχοντο ἡμέραν γενέσθαι». Ἵνα μή τις εἴπῃ ὅτι οὐδὲν γέγονε, τοῦτο ἐπήγαγε, δεικνὺς πάντα γεγονότα. Ὅτι δὲ γέγονε, καὶ ὁ φόβος μαρτυρεῖ· «ηὔχοντο» γάρ, φησίν, «ἡμέραν γενέσθαι φοβούμενοι». Καὶ ὁ τόπος χαλεπὸς (κατὰ γὰρ τὸν Ἀδρίαν ταῦτα συμβαίνει), καὶ ἡ ἀσιτία ἡ πολλή· «τεσσαρεσκαιδεκάτην γὰρ σήμερον ἡμέραν προσδοκῶντες, ἄσιτοι διατελεῖτε». Ὥστε ἐξ ἁπάντων ἐν μέσῳ ἦσαν θανάτου· διὸ καὶ ἐπάγει· «Παρακαλῶ ὑμᾶς προσλαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει»· τουτέστι, 'μή ποτε λιμῷ διαφθαρῆτε, τροφῆς μεταλάβετε'.

4. «Λαβὼν δὲ ἄρτον», φησίν, «εὐχαρίστησε τῷ Θεῷ». Ὅρα· τὸ εὐχαριστῆσαι αὐτὸν ἐπὶ τοῖς γεγενημένοις οὐ μόνον αὐτοὺς ἐπέρρωσεν, ἀλλὰ καὶ εὐθύμους ποιεῖ. «Ἦμεν δέ», φησί, «πᾶσαι αἱ ψυχαὶ ἐν τῷ πλοίῳ διακόσιαι ἑβδομήκοντα ἕξ». Περὶ τούτων ἔλεγεν· «Ἀποβολὴ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν». Τοῦτο πεπληροφορημένης ψυχῆς, τὸ εἰπεῖν ὅτι σωθήσονται. «Κορεσθέντες δὲ τῆς τροφῆς, ἐκούφιζον τὸ πλοῖον, ἐκβαλλόμενοι τὸν σῖτον». Ὁρᾷς; πρὸς τὸ λαβεῖν τροφὴν πείθονται μόνον· ἀλλ' οὕτω λοιπὸν τὸ πᾶν ἔρριψαν ἐπὶ τὸν Παῦλον, ὡς καὶ τὸν σῖτον ἐκβαλεῖν. Ὅρα αὐτοὺς καὶ τὰ ἀνθρώπινα ποιοῦντας, καὶ οὐ κωλύοντα τὸν Παῦλον. «Ὅτε δέ», φησίν, «ἡ-

πείσθηκαν ἀκόμη, ἀλλὰ πείθονται ὕστερα, μὴ ἀπορήσεις· καθόσον τὸ γένος αὐτῶν εἶναι κατὰ κάποιο τρόπο θρασὺ καὶ σκληρὸ στό νὰ πείθεται. Σὺ ὅμως πρόσεχε σὲ παρακαλῶ καὶ ἐδῶ τὴ σύνεση τοῦ Παύλου· διότι δὲν κατηγορεῖ καὶ δὲν δείχνει σκληρότητα, ἀλλὰ μὲ ἠρεμία λέγει, «ἔτσι ἔπρεπε νὰ κάνετε»· καθόσον γνώριζε ὅτι δὲν εἶναι εὐπρόσδεκτος κάποιος ποὺ κατηγορεῖ στὶς συμφορές, ἀλλὰ τότε γίνεται εὐπρόσδεκτος, ὅταν ἀφήνει ἀπαρατήρητα τὰ περισσότερα τῆς συμφορᾶς. Τότε λοιπὸν ἐπιτίθεται, ὅταν σβήσει κάθε ἐλπίδα σωτηρίας· τότε προλέγει καὶ τὰ καλά.

«Ἀφοῦ ἦρθε», λέγει, «ἡ δέκατη τέταρτη νύχτα, κυριευμένοι ἀπὸ φόβο παρακαλοῦσαν νὰ ξημερώσει». Γιὰ νὰ μὴ πεῖ κάποιος ὅτι δὲν συνέβηκε τίποτε, πρόσθεσε αὐτό, δείχνοντας ὅτι ὅλα εἶχαν γίνει. Τὸ ὅτι βέβαια εἶχαν γίνει τὸ μαρτυρεῖ καὶ ὁ φόβος· διότι λέγει, «παρακαλοῦσαν, κυριευμένοι ἀπὸ φόβο, νὰ ξημερώσει». Καὶ ὁ φόβος ἦταν φοβερός (διότι αὐτὰ συνέβαιναν στὸ Ἀδριατικὸ πέλαγος), καὶ πολλὲς ἡμέρες εἶχαν νὰ φάνε· «Διότι εἶναι ἡ δέκατη τέταρτη ἡμέρα σήμερα ποὺ βρίσκεσθε σὲ ἀναμονὴ καὶ εἴσθε νηστικοί», Ὥστε ἀπὸ ὅλα γενικὰ βρίσκονταν μέσα στὸ θάνατο· γι' αὐτὸ καὶ προσθέτει· «Σᾶς παρακαλῶ νὰ φάτε· διότι αὐτὸ εἶναι πρὸς ὄφελος τῆς σωτηρίας σας»· δηλαδή, φάτε, 'γιὰ νὰ μὴ πεθάνετε ἀπὸ τὴν πεῖνα'.

4. «Ἀφοῦ», λέγει, «πῆρε ψωμὶ εὐχαρίστησε τὸ Θεό». Πρόσεχε· τὸ ὅτι αὐτὸς εὐχαρίστησε τὸ Θεὸ γιὰ τὰ ὅσα εἶχαν συμβεῖ ὄχι μόνο ἔδωσε θάρρος σ' αὐτούς, ἀλλὰ καὶ τοὺς κάμνει εὔθυμους. «Ἤμασταν», λέγει, «στὸ πλοῖο συνολικὰ διακόσια ἑβδομήντα ἕξι ἄτομα». Γι' αὐτοὺς ἔλεγε· «Κανένας ἀπὸ σᾶς δὲν πρόκειται νὰ χαθεῖ». Αὐτὸ δείχνει ψυχὴ ποὺ εἶχε λάβει διαβεβαιώσεις, τὸ νὰ πεῖ δηλαδὴ ὅτι θὰ σωθοῦν. «Ἀφοῦ χόρτασαν, ξελάφρωναν τὸ πλοῖο, ρίχνοντας τὸ σιτάρι στὴ θάλασσα». Βλέπεις; ὑπακούουν μόνο γιὰ νὰ φάνε· ἀλλὰ τόσο πολὺ στήριξαν τὸ πᾶν στὸν Παῦλο, ὥστε καὶ τὸ σιτάρι νὰ ρίξουν. Πρόσεχε αὐτοὺς ποὺ καὶ τὰ ἀνθρώπινα κάμνουν καὶ δὲν ἐμποδίζουν τὸν Παῦλο. «Ὅταν ξημέρωσε», λέγει, «χαλάρωσαν τὰ λου-

μέρα ἐγένετο, ἀνῆκαν τὰς ζευκτηρίας». Διαλύεται τὸ πλοῖον ἐν ἡμέρᾳ, ἵνα μὴ τῷ φόβῳ διαλυθῶσιν, ἵνα ἴδῃς ἔργῳ τὴν προφητείαν. «Τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, ἵνα τοὺς δεσμώτας ἀποκτείνωσιν». Ὁρᾷς ὅτι καὶ κατὰ τοῦτο τῷ Παύλῳ ἐχαρίσθησαν; διὰ γὰρ αὐτὸν οὐκ εἴασεν αὐτοὺς ἀναιρεθῆναι ὁ ἑκατόνταρχος. Οὕτω μοι δοκοῦσιν ὡμολογημένοι εἶναι κακοὶ ἐκεῖνοι, ὥστε ἑλέσθαι αὐτοὺς καὶ ἀνελεῖν· ἀλλ' οὐδὲν πλέον γέγονε, τοῦ βουλήματος κωλυθέντος, ἀλλ' οἱ μὲν ἐξεκολύμβησαν, οἱ δὲ ἐπὶ σανίδων ἐφέροντο, καὶ πάντες οὕτως ἐσώθησαν, καὶ ἡ προφητεία τέλος ἐλάμβανεν, εἰ καὶ μὴ τῷ χρόνῳ σεμνή τις οὖσα· οὐ γὰρ πρὸ πολλῶν ἐτῶν αὐτὴν προεῖπεν, ἀλλὰ τῇ φύσει τῶν πραγμάτων ἑπόμενος· ἀνέλπιστα γὰρ ἦν πάντα, καὶ διὰ τῆς οἰκείας σωτηρίας ἐμάνθανον τίς ὁ Παῦλος ἦν.

'Αλλ' εἴποι ἄν τις· 'Διὰ τί μὴ καὶ τὸ πλοῖον διέσωσεν;'. Ἵνα μάθωσιν οἷον κίνδυνον διέφυγον· ὅτι οὐκ ἀνθρωπίνης βοηθείας ἦν τὸ πᾶν, ἀλλὰ τῆς τοῦ Θεοῦ χειρός, χωρὶς πλοίου σωζούσης. Ὥστε οἱ δίκαιοι, κἂν ἐν χειμῶνι ὦσι, κἂν ἐν θαλάσσῃ, κἂν ἐν πελάγει, οὐδὲν πάσχουσι δεινόν, ἀλλὰ καὶ ἑτέρους συνδιασώζουσιν. Εἰ πλοῖον κινδυνεῦον, καὶ ναυάγιον ὑπομένον, καὶ δεσμῶται διὰ Παῦλον ἐσώθησαν, ἐννόησον τί ἐστιν ἅγιον ἄνδρα εἶναι ἐν οἰκίᾳ· πολλοὶ γὰρ οἱ χειμῶνες καὶ ἡμῖν ἐφίστανται, καὶ πολλῷ τούτων χαλεπώτεροι, ἀλλὰ δύναται καὶ ἡμᾶς χαρίσασθαι, μόνον ἐὰν πειθώμεθα τοῖς ἁγίοις, καθάπερ ἐκεῖνοι, ἂν ποιῶμεν ἃ προστάττουσιν· οὐ γὰρ ἁπλῶς σώζονται. ἀλλὰ καὶ αὐτοὶ πίστιν εἰσήνεγκαν. Κἂν δέσμιος ᾖ ὁ ἅγιος, τῶν λελυμένων μείζονα ἐργάζεται. Καὶ σκόπει τοῦτο ἐνταῦθα γεγενημένον. Ὁ λελυμένος ἑκα-

ριά». Καταστρέφεται τὸ πλοῖο κατὰ τὴ διάρκεια τῆς ἡμέρας, γιὰ νὰ μὴ πεθάνουν ἀπὸ τὸ φόβο τους, γιὰ νὰ δεῖς τὴν προφητεία νὰ πραγματοποιεῖται. «Τότε οἱ στρατιῶτες σκέφθηκαν νὰ φονεύσουν τοὺς φυλακισμένους». Βλέπεις ὅτι καὶ ὡς πρὸς αὐτὸ χαρίσθηκε ἡ ζωή τους ἐξ αἰτίας τοῦ Παύλου; διότι ἐξ αἰτίας αὐτοῦ δὲν ἐπέτρεψε ὁ ἑκατόνταρχος νὰ φονευθοῦν αὐτοί. Τόσο πολὺ ἀναγνωρισμένοι κακοὶ ἦταν ἐκεῖνοι, ὥστε νὰ θελήσουν καὶ νὰ τοὺς φονεύσουν· ὅμως τίποτε ἐπὶ πλέον δὲν συνέβηκε, ἐπειδὴ ἐμποδίσθηκε ἡ ἀπόφασή τους, ἀλλ' ἄλλοι ἀπ' αὐτοὺς βγῆκαν ἔξω κολυμπώντας, ἄλλοι μεταφέρθηκαν ἐπάνω σὲ σανίδες, καὶ ἔτσι ὅλοι τους σώθηκαν, λαμβάνοντας τὴν πραγματοποίησή της ἡ προφητεία, ἂν καὶ δὲν ἦταν καὶ πολὺ ἀξιόλογη ἐξ αἰτίας τοῦ χρόνου ποὺ λέχθηκε· καθόσον δὲν προεῖπε αὐτὴν πρὶν ἀπὸ πολλὰ χρόνια, ἀλλ' ἀκολουθώντας τὴ φύση τῶν πραγμάτων· διότι ὅλα ἦταν ἀνέλπιστα καὶ μέσω τῆς σωτηρίας τους μάθαιναν ποιός ἦταν ὁ Παῦλος.

Ἀλλὰ θὰ μποροῦσε νὰ πεῖ κάποιος· Γιατί δὲν ἔσωσε καὶ τὸ πλοῖο;'. Γιὰ νὰ μάθουν ποιόν κίνδυνο διέφυγαν· ὅτι τὸ πᾶν δὲν ἦταν ἔργο τῆς ἀνθρώπινης βοήθειας, ἀλλὰ τῆς χάριτος τοῦ Θεοῦ, ποὺ σώζει χωρὶς πλοῖο. Ὥστε οἱ δίκαιοι, καὶ ἂν ἀκόμη βρίσκονται μέσα σὲ τρικυμία, καὶ ἂν ἀκόμη μέσα σὲ θάλασσα ἢ σὲ πέλαγος, δὲν παθαίνουν κανένα κακό, ἀλλὰ καὶ ἄλλους σώζουν μαζὶ μὲ τὸν ἑαυτό τους. Ἐὰν πλοῖο ποὺ κινδύνευε καὶ ἀντιμετώπιζε ναυάγιο καὶ φυλακισμένοι σώθηκαν ἐξ αἰτίας τοῦ Παύλου, σκέψου τί σημαίνει νὰ ὑπάρχει στὸ σπίτι ἅγιος ἄνθρωπος· διότι πολλὲς τρικυμίες συμβαίνουν καὶ σὲ μᾶς καὶ εἶναι πολὺ πιὸ φοβερότερες ἀπ' αὐτές, ἀλλ' ἔχει αὐτὸς τὴ δύναμη καὶ ἐμᾶς νὰ μᾶς σώσει, ἀρκεῖ μόνο νὰ δείχνομε ὑπακοὴ στοὺς ἁγίους, ὅπως ἀκριβῶς ἐκεῖνοι, ἂν κάμνομε ἐκεῖνα ποὺ προστάζουν· διότι δὲν σώζονται ἁπλῶς, ἀλλὰ καὶ οἱ ἴδιοι πίστεψαν. Καὶ ἂν ἀκόμη ὁ ἅγιος εἶναι φυλακισμένος, κατορθώνει μεγαλύτερα πράγματα ἀπὸ τοὺς ἐλεύθερους. Καὶ πρόσεχε ποὺ αὐτὸ συνέβηκε στὴν περίπτωση αὐτή. Ὁ ἐλεύθερος ἑκατόνταρχος εἶχε τὴν ἀνάγκη αὐτοῦ ποὺ ἦταν

τόνταρχος αὐτοῦ ἐδεῖτο τοῦ δεδεμένου· ὁ ἐπιστήμων κυβερνήτης τοῦ μὴ κυβερνήτου ἔχρῃζε, μᾶλλον δὲ τοῦ ὄντως κυβερνήτου· οὐ γὰρ τοιοῦτον ἐκυβέρνο σκάφος, ἀλλὰ τῆς οἰκουμένης τὴν Ἐκκλησίαν, παρ' ἐκείνου μαθών, τοῦ καὶ θαλάσσης Δεσπότου, οὐκ ἀνθρωπίνῃ τέχνῃ, ἀλλὰ πνευματικῇ σοφίᾳ. Ἐν τῷ σκάφει τούτῳ πολλὰ ναυάγια, πολλὰ κύματα, πνεύματα πονηρίας· «Ἔξωθεν μάχαι, ἔσωθεν φόβοι»· ὥστε ὁ ὄντως κυβερνήτης ἐκεῖνος ἦν.

Ὅρα δὴ τὸν βίον ἡμῶν ἅπαντα πῶς τοιοῦτός ἐστι· ποτὲ μὲν γὰρ φιλανθρωπίας ἀπολαύομεν, ποτὲ δὲ χειμῶνος, ποτὲ καὶ παρ' οἰκείαν ἀβουλίαν, καὶ παρὰ τὸ ῥᾳθυμεῖν δὲ μυρίοις ἐμπίπτομεν κακοῖς· μᾶλλον δὲ τοῦτο γίνεται, παρὰ τὸ μὴ ἀκούειν Παύλου, ὅταν ἐπειγώμεθά που ἀπελθεῖν, ἔνθα μὴ κελεύει· συμπλεῖ γὰρ καὶ νῦν ἡμῖν, ἀλλ' οὐ δεδεμένος, καθάπερ τότε· παραινεῖ καὶ νῦν καὶ λέγει τοῖς ἐν τῇ θαλάττῃ ταύτῃ· «Προσέχετε ἑαυτοῖς· εἰσελεύσονται γὰρ μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς». Καὶ πάλιν «Ἐν ὑστέροις καιροῖς ἐνστήσονται καιροὶ χαλεποί, καὶ ἔσονται οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες». Τοῦτο πάντων χαλεπώτερον τῶν πνευμάτων.

5. *Μένωμεν οὖν ἔνθα κελεύει ἐπὶ τῆς πίστεως, ἐπὶ τοῦ λιμένος τοῦ ἀσφαλοῦς· αὐτοῦ μᾶλλον ἀκούωμεν, ἢ τοῦ κυβερνήτου τοῦ ἐν ἡμῖν, τουτέστι τοῦ λογισμοῦ. Μὴ ἅπερ ἂν ὑποβάλλῃ οὗτος ποιῶμεν, μὴ ἅπερ ὁ ναύκληρος, ἀλλὰ ἅπερ ἂν ὁ Παῦλος· μυρίους τοιούτους διῆλθε χειμῶνας. Μὴ τῇ πείρᾳ μανθάνωμεν, ἀλλὰ πρὸ τῆς πείρας κερδάνωμεν καὶ ὕβριν καὶ ζημίαν. Ἄκουσον τί φησιν· «Οἱ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμόν». Πειθώμεθα τοίνυν αὐτῷ, ἐπεὶ καὶ ἐκεῖνοι μὴ πεισθέντες ὁρᾶτε τί ἔπαθον.*

---

3. Β' Κορ. 7, 5
4. Πράξ. 20, 28 - 29
5. Β' Τιμ. 3, 1 - 2
6. Α' Τιμ. 6, 9

φυλακισμένος˙ ὁ ἔμπειρος κυβερνήτης εἶχε τὴν ἀνάγκη ἐκείνου ποὺ δὲν ἦταν κυβερνήτης, ἢ καλύτερα ἐκείνου πού ἦταν πραγματικὰ κυβερνήτης˙ διότι δὲν κυβερνοῦσε τέτοιο σκάφος, ἀλλὰ τὴν Ἐκκλησία τῆς οἰκουμένης, ἀφοῦ ἔμαθε ἀπὸ ἐκεῖνον, τὸν Κύριο τῆς θάλασσας, ὄχι μὲ ἀνθρώπινη τέχνη, ἀλλὰ μὲ πνευματικὴ σοφία. Στὸ σκάφος αὐτὸ συμβαίνουν πολλὰ ναυάγια, πολλὰ κύματα καὶ ἐπιτίθενται πνεύματα πονηρίας. «Ἀπ' ἔξω πόλεμοι, ἀπὸ μέσα φόβοι»[3]˙ ἐπομένως ὁ πραγματικὸς κυβερνήτης ἐκεῖνος ἦταν.

Πρόσεχε λοιπὸν πῶς ὅλη ἡ ζωή μας εἶναι τέτοια˙ διότι ἄλλοτε ἀπολαμβάνομε τὴ φιλανθρωπία τοῦ Θεοῦ, ἄλλοτε συμφορές, ὑπομένοντας ἄπειρα κακὰ καὶ ἀπὸ δική μας ἀπερισκεψία καὶ ἀδιαφορία˙ ἢ καλύτερα αὐτὸ γίνεται ἐπειδὴ δὲν ἀκοῦμε αὐτὰ ποὺ λέγει ὁ Παῦλος, ὅταν βιαζόμαστε νὰ πᾶμε κάπου, ποὺ δὲν παραγγέλλει ἐκεῖνος˙ διότι ταξιδεύει καὶ τώρα μαζί μας, ἀλλ' ὄχι ἁλυσοδεμένος ὅπως ἀκριβῶς τότε. Προτρέπει καὶ τώρα καὶ λέγει σ' αὐτοὺς ποὺ ταξιδεύουν μέσα στὴ θάλασσα αὐτή˙ «Προσέχετε τὸν ἑαυτό σας˙ διότι μετὰ τὴν ἀναχώρησή μου θὰ μποῦν ἀνάμεσά σας λύκοι φοβεροί»[4]. Καὶ πάλι˙ «Κατὰ τοὺς τελευταίους καιροὺς θὰ ἔρθουν δύσκολοι καιροὶ καὶ θὰ γίνουν οἱ ἄνθρωποι ἐγωϊστές, φιλάργυροι καὶ ἀλαζόνες»[5]. Αὐτὸς εἶναι ὁ φοβερότερος ἀπὸ ὅλους τοὺς ἀνέμους.

5. Ἂς μένομε λοιπὸν ἐκεῖ ποὺ προτρέπει αὐτός, στὴν πίστη, στὸ λιμάνι τὸ ἀσφαλές˙ ἂς ἀκοῦμε αὐτὸν περισσότερο, παρὰ τὸν κυβερνήτη ποὺ ὑπάρχει μέσα μας, δηλαδὴ τὸ λογισμό μας. Ἂς μὴ κάμνομε ἐκεῖνο ποὺ ὑπαγορεύει αὐτός, ἂς μὴ κάμνομε ἐκεῖνο ποὺ λέγει ὁ ναύκληρος, ἀλλ' ἐκεῖνα ποὺ παραγγέλλει ὁ Παῦλος˙ ἀμέτρητες τέτοιες συμφορὲς πέρασε. Ἂς μὴ διδασκόμαστε ἀφοῦ γνωρίσομε τὴ συμφορά, ἀλλὰ πρὶν ἀπὸ τὴν πραγματοποίηση αὐτῆς ἂς ἀποφεύγομε τὴ συμφορὰ καὶ τὴ ζημιά. Ἄκουσε τί λέγει˙ «Ἐκεῖνοι ποὺ θέλουν ν' ἀποκτοῦν πλούτη πέφτουν σὲ πειρασμό»[6]. Ἂς δείχνομε ὑπακοὴ σ' αὐτόν, διότι καὶ ἐκεῖνοι βλέπετε τί κακὸ ἔπαθαν ἐπειδὴ δὲν πίστεψαν σ' αὐτόν,

Καὶ πάλιν ἑτέρωθι λέγει τί ποιεῖ ναυάγια. «Οἵτινες», φησίν, «ἐναυάγησαν περὶ τὴν πίστιν». Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης. Πειθώμεθα Παύλῳ· κἂν ἐν μέσῳ ὦμεν χειμῶνι, πάντως ἀπαλλαγησόμεθα τῶν κινδύνων, κἂν τεσσαρεσκαίδεκα ἡμέραις ἄσιτοι διαμένωμεν, κἂν ἡ ἐλπὶς τῆς σωτηρίας ἐκπέσῃ, κἂν ἐν σκότῳ ὦμεν καὶ γνόφῳ, πεισθέντες αὐτῷ, ἀπαλλαγησόμεθα τῶν κινδύνων.

Πλοῖον εἶναι νομίζωμεν τὴν οἰκουμένην πᾶσαν, κἂν τούτῳ τοὺς κακούργους καὶ μυρία ἔχοντας δεινά, τοὺς μὲν ἄρχοντας, τοὺς δὲ φύλακας, τοὺς δὲ δικαίους, οἷος Παῦλος, τοὺς δὲ δεσμίους, ταῖς ἁμαρτίαις δεδεμένους· ἂν μὲν οὖν Παύλῳ πειθώμεθα, οὐ δεδεμένοι ἀπολλύμεθα, ἀλλὰ καὶ λυόμεθα· χαριεῖται καὶ ἡμᾶς αὐτῷ ὁ Θεός. Ἢ οὐκ οἴει δεσμὸν εἶναι χαλεπὸν τὰ ἁμαρτήματα καὶ τὰ πάθη; οὐ γὰρ δὴ χεῖρες μόνον εἰσὶ δεδεμέναι, ἀλλ' ὁ πᾶς ἄνθρωπος. Εἰπὲ γάρ μοι, ὅταν τις χρήματα πολλὰ κεκτημένος μὴ ἀναλίσκῃ μηδὲ δαπανᾷ, ἀλλὰ κατέχῃ, οὐχὶ παντὸς δεσμίου χαλεπώτερον τῇ φειδωλίᾳ δεσμεῖται δεσμῷ ἀρραγεῖ; Τί δαί, ὅταν τις εἱμαρμένῃ ἑαυτὸν ὑποβάλλῃ, οὐχὶ πάλιν ἄλλοις οὗτος δεσμοῖς δέδεται; Τί δαί, ὅταν παρατηρήσεσι; τί δαί, ὅταν συμβόλοις; οὐχὶ παντὸς δεσμοῦ ταῦτα χαλεπώτερα; τί δαί, ὅταν ἐπιθυμίᾳ ἀλόγῳ καὶ ἔρωτι; Τίς διαρρήξει τούτους ὑμῖν τοὺς δεσμούς; Τοῦ Θεοῦ χρεία ὥστε λυθῆναι. Καὶ ἓν μὲν τούτων ἀρκεῖ κίνδυνον ἐμποιῆσαι, ὅταν δὲ καὶ δεσμὰ καὶ χειμών, ἐννόησον ὅσον τὸ τῶν κινδύνων· τί γὰρ οὐχ ἱκανὸν διαφθεῖραι; οὐχ ὁ λιμός, ὁ χειμών, ἡ κακία τῶν ἐμπλεόντων, τὸ τοῦ καιροῦ ἀνεπιτήδει-

------

7. Α' Τιμ. 1, 19

Καὶ πάλι σὲ ἄλλο μέρος λέγει ποιό εἶναι ἐκεῖνο ποὺ προξενεῖ ναυάγια· «Οἱ ὁποῖοι», λέγει, «ναυάγησαν ὡς πρὸς τὴν πίστη»[7]. Σὺ ὅμως μένε σταθερὸς σ' ἐκεῖνα ποὺ ἔμαθες καὶ πίστεψες. Ἂς ὑπακοῦμε στὸν Παῦλο· καὶ ἂν ἀκόμη βρισκόμαστε μέσα σὲ συμφορά, ὁπωσδήποτε θ' ἀπαλλαχτοῦμε ἀπὸ τοὺς κινδύνους, καὶ ἂν ἀκόμη παραμένομε δεκατέσσερις ἡμέρες νηστικοί, καὶ ἂν ἀκόμα βρισκόμαστε μέσα στὸ σκοτάδι καὶ τὴ θύελλα, θ' ἀπαλλαχτοῦμε ἀπὸ τοὺς κινδύνους ἐὰν ὑπακούσομε σ' αὐτόν.

Ἂς θεωροῦμε ὅλη τὴν οἰκουμένη ὅτι εἶναι πλοῖο, καὶ ἐπάνω σ' αὐτὸ βρίσκονται οἱ κακοῦργοι καὶ ἐκεῖνοι ποὺ διέπραξαν ἀμέτρητα κακά, καὶ ἄλλοι ἐπάνω σ' αὐτὸ εἶναι ἄρχοντες, ἄλλοι φύλακες, ἄλλοι δίκαιοι, ὅπως ἦταν ὁ Παῦλος, ἄλλοι ἀλυσοδεμένοι, δεμένοι μὲ τὶς ἀλυσίδες τῶν ἁμαρτιῶν· ἂν λοιπὸν ὑπακοῦμε στὸν Παῦλο, δὲν χανόμαστε ἐφόσον εἴμαστε δεμένοι, ἀλλὰ καὶ ἐλευθερωνόμαστε· διότι πρὸς χάρη αὐτοῦ θὰ μᾶς χαρίσει ὁ Θεὸς τὴ σωτηρία. Ἢ νομίζεις ὅτι δὲν εἶναι φοβερὰ δεσμὰ τὰ ἁμαρτήματα καὶ τὰ πάθη; διότι δὲν εἶναι δεμένα μόνο τὰ χέρια, ἀλλ' ὁλόκληρος ὁ ἄνθρωπος. Διότι πές μου, ὅταν κάποιος, ποὺ ἔχει ἀποκτημένα πολλὰ χρήματα, δὲν ξοδεύει αὐτὰ καὶ δὲν τὰ δαπανᾶ, ἀλλὰ τὰ φυλάσσει, δὲν εἶναι δεμένος φοβερότερα ἀπὸ ὁποιαδήποτε ἀλυσίδα μὲ τὴν ἀδιάσπαστη ἀλυσίδα τῆς φιλαργυρίας; Ἐπίσης τί γίνεται ὅταν κάποιος θέτει τὸν ἑαυτό του κάτω ἀπὸ τὴ μοίρα· δὲν δένεται πάλι αὐτὸς μὲ ἄλλες ἀλυσίδες; Τί συμβαίνει ἐπίσης ὅταν παραδίνει τὸν ἑαυτό του στὶς διάφορες διακρίσεις; τί ὅταν πιστεύει στὰ διάφορα μαντικὰ σημεῖα; δὲν εἶναι αὐτὰ φοβερότερα ἀπὸ ὁποιαδήποτε δεσμά; Τί γίνεται ἐπίσης ὅταν παραδίνεται στὴν παράλογη ἐπιθυμία καὶ τὸν ἔρωτα; Ποιὸς θὰ σπάσει αὐτὰ τὰ δεσμά μας; Χρειαζόμαστε τὴ βοήθεια τοῦ Θεοῦ γιὰ νὰ ἐλευθερωθοῦμε. Καὶ ἕνα ἀπ' αὐτὰ εἶναι ἀρκετὸ νὰ μᾶς ὁδηγήσει σὲ κίνδυνο, ὅταν ὅμως ὑπάρχουν δεσμὰ καὶ τρικυμίες, σκέψου πόσο εἶναι τὸ μέγεθος τῶν κινδύνων. Διότι ποιὸ ἦταν ἐκεῖνο ποὺ δὲν μποροῦσε νὰ τοὺς καταστρέψει ἐκείνους; δὲν μποροῦσε ἡ πεί-

ον; Ἀλλὰ καὶ πρὸς ταῦτα πάντα ἔστη ἡ λαμπρότης Παύλου.

Οὕτω δὴ καὶ νῦν· κατέχωμεν παρ' ἑαυτοῖς τοὺς ἁγίους, καὶ οὐκ ἔσται χειμών· μᾶλλον δέ, κἂν ᾖ χειμών, ἔσται εὐδία καὶ γαλήνη πολλή, καὶ ἀπαλλαγὴ τῶν κινδύνων· ἐπειδὴ τὸν ἅγιον εἶχε φίλον ἡ χήρα ἐκείνη, καὶ ὁ θάνατος ἐλύθη τοῦ παιδίου, καὶ τὸν παῖδα πάλιν ζῶντα ἀπελάμϐανεν. Ἔνθα πόδες ἁγίων ἐπιϐαίνουσιν, οὐδὲν ἔσται λυπηρόν· κἂν γένηται, πρὸς δοκιμὴν καὶ πρὸς μείζονα δόξαν τοῦ Θεοῦ. Ἔθισον τὸ ἔδαφος τῆς οἰκίας ὑπὸ τοιούτων πατεῖσθαι ποδῶν, καὶ οὐ πατήσει δαίμων ἐκεῖ. Καὶ μάλα εἰκότως· ὥσπερ γάρ, ἔνθα ἂν εὐωδία ᾖ, οὐχ ἕξει χώραν δυσωδία, οὕτω καί, ἔνθα μύρον ἐστὶ τὸ ἅγιον, ἀποπνίγεται δαίμων, εὐφραίνει τοὺς συνόντας, διαχέει ψυχήν, ἀνίησιν. Ἔνθα ἄκανθαι, ἐκεῖ θηρία· ἔνθα φιλοξενία, οὐκ εἰσὶν ἄκανθαι· ἡ γὰρ ἐλεημοσύνη εἰσελθοῦσα παντὸς δρεπάνου τομώτερον ἀναιρεῖ τὰς ἀκάνθας, παντὸς πυρὸς σφοδρότερον. Μὴ φοϐηθῇς· αἰδεῖται τὰ ἴχνη τῶν ἁγίων, καθάπερ λέοντας ἀλώπεκες· «δίκαιος» γάρ, φησίν, «ὡς λέων πέποιθεν». Εἰσαγάγωμεν τούτους τοὺς λέοντας εἰς τὴν οἰκίαν, καὶ πάντα φυγαδεύεται τὰ θηρία, οὐ ϐοώντων αὐτῶν μεγάλα, ἀλλ' ἁπλῶς φθεγγομένων· οὐ γὰρ ϐρυχηθμὸς λέοντος οὕτω φυγαδεύει τὰ θηρία, ὡς εὐχὴ δικαίου φυγαδεύει δαίμονας· ἂν φθέγξηται μόνον κατεπτήχασι.

Καὶ ποῦ νῦν τοιοῦτοι, φησίν, εἰσί; Πανταχοῦ, ἂν πιστεύωμεν ἡμεῖς, ἂν ζητῶμεν, ἂν περιεργαζώμεθα. Ποῦ ἐζήτησας; εἰπέ μοι· πότε τοῦτο ἔργον ἐ-

8. Γ' Βασ. 17, 17 ἑ.
9. Παροιμ. 28, 1

να, ή τρικυμία, ή κακία τῶν συνταξιδιωτῶν, ή ἀκαταλληλότητα τοῦ καιροῦ; Ἀλλ' ἀπέναντι σ' ὅλα αὐτὰ στάθηκε ἡ λαμπρότητα τοῦ Παύλου.

Ἔτσι λοιπὸν καὶ τώρα ἂς ἔχομε κοντά μας τοὺς ἁγίους καὶ δὲν πρόκειται νὰ μᾶς συμβεῖ τρικυμία ἢ καλύτερα, καὶ ἂν ἀκόμη συμβεῖ τρικυμία, θὰ ἔρθει γρήγορα μεγάλη καλοκαιρία καὶ γαλήνη καὶ ἀπαλλαγὴ ἀπὸ τοὺς κινδύνους. Ἐπειδὴ ἡ χήρα ἐκείνη εἶχε φίλο τὸν ἅγιο, καὶ ὁ θάνατος τοῦ παιδιοῦ λύθηκε, καὶ ἀποκτοῦσε πάλι τὸ παιδί της ζωντανό[8]. Ἐκεῖ ποὺ πατοῦν πόδια ἁγίων, τίποτε δὲν πρόκειται νὰ συμβεῖ λυπηρό· καὶ ἂν ἀκόμη συμβεῖ, συμβαίνει γιὰ δοκιμὴ καὶ γιὰ μεγαλύτερη δόξα τοῦ Θεοῦ. Συνήθισε τὸ ἔδαφος τῆς οἰκίας σου νὰ πατεῖται ἀπὸ τέτοια πόδια, καὶ δὲν θὰ πατήσει ἐκεῖ ὁ δαίμονας. Καὶ πολὺ σωστά· διότι, ὅπως ἀκριβῶς, ὅπου ὑπάρχει εὐωδία, δὲν ἔχει θέση ἡ δυσωδία, ἔτσι καί, ὅπου ὑπάρχει τὸ ἅγιο μύρο, πνίγεται ὁ δαίμονας, χαρίζει εὐφροσύνη στοὺς παραβρισκομένους, γεμίζει τὴν ψυχὴ ἀπὸ χαρὰ καὶ τὴ διεγείρει. Ἐκεῖ ποὺ ὑπάρχουν ἀγκάθια, ἐκεῖ ὑπάρχουν θηρία, ἐκεῖ ποὺ ὑπάρχει φιλοξενία, δὲν ὑπάρχουν ἀγκάθια· διότι, ἀφοῦ κάνει τὴν ἐμφάνισή της ἡ ἐλεημοσύνη, καταστρέφει τὰ ἀγκάθια μὲ μεγαλύτερη εὐκολία ἀπὸ ὁποιοδήποτε δρεπάνι, μὲ μεγαλύτερη ὁρμὴ ἀπὸ ὁποιαδήποτε φωτιά. Μὴ φοβηθεῖς· φοβᾶται τὰ ἴχνη τῶν ἁγίων, ὅπως ἀκριβῶς οἱ ἀλεποῦδες τὰ λιοντάρια· διότι λέγει, «ὁ δίκαιος μένει σὰν τὸ λεοντάρι ἀκλόνητος μὲ τὴν πεποίθησή του στηριγμένη στὸ Θεό»[9]. Ἂς ὁδηγήσομε αὐτὰ τὰ λεοντάρια στὸ σπίτι μας καὶ ὅλα τὰ θηρία θὰ τραποῦν σὲ φυγή, χωρὶς μεγάλες φωνὲς αὐτῶν, ἀλλ' ἁπλῶς καὶ μόνο μὲ τὴν ὁμιλία αὐτῶν· διότι δὲν φυγαδεύει τὰ θηρία τόσο πολὺ ὁ βρυχηθμὸς τοῦ λιονταριοῦ, ὅσο φυγαδεύει ἡ προσευχὴ τοῦ ἁγίου τοὺς δαίμονες· μόνο ἂν μιλήσει, ἀφαιρεῖ τὴν τόλμη ἀπ' αὐτὰ καὶ τὰ κάνει νὰ περιμαζευθοῦν.

Καὶ ποῦ ὑπάρχουν, λέγει, τώρα τέτοιοι; Παντοῦ, ἂν πιστεύομε ἐμεῖς, ἂν ψάχνομε νὰ βροῦμε αὐτούς, ἂν δείχνομε ζωηρὴ ἐπιθυμία γι' αὐτούς. Πές μου, ποῦ ἀναζήτη-

σχες; πότε πρᾶγμα τοῦτο ἔθου; Εἰ δὲ οὐ ζητεῖς, μὴ θαυμάσῃς ὅτι οὐχ εὑρίσκεις· «ὁ γὰρ ζητῶν εὑρίσκει», οὐχ ὁ μὴ ζητῶν. Ἄκουσον τοὺς ἐν ἐρημίαις ὄντας· ἀπάγαγε χρυσίον καὶ ἀργύριον πανταχοῦ τῆς οἰκουμένης εἰσί. Κἂν μὴ ἐν τῇ οἰκίᾳ δέξῃ, ἄπελθε σὺ πρὸς αὐτόν, συγγένου τῷ ἀνδρί, πρὸς τὸ οἴκημα γένου τὸ ἐκείνου, ἵνα δυνηθῇς ἐπιτυχεῖν, καὶ τῆς παρ' αὐτοῦ εὐλογίας ἀπολαῦσαι· μεγάλη γὰρ ἡ παρὰ τῶν ἁγίων εὐλογία, ἧς ἐπιτυγχάνειν σπουδάζωμεν, ἵνα διὰ τῶν εὐχῶν τούτων βοηθούμενοι τῆς παρὰ τοῦ αὐτοὺς ἐνδυναμοῦντος Θεοῦ φιλανθρωπίας ἀπολαύσωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς αὐτοῦ Υἱοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

------

10. Ματθ. 7, 8

σες αὐτούς; πότε ἔκανες αὐτὸ τὸ ἔργο; πότε ἔκανες πράξη αὐτὸ τὸ πράγμα; Ἐὰν λοιπὸν δὲν ψάχνεις νὰ βρεῖς αὐτούς, μὴ ἀπορήσεις πού δὲν τοὺς βρίσκεις· διότι «Ἐκεῖνος πού ψάχνει νὰ βρεῖ, βρίσκει»[18], ὄχι ἐκεῖνος πού δὲν ψάχνει. Ἄκουσε ἐκείνους πού ζοῦν στὶς ἐρημιές· ἀπομάκρυνε τὸν χρυσὸ καὶ τὸν ἄργυρο· βρίσκονται σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης. Καὶ ἂν δὲν δέχεσαι αὐτὸν στὸ σπίτι σου, πήγαινε σὺ πρὸς αὐτόν, ἐπιδίωξε τὴ συναναστροφὴ μὲ τὸν ἄνδρα αὐτό, πήγαινε στὸ σπίτι ἐκείνου, γιὰ νὰ μπορέσεις νὰ ἐπιτύχεις καὶ ν' ἀπολαύσεις τὴν εὐλογία αὐτοῦ· διότι εἶναι μεγάλη ἡ ἐκ μέρους τῶν ἁγίων εὐλογία γιὰ τὴν ὁποία ἂς φροντίζομε νὰ πετυχαίνομε, ὥστε, βοηθούμενοι ἀπὸ τὶς εὐχὲς αὐτῶν, ν' ἀπολαύσομε τὴ φιλανθρωπία τοῦ Θεοῦ πού ἐνδυναμώνει αὐτούς, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Μονογενοῦς Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΔ΄

(Πράξ. 28, 2 - 16)

«Οἱ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν· ἀνάψαντες γὰρ πυράν, προσελάβοντο πάντας ἡμᾶς διὰ τὸν ὑετὸν τὸν ἐφεστῶτα καὶ διὰ τὸ ψῦχος. Συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος, καὶ ἐπιθέντος ἐπὶ τὴν πυράν, ἔχιδνα, ἐκ τῆς θέρμης διεξελθοῦσα, καθήξατο τῆς χειρὸς αὐτοῦ».

1. Πῶς παρεῖχον τὴν φιλανθρωπίαν οἱ βάρβαροι, ἑρμηνεύει· «Ἀνάψαντες» γάρ, φησί, «πυράν, προσελάβοντο πάντας ἡμᾶς». Ἐπεὶ οὐδὲν ὄφελος ἀλλαχόθεν τῆς σωτηρίας ἦν, τοῦ χειμῶνος μέλλοντος αὐτοὺς διαφθείρειν, ἀνάπτουσι τὴν πυράν. Εἶτα ὁ Παῦλος λαβὼν φρύγανα ἐπετίθει ἐπὶ τὴν πυράν· ὃ καὶ δηλῶν ἐπάγει, λέγων· «Συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος». Ὅρα αὐτὸν ἐνεργοῦντα, καὶ οὐδαμοῦ θαυματουργοῦντα ἁπλῶς, ἀλλ' ἀπὸ χρείας· καὶ ἐν τῷ χειμῶνι γὰρ αἰτίας οὔσης προεφήτευσεν, ἀλλ' οὐχ ἁπλῶς, καὶ ἐνταῦθα πάλιν φρύγανα συλλέγει καὶ ἐπιτίθησιν. Ὅρα οὐδὲν τετυφωμένον ποιοῦντα οὐδὲ περιττόν, ἀλλ' ὥστε διασωθῆναι αὐτούς, καὶ θέρμης τινὸς ἀπολαῦσαι. Εἶτα ἔχιδνα, ἐκ τῆς θέρμης ἐξελθοῦσα, τῆς χειρὸς αὐτοῦ ἅπτεται· καὶ ὅτι ἥψατο, δῆλον ποιεῖ τοῦτο ἐκ τῆς ἐπαγωγῆς, λέγων· «Ὡς δὲ εἶδον οἱ βάρβαροι τὸ θηρίον κρεμάμενον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλήλους· Πάντως φονεύς

ΟΜΙΛΙΑ ΝΔ΄
(Πράξ. 28, 2 - 16)

«Οἱ βάρβαροι μᾶς φέρθηκαν μὲ ἀσυνήθιστη καλωσύνη. Ἄναψαν φωτιὰ καὶ μᾶς ἔβαλαν νὰ καθίσομε κοντὰ σ' αὐτήν, ἐπειδὴ ἔβρεχε καὶ ἔκαμνε κρύο. Ὁ Παῦλος μάζεψε ἀρκετὰ ξερὰ κλαδιὰ καὶ τὰ ἔρριξε στὴ φωτιά, καὶ τότε μιὰ ἔχιδνα βγῆκε μέσα ἀπ' αὐτὰ ἐξ αἰτίας τῆς ζέστας καὶ δάγκωσε τὸ χέρι αὐτοῦ».

1. Ἐξηγεῖ πῶς οἱ βάρβαροι ἔδειξαν τὴ φιλανθρωπία τους, διότι λέγει, «Ἀφοῦ ἄναψαν φωτιὰ μᾶς ἔβαλαν ὅλους νὰ καθίσομε κοντὰ σ' αὐτήν». Ἐπειδὴ δὲν ὑπῆρχε ἀπὸ ἀλλοῦ καμία ὠφέλεια γιὰ τὴ σωτηρία τους, καὶ ἡ κακοκαιρία ἐπρόκειτο νὰ τοὺς προξενήσει μεγάλο κακό, ἀνάβουν τὴ φωτιά. Ἔπειτα ὁ Παῦλος ἀφοῦ πῆρε ξερὰ κλαδιὰ τὰ ἔβαλε ἐπάνω στὴ φωτιά, πράγμα ποὺ γιὰ νὰ δηλώσει προσθέτει καὶ λέγει· «Ἀφοῦ ὁ Παῦλος μάζεψε ἀρκετὰ ξερὰ κλάδιά». Πρόσεχε αὐτὸν ποὺ ἐκδηλώνει τὴ δράση του, καὶ πουθενὰ δὲν θαυματουργεῖ χωρὶς λόγο, ἀλλὰ ἀπὸ ἀνάγκη· διότι καὶ κατὰ τὴ διάρκεια τῆς κακοκαιρίας προφήτεψε ἐπειδὴ ὑπῆρχε ἀνάγκη καὶ ὄχι χωρὶς λόγο, καὶ ἐδῶ πάλι μαζεύει ξερὰ κλαδιὰ καὶ τὰ τοποθετεῖ ἐπάνω στὴ φωτιά. Πρόσεχε ποὺ δὲν κάμνει τίποτε τὸ ἀλαζονικὸ οὔτε καὶ περιττό, ἀλλὰ γιὰ νὰ σωθοῦν οἱ ἴδιοι καὶ ν' ἀπολαύσουν κάποια ζεστασιά. Ἔπειτα μία ἔχιδνα, ποὺ βγῆκε μέσα ἀπὸ τὰ ξερὰ κλαδιὰ ἐξ αἰτίας τῆς ζέστης, δαγκώνει τὸ χέρι αὐτοῦ· καὶ ὅτι τὸ δάγκωσε τὸ φανερώνει μὲ αὐτὸ ποὺ προσθέτει, λέγοντας· «Μόλις οἱ βάρβαροι εἶδαν τὸ φίδι νὰ κρέμεται ἀπὸ τὸ χέρι του, ἔλεγαν ἀναμεταξύ τους. Ὁπωσδήποτε αὐτὸς ὁ ἄνθρωπος εἶναι φονιάς, τὸν ὁποῖο

ἐστιν ὁ ἄνθρωπος οὗτος, ὅν, διασωθέντα ἐκ τῆς θαλάσσης, ἡ δίκη ζῆν οὐκ εἴασε». Καλῶς καὶ τοῦτο συνεχωρήθη, ὥστε καὶ ἰδεῖν αὐτοὺς καὶ φθέγξασθαι ταῦτα, ἵνα, ὅταν γένηται, μὴ ἀπιστῆται τὸ θαῦμα. Ὅρα τὴν φυσικὴν κρίσιν διηρθρωμένην καὶ παρὰ βαρβάροις, καὶ αἰδεσίμως αὐτοὺς πρὸς ἀλλήλους λέγοντας, καὶ μηδὲ καταγινώσκοντας ἁπλῶς. Οὕτω καὶ οὗτοι πρότερον βλέπουσιν ἵνα μᾶλλον θαυμάσωσιν.

«Ὁ μὲν οὖν, ἀποτιναξάμενος τὸ θηρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κακόν, οἱ δὲ προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω νεκρόν. Ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον θεὸν αὐτὸν εἶναι». Οἳ ἐνόμιζον αὐτὸν πίμπρασθαι, τουτέστι διαρρήγνυσθαι, οὗτοι, θεασάμενοι ὅτι οὐδὲν κακὸν ἔπαθε, λέγουσιν ὅτι θεός ἐστι. Πάλιν ἄλλη τούτων ὑπερβολὴ τιμῆς, ὥσπερ καὶ τῶν ὄχλων τῶν ἐν Λυκαονίᾳ. «Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον χωρία ὑπῆρχε τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ, ὃς ἀναδεξάμενος ἡμᾶς τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν». Ἰδοὺ πάλιν ἄλλος φιλόξενος, ὁ Πόπλιος, καὶ πλούσιος καὶ εὐπορώτατος. Οὗτος, οὐδὲν ἰδών, ἀλλ' ἀπὸ τῆς συμφορᾶς μόνης ἐλεήσας αὐτούς, ὑπεδέξατο καὶ ἐθεράπευσεν.

«Ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου, πυρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον, κατακεῖσθαι· πρὸς ὃν ὁ Παῦλος, εἰσελθὼν καὶ προσευξάμενος, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἰάσατο αὐτόν». Ὥστε ἄξιος ἦν τοῦ παθεῖν καλῶς· διὸ καί, ἀμοιβὴν αὐτῷ ἀποδιδοὺς τῆς ἀποδοχῆς, ἰάσατο αὐτόν. «Τούτου δὲ γενομένου, καὶ οἱ λοιποί, οἱ ἔχοντες ἀσθενεῖς ἐν τῇ νήσῳ, προσήρχοντο καὶ ἐθεραπεύοντο· οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν»· τουτέστι, καὶ ἡμῖν ἔδωκαν ἀναγομένοις τὰ

ἡ θεία δίκη δὲν ἄφησε νὰ ζήσει, ἂν καὶ σώθηκε ἀπὸ τὴ θάλασσα». Πολὺ σωστὰ καὶ αὐτὸ ἐπιτράπηκε νὰ γίνει, ὥστε καὶ νὰ τὸ δοῦν αὐτοὶ καὶ νὰ ποῦν αὐτά, ὥστε, ὅταν γίνει τὸ θαῦμα, νὰ μὴ ἀπιστήσουν σ' αὐτό. Πρόσεχε τὴ φυσικὴ κρίση ποὺ εἶναι ἀναπτυγμένη καὶ στοὺς βαρβάρους, καὶ μὲ σεβασμὸ ὁμιλοῦν ἀναμεταξύ τους, καὶ δὲν κατηγοροῦν χωρὶς λόγο. Ἔτσι καὶ αὐτοὶ πρῶτα βλέπουν, γιὰ νὰ θαυμάσουν περισσότερο.

«Τότε λοιπὸν ὁ Παῦλος πέταξε τὸ φίδι στὴ φωτιά, χωρὶς νὰ πάθει κανένα κακό, ἐνῶ αὐτοὶ περίμεναν νὰ πρησθεῖ ἢ τὴν ἴδια στιγμὴ νὰ πέσει κάτω νεκρός. Ἀφοῦ περίμεναν γιὰ πολλὴ ὥρα, βλέποντας νὰ μὴ τοῦ συμβαίνει κανένα κακό, ἄλλαξαν γνώμη καὶ ἔλεγαν ὅτι εἶναι θεός». Ἐκεῖνοι ποὺ νόμιζαν ὅτι αὐτὸς θὰ πρησθεῖ, δηλαδὴ θὰ σκάσει ἀπὸ τὸ φούσκωμα, αὐτοί, ὅταν εἶδαν ὅτι δὲν ἔπαθε κανένα κακό, λένε ὅτι εἶναι θεός. Πάλι ἄλλη ὑπερβολικὴ τιμὴ αὐτῶν, ὅπως ἀκριβῶς καὶ τοῦ λαοῦ τῆς Λυκαονίας. «Γύρω ἀπὸ τὸ μέρος ἐκεῖνο ὑπῆρχαν κτήματα ποὺ ἀνῆκαν στὸν πρῶτο τοῦ νησιοῦ, ποὺ ὀνομαζόταν Πόπλιος, ὁ ὁποῖος μᾶς δέχθηκε καὶ μᾶς φιλοξένησε μὲ κάθε φιλοφροσύνη ἐπὶ τρεῖς ἡμέρες». Νὰ πάλι ἄλλος φιλόξενος, ὁ Πόπλιος, καὶ πλούσιος καὶ πολὺ εὐκατάστατος. Αὐτός, χωρὶς νὰ εἶδε τίποτε, τοὺς δέχθηκε καὶ τοὺς περιποιήθηκε, δείχνοντας πρὸς αὐτοὺς εὐσπλαχνία μόνο ἀπὸ τὴ συμφορά τους.

«Συνέβηκε νὰ βρίσκεται κατάκοιτος ἀπὸ πυρετοὺς καὶ δυσεντερία ὁ πατέρας τοῦ Πόπλιου, τὸν ὁποῖο ἐπισκέφθηκε ὁ Παῦλος καί, ἀφοῦ προσευχήθηκε καὶ ἔθεσε τὰ χέρια του ἐπάνω του, τὸν θεράπευσε». Ὥστε ἦταν ἄξιος τῆς εὐεργεσίας· γι' αὐτὸ καὶ θεράπευσε αὐτόν, ἀμείβοντάς τον γιὰ τὴν ὑποδοχή του. «Ἀφοῦ ἔγινε αὐτὸ καὶ οἱ ἄλλοι στὸ νησὶ ποὺ εἶχαν ἀρρώστους, τοὺς ἔφερναν σ' αὐτὸν καὶ θεραπεύονταν, μᾶς τίμησαν δὲ μὲ πολλὲς ἐκδηλώσεις ἀγάπης καὶ φεύγοντας ἀπὸ ἐκεῖ μᾶς ἔδωσαν τὰ ἀναγκαῖα τρόφιμα»· δηλαδὴ καὶ σ' ἐμᾶς ἔδωσαν τὰ ἀναγκαῖα τρόφιμα, ὅταν φύγαμε ἀπὸ ἐκεῖ, καὶ στοὺς

πρὸς τὴν χρείαν καὶ τοῖς ἄλλοις. Ὅρα αὐτοὺς οὐδὲ τοῦ χειμῶνος ἀπαλλαγέντας μένοντας ἀτημελήτους, ἀλλὰ καὶ τὴν ὑποδοχὴν φιλότιμον γενομένην δι' αὐτόν· τρεῖς γὰρ μῆνας ἦσαν ἐκεῖ τρεφόμενοι πάντες. Καὶ ὅτι τοσοῦτον χρόνον ἐποίησαν, ἄκουε πῶς τοῦτο ἑρμηνεύων ἐπάγει· «Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν ἐν πλοίῳ παρακεχειμακότι ἐν τῇ νήσῳ Ἀλεξανδρίνῳ, παρασήμῳ Διοσκούροις. Καὶ καταχθέντες εἰς Συρακούσας, ἐπεμείναμεν ἡμέρας τρεῖς. Ὅθεν περιελθόντες κατηντήσαμεν εἰς Ρήγιον, καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους· οὗ εὑρόντες ἀδελφούς, παρεκλήθημεν ἐπ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά· καὶ οὕτως εἰς τὴν Ρώμην ἤλθομεν. Κἀκεῖθεν οἱ ἀδελφοί, ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν ἄχρις Ἀππίου Φόρου, καὶ τριῶν Ταβερνῶν· οὓς ἰδὼν ὁ Παῦλος, εὐχαριστήσας τῷ Θεῷ, ἔλαβε θάρσος».

Ὅρα διὰ Παῦλον πάντα γινόμενα ταῦτα, ὥστε πιστεῦσαι τοὺς δεσμώτας, τοὺς στρατιώτας, τὸν ἑκατόνταρχον· εἰ γὰρ αὐτολίθινοι ἦσαν, καὶ δι' ὧν συμβουλεύσαντος ἤκουσαν, καὶ δι' ὧν προειπόντος, καὶ δι' ὧν θαυματουργήσαντος, καὶ δι' ὧν θρέψαντος ἀπέλαυσαν, μεγάλα ἂν ἐφαντάσθησαν περὶ αὐτοῦ. Ὅρα, ὅταν ὀρθὴ κρίσις ᾖ καὶ μὴ προκατειλημμένη πάθει τινί, πῶς εὐθέως λαμβάνει τὰς κρίσεις τὰς ὀρθὰς καὶ τὰς ψήφους διεγνωσμένας. Ἤδη καὶ τῆς Σικελίας τὸ κήρυγμα ἥψατο· οὕτω διέδραμε καὶ ἐν Ποτιόλοις, ἔνθα καὶ ἀδελφούς τινας εὑρόντες ἐπιμένουσι παρ' αὐτοῖς. Εἶτα καὶ ἄλλοι κατὰ φήμην αὐτοῖς ἀπαντῶσι· τοσαύτη ἦν ἡ προθυμία τῶν ἀδελφῶν, ὅτι οὐκ ἐθορύβησεν αὐτοὺς τὸ ἐν δεσμοῖς εἶναι τὸν Παῦλον, ἀλλ' ἐξῆλθον εἰς ἀπάντησιν. Ὅρα δέ

ἄλλους. Πρόσεχε αὐτοὺς ποὺ δὲν μένουν χωρὶς περιποίηση ἀφοῦ ἀπαλλάχθηκαν ἀπὸ τὴν κακοκαιρία, ἀλλὰ καὶ ἔτυχαν ἐξ αἰτίας αὐτοῦ πολὺ γενναιόδωρης ὑποδοχῆς· διότι τρεῖς μῆνες ἔμεναν ἐκεῖ τρεφόμενοι ὅλοι ἀπ' αὐτούς. Καὶ ὅτι τόσο χρόνο ἔμειναν ἐκεῖ, ἄκου πῶς, ἐξηγώντας αὐτό, προσθέτει καὶ λέγει· «Μετὰ ἀπὸ τρεῖς μῆνες ἀναχωρήσαμε ἀπὸ ἐκεῖ μὲ Ἀλεξανδρινὸ πλοῖο, ποὺ εἶχε παραχειμάσει στὸ νησί, καὶ εἶχε σὰν σύμβολο τοὺς Διόσκουρους. Ἀφοῦ φθάσαμε στὶς Συρακοῦσες, μείναμε ἐκεῖ τρεῖς ἡμέρες. Ἀπὸ ἐκεῖ, ἀφοῦ κάναμε τὸ γύρο τοῦ νησιοῦ, φθάσαμε στὸ Ρήγιο, καὶ μετὰ ἀπὸ μία ἡμέρα, ἀφοῦ ἔπνευσε νότιος ἄνεμος, ἤρθαμε μέσα σὲ δύο ἡμέρες στοὺς Ποτιόλους, ὅπου βρήκαμε ἀδελφούς, ποὺ μᾶς παρακάλεσαν νὰ μείνομε μαζί τους ἑφτὰ ἡμέρες, καὶ ἔτσι φθάσαμε στὴ συνέχεια στὴ Ρώμη. Καὶ ἐκεῖ οἱ ἀδελφοί, ὅταν ἄκουσαν τὰ σχετικὰ μὲ μᾶς, ἦρθαν γιὰ νὰ μᾶς προϋπαντήσουν μέχρι τὸν Ἄππιο φόρο καὶ τὶς τρεῖς ταβέρνες, τοὺς ὁποίους, ὅταν τοὺς εἶδε ὁ Παῦλος, εὐχαρίστησε τὸ Θεό, παίρνοντας ἔτσι θάρρος».

Πρόσεχε ποὺ ὅλα αὐτὰ γίνονται ἐξ αἰτίας τοῦ Παύλου, ὥστε νὰ πιστέψουν οἱ φυλακισμένοι, οἱ στρατιῶτες, καὶ ὁ ἑκατόνταρχος· διότι καὶ ἂν ἀκόμη αὐτοὶ ἦταν ἀναίσθητοι, καὶ μὲ τὰ ὅσα ἄκουσαν συμβουλεύοντάς τους, καὶ μὲ τὰ ὅσα τοὺς εἶπε ἀπὸ πρίν, καὶ μὲ τὰ θαύματα ποὺ ἔκανε, καὶ μὲ τὰ ὅσα ἀπόλαυσαν τρεφόμενοι ἐξ αἰτίας του, θὰ φαντάζονταν μεγάλα πράγματα γι' αὐτόν. Πρόσεχε, ὅταν ἡ κρίση εἶναι ὀρθὴ καὶ δὲν εἶναι προκατειλημμένη ἀπὸ κάποιο πάθος, πῶς κάμνει ἀμέσως τὶς ὀρθὲς κρίσεις καὶ παίρνει τὶς ἀποφάσεις ἐξετάζοντάς τις μὲ μεγάλη προσοχή. Ἤδη τὸ κήρυγμα ἔφθασε καὶ στὴ Σικελία, καθὼς ἐπίσης ἔφθασε καὶ στοὺς Ποτιόλους, ὅπου βρῆκαν καὶ μερικοὺς ἀδελφοὺς κοντὰ στοὺς ὁποίους καὶ ἔμειναν. Ἔπειτα καὶ ἄλλοι τοὺς συναντοῦν ἐξ αἰτίας τῆς φήμης τους· τόση ἦταν ἡ προθυμία τῶν ἀδελφῶν, ὥστε δὲν τοὺς ἀνησύχησε τὸ ὅτι ὁ Παῦλος ἦταν ἁλυσοδεμένος, ἀλλὰ βγῆκαν γιὰ νὰ τὸν προϋπαντήσουν. Πρόσεχε ὅμως σὲ πα-

μοι αὐτὸν καὶ ἀνθρώπινόν τι παθόντα· «θάρσος» γάρ, φησίν, «ἔλαβεν, ἰδὼν τοὺς ἀδελφούς». Καίτοι τοσαῦτα σημεῖα ἐργασάμενος, ἀλλ' ὅμως ἔλαβε καὶ ἀπὸ τῆς ὄψεως προσθήκην. Ἀπὸ τούτου μανθάνομεν ὅτι ἀνθρωπίνως καὶ παρεκαλεῖτο, καὶ τοὐναντίον.

«Ὅτε δὲ ἤλθομεν εἰς Ρώμην, ἐπετράπη τῷ Παύλῳ μένειν καθ' ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ». Ὁρᾷς; συνεχωρήθη αὐτῷ καθ' ἑαυτὸν μένειν. Οὐ μικρὸν καὶ τοῦτο τεκμήριον τοῦ πάνυ θαυμασθῆναι αὐτόν· οὐ γὰρ δὴ μετὰ τῶν ἄλλων ἠρίθμουν αὐτόν.

«Ἐγένετο δὲ μετὰ τρεῖς ἡμέρας συγκαλέσασθαι τὸν Παῦλον τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους». Μετὰ τρεῖς ἡμέρας ἐκάλεσε τοὺς πρώτους τῶν Ἰουδαίων, ὥστε μὴ προληφθῆναι αὐτῶν τὰς ἀκοάς. Καὶ τί κοινόν πρὸς ἐκείνους εἶχεν; οὐ γὰρ ἂν αὐτοὶ ἔμελλον κατηγορήσειν αὐτοῦ. Ἀλλ' ὅμως οὐ τούτου ἐφρόντιζεν, ἀλλὰ τοῦτο διδάξαι καὶ μὴ προστῆναι αὐτοῖς τὰ λεγόμενα.

2. Οἱ μὲν οὖν Ἰουδαῖοι, τοσαῦτα ὁρῶντες θαύματα, ἐδίωκον, ἤλαυνον, οἱ δὲ βάρβαροι, οὐδὲν θεασάμενοι, ἀπὸ μόνης τῆς συμφορᾶς φιλάνθρωποι ἦσαν. «Πάντως», φησί, «φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος». Οὐχ ἁπλῶς ἀποφαίνονται, ἀλλὰ «πάντως» φασί· τουτέστιν, ὡς ἔνεστιν ἰδεῖν. «Καὶ ἡ δίκη», φησί, «ζῆν οὐκ εἴασεν αὐτόν». Ἄρα καὶ τὸν περὶ προνοίας λόγον εἶχον, καὶ πολλῷ τῶν φιλοσόφων οὗτοι οἱ βάρβαροι φιλοσοφώτεροι ἐτύγχανον· αὐτοὶ μὲν γὰρ οὐκ ἀφιᾶσι προνοίας ἀπολαύειν τὰ ὑπὸ σελήνην, οἱ δὲ πανταχοῦ νομίζουσι παρεῖναι τὸν Θεόν, καὶ ὅτι, κἂν πολλά τις διαφύγῃ, οὐ διαφεύξεται εἰς τέλος. Καὶ ὅρα πῶς οὐκ ἐπιτίθενται διόλου, ἀλλ' αἰδοῦνται τέως διὰ τὴν συμφοράν· οὐδὲ ἐκπομπεύουσιν, ἀλλὰ πρὸς

ρακαλῶ αὐτὸν ποὺ ἔπαθε κάτι τὸ ἀνθρώπινο· διότι λέγει, «πῆρε θάρρος, βλέποντας τοὺς ἀδελφούς». Ἂν καὶ ἔκανε τόσα πολλὰ θαύματα, ἀλλ' ὅμως πῆρε μεγαλύτερο θάρρος ἀπὸ τὴν παρουσία αὐτῶν. Ἀπ' αὐτὸ μαθαίνομε ὅτι ἀνθρώπινα καὶ παρηγοροῦνταν καί, ἀντίθετα, παρηγοροῦσε.

«Ὅταν φθάσαμε στὴ Ρώμη ἐπιτράπηκε στὸν Παῦλο νὰ μένει μόνος του μαζὶ μὲ τὸν στρατιώτη ποὺ τὸν φύλαγε». Βλέπεις; ἐπιτράπηκε σ' αὐτὸν νὰ μένει μόνος του. Δὲν εἶναι καὶ αὐτὸ μικρὴ ἀπόδειξη τὸ ὅτι αὐτὸς θαυμάσθηκε πάρα πολύ· διότι δὲν τὸν ἀπαριθμοῦσαν μεταξὺ τῶν ἄλλων.

«Ὕστερα ἀπὸ τρεῖς ἡμέρες ὁ Παῦλος προσκάλεσε τοὺς προύχοντες ἀπὸ τοὺς Ἰουδαίους». Μετὰ ἀπὸ τρεῖς ἡμέρες κάλεσε τοὺς προύχοντες ἀπὸ τοὺς Ἰουδαίους, ὥστε νὰ προλάβει αὐτοὺς νὰ μὴ ἀκούσουν ἄλλα. Καὶ τί τὸ κοινὸ εἶχε μὲ ἐκείνους; διότι αὐτοὶ δὲν ἐπρόκειτο νὰ τὸν κατηγορήσουν. Ἀλλ' ὅμως δὲν ἐνδιαφερόταν γι' αὐτό, ἀλλὰ νὰ διδάξει αὐτὸ καὶ νὰ μὴ προλάβουν αὐτοὶ ν' ἀκούσουν τὰ ὅσα λέγονταν.

2. Οἱ Ἰουδαῖοι λοιπόν, ἂν καὶ ἔβλεπαν τόσα θαύματα, τὸν καταδίωκαν, ἐπιτίθονταν ἐναντίον του, ἐνῶ οἱ βάρβαροι, ἂν καὶ δὲν εἶδαν τίποτε, ἔδειχναν φιλανθρωπία πρὸς αὐτὸν ἐξ αἰτίας τῆς συμφορᾶς του καὶ μόνο. «Ὁπωσδήποτε», λέγει, «ὁ ἄνθρωπος αὐτὸς εἶναι φονιάς». Δὲν διατυπώνουν ἁπλῶς τὴ γνώμη τους, ἀλλὰ «ὁπωσδήποτε» λένε· δηλαδή, ὅτι μποροῦμε νὰ τὸ δοῦμε. «Καὶ ἡ θεία δίκη», λέγει, «δὲν τὸν ἄφησε νὰ ζήσει». Ἑπομένως πίστευαν καὶ στὴ θεία πρόνοια, καὶ οἱ βάρβαροι αὐτοὶ συνέβαινε νὰ ἔχουν πολὺ πιὸ ὀρθὲς ἀντιλήψεις ἀπὸ τοὺς φιλοσόφους· διότι αὐτοὶ δὲν ἀφήνουν ν' ἀπολαμβάνουν τὴν πρόνοια τοῦ Θεοῦ τὰ ὄντα ποὺ βρίσκονται κάτω ἀπὸ τὴ σελήνη, ἐνῶ ἐκεῖνοι πιστεύουν ὅτι ὁ Θεὸς βρίσκεται παντοῦ, καὶ ὅτι, καὶ ἂν ἀκόμη κανεὶς διαφύγει πολλά, δὲν θὰ διαφύγει στὸ τέλος τὴ θεία δίκη. Καὶ πρόσεχε, πῶς δὲν ἐπιτίθενται καθόλου ἐναντίον του, ἀλλὰ κατ' ἀρχὴ τὸν σέβονται ἐξ αἰτίας τῆς συμφορᾶς του· δὲν τὸν χλευάζουν,

ἀλλήλους λέγουσι· τὰ γὰρ δεσμὰ τοῦτο ἐδίδασκεν ὑποπτεύειν· καίτοι δεσμῶται ἦσαν. Αἰσχυνέσθωσαν οἱ λέγοντες, 'Μὴ εὖ ποίει τοὺς ἐν ταῖς φυλακαῖς'· αἰσχυνθῶμεν τοὺς βαρβάρους· οὐ γὰρ ᾔδεσαν τίνες ἦσαν ἐκεῖνοι, ἀλλ' ἀπὸ τῆς συμφορᾶς τέως ὅτι ἄνθρωποι ἦσαν ἐμάνθανον· διὸ καὶ φιλανθρωπίας ἠξίωσαν αὐτούς. «Ἐπὶ πολὺ δέ», φησί, «προσδοκώντων αὐτῶν»· τουτέστιν, 'ὡς πολὺν χρόνον ἀνέμενον ἀποθανεῖσθαι'. Ὁ δὲ τό τε θηρίον ἐξετίναξεν εἰς τὸ πῦρ, καὶ τὴν χεῖρα ἔδειξε παθοῦσαν μηδέν. Τοῦτον ἰδόντες, καὶ ἐξεπλάγησαν καὶ ἐθαύμασαν. Οὐκ ἐγένετο δὲ τὸ σημεῖον εὐθύς, ἀλλὰ τῷ χρόνῳ ἐνδιέτριψον οἱ ἄνθρωποι, ὥστε μὴ δόξαι φαντασίας εἶναι· οὕτως οὐκ ἦν ἀπάτη, οὐκ ἦν συναρπαγή.

«Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχε χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ· ὃς ἀναδεξάμενος ἡμᾶς φιλοφρόνως ἐξένισε». Καλῶς οὕτως εἶπε· φιλοφροσύνης γὰρ μεγάλης διακοσίας ἑβδομήκοντα τὸ ξενίσαι ψυχάς. Ἐννόησον τῆς φιλοξενίας ὅσον τὸ κέρδος· οὐχ ὡς ἀνάγκης οὔσης οὐδὲ ὡς ἄκων, ἀλλ' ὡς κέρδος τιθέμενος, τρεῖς ἡμέρας ἐξένισεν αὐτούς. Διὸ καὶ ἀμοιβὴν τῆς τοιαύτης φιλοξενίας εἰκότως λαμβάνει, καὶ πολλῷ μείζονα ἢ ἔδωκε τὸν γὰρ πατέρα αὐτοῦ θεραπεύει, ὑπὸ δυσεντερίας κακῶς πάσχοντα· οὐ μόνον δὲ αὐτόν, ἀλλὰ καὶ πολλοὺς ἔχοντας ἀσθενείας τῶν αὐτῶν ἀξιοῖ· ὃν καὶ ἀμειβόμενοι, τιμαῖς αὐτὸν καὶ χορηγίαις δωροῦνται. Τοῦτο δὲ δῆλον ποιῶν, ἐπάγει· «Οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομένας ἐπέθεντο τὰ πρὸς τὴν χρείαν». Οὐχὶ μισθὸν ἔλαβε, μὴ γένοιτο! ἀλλὰ τὸ γεγραμμένον πληροῦται· «Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν». Οἱ δὲ οὕτως αὐτοὺς ὑποδεξάμενοι εὔδηλον ὅτι καὶ τὸν λόγον ἐδέξαντο τοῦ

------

1. Ματθ. 10. 10

ἀλλὰ συνομιλοῦν ἀναμεταξύ τους˙ διότι τὰ δεσμὰ τοὺς ὁδηγοῦσαν στὸ νὰ ὑποπτεύονται αὐτό˙ ἂν καὶ βέβαια ἦταν φυλακισμένοι. Ἂς ντρέπονται ἐκεῖνοι πού λένε, «Μὴ εὐεργετεῖς τοὺς φυλακισμένους"˙ ἂς ντραποῦμε τοὺς βαρβάρους˙ διότι δὲν γνώριζαν ποιοὶ ἦταν ἐκεῖνοι, ἀλλ' ἀπὸ τὴ συμφορὰ πρῶτα μάθαιναν ὅτι ἦταν ἄνθρωποι˙ γι' αὐτὸ καὶ ἔκριναν αὐτοὺς ἄξιους τῆς φιλανθρωπίας τους. «Ἀφοῦ περίμεναν», λέγει, «πολὺ χρόνο»˙ δηλαδή, 'γιὰ πολὺ χρόνο περίμεναν νὰ πεθάνει'. Αὐτὸς ὅμως καὶ τὸ φίδι πέταξε στὴ φωτιὰ καὶ τὸ χέρι του ἔδειξε ὅτι δὲν ἔπαθε τίποτε. Βλέποντας αὐτὸ καὶ ἀπὸ ἔκπληξη κυριεύθηκαν καὶ ἀπὸ θαυμασμό. Δὲν ἔγινε τὸ θαῦμα ἀμέσως, ἀλλὰ περίμεναν οἱ ἄνθρωποι νὰ περάσει χρόνος, γιὰ νὰ μὴ θεωρηθεῖ τὸ πράγμα φαντασία˙ ὥστε λοιπὸν δὲν ἦταν τὸ πράγμα ἀπάτη, δὲν ἦταν ψευδαίσθηση.

«Γύρω ἀπὸ τὸ μέρος ἐκεῖνο ὑπῆρχαν κτήματα πού ἀνῆκαν στὸν πρῶτο τοῦ νησιοῦ, πού ὀνομαζόταν Πόπλιος, ὁ ὁποῖος μᾶς δέχθηκε καὶ μᾶς φιλοξένησε μὲ πολλὴ καλωσύνη». Πολὺ σωστὰ τὸ εἶπε αὐτό˙ διότι ἦταν μεγάλη καλωσύνη τὸ νὰ φιλοξενήσει διακόσιες ἑβδομήντα ψυχές. Σκέψου πόσο εἶναι τὸ κέρδος τῆς φιλοξενίας˙ διότι φιλοξένησε αὐτοὺς ἐπὶ τρεῖς ἡμέρες χωρὶς νὰ ὑπῆρχε καμία ἀνάγκη οὔτε καὶ χωρὶς τὴ θέλησή του, ἀλλὰ θεωρώντας τὴ φιλοξενία σὰν κέρδος. Γι' αὐτὸ καὶ πολὺ σωστὰ ἀμείβεται γιὰ τὴ φιλοξενία του αὐτὴ καὶ μὲ πολὺ περισσότερα ἀπὸ ἐκεῖνα πού ἔδωσε˙ διότι θεραπεύει τὸν πατέρα του πού ἔπασχε ἀπὸ δυσεντερία˙ καὶ ὄχι μόνο αὐτόν, ἀλλὰ καὶ πολλοὺς ἄλλους πού ἔπασχαν ἀπὸ ἀσθένειες τοὺς καθιστᾶ ἄξιους τῶν ἴδιων δωρεῶν καὶ αὐτοί, ἀνταμείβοντας αὐτόν, τοῦ προσφέρουν τιμὲς καὶ τρόφιμα. Αὐτὸ γιὰ νὰ δηλώσει, προσθέτει˙ «Οἱ ὁποῖοι μᾶς τίμησαν μὲ πολλὲς ἐκδηλώσεις ἀγάπης καὶ φεύγοντας μᾶς ἔδωσαν καὶ τὰ ἀναγκαῖα τρόφιμα». Ὄχι ὅτι ἔλαβε ἀμοιβή, μακριὰ μιὰ τέτοια σκέψη! ἀλλ' ἐκπληρώνεται ἐκεῖνο πού ἔχει γραφεῖ˙ «Ὁ ἐργάτης δικαιοῦται τὴν τροφή του»[1]. Ἐκεῖνοι τὸ ὅτι τοὺς ὑποδέχθηκαν ἔτσι γίνεται φανερὸ καὶ ἀπὸ τὸ

κηρύγματος· οὐ γὰρ ἐν τριμήνῳ τοσαῦτα διελέχθη, μὴ σφόδρα αὐτῶν πιστευσάντων καὶ καρποὺς ἐπιδειξαμένων· ὥστε ἀπὸ τούτου τεκμήριον μέγα τοῦ πλήθους τῶν πιστευσάντων ἔστιν ἰδεῖν.

«Καὶ ἀνήχθημεν», φησίν, «ἐν πλοίῳ Ἀλεξανδρίνῳ παρακεχειμακότι ἐν τῇ νήσῳ, παρασήμῳ Διοσκούροις». Ἴσως τοῦτο ἦν γεγραμμένον ἐν αὐτῷ· οὕτως ἦσαν κατείδωλοι. Ὅρα ἐνδιατρίβοντας, καὶ πάλιν σπεύδοντας. «Τῷ δὲ Παύλῳ ἐπετράπη μένειν καθ' ἑαυτόν». Λοιπὸν αἰδέσιμος οὕτως ἦν ὁ Παῦλος, ὡς καὶ συγχωρεῖσθαι καθ' ἑαυτὸν εἶναι. Καὶ ξένον οὐδέν· εἰ γὰρ καὶ πρὸ τούτου φιλανθρώπως ἐχρήσαντο αὐτῷ, πολλῷ μᾶλλον νῦν.

«Καὶ ἐπιγενομένου», φησί, «Νότου, δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους, οὗ εὑρόντες ἀδελφούς, παρεκλήθημεν ἐπ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά· καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθομεν. Κἀκεῖθεν οἱ ἀδελφοί, ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν ἄχρις Ἀππίου Φόρου καὶ τριῶν Ταβερνῶν». Ὅτι φοβηθέντες τὸν κίνδυνον ἐξῆλθον, καὶ ταῦτα ἱκανὰ ἐκείνους πιστώσασθαι. Ὅρα πῶς οὐδαμοῦ πόλει παρέβαλον ἐν τοσούτῳ πλῷ, ἀλλὰ νήσῳ, καὶ τὸν χειμῶνα ὁλόκληρον διήγαγον πλέοντες, ἐκείνων ῥυθμιζομένων εἰς τὴν πίστιν, τῶν συμπλευσάντων λέγω.

«Ἐπετράπη», φησί, «μένειν καθ' ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ». Μάλα εἰκότως, ὥστε μὴ ἐξεῖναι μηδὲ ἐκεῖ ἐπιβουλήν τινα αὐτὸν ὑποστῆναι· οὐ γὰρ ἐνῆν στασιάσαι λοιπόν. Ὥστε οὐκ ἐκεῖνον ἐφύλασσεν, ἀλλ' ὥστε μὴ γενέσθαι τι τῶν ἀηδῶν· οὐ γὰρ ἐξῆν λοιπόν, καὶ πόλεως οὔσης τοσαύτης, καὶ βασιλέως ὄντος, καὶ ἐφέσεως οὔσης, γενέ-

ὅτι δέχθηκαν τὸ λόγο τοῦ κηρύγματος· διότι δὲν θὰ τοὺς ἔκαμνε τόσες ὁμιλίες ἐπὶ ἕνα τρίμηνο, ἐὰν δὲν εἶχαν δείξει τόση μεγάλη πίστη καθὼς καὶ καρποὺς τῆς πίστεώς τους· ὥστε ἀπ᾽ αὐτὸ μπορεῖ κανεὶς νὰ συμπεράνει τὸ μεγάλο πλῆθος ἐκείνων ποὺ πίστεψαν.

«Καὶ ἀναχωρήσαμε», λέγει, «μὲ Ἀλεξανδρινὸ πλοῖο ποὺ εἶχε παραχειμάσει στὸ νησί, ἔχοντας γιὰ σύμβολό του τοὺς Διόσκουρους». Ἴσως αὐτὸ ἦταν γραμμένο ἐπάνω σ᾽ αὐτό· τόσο πολὺ ἦταν παραδομένοι στὰ εἴδωλα. Πρόσεχε ποὺ παρατείνουν τὴ διαμονή τους ἐκεῖ, καθὼς ἐπίσης καὶ ποὺ βιάζονται νὰ φθάσουν. «Στὸν Παῦλο ἐπιτράπηκε νὰ μένει μόνος του». Δηλαδὴ τόσο πολὺ σεβαστὸς ἦταν ὁ Παῦλος, ὥστε νὰ ἐπιτραπεῖ καὶ νὰ μένει μόνος του. Καὶ δὲν εἶναι καθόλου παράξενο· διότι, ἐὰν καὶ πρὶν ἀπ᾽ αὐτὸ φέρθηκαν μὲ μεγάλη καλωσύνη πρὸς αὐτόν, πολὺ περισσότερο φέρονται τωρα.

«Καὶ ἀφοῦ ἔπνευσε», λέγει, «νότιος ἄνεμος ἤρθαμε σὲ δύο ἡμέρες στοὺς Ποτιόλους, ὅπου βρήκαμε ἀδελφοὺς καὶ μᾶς παρακάλεσαν νὰ μείνομε μαζί τους ἐφτὰ ἡμέρες. Οἱ ἐκεῖ ἀδελφοί, ὅταν ἄκουσαν τὰ σχετικὰ μὲ ἐμᾶς, βγῆκαν νὰ μᾶς προϋπαντήσουν καὶ ἦρθαν μέχρι τὸν Ἄππιο Φόρο καὶ τὶς Τρεῖς Ταβέρνες». Βγῆκαν δηλαδὴ νὰ τοὺς προϋπαντήσουν ἐπειδὴ φοβήθηκαν τὸν κίνδυνο, καὶ αὐτὰ ἦταν ἱκανὰ νὰ ἐνθαρρύνουν ἐκείνους. Πρόσεχε πῶς σὲ καμιὰ πόλη δὲν σταμάτησαν κάμνοντας ἕνα τόσο μεγάλο ταξίδι, ἀλλὰ σὲ νησί, καὶ ὅλο τὸ χειμώνα τὸν πέρασαν πλέοντας, ὁδηγούμενοι ἐκεῖνοι στὴν πίστη, ἐννοῶ ἐκεῖνοι ποὺ ταξίδευαν μαζί του.

«Ἐπιτράπηκε», λέγει, «σ᾽ αὐτὸν νὰ μένει μόνος του μαζὶ μὲ τὸ στρατιώτη ποὺ τὸν φύλαγε». Πάρα πολὺ σωστά, γιὰ νὰ μὴ εἶναι δυνατὸ οὔτε ἐκεῖ νὰ ὑποστεῖ κάποια ἐπιβουλή· διότι δὲν ἦταν δυνατὸ πλέον νὰ ἐπαναστατήσει. Ἐπομένως δὲν φύλαγε ἐκεῖνον, ἀλλὰ γιὰ νὰ μὴ συμβεῖ κάτι τὸ δυσάρεστο· διότι δὲν ἦταν δυνατὸ πλέον, ἐπειδὴ καὶ ἡ πόλη ἦταν τόσο μεγάλη, καὶ ὁ βασιλιὰς ἦταν ἐκεῖ, καὶ εἶχε γίνει ἡ ἔφεση γιὰ ἐξέταση ἐνώπιον τοῦ Καίσαρα,

σθαι τι παρὰ τὴν ἀκολουθίαν. Οὕτως ἀεὶ διὰ τῶν δοκούντων εἶναι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν πάντα γίνεται· φύλαξ γὰρ ἦν τοῦ Παύλου. Καὶ συγκαλέσας τοὺς πρώτους τῶν 'Ιουδαίων, διαλέγεται αὐτοῖς· οἳ καὶ ἀντιλέγοντες ἀναχωροῦσι, καὶ ὑβρίζονται παρ' αὐτοῦ, καὶ οὐδὲν τολμῶσιν εἰπεῖν· οὐ γὰρ τῇ ἐξουσίᾳ αὐτῶν ἐπετρέπετο λοιπὸν τὰ κατ' αὐτόν. Τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐ διὰ τῶν δοκούντων εἶναι πρὸς ἀσφάλειαν, ἀλλὰ καὶ διὰ τῶν ἐναντίων πάντα ὑπὲρ ἡμῶν γίνεται. Καὶ ἵνα μάθῃς, σκόπει ἐντεῦθεν.

'Εκέλευσεν ὁ Φαραὼ ῥίπτεσθαι εἰς τὸν ποταμὸν τὰ βρέφη· εἰ μὴ ἐρρίφη τὰ βρέφη, εἰ μὴ ἡ πρόσταξις τοῦ Φαραὼ ἐγένετο, οὐκ ἂν ἐσώθη Μωϋσῆς, οὐκ ἂν ἐν βασιλείοις ἐτράφη. Ὅτε ἐσώζετο, οὐκ ἦν ἐν τιμῇ· ὅτε ἐξετέθη, τότε ἐγένετο ἐν τιμῇ. Τοῦτο δὲ ἐποίει ὁ Θεός, τὸ εὔπορον αὐτοῦ δεικνὺς καὶ εὐμήχανον. 'Ηπείλησεν αὐτῷ ὁ 'Ιουδαῖος, λέγων, «Μὴ ἀνελεῖν με σὺ θέλεις;», καὶ τοῦτο αὐτὸν ὤνησεν. Ἄρα οἰκονομικῶς γέγονεν, ὥστε τὴν ὄψιν αὐτὸν ἐκείνην ἰδεῖν τὴν ἐν τῇ ἐρήμῳ, ὥστε τὸν προσήκοντα χρόνον πληρωθῆναι, ὥστε αὐτὸν ἐμφιλοσοφῆσαι τῇ ἐρήμῳ, καὶ ἐν ἀσφαλείᾳ ζῆν. Καὶ ἐν πάσαις ταῖς κατ' αὐτοῦ τῶν 'Ιουδαίων ἐπιβουλαῖς ταὐτὸν γίνεται· τότε λαμπρότερος καθίσταται, οἷον καὶ ἐπὶ τοῦ 'Ααρών· ἐπανέστησαν αὐτῷ, καὶ λαμπρότερον αὐτὸν ἐποίησαν· ἐντεῦθεν γὰρ αὐτῷ καὶ τὸ ἱερατικὸν ποικίλλεται ἔνδυμα, καὶ ἡ κίδαρις περιτίθεται, καὶ ὁ λοιπὸς τῆς στολῆς κόσμος, ὥστε ἀναμφισβήτητον εἶναι τὴν χειροτονίαν, ὥστε καὶ εἰς τὸ ἑξῆς θαυμάζεσθαι ἀπὸ τῶν πετάλων τοῦ χαλκοῦ. Ἴστε πάντως τὴν ἱστορίαν· διὸ

------

2. Ἔξ. 2, 14
3. Ἔξ. κεφ. 28

νὰ συμβεῖ κάτι μὴ σύμφωνο μὲ τὰ πράγματα. Ἔτσι πάντοτε μὲ ἐκείνους ποὺ φαίνονται ὅτι εἶναι ἐναντίον μας, ὅλα γίνονται πρὸς ὄφελός μας· διότι ἐκεῖνος ἦταν φύλακας τοῦ Παύλου. Καὶ ἀφοῦ προσκάλεσε τοὺς προύχοντες τῶν Ἰουδαίων, συνομιλεῖ μ' αὐτούς, οἱ ὁποῖοι ἀναχωροῦν ἀπὸ ἐκεῖ ἀφοῦ ἔφεραν τὶς ἀντιρρήσεις τους, καὶ κατηγορούμενοι ἀπὸ τὸν Παῦλο δὲν τολμοῦν νὰ ποῦν τίποτε· διότι δὲν ἀνατίθενταν πλέον τὰ σχετικὰ μ' αὐτὸν στὴν ἐξουσία αὐτῶν. Τὸ ἄξιο θαυμασμοῦ βέβαια εἶναι αὐτό, τὸ ὅτι δηλαδὴ ὅλα γίνονται πρὸς ὄφελός μας ὄχι μὲ ἐκεῖνα ποὺ θεωροῦνται ὅτι εἶναι πρὸς ἀσφάλειά μας, ἀλλὰ καὶ μὲ τὰ ἀντίθετα. Καὶ γιὰ νὰ τὸ καταλάβεις αὐτὸ πρόσεχε τὸ ἑξῆς.

Διέταξε ὁ Φαραὼ νὰ ρίχνονται τὰ βρέφη στὸν ποταμό· ἐὰν δὲν ρίχνονταν τὰ βρέφη, ἐὰν δὲν δινόταν τὸ πρόσταγμα τοῦ Φαραώ, δὲν θὰ σωζόταν ὁ Μωυσῆς, δὲν θ' ἀνατρεφόταν στὰ βασιλικὰ ἀνάκτορα. Ὅταν σωζόταν δὲν ἀπολάμβανε τιμές, ὅταν ὅμως ἐγκαταλείφθηκε, τότε ἀπόλαυσε τιμές. Αὐτὸ τὸ ἔκαμνε ὁ Θεὸς γιὰ νὰ δείξει τὴν εὐχέρεια πρὸς ἐφεύρεση τρόπων καὶ τὴν εὐφυὴ ἐπινοητικότητά του. Ἀπείλησε αὐτὸν ὁ Ἰουδαῖος, λέγοντας, «Μήπως σὺ θέλεις νὰ μὲ σκοτώσεις;»[2], καὶ αὐτὸ ὠφέλησε αὐτόν. Ἐπομένως αὐτὸ συνέβηκε κατὰ θεία οἰκονομία, γιὰ νὰ δεῖ αὐτὸς στὴν ἔρημο τὸ ὅραμα ἐκεῖνο, γιὰ νὰ συμπληρωθεῖ ὁ ἀπαιτούμενος χρόνος, γιὰ νὰ φιλοσοφήσει αὐτὸς στὴν ἔρημο καὶ νὰ ζεῖ μὲ ἀσφάλεια. Καὶ τὸ ἴδιο συμβαίνει σ' ὅλες τὶς ἐπιβουλὲς τῶν Ἰουδαίων ἐναντίον του· τότε γίνεται λαμπρότερος, πράγμα ποὺ συμβαίνει καὶ στὴν περίπτωση τοῦ Ἀαρών. Ἐπαναστάτησαν ἐναντίον αὐτοῦ, καὶ κατέστησαν αὐτὸν λαμπρότερο· διότι ἐξ αἰτίας αὐτοῦ τοῦ γεγονότος κατασκευάζεται γι' αὐτὸν τὸ ἱερατικὸ ἔνδυμα, τοποθετεῖται ἐπάνω στὸ κεφάλι του τὸ διάδημα καὶ ὁ ὑπόλοιπος διάκοσμος τῆς στολῆς του, γιὰ νὰ εἶναι ἀναμφισβήτητη ἡ χειροτονία του καὶ γιὰ νὰ θαυμάζεται στὸ ἑξῆς ἀπὸ τὰ πούλια τοῦ χαλκοῦ[3]. Γνωρίζετε ὁπωσδήποτε τὴν ἱστορία· γι' αὐτὸ καὶ παρατρέχω τὴ

καὶ παρατρέχω τὸ διήγημα. Καί, εἰ βούλεσθε, πάλιν ἄνωθεν τὰ αὐτὰ ἐπέλθωμεν.

Ὁ Κάιν τὸν ἀδελφὸν ἀνεῖλεν, ἀλλὰ ταύτῃ μᾶλλον ὠφέλησεν· ἄκουσον γάρ τί φησι· «Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με»· καὶ πάλιν ἀλλαχοῦ· «Αἵματι», φησί, «κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ». Ἀπήλλαξεν αὐτὸν τῆς ἀδηλίας τοῦ μέλλοντος, τὸν μισθὸν ηὔξησε· τὴν ἀγάπην ἐμάθομεν πάντες, ἣν ὁ Θεὸς ἔσχε πρὸς αὐτόν. Τί γὰρ ἠδίκηται, δεξάμενος τάχιον τὴν τελευτήν; Οὐδέν. Τί γάρ, εἰπέ μοι, οἱ βράδιον τελευτῶντες κερδαίνουσιν; Οὐδέν· οὐδὲ γὰρ παρὰ τὸ πολλὰ ζῆν ἔτη ἢ ὀλίγα ἡ εὐημερία, ἀλλὰ παρὰ τὸ εἰς δέον κεχρῆσθαι τῇ ζωῇ. Οἱ τρεῖς παῖδες ἐνεβλήθησαν εἰς κάμινον, καὶ διὰ τούτου γεγόνασι λαμπρότεροι· ὁ Δανιὴλ εἰς λάκκον, καὶ ἐντεῦθεν περιφανέστερος κατέστη.

3. *Ὁρᾷς πανταχοῦ τοὺς πειρασμοὺς μεγάλα τίκτοντας ἀγαθὰ καὶ ἐνταῦθα, μήτι γε ἐκεῖ· ἐπὶ δὲ τῆς κακίας ταὐτὸν γίνεται, οἷον ἄν, εἴ τις, κάλαμον ἔχων, παρατάττοιτο πρὸς πῦρ· ὁ γὰρ τοιοῦτος δοκεῖ μὲν πλήττειν τὸ πῦρ, αὐτὸ δὲ λαμπρότερον ποιεῖ, καὶ αὐτὸν ἀναλίσκει. Τροφὴ γὰρ γίνεται ἡ κακία καὶ ὑπόθεσις λαμπρότητος τῇ ἀρετῇ· τῇ γὰρ ἀδικίᾳ εἰς δέον τοῦ Θεοῦ χρωμένου, τὰ ἡμέτερα λάμπει μᾶλλον. Πάλιν ὁ διάβολος, ὅταν ἐργάζηταί τι τοιοῦτον, λαμπροτέρους ποιεῖ τοὺς ὑπομένοντας. Τί οὖν, φησίν, ἐπὶ τοῦ Ἀδὰμ οὐ γέγονε τοῦτο, ἀλλ' ἀτιμότερος γέγονε; Μάλιστα μὲν κἀκείνῳ ὁ Θεὸς εἰς δέον ἐχρήσατο, εἰ δὲ πού τι ἔπαθεν, αὐτὸς ἑαυτὸν ἠδίκησε· τὰ μὲν γὰρ παρ' ἑτέρων εἰς ἡμᾶς γινόμενα μεγάλων ἡμῖν ἀγαθῶν αἴτια γίνεται, τὰ δὲ παρ' ἡμῶν αὐτῶν οὐκέτι. Ἐπειδὴ γάρ, ἀδικούμενοι μὲν ὑφ' ἑτέρων,*

------

4. Γεν. 4, 10
5. Ἑβρ. 12, 24

διήγηση. Καί, ἐὰν θέλετε, ἄς διηγηθοῦμε αὐτὰ ἀπὸ τὴν ἀρχή.

Ὁ Κάϊν σκότωσε τὸν ἀδελφό του, ἀλλὰ μ' αὐτὸ τὸν ὠφέλησε περισσότερο· διότι ἄκουσε τί λέγει· «Ἡ φωνὴ τοῦ αἵματος τοῦ ἀδελφοῦ σου φωνάζει πρὸς ἐμένα»[4]· καὶ πάλι σ' ἄλλο σημεῖο λέγει· «Καὶ μὲ τὸ αἷμα ποὺ ὁμιλεῖ καλύτερα ἀπὸ τὸ στόμα τοῦ Ἄβελ»[5]. Ἀπάλλαξε αὐτὸν ἀπὸ τὰ ἄγνωστα τοῦ μέλλοντος, αὔξησε τὸ μισθό του· ὅλοι μάθαμε τὴν ἀγάπη ποὺ εἶχε πρὸς αὐτὸν ὁ Θεός. Σὲ τί δηλαδὴ ἀδικήθηκε ποὺ δέχθηκε τὸ θάνατο τόσο γρήγορα; Σὲ τίποτε. Διότι πές μου, κερδίζουν τίποτε ἐκεῖνοι ποὺ πεθαίνουν σὲ μεγαλύτερη ἡλικία; Τίποτε· καθόσον ἡ εὐτυχία δὲν βρίσκεται στὰ πολλὰ χρόνια ζωῆς ἢ στὰ λίγα, ἀλλὰ στὸ νὰ ἔγινε καλὴ χρησιμοποίηση τῆς ζωῆς. Τὰ τρία παιδιὰ ρίχτηκαν στὸ καμίνι, καὶ μ' αὐτὸ ἔγιναν λαμπρότερα· ὁ Δανιὴλ ρίχτηκε στὸ λάκκο τῶν λονταριῶν καὶ ἐξ αἰτίας αὐτοῦ ἔγινε ἐνδοξότερος.

3. Βλέπεις παντοῦ τὶς δοκιμασίες ποὺ γεννοῦν μεγάλα ἀγαθὰ καὶ ἐδῶ καὶ ὄχι μόνο ἐκεῖ· στὴν περίπτωση ὅμως τῆς κακίας γίνεται τὸ ἴδιο, ὅπως γιὰ παράδειγμα, ἐὰν κάποιος, κρατώντας καλάμι, ἀντιπαρατάσσεται στὴ φωτιά· διότι αὐτὸς νομίζει βέβαια ὅτι χτυπᾶ τὴ φωτιά, ὅμως κάμνει αὐτὴ λαμπρότερη καὶ καταστρέφει τὸν ἑαυτό του. Καθόσον ἡ κακία γίνεται τροφὴ καὶ αἰτία λαμπρότητας τῆς ἀρετῆς· διότι ὁ Θεὸς χρησιμοποιώντας τὴν κακία ὅπως συμφέρει σ' ἐμᾶς, καθιστᾶ περισσότερο λαμπρὰ τὰ δικά μας. Πάλι ὁ διάβολος, ὅταν κάμνει κάτι παρόμοιο, καθιστᾶ λαμπρότερους ἐκείνους ποὺ τὸ ὑπομένουν. Γιατί λοιπόν, λέγει, αὐτὸ δὲν συνέβηκε στὴν περίπτωση τοῦ Ἀδάμ, ἀλλ' ἔχασε καὶ τὴν τιμὴ ποὺ εἶχε; Βέβαια καὶ σ' ἐκεῖνον ὁ Θεὸς μεταχειρίσθηκε τὴν τιμωρία πρὸς ὄφελός του, ἐὰν ὅμως ἔπαθε κάτι, αὐτὸς ὁ ἴδιος ἀδίκησε τὸν ἑαυτό του· διότι τὰ κακὰ ἐκεῖνα ποὺ γίνονται σ' ἐμᾶς ἀπὸ τοὺς ἄλλους, γίνονται αἰτία μεγάλων ἀγαθῶν γιὰ ἐμᾶς, ἐνῶ ἐκεῖνα ποὺ γίνονται ἀπὸ ἐμᾶς τοὺς ἴδιους, δὲν ἀποβαίνουν καθόλου πρὸς ὄφελός μας. Διότι, ἐπειδή, ὅταν ἀδικούμαστε ἀπὸ ἄλλους πονοῦμε, ὄχι ὅμως καὶ ὅ-

ἀλγοῦμεν, ὑπὸ δὲ ἡμῶν αὐτῶν οὐκέτι, δείκνυσιν ὁ Θεὸς ὅτι ὁ μὲν παρ' ἑτέρου ἀδίκως πάσχων εὐδοκιμεῖ, ὁ δὲ ἑαυτὸν ἀδικῶν βλάπτεται· καὶ μάλα εἰκότως, ἵνα ἐκεῖνο μὲν γενναίως φέρωμεν, τοῦτο δὲ μηκέτι· ἄλλως τε τὸ πᾶν ἐκεῖ τοῦ 'Αδὰμ γέγονε. Διὰ τί γὰρ ἐπείθου τῇ γυναικί; διὰ τί γὰρ ἐναντία συμβουλεύουσαν οὐκ ἀπεκρούσω; Σὺ πάντως γέγονας αἴτιος, ἐπειδή, εἰ ὁ διάβολος ἦν, ἔδει κατὰ τοῦτο τοὺς πειραζομένους πάντας ἀπόλλυσθαι· εἰ δὲ μὴ ἀπόλλυνται, παρ' ἡμᾶς ἡ αἰτία.

'Αλλ' ἔδει, φησί, πάντας τοὺς πειραζομένους κατορθοῦν, ἤ, εἰ παρ' ἡμᾶς ἡ αἰτία, ἔδει καὶ χωρὶς τοῦ διαβόλου ἀπόλλυσθαι. Τοῦτο καὶ γίνεται· καὶ γὰρ πολλοὶ καὶ χωρὶς τοῦ διαβόλου ἀπόλλυνται· οὐ γὰρ δὴ πάντα αὐτὸς κατασκευάζει, ἀλλὰ πολλὰ καὶ ἀπὸ μόνης γίνεται τῆς νωθείας τῆς ἡμετέρας· εἰ δέ που κἀκεῖνος αἴτιος, ἡμῶν τὴν ἀρχὴν παρεχόντων. Εἰπέ γάρ μοι, πότε ὁ διάβολος ἴσχυσεν ἐπὶ τοῦ 'Ιούδα; Ὅτε εἰσῆλθε, φησίν, εἰς αὐτὸν ὁ Σατανᾶς. 'Αλλ' ἄκουσον τὴν αἰτίαν, ὅτι «κλέπτης ἦν, καὶ τὰ βαλλόμενα ἐβάσταζεν». Αὐτὸς ἔδωκεν αὐτῷ εὐρυχωρίαν τῆς εἰσόδου· ὥστε οὐχ ὁ διάβολος τὴν ἀρχὴν ἐντίθησιν, ἀλλ' ἡμεῖς αὐτὸν δεχόμεθα καὶ καλοῦμεν. 'Αλλά, εἰ μὴ ἐκεῖνος, φησίν, ἦν, οὐκ ἂν μεγάλα ἐγένετο τὰ δεινά. 'Αλλ' ἀπαραίτητος ἡμῖν ἔμελλεν εἶναι ἡ κόλασις· νῦν μὲν γάρ, ἀγαπητέ, τὰ τῆς κολάσεως ἡμῖν ἡμερώτερα, εἰ δὲ δι' ἑαυτῶν εἰργαζόμεθα τὰ δεινά, ἀφόρητος ἦν ἡ τιμωρία. Εἰπὲ γάρ μοι, εἰ ταῦτα, ἃ ἥμαρτεν ὁ 'Αδάμ, χωρὶς συμβουλῆς ἥμαρτε, τίς αὐτὸν ἂν ἐξήρπασε τῶν κινδύνων; 'Αλλ' οὐκ ἂν ἥμαρτε, φησί. Πόθεν μοι τοῦτο λέγεις; Ὁ γὰρ οὕτω χαῦνος καὶ ῥάθυμος καὶ πρὸς ἄνοιαν ἕτοιμος, ὥστε δέ-

6. Ἰω. 12, 6

ταν ἀδικούμαστε ἀπὸ ἐμᾶς τοὺς ἴδιους, δείχνει ὁ Θεὸς ὅτι ἐκεῖνος ποὺ ἀδικεῖ τὸν ἑαυτό του βλάπτεται καὶ πολὺ σωστά, ὥστε ἐκεῖνο νὰ τὸ ὑποφέρομε μὲ γενναιότητα, ὄχι ὅμως καὶ αὐτό· ἄλλωστε στὴν περίπτωση τοῦ Ἀδὰμ ἡ ὅλη εὐθύνη βαρύνει τὸν ἴδιο. Γιατί δηλαδὴ πίστεψες στὰ λόγια τῆς γυναίκας; γιατί δὲν τὴν ἀπέκρουσες ποὺ σὲ συμβούλευε ἀντίθετα; Σὺ ὁπωσδήποτε ἔγινες αἴτιος, ἐπειδή, ἐὰν ἦταν αἴτιος ὁ διάβολος, ἔπρεπε σύμφωνα μ' αὐτὸ νὰ ὁδηγοῦνται στὴν ἀπώλεια ὅλοι ἐκεῖνοι ποὺ πειράζονται ἀπ' αὐτόν, ἐφόσον ὅμως δὲν ὁδηγοῦνται στὴν ἀπώλεια, ἡ αἰτία βρίσκεται σ' ἐμᾶς.

Ἀλλ' ἔπρεπε, λέγει, ὅλοι ἐκεῖνοι ποὺ πειράζονται ἀπὸ τὸ διάβολο νὰ κατορθώνουν νὰ βγοῦν νικητές, ἤ, ἐὰν ἡ αἰτία βρίσκεται σ' ἐμᾶς, ἔπρεπε καὶ χωρὶς τὸ διάβολο νὰ ὁδηγούμαστε στὴν ἀπώλεια. Αὐτὸ καὶ γίνεται· καθόσον πολλοὶ καὶ χωρὶς τὸ διάβολο ὁδηγοῦνται στὴν ἀπώλεια· διότι ἀσφαλῶς δὲν τὰ προξενεῖ ὅλα αὐτός, ἀλλὰ πολλὰ συμβαίνουν καὶ μόνο ἀπὸ τὴ δική μας ἀδιαφορία· ἐὰν κάπου γίνεται καὶ ἐκεῖνος αἴτιος, αὐτὸ συμβαίνει ἐπειδὴ ἐμεῖς κάναμε τὴν ἀρχή. Διότι πές μου σὲ παρακαλῶ, πότε ὁ διάβολος ὑπερίσχυσε ἐπὶ τοῦ Ἰούδα; Ὅταν, λέγει, εἰσῆλθε σ' αὐτὸν ὁ Σατανᾶς. Ἀλλ' ἄκουσε τὴν αἰτία· διότι λέγει, «Ἦταν κλέφτης καὶ ἀφαιροῦσε ἐκεῖνα ποὺ ἔβαζαν στὸ ταμεῖο»[6]. Ὁ ἴδιος τὸν ἄφησε νὰ μπεῖ μέσα του μὲ ὅλη τὴν ἄνεσή του· ἑπομένως δὲν κάμνει ὁ διάβολος τὴν ἀρχή, ἀλλ' ἐμεῖς τὸν δεχόμαστε καὶ τὸν καλοῦμε. Ὅμως, λέγει, ἐὰν δὲν ἦταν ἐκεῖνος, δὲν θὰ συνέβαιναν μεγάλα κακά. Ἀλλ' ἐπρόκειτο τότε νὰ εἶναι ἀσυγχώρητη ἡ κόλαση· διότι τώρα, ἀγαπητέ, τὰ τῆς κολάσεως μᾶς εἶναι ἐλαφρότερα, ἐὰν ὅμως μόνοι μας διεπράτταμε τὰ κακά, θὰ ἦταν ἀνυπόφορη ἡ τιμωρία. Διότι πές μου, ἐὰν αὐτά, δηλαδὴ τὰ ἁμαρτήματα ποὺ διέπραξε ὁ Ἀδάμ, τὰ εἶχε διαπράξει χωρὶς συμβουλή, ποιὸς θὰ τὸν ἔσωζε ἀπὸ τοὺς κινδύνους; Ἀλλὰ δὲν θὰ ἁμάρτανε, λέγει. Ἀπὸ ποῦ τὸ συμπεραίνεις αὐτό; Διότι ἐκεῖνος ποὺ ἦταν τόσο ἀποχαυνωμένος καὶ ἀδιάφορος καὶ ἕτοιμος γιὰ ἀνοησία,

ξασθαι τοιαύτην συμβουλήν, πολλῷ μᾶλλον καὶ χωρὶς τούτου τοῦτο γέγονεν ἄν. Ποῖος διάβολος τοὺς τοῦ Ἰωσὴφ ἀδελφοὺς εἰς φθόνον ἐνέβαλεν;

Ἂν νήφωμεν τοίνυν, ἀγαπητοί, καὶ εὐδοκιμήσεως ἡμῖν αἴτιος ὁ διάβολος γίνεται· τί γὰρ ἔβλαψε τὸν Ἰὼβ ἡ τοσαύτη αὐτοῦ μηχανή; Μὴ εἴπῃς, φησί, τοῦτο, ἀλλ' ὁ ἀσθενὴς βλάπτεται. Ἀλλ' ὁ ἀσθενής, κἂν μὴ διάβολος ᾖ βλάπτεται. Ἀλλὰ μειζόνως, φησί, μετὰ τῆς ἐκείνου ἐνεργείας. Ἀλλ' ἔλαττον, ὅταν μετὰ τῆς ἐκείνου ἐνεργείας ἁμάρτῃ, κολάζεται· οὐ γὰρ πάντων τῶν ἁμαρτημάτων αἱ αὐταὶ τιμωρίαι. Μὴ ἀπατῶμεν ἑαυτούς· οὐκ ἔστιν ἡμῖν ὁ διάβολος αἴτιος, ἐὰν νήφωμεν· ἐκεῖνος ἡμᾶς μᾶλλον ἀφυπνίζει, ἐκεῖνος ἡμᾶς διεγείρει. Εἰπέ γάρ μοι (τέως ταῦτα ἐξετάσωμεν), μὴ ἔστω θηρία, μὴ ἔστω ἀνωμαλία ἀέρων, μὴ νόσοι, μὴ λύπαι, μὴ ἀθυμίαι, μὴ ἕτερόν τι τῶν τοιούτων, τί οὐκ ἂν ἐγένετο ὁ ἄνθρωπος; Χοῖρος μᾶλλον ἢ ἄνθρωπος, δοκῶ μοι, γέγονεν ἄν, γαστριζόμενος, καὶ μεθύων, καὶ ὑπὸ μηδενὸς τούτων ἐνοχλούμενος. Νῦν δὲ αἱ φροντίδες καὶ αἱ μέριμναι γυμνάσιόν εἰσι φιλοσοφίας καὶ διδασκαλεῖον, καὶ ἀγωγὴ παιδείας ἀρίστης.

Σκόπει δὲ καὶ ἄλλως· τρεφέσθω τις ἐν βασιλείοις, μήτε λυπούμενος, μήτε φροντίζων, μήτε μεριμνῶν, καὶ μήτε ὀργῆς ἔχων πρόφασιν, μήτε ἀποτυχίας, ἀλλὰ πάντα, ἅπερ ἂν ἐπιθυμήσῃ, ποιείτω, καὶ ἐπιτυγχανέτω, καὶ πάντας ἐχέτω ὑπακούοντας· ἂν μὴ παντὸς θηρίου ἀλογώτερος γένηται ὁ τοιοῦτος; Νῦν δὲ ὥσπερ ἀκόνη ἐστὶν ἐκτρίβουσα ἡμᾶς τὰ τῶν περιστάσεων, τὰ τῶν θλίψεων· διὰ τοῦτο τῶν πλουτούντων οἱ πένητες ὡς ἐπὶ τὸ πλεῖστόν εἰσι συνετώτεροι, καθάπερ πολλοῖς περικρουόμενοι καὶ περιαντλούμενοι κύμασι. Καὶ γὰρ σῶμα τὸ μὲν ἀργὸν καὶ ἀκίνητον νοσῶδες καὶ ἀηδές, τὸ δὲ κινούμενον

ὥστε νὰ δεχθεῖ τέτοια συμβουλή, πολὺ περισσότερο καὶ χωρὶς αὐτὸ θὰ γινόταν ἐκεῖνο ποὺ ἔγινε. Ποιὸς διάβολος ὁδήγησε τοὺς ἀδελφοὺς τοῦ Ἰωσὴφ σὲ φθόνο;

Ἂν λοιπόν, ἀγαπητοί, εἴμαστε προσεκτικοὶ ὁ διάβολος μᾶς γίνεται καὶ αἰτία νὰ προκόψομε· διότι σὲ τί ἔβλαψαν τὸν Ἰὼβ τὰ τόσα δόλια τεχνάσματα αὐτοῦ; μὴ πεῖς λέγει, αὐτό, ἀλλ᾽ ὅτι ὁ πνευματικὰ ἀδύνατος βλάπτεται. Μὰ ὁ πνευματικὰ ἀδύνατος καὶ ἂν ἀκόμη δὲν ὑπάρχει ὁ διάβολος βλάπτεται. Ὅμως, λέγει, περισσότερο μὲ τὴν ἐνέργεια ἐκείνου. Ἀλλὰ τιμωρεῖται λιγότερο, ὅταν ἁμαρτήσει μὲ τὴν ἐνέργεια ἐκείνου· διότι δὲν εἶναι οἱ ἴδιες τιμωρίες γιὰ ὅλα τὰ ἁμαρτήματα. Ἂς μὴ ξεγελᾶμε τοὺς ἑαυτούς μας· δὲν εἶναι ὁ διάβολος αἴτιος τῆς βλάβης μας, ἐὰν εἴμαστε προσεκτικοί· ἐκεῖνος μᾶς ἀφυπνίζει περισσότερο, ἐκεῖνος μᾶς διεγείρει. Διότι πές μου (κατ᾽ ἀρχὴ ἂς ἐξετάσομε αὐτά), ἔστω ὅτι δὲν ὑπῆρχαν θηρία, δὲν ὑπῆρχε μεταβολὴ ἀνέμων, οὔτε ἀσθένεια, οὔτε λύπες, οὔτε στενοχώριες, οὔτε κάτι ἄλλο παρόμοιο μ᾽ αὐτά, τί δὲν θὰ γινόταν ὁ ἄνθρωπος; Νομίζω ὅτι θὰ γινόταν πολὺ περισσότερο χοῖρος, παρὰ ἄνθρωπος, τρώγοντας καὶ μεθώντας, καὶ μὴ ἐνοχλούμενος ἀπὸ κανένα ἀπ᾽ αὐτά. Τώρα ὅμως οἱ φροντίδες καὶ οἱ μέριμνες εἶναι ἄσκηση καὶ διδασκαλεῖο εὐσέβειας, καὶ ἀγωγὴ ἄριστης παιδείας.

Ἀλλ᾽ ἂς ἐξετάσομε τὸ πράγμα καὶ ἀλλιῶς. Ἂς ὑποθέσομε ὅτι κάποιος ἀνατρέφεται στὰ βασιλικὰ ἀνάκτορα, χωρὶς λύπες, χωρὶς φροντίδες, χωρὶς μέριμνες, καὶ μὴ ἔχοντας ἀφορμὴ οὔτε γιὰ ὀργή, οὔτε γιὰ ἀποτυχία, ἀλλ᾽ ὅλα ἐκεῖνα ποὺ θὰ ἐπιθυμήσει τὰ κάμνει καὶ πετυχαίνει, καὶ ἔχει ἐπίσης ὅλους να ὑπακούουν σ᾽ αὐτόν· δὲν θὰ γίνει αὐτὸς πιὸ παράλογος ἀπὸ ὁποιοδήποτε θηρίο; Τώρα ὅμως οἱ δύσκολες καταστάσεις καὶ οἱ θλίψεις εἶναι ἀκόνη ποὺ μᾶς τροχίζει· γι᾽ αὐτὸ οἱ φτωχοὶ εἶναι ὡς ἐπὶ τὸ πλεῖστο πιὸ συνετοὶ ἀπὸ τοὺς πλούσιους, ἐπειδὴ ἀκριβῶς δέχονται πολλὰ πλήγματα καὶ καταποντισμοὺς ἀπὸ τὰ κύματα τῆς ζωῆς. Καθόσον τὸ σῶμα ποὺ εἶναι ἀργὸ καὶ ἀκίνητο, εἶναι ἀσθενικὸ καὶ σιχαμερό, ἐνῶ ἐκεῖνο ποὺ κι-

καὶ κάμνον καὶ ταλαιπωρούμενον ὡραιότερον καὶ ὑγιεινότερον· τοῦτο δὲ ἐπὶ ψυχῆς εὕροι τις ἄν. Καὶ σίδηρος κείμενος μὲν διαφθείρεται, ἐργαζόμενος δὲ λάμπει· καὶ ψυχὴ ὡσαύτως κινουμένη· κίνησις δὲ ψυχῆς αἱ περιστάσεις αὗται. Καὶ τέχναι ἀπόλλυνται, μὴ κινουμένης ψυχῆς· κινεῖται δέ, ὅταν μὴ πάντα εὐθέα ᾖ· κινεῖται γὰρ ὑπὸ τῶν ἐναντίων. Εἰ μὴ εἴη ἐναντία, οὐδὲν ἂν εἴη τὸ κινοῦν· οἷον, εἰ πάντα ἦν εἰργασμένα καλῶς, οὐκ ἂν εὗρεν ἡ τέχνη κινεῖσθαι. Οὕτω καί, εἰ πάντα ἦν κατὰ νοῦν ἡμῖν, οὐκ ἂν εὗρεν ἡ ψυχὴ κινεῖσθαι, εἰ πανταχοῦ διεβαστάζετο, ἀηδὴς ἦν.

Οὐχ ὁρᾷς ὅτι καὶ τροφοῖς παρακελευόμεθα μὴ διὰ παντὸς βαστάζειν τὰ παιδία, ὥστε μὴ εἰς ἔθος αὐτὰ καθιστᾶν, μήτε ἐξίτηλα αὐτὰ ποιεῖν; Διὰ τοῦτο τα ἐπ' ὄψεσιν ἀνατρεφόμενα τῶν γονέων ἀσθενέστερα γίνεται, τῆς φειδοῦς τῆς ἀκαίρου τε καὶ ἀμέτρου λυμαινομένης αὐτῶν τὴν ὑγίειαν. Καλὸν καὶ λύπη σύμμετρος, καλὸν καὶ φροντίς, καλὸν καὶ ἔνδεια· ἰσχυροὺς γὰρ ἡμᾶς ποιεῖ καλὰ καὶ τὰ ἐναντία· ἕκαστον γὰρ αὐτῶν ἄμετρον γενόμενον ἀπόλλυσι, καὶ τὸ μὲν χαυνοῖ, τὸ δὲ διαρρήγνυσιν. Οὐχ ὁρᾷς ὅτι καὶ τοὺς αὐτοῦ μαθητὰς ὁ Χριστὸς οὕτως ἐνάγει; Εἰ ἐκεῖνοι δὲ τούτων ἐδέοντο, πολλῷ μᾶλλον ἡμεῖς. Εἰ δὲ δεόμεθα, μὴ ἀγανακτῶμεν, ἀλλὰ καὶ χαίρωμεν ἐπὶ ταῖς θλίψεσι· φάρμακα γὰρ ταῦτά ἐστι κατάλληλα τοῖς ἡμετέροις τραύμασι, τὰ μὲν πικρά, τὰ δὲ ἡδέα· ἑκάτερον δὲ αὐτῶν καθ' ἑαυτὸ ἂν εἴη ἄχρηστον.

Χάριν τοίνυν ἔχωμεν τῷ Θεῷ ὑπὲρ τούτων ἁπάντων· οὐ γὰρ ἁπλῶς ταῦτα συγχωρεῖ γίνεσθαι, ἀλλ'

νεῖται, ποὺ κοπιάζει καὶ ταλαιπωρεῖται, εἶναι ὡραιότερο καὶ ὑγιεινότερο· αὐτὸ θὰ μποροῦσε νὰ βρεῖ κανεὶς νὰ συμβαίνει καὶ στὴν περίπτωση τῆς ψυχῆς. Καὶ τὸ σίδερο ποὺ εἶναι κάτω στὸ χῶμα πεταμένο καταστρέφεται, ἐνῶ ὅταν χρησιμοποιεῖται στὴν ἐργασία λάμπει· κατὰ τὸν ἴδιο τρόπο λάμπει καὶ ἡ ψυχὴ ποὺ κινεῖται· κίνηση τῆς ψυχῆς εἶναι οἱ δύσκολες αὐτὲς περιστάσεις τῆς ζωῆς. Καὶ οἱ τέχνες ἐξαφανίζονται ὅταν δὲν κινεῖται ἡ ψυχή· καὶ κινεῖται αὐτή, ὅταν δὲν εἶναι ὅλα ὁμαλά· διότι κινεῖται ἀπὸ τὰ ἀντίθετα. Ἐὰν δὲν ὑπῆρχαν τὰ ἀντίθετα, δὲν θὰ ὑπῆρχε ἡ αἰτία τῆς κινήσεως· γιὰ παράδειγμα, ἐὰν ὅλα ἦταν κατασκευασμένα καλά, δὲν θὰ ἔβρισκε ἡ τέχνη ἀφορμὴ γιὰ νὰ κινηθεῖ. Ἔτσι καί, ἐὰν ὅλα σὲ μᾶς ἦταν σύμφωνα μὲ τὸ νοῦ μας, δὲν θὰ ἔβρισκε ἡ ψυχὴ ἀφορμὴ γιὰ ἐνέργεια, θὰ ἦταν γεμάτη ἀηδία.

Δὲν βλέπεις ὅτι καὶ στὶς τροφοὺς δίνομε ἐντολὴ νὰ μὴ βαστοῦν τὰ παιδιὰ συνέχεια στὴν ἀγκαλιά, γιὰ νὰ μὴ συνηθίζουν ἔτσι, οὔτε καὶ νὰ τὰ καθιστοῦν ἀσθενικά; Γι' αὐτὸ τὰ παιδιὰ ποὺ ἀνατρέφονται παρουσία τῶν γονέων τους γίνονται ἀσθενέστερα, ἐπειδὴ ἡ ἀκατάλληλη καὶ πέρα ἀπὸ τὸ μέτρο ἐπιμέλεια καταστρέφει τὴν ὑγεία αὐτῶν. Εἶναι καλὸ πράγμα καὶ ἡ μὲ μέτρο λύπη, καλὸ εἶναι καὶ ἡ φροντίδα, καλὸ εἶναι καὶ ἡ φτώχεια· διότι μᾶς κάνουν ἰσχυροὺς καὶ τὰ καλὰ καὶ τὰ ἀντίθετα· καθόσον τὸ καθένα ἀπ' αὐτὰ ὅτι γίνεται πέρα ἀπὸ τὸ μέτρο, ὁδηγεῖ στὴν καταστροφή, καὶ τὸ πρῶτο ἀπ' αὐτὰ ἀποχαυνώνει τὸν ἄνθρωπο, ἐνῶ τὸ δεύτερο προξενεῖ φοβερὴ βλάβη. Δὲν βλέπεις ὅτι καὶ ὁ Χριστὸς τέτοια ἐντολὴ δίνει στοὺς μαθητές του; Ἐὰν ἐκεῖνοι εἶχαν ἀνάγκη ἀπ' αὐτά, πολὺ περισσότερο ἔχομε ἐμεῖς. Ἐὰν χρειαζόμαστε αὐτά, ἂς μὴ ἀγανακτοῦμε, ἀλλὰ καὶ νὰ χαιρόμαστε γιὰ τὶς θλίψεις· διότι αὐτὰ εἶναι φάρμακα κατάλληλα γιὰ τὰ τραύματά μας, ἄλλα ἀπ' αὐτὰ πικρά, καὶ ἄλλα γλυκά· τὸ καθένα ἀπ' αὐτὰ μόνο του θὰ ἦταν ἄχρηστο.

Ἂς εὐγνωμονοῦμε λοιπὸν τὸ Θεὸ γιὰ ὅλα αὐτά· διότι δὲν ἐπιτρέπει αὐτὰ νὰ συμβαίνουν ἔτσι στὴν τύχη,

ὑπὲρ τοῦ συμφέροντος τῶν ἡμετέρων ψυχῶν. Τὴν ἡμετέραν τοίνυν εὐγνωμοσύνην ἐπιδεικνύμενοι, εὐχαριστῶμεν, δοξάζωμεν, γενναίως ἀντέχωμεν, τὸ πρόσκαιρον αὐτῶν λογιζόμενοι, καὶ πρὸς τὰ μέλλοντα τείνοντες ἑαυτῶν τὴν διάνοιαν, ἵνα καὶ τὰ παρόντα κούφως ἐνέγκωμεν, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν καταξιωθῶμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἀλλὰ γιὰ τὸ συμφέρον τῆς ψυχῆς μας. Δείχνοντας λοιπὸν τὴν εὐγνωμοσύνη μας πρὸς αὐτόν, ἄς τὸν εὐχαριστοῦμε, ἄς τὸν δοξάζομε, ἄς ὑπομένομε αὐτὰ μὲ γενναιότητα, σκεφτόμενοι τὸ πρόσκαιρο αὐτῶν, καὶ ἄς ἔχομε στραμμένο τὸ νοῦ μας πρὸς τὰ μελλοντικὰ ἀγαθά, ὥστε καὶ τὰ παρόντα νὰ ὑποφέρομε ἐλαφρά, καὶ νὰ ἀξιωθοῦμε νὰ ἐπιτύχομε τὰ μελλοντικὰ ἀγαθὰ μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Μονογενοῦς Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΕ΄
(Πράξ. 28. 17 - 31)

«Ἐγένετο δὲ μετὰ τρεῖς ἡμέρας συγκαλέσασθαι τὸν Παῦλον τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους. Συνελθόντων δὲ αὐτῶν, ἔλεγε πρὸς αὐτούς· Ἄνδρες ἀδελφοί, ἐγώ, οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ρωμαίων· οἵτινες ἀνακρίναντές με ἐβούλοντο ἀπολῦσαι διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί. Ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων, ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι. Διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι· ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι».

1. Καλῶς τοῦτο καὶ συμφερόντως ποιεῖ, τοὺς πρώτους τῶν Ἰουδαίων εἰς διάλεξιν συγκαλῶν· ἐβούλετο γὰρ καὶ ἑαυτὸν ἀπαλλάξαι αἰτίας καὶ ἑτέρους· ἑαυτὸν μέν, ἵνα μὴ κατηγορῶσιν αὐτοῦ, καὶ τοῦτο αὐτοὺς βλάπτῃ, ἐκείνους δέ, ἵνα μὴ δόξῃ αὐτῶν εἶναι τὸ πᾶν· εἰκὸς γὰρ κρατῆσαι φήμην ὅτι ὑπὸ Ἰουδαίων παρεδόθη· τοῦτο δὲ ἱκανὸν ἦν αὐτοὺς πλῆξαι. Εὐθέως οὖν πρὸς τοῦτο ἵσταται, καὶ τὰ καθ' ἑαυτὸν οὕτω πως πράως ἀπολογεῖται. Ὅρα δὲ πῶς καὶ τὴν ἀπολογίαν ὑφαίνει, λέγων· «Ἄνδρες ἀδελφοί, ἐγώ, οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς

ΟΜΙΛΙΑ ΜΕ΄

(Πράξ. 28, 17 - 31)

«Ὕστερα ἀπὸ τρεῖς ἡμέρες ὁ Παῦλος προσκάλεσε τοὺς προύχοντες τῶν Ἰουδαίων. Ἀφοῦ συγκεντρώθηκαν αὐτοί, εἶπε πρὸς αὐτούς· Ἄνδρες ἀδελφοί, ἐγώ, χωρὶς νὰ ἔκανα τίποτε ἐναντίον τοῦ λαοῦ μας ἢ τῶν πατρικῶν ἐθίμων, παραδόθηκα ἀλυσοδεμένος ἀπὸ τὰ Ἱεροσόλυμα στὰ χέρια τῶν Ρωμαίων, οἱ ὁποῖοι, ἀφοῦ μὲ ἀνέκριναν, ἤθελαν νὰ μὲ ἀπολύσουν, διότι δὲν εἶχα κάνει τίποτε ἄξιο θανάτου. Ἐπειδὴ ὅμως οἱ Ἰουδαῖοι ἔφερναν ἀντιρρήσεις, ἀναγκάσθηκα νὰ ἐπικαλεσθῶ τὸν Καίσαρα, ὄχι βέβαια ἐπειδὴ ἔχω νὰ κατηγορήσω τὸ ἔθνος μου γιὰ κάτι. Γι' αὐτὸ τὸ λόγο λοιπὸν θέλησα νὰ σᾶς δῶ καὶ νὰ σᾶς μιλήσω, διότι ἐξαιτίας τῆς ἐλπίδας τοῦ Ἰσραὴλ εἶμαι δεμένος μὲ τὴν ἀλυσίδα αὐτή».

1. Πολὺ καλὰ καὶ πρὸς τὸ συμφέρον του τὸ κάμνει αὐτό, προσκαλώντας σὲ συνομιλία τοὺς Ἰουδαίους· διότι ἤθελε καὶ τὸν ἑαυτό του ν' ἀπαλλάξει ἀπὸ τὴν κατηγορία καὶ ἄλλους· τὸν ἑαυτό του βέβαια γιὰ νὰ μὴ τὸν κατηγοροῦν, πράγμα ποὺ τοὺς ἔβλαπτε, ἐνῶ ἐκείνους γιὰ νὰ μὴ φανεῖ ὅτι τὸ πᾶν ὀφειλόταν σ' αὐτούς· διότι φυσικὸ ἦταν νὰ διαδοθεῖ ἡ φήμη ὅτι παραδόθηκε ἀπὸ τοὺς Ἰουδαίους, πράγμα ποὺ ἦταν ἱκανὸ νὰ βλάψει αὐτούς. Ἀμέσως λοιπὸν καταφεύγει σ' αὐτὸ καὶ ἀπολογεῖται μὲ τέτοια πραότητα γιὰ τὰ ὅσα εἶχαν σχέση μὲ τὸν ἑαυτό του. Καὶ πρόσεχε πῶς ὑφαίνει καὶ τὴν ἀπολογία, λέγοντας· «Ἄνδρες ἀδελφοί, ἐγώ, χωρὶς νὰ ἔκανα τίποτε ἐναντίον τοῦ λαοῦ μας ἢ τῶν πατρικῶν ἐθίμων, παραδόθη-

ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ρωμαίων». Εἶτα, οὕτως εἰπών, ἐπειδὴ εἰκὸς ἦν τινας ἀκούοντας εἰπεῖν, 'Πῶς ἔχει λόγον ἁπλῶς σε παραδοῦναι;' ἐπήγαγεν· «Οἵτινες ἀνακρίναντές με ἐβούλοντο ἀπολῦσαι»· ὡσεὶ ἔλεγε· 'Μαρτυροῦσιν οἱ Ρωμαίων ἄρχοντες, οἳ καὶ ἀνέκριναν καὶ ἤθελον ἀπολύειν'. Πῶς οὖν οὐκ ἀπέλυσαν; «Ἀντιλεγόντων Ἰουδαίων», φησίν. 'Ορᾷς πῶς καθαιρεῖ αὐτῶν τὰ ἐγκλήματα; Εἰ γὰρ ἐβούλετο αὐξῆσαι, ἐνῆν καὶ καταφορικώτερον χρήσασθαι. Διὸ καὶ οὕτως εἰπὼν ἐπήγαγεν· «Ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα»· ὥστε συγγνώμης τὸ πᾶν ἐστιν.

Εἶτα, ἵνα μηδεὶς εἴπῃ, 'Τί οὖν; καὶ ἵνα αὐτῶν κατηγορήσῃς, τοῦτο πεποίηκας;' διὰ τῆς ἐπαγωγῆς διορθοῦται τὸ ὑφορμοῦν, καὶ λέγει· «Οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι»· τουτέστιν, 'ἐπεκαλεσάμην Καίσαρα, οὐχ ὥστε κατηγορῆσαι, ἀλλ' ὥστε διαφυγεῖν τὸν κίνδυνον· ἕνεκεν γὰρ ὑμῶν τὴν ἅλυσιν ταύτην περίκειμαι'. Τοσοῦτον ἀπέχω, φησίν, ἐχθρῶς πρὸς ὑμᾶς διακεῖσθαι, ὅτι καὶ τὴν ἅλυσιν περίκειμαι.

Τί οὖν ἐκεῖνοι; Οὕτως ἐχειρώθησαν τῷ λόγῳ, ὡς μὴ μόνον ὑπὲρ ἑαυτῶν, ἀλλὰ καὶ ὑπὲρ τῶν συγγενῶν ἀπολογήσασθαι· ὅθεν, τοῦτο δηλῶν, ἐπάγει· «Οἱ δὲ εἶπον πρὸς αὐτόν· 'Ημεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς Ἰουδαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἐπήγγειλεν ἢ ἐλάλησέ τι περὶ σοῦ πονηρόν. Ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς· περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστὸν ἐστὶν ἡμῖν ὅτι πανταχοῦ ἀντιλέγεται». 'Ωσεὶ ἔλεγον 'Οὔτε διὰ γραμμάτων, οὔτε δι' ἀνθρώπων ἐγνώρισάν τι περὶ σοῦ πονηρόν, πλὴν ἀλλ' ἀκοῦσαι βουλόμεθα

κα ἁλυσοδεμένος ἀπὸ τὰ Ἱεροσόλυμα στὰ χέρια τῶν Ρωμαίων». Ἔπειτα, λέγοντας αὐτό, ἐπειδὴ φυσικὸ ἦταν μερικοὶ ἀκούοντάς το νὰ ποῦν, 'πῶς δικαιολογεῖται νὰ σὲ παραδώσουν ἔτσι στὰ καλὰ καθούμενα;' πρόσθεσε· «Οἱ ὁποῖοι, ἀφοῦ μὲ ἀνέκριναν, ἤθελαν νὰ μὲ ἀπολύσουν»· σὰν δηλαδὴ νὰ ἔλεγε· 'Μάρτυρες εἶναι οἱ ἄρχοντες τῶν Ρωμαίων, οἱ ὁποῖοι καὶ μὲ ἀνέκριναν καὶ ἤθελαν νὰ μὲ ἀπολύσουν'. Πῶς λοιπὸν δὲν σὲ ἀπέλυσαν; «Ἐπειδή», λέγει, «ἔφερναν ἀντιρρήσεις οἱ Ἰουδαῖοι». Βλέπεις πῶς ἐλαττώνει τὶς κατηγορίες αὐτῶν; Διότι, ἐὰν ἤθελε νὰ τὶς αὐξήσει, μποροῦσε νὰ χρησιμοποιήσει πιὸ βαριὰ λόγια. Γι' αὐτό, ἀφοῦ εἶπε αὐτό, πρόσθεσε· «Ἀναγκάσθηκα νὰ ἐπικαλεσθῶ τὸν Καίσαρα»· ὥστε τὸ πᾶν εἶναι γιὰ συγγνώμη.

Ἔπειτα, γιὰ νὰ μὴ πεῖ κανείς, 'Τί λοιπόν; τὸ ἔκανες αὐτὸ μὲ σκοπὸ νὰ κατηγορήσεις αὐτούς;', μὲ ἐκεῖνο ποὺ προσθέτει στὴ συνέχεια προλαβαίνει τὴν ἕτοιμη ἐπίθεση ἐναντίον του, καὶ λέγει· «Ὄχι βέβαια ἐπειδὴ ἔχω νὰ κατηγορήσω τὸ ἔθνος μου γιὰ κάτι»· δηλαδή, 'ἐπικαλέσθηκα τὸν Καίσαρα, ὄχι μὲ σκοπὸ νὰ κατηγορήσω, ἀλλὰ γιὰ ν' ἀποφύγω τὸν κίνδυνο· διότι ἐξαιτίας σας εἶμαι δεμένος μὲ τὴν ἁλυσίδα αὐτή'. Τόσο πολύ, λέγει, ἀπέχω ἀπὸ τὸ νὰ τρέφω ἐχθρικότητα ἐναντίον σας, ἂν καὶ εἶμαι δεμένος μὲ τὴν ἁλυσίδα.

Τί λοιπὸν κάμνουν ἐκεῖνοι; τόσο πολὺ ἀφοπλίσθηκαν μὲ τὰ λόγια του αὐτά, ὥστε ὄχι μόνο ν' ἀπολογηθοῦν ὑπὲρ τοῦ ἑαυτοῦ τους, ἀλλὰ καὶ ὑπὲρ τῶν ὁμοεθνῶν τους· γι' αὐτό, γιὰ νὰ δηλώσει αὐτό, προσθέτει· «Αὐτοὶ εἶπαν πρὸς αὐτόν· Ἐμεῖς οὔτε ἐπιστολὲς πήραμε ἀπὸ τὴν Ἰουδαία γιὰ σένα, οὔτε ἦρθε κάποιος ἀπὸ τοὺς ἀδελφοὺς ν' ἀναφέρει ἢ νὰ πεῖ κάτι τὸ κακὸ γιὰ σένα. Ἐπιθυμοῦμε λοιπὸν ν' ἀκούσομε ἀπὸ σένα ποιά εἶναι τὰ φρονήματά σου· διότι γιὰ τὴ θρησκευτικὴ αὐτὴ αἵρεση εἶναι γνωστὸ ὅτι κατηγορεῖται παντοῦ». Σὰν νὰ ἔλεγαν· 'Οὔτε μὲ ἐπιστολές, οὔτε μὲ ἀνθρώπους μᾶς ἐγνώρισαν γιὰ σένα κάτι τὸ κακό, πλὴν ὅμως θέλομε ν' ἀκούσομε γιὰ σένα'.

παρὰ σοῦ'. Οὕτω προκατέβαλον, τὴν οἰκείαν γνώμην δεικνύντες, καί φασι· «Περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστόν ἐστιν ἡμῖν ὅτι πανταχοῦ ἀντιλέγεται». Οὐκ εἶπον ὅτι 'ἀντιλέγομεν', ἀλλ' «ἀντιλέγεται», κατηγορίας ἑαυτοὺς ἀπολύοντες.

«Ταξάμενοι δὲ αὐτῷ ἡμέραν, ἧκον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες· οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ Θεοῦ πείθων τε αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ ἀπό τε τοῦ νόμου Μωϋσέως καὶ τῶν προφητῶν ἀπὸ πρωῒ ἕως ἑσπέρας. Καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν». Εἶδες πῶς οὐκ εὐθέως ἀποκρίνεται, ἀλλὰ δίδωσιν αὐτοῖς ἡμέραν τοῦ ἐλθεῖν καὶ ἀκοῦσαι· οἷς καὶ παραγενομένοις διελέγετο ἀπό τε τοῦ νόμου Μωϋσέως καὶ τῶν προφητῶν. «Καὶ οἱ μὲν ἐπείθοντο, οἱ δὲ ἠπίστουν. Ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους, ἀπελύοντο, εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν· Καλῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ τοῦ Ἠσαΐου τοῦ Προφήτου πρὸς τοὺς πατέρας ἡμῶν, λέγον· Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπόν· Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς». Ὅτε ἀνεχώρουν, ἀντιτασσομένων αὐτῶν, τότε τὸν Ἠσαΐαν ἐφίστησιν, οὐκ ἐκείνους ὑβρίσαι βουλόμενος, ἀλλὰ τούτους στηρίξαι. Τί λέγοντα; «Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε». Ὁρᾷς πῶς αὐτοὺς ἐξέβαλε πάσης συγγνώμης; εἴ γε καὶ τὸν Προφήτην ἔχοντες προαναφωνήσαντα πόρρωθεν

1. Ησ. 6, 9 - 10

῞Ετσι ἀπὸ τὴν πρώτη στιγμὴ παρουσίασαν τὴν ἄρνησή τους, δείχνοντας τὴ δική τους γνώμη, καὶ λένε· «Διότι γιὰ τὴ θρησκευτικὴ αὐτὴ αἵρεση γνωρίζομε ὅτι παντοῦ κατηγορεῖται». Δὲν εἶπαν 'τὴν ἀπορρίπτομε', ἀλλὰ προβάλλουν ἀντιρρήσεις γι' αὐτήν», ἀπαλλάσσοντας τὸν ἑαυτό τους ἀπὸ τὴν κατηγορία.

«'Αφοῦ ὅμως ὅρισαν μία ἡμέρα, ἦρθαν πολλοὶ πρὸς αὐτὸν ἐκεῖ ποὺ ἔμενε, μὲ τοὺς ὁποίους συνομιλοῦσε ἀπὸ τὸ πρωὶ μέχρι τὸ βράδυ, δίνοντας μαρτυρία γιὰ τὴ βασιλεία τοῦ Θεοῦ, καὶ πείθοντάς τους γιὰ τὰ σχετικὰ μὲ τὸν 'Ιησοῦ ἀπὸ τὸ νόμο τοῦ Μωϋσῆ καὶ τοὺς προφῆτες καὶ μερικοὶ πίστευαν στὰ λεγόμενά του, ἐνῶ ἄλλοι δὲν πίστευαν». Εἶδες πῶς δὲν ἀπαντᾶ πρὸς αὐτοὺς ἀμέσως, ἀλλὰ τοὺς ὁρίζει μία ἡμέρα γιὰ νὰ ρθοῦν καὶ νὰ τὸν ἀκούσουν, πρὸς τοὺς ὁποίους, ἀφοῦ ἦρθαν, μιλοῦσε ἀπὸ τὸ νόμο τοῦ Μωϋσῆ καὶ τοὺς προφῆτες. «Καὶ μερικοὶ πίστευαν, ἐνῶ ἄλλοι δὲν πίστευαν. 'Επειδὴ διαφωνοῦσαν ἀναμεταξύ τους, ἔφυγαν, ἀφοῦ ὁ Παῦλος τοὺς εἶπε τὰ ἑξῆς λόγια· Πολὺ σωστὰ μίλησε τὸ ἅγιο Πνεῦμα μέσω τοῦ προφήτη 'Ησαΐα στοὺς πατέρες μας, λέγοντας· Πήγαινε στὸ λαὸ αὐτὸ καὶ πές· Θ' ἀκοῦτε πολὺ καλὰ ἀλλὰ δὲν θὰ καταλαβαίνετε, καὶ θὰ βλέπετε πολὺ καλὰ καὶ θὰ εἶναι σὰν νὰ μὴ βλέπετε· διότι ἔγινε ἀναίσθητη ἡ καρδιὰ τοῦ λαοῦ αὐτοῦ καὶ ἀκοῦν βαριὰ μὲ τ' αὐτιά τους, καὶ ἔκλεισαν καὶ τὰ μάτια τους, μήπως καὶ δοῦν μὲ τὰ μάτια τους καὶ ἀκούσουν μὲ τ' αὐτιά τους καὶ κατανοήσουν αὐτὰ μὲ τὴν καρδιά τους, ὥστε νὰ ἐπιστρέψουν μετανοημένοι καὶ νὰ τοὺς θεραπεύσω ἐγώ»[1] ῞Οταν ἔφευγαν καὶ πρόβαλλαν τὶς ἀντιρρήσεις τους, τότε ἀναφέρει τὸν 'Ησαΐα, ὄχι ἐπειδὴ ἤθελε νὰ κατηγορήσει ἐκείνους, ἀλλὰ γιὰ νὰ στηρίξει αὐτούς. Καὶ ἀναφέρει τὸν 'Ησαΐα τί λέγοντας; «Θ' ἀκούσετε πολὺ καλὰ καὶ δὲν θὰ καταλαβαίνετε». Βλέπεις πῶς ἀπομάκρυνε αὐτοὺς ἀπὸ κάθε συγγνώμη; διότι, ἂν καὶ εἶχαν καὶ τὸν προφήτη ποὺ πρόλεγε αὐτὰ ἀπὸ πολὺ παλιά, ὅμως δὲν ἀπέφυγαν νὰ μὴ ἀποστραφοῦν αὐτά. Μὲ τὸ νὰ πεῖ, «πολὺ ὀρ-

ταῦτα οὐκ ἀπεστράφησαν. Τῷ δὲ εἰπεῖν, «Καλῶς», δείκνυσι καὶ δικαίως ἐκβεβλημένους· ὥστε τοῖς ἔθνεσι δέδοται γνῶναι τὸ μυστήριον τοῦτο. Οὐδὲν οὖν θαυμαστόν, εἰ ἀντέλεγον· ἄνωθεν τοῦτο προελέγετο.

Εἶτα πάλιν τὸν ζῆλον κατ' αὐτῶν κινεῖ τὸν ἐξ ἐθνῶν, ἐπάγων καὶ λέγων· «Γνωστὸν οὖν ἔστω ὑμῖν ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τοῦτο τὸ σωτήριον τοῦ Θεοῦ· αὐτοὶ καὶ ἀκούσονται. Καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ Ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν. Ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην ἐν ἰδίῳ μισθώματι, καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους πρὸς αὐτόν, κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μετὰ πάσης παρρησίας ἀκωλύτως. Ἀμήν». Ἐνταῦθα δείκνυσι τὴν αὐτοῦ ἐλευθερίαν λοιπόν· κηρύττει γὰρ ἀκωλύτως ἐν Ρώμῃ ὁ ἐν Ἰουδαίᾳ κωλυθείς, καὶ ἔμεινεν ἐπὶ δύο ἔτη διδάσκων ἐκεῖ. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

2. *«Διὰ ταύτην οὖν», φησί, «τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν»· τουτέστι, 'διὰ τοῦτο ἠβουλήθην, ὥστε μὴ ἐξεῖναί τινι κατηγορεῖν καὶ τὰ παριστάμενα λέγειν ὅτι δὴ τὰς χεῖρας αὐτῶν διαφυγὼν ἐπὶ τοῦτο ἦλθον· οὐ γὰρ ἑτέροις διδοὺς κακά, ἀλλ' αὐτὸς φεύγων κακά, ἦλθον'. Οἱ δὲ πρὸς αὐτόν· «Ἀξιοῦμεν ἀκοῦσαι παρὰ σοῦ ἃ φρονεῖς». Ὅρα καὶ αὐτοὺς ἡμερώτερον διαλεγομένους. «Ἀξιοῦμεν», φησί, καὶ βούλονται ἀπολογήσασθαι καὶ ὑπὲρ ἐκείνων· διὸ καὶ ἧκον ταξάμενοι αὐτῷ ἡμέραν. Τοῦτο δὲ τοῦ σφόδρα ἑαυτῶν καταγνῶναι τεκμήριον καὶ τοῦ μὴ θαρρεῖν· εἰ γὰρ ἐθάρρουν, κἂν τοῦτο ἐποίησαν καὶ συνῆλθον,*

2. Πράξ. 22, 18

θά», δείχνει ὅτι δίκαια ἀπορρίφθηκαν· ἑπομένως στούς ἐθνικούς δόθηκε ἡ δυνατότητα νά γνωρίσουν τό μυστήριο αὐτό. Δέν εἶναι λοιπόν καθόλου ἄξιο θαυμασμοῦ τό ὅτι πρόβαλλαν ἀντιρρήσεις· διότι αὐτό προλεγόταν ἀπό τήν ἀρχή.

Ἔπειτα κινεῖ πάλι ἐναντίον αὐτῶν τήν προθυμία τῶν ἐξ ἐθνῶν πιστῶν, προσθέτοντας καί λέγοντας· «Ἄς τό γνωρίζετε λοιπόν ὅτι ἡ σωτηρία αὐτή τοῦ Θεοῦ στάλθηκε στούς ἐθνικούς, οἱ ὁποῖοι καί θά ὑπακούσουν σ' αὐτήν. Καί ἀφοῦ εἶπε αὐτά, ἔφυγαν οἱ Ἰουδαῖοι, ἔχοντας μεγάλη συζήτηση ἀναμεταξύ τους. Ὁ Παῦλος ἔμεινε ὁλόκληρη διετία σέ δικό του μισθωμένο σπίτι, καί δεχόταν ὅλους ἐκείνους πού πήγαιναν σ' αὐτόν, κηρύσσοντας τή βασιλεία τοῦ Θεοῦ καί διδάσκοντας τά σχετικά μέ τόν Κύριο Ἰησοῦ Χριστό μέ πολύ θάρρος καί χωρίς ἐμπόδια. Ἀμήν». Ἐδῶ δείχνει τήν ἐλευθερία του πλέον· διότι κηρύσσει στή Ρώμη χωρίς ἐμπόδια ἐκεῖνος πού ἐμποδίστηκε στήν Ἰουδαία καί ἔμεινε ἐκεῖ ἐπί δύο χρόνια διδάσκοντας. Ἀλλά ἄς δοῦμε ἀπό τήν ἀρχή τά ὅσα λέχθηκαν.

2. «Γι' αὐτό τό λόγο», λέγει, «ζήτησα νά σᾶς δῶ»· δηλαδή, γι' αὐτό θέλησα νά σᾶς δῶ, γιά νά μή μπορεῖ κάποιος νά κατηγορεῖ καί νά ὁμιλεῖ βγάζοντας τά συμπεράσματά του ἀπό αὐτά πού βλέπει, ὅτι δηλαδή ἦρθα ἐδῶ γιά νά διαφύγω τά χέρια ἐκείνων· διότι δέν ἦρθα ἐδῶ ἐπειδή προξένησα κακά σέ ἄλλους, ἀλλ' ἀποφεύγοντας ὁ ἴδιος κακά». Ἐκεῖνοι εἶπαν πρός αὐτόν· «Ἐπιθυμοῦμε ν' ἀκούσομε ἀπό σένα τά φρονήματά σου». Πρόσεχε καί αὐτούς πού ὁμιλοῦν μέ πιό ἤπιο τρόπο. «Ἐπιθυμοῦμε» λέγει, καί θέλουν ν' ἀπολογηθοῦν καί ὑπέρ ἐκείνων· γι' αὐτό καί ἦρθαν πρός αὐτόν ἀφοῦ ὅρισαν μία ἡμέρα. Αὐτό ἀποτελεῖ ἀπόδειξη τῆς ὑπερβολικῆς κατηγορίας αὐτῶν ἐναντίον τοῦ ἑαυτοῦ τους καί τοῦ ὅτι δέν εἶχαν θάρρος· διότι, ἐάν εἶχαν θάρρος θά ἔκαμναν ἔστω καί αὐτό καί θά συγκεντρώνονταν, μέ σκοπό νά τόν πείσουν καί νά τόν κερδίσουν, τώρα ὅμως, ἐπειδή δέν ἔ-

ὥστε αὐτὸν συναρπάσαι, νῦν δὲ μὴ θαρροῦντες, καὶ ἐλθεῖν ὤκνησαν· ἄλλως τε καὶ τῷ πολλάκις ἐπιχειρῆσαι ἔδειξαν ὅτι οὐκ ἐθάρρουν.

«Καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις», φησίν. «οἱ δὲ ἠπίστουν», καὶ ἀσύμφωνοι ὄντες ἀπελύοντο»· τουτέστι, 'μὴ πιστεύοντες ἀνεχώρουν'. Ὅρα πῶς οὐ ράπτουσιν ἐπιβουλὰς νῦν κατ' αὐτοῦ, ἀλλ' ἐν τῇ Ἰουδαίᾳ, ἔνθα ὡς ἐν τυραννίδι ἦσαν. Τίνος οὖν ἕνεκεν ᾠκονόμησεν ἐκεῖ αὐτὸν ἀπελθεῖν, καίτοι εἶπε, «Σπεῦσον, ἔξελθε ἐξ Ἰερουσαλήμ»; Ἵνα δειχθῇ καὶ αὐτῶν ἡ κακία, καὶ ἡ προφητεία τοῦ Χριστοῦ ἀληθής, ὅτι οὐκ ἀνέχονται καὶ ὥστε μαθεῖν πάντας ὅτι ἕτοιμός ἐστι παθεῖν, καὶ ὥστε εἰς παράκλησιν τῶν ἐν Ἰουδαίᾳ γενέσθαι τὸ οἰκονομούμενον καὶ γὰρ κἀκεῖ πολλὰ ἔπαθε δεινά. Εἰ δέ, κηρύττων τὰ Ἰουδαϊκά, ταῦτα ἔπασχεν, εἰ ἐκήρυττε τὰ τῆς δόξης τοῦ Χριστοῦ, πῶς ἂν ἠνέσχοντο; Ἁγνιζόμενος οὐκ ἐγένετο φορητός, καὶ πῶς κηρύσσων φορητὸς ἦν; Τί ἐγκαλεῖτε ὑμεῖς; τί ἠκούσατε; Οὐδὲν τοῦτον εἶπεν ἁπλῶς. Ὤφθη, καὶ πάντας παρώξυνεν. Εἰκότως ἄρα τοῖς ἔθνεσιν ἀπενεμήθη ἡ σωτηρία, εἰκότως μακρὰν ἐπέμφθη, κἀκεῖ μέλλων τοῖς ἔθνεσι διαλέγεσθαι. Σκόπει δέ· πρώτους Ἰουδαίους καλεῖ, ἔπειτα, δείξας αὐτοῖς τὰ πράγματα, τότε ἐπὶ τὰ ἔθνη ἔρχεται. Τὸ δὲ οὕτως εἰπεῖν, ὅτι «εἶπε τὸ Πνεῦμα», οὐδὲν θαυμαστόν· καὶ γὰρ ἄγγελος λέγεται λέγειν ἅπερ ἂν ὁ Κύριος εἴπῃ. «Καλῶς εἶπε», φησί, «τὸ Πνεῦμα τὸ ἅγιον»· ἀλλ' ἐνταῦθα μὲν οὕτως, ἐκεῖ δὲ οὐκέτι. Ἄλλως δὲ καὶ ὅταν διηγῆσαί τις περὶ τῶν ὑπὸ τοῦ ἀγγέλου λεχθέντων. οὐ λέγει, 'Καλῶς εἶπεν ὁ ἄγγελος', ἀλλὰ 'καλῶς εἶπεν ὁ Κύριος, καλῶς εἶπε τὸ

3. Πράξ. 21, 26

χουν τὸ θάρρος, δίστασαν καὶ νὰ ρθοῦν. Ἐξ ἄλλου καὶ μὲ τὸ ὅτι πολλὲς φορὲς ἐπιχείρησαν ἔδειξαν ὅτι δὲν εἶχαν θάρρος.

«Καὶ μερικοὶ πίστευαν», λέγει, «στὰ λεγόμενά του, ἐνῶ ἄλλοι δὲν πίστευαν, καὶ ἐπειδὴ διαφωνοῦσαν ἔφυγαν»˙ δηλαδὴ 'ἔφυγαν χωρὶς νὰ πιστέψουν'. Πρόσεχε πῶς τώρα δὲν ἐπινοοῦν ἐπιβουλὲς ἐναντίον του, ἀλλὰ στὴν Ἰουδαία, ὅπου ζοῦσαν κάτω ἀπὸ τυραννικὴ σχεδὸν ἐξουσία. Γιὰ ποιό λόγο λοιπὸν ρύθμισε ὁ Θεὸς νὰ μεταβεῖ αὐτὸς ἐκεῖ, ἂν καὶ εἶπε, «Κάνε γρήγορα, καὶ φύγε ἀπὸ τὴν Ἱερουσαλήμ»; Γιὰ νὰ φανεῖ καὶ αὐτῶν ἡ κακία, καὶ ἡ προφητεία τοῦ Χριστοῦ ἀληθινή, ὅτι δὲν ἀνέχονται˙ καὶ γιὰ νὰ μάθουν ὅλοι ὅτι εἶναι ἕτοιμος νὰ πάθει, καὶ γιὰ νὰ γίνει τὸ σχέδιο τῆς πρόνοιας τοῦ Θεοῦ αἰτία νὰ παρηγορηθοῦν οἱ πιστοὶ τῆς Ἰουδαίας, καθόσον καὶ ἐκεῖ ἔπαθε πολλὰ κακά. Ἐὰν κηρύσσοντας τὰ ἰουδαϊκὰ ἔπασχε αὐτά, ἐὰν κήρυσσε τὰ σχετικὰ μὲ τὴ δόξα τοῦ Χριστοῦ, πῶς θὰ τὸν ἀνέχονταν; Ἐκτελώντας τοὺς ἰουδαϊκοὺς τυπικοὺς καθαρμούς[3] δὲν ἔγινε ὑποφερτός, καὶ πῶς κηρύσσοντας τὸ Χριστὸ θὰ γινόταν ὑποφερτός; Γιατί κατηγορεῖτε σεῖς; τί ἀκούσατε; τίποτε παρόμοιο δὲν εἶπε. Παρουσιάσθηκε, καὶ ὅλους τοὺς ἐξόργισε. Πολὺ σωστὰ ἐπομένως δόθηκε ἡ σωτηρία στοὺς ἐθνικούς, πολὺ σωστὰ στάλθηκε μακριά, μὲ σκοπὸ νὰ κηρύξει ἐκεῖ στοὺς ἐθνικούς. Πρόσεχε ὅμως˙ πρῶτα προσκαλεῖ τοὺς Ἰουδαίους, καὶ ἔπειτα, ἀφοῦ παρουσίασε σ' αὐτοὺς τὰ πράγματα, τότε ἔρχεται πρὸς τοὺς ἐθνικούς. Καὶ αὐτὸ ποὺ εἶπε, ὅτι «εἶπε τὸ Πνεῦμα τὸ ἅγιο», δὲν εἶναι καθόλου ἄξιο θαυμασμοῦ˙ καθόσον λέγεται ὅτι ἄγγελος λέγει ἐκεῖνα ποὺ ἀποφασίζει νὰ πεῖ ὁ Κύριος. «Πολὺ καλά», λέγει, «εἶπε τὸ ἅγιο Πνεῦμα»˙ ἀλλ' ἐδῶ ὁμιλεῖ ἔτσι, ὄχι ὅμως καὶ ἐκεῖ. Ἄλλωστε καὶ ὅταν διηγεῖται κάποιος τὰ ὅσα λέχθηκαν ἀπὸ τὸν ἄγγελο, δὲν λέγει, 'Πολὺ σωστὰ εἶπε ὁ ἄγγελος', ἀλλά, 'πολὺ σωστὰ εἶπε ὁ Κύριος, πολὺ σωστὰ εἶπε τὸ Πνεῦμα'˙ εἶναι σὰν νὰ ἔλεγε˙ 'Δὲν δείχνε-

Πνεῦμα'· ὡσεὶ ἔλεγεν· 'Οὐκ ἐμοὶ ἀπιστεῖτε, ἀλλὰ τῷ Πνεύματι'. Ὥστε ἄνωθεν τοῦτο προῄδει ὁ Θεός.

«Οἵτινες ἀνακρίναντές με», φησίν, «ἐβούλοντο ἀπολῦσαι»· τουτέστιν, 'οὐδὲν εὑρόντες ἄξιον καταδίκης ἐν ἐμοί, ἀπολύειν ἤθελον'. Καὶ δέον ἐκείνους ἐξελέσθαι, παρέδωκαν εἰς χεῖρας Ρωμαίων· καὶ τοσαύτη ἡ περιουσία τῆς ἐλευθερίας, ὅτι οὐδὲ ἐκεῖνοι ἴσχυσαν κατακρῖναι, ἀλλὰ δέσμιον παρέδωκαν. «Ἠναγκάσθην», φησίν, «ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι»· τουτέστιν, 'οὐχ ἵνα κακοῖς ἑτέρους περιβάλω, ἀλλ' ἵνα κακῶν ἐμαυτὸν ἀπαλλάξω, τοῦτο ἐποίησα, καὶ οὐχ ἑκών, ἀλλ' ἀναγκασθείς'. Ὅρα οἰκειότητα ρημάτων· οὐκ ἀλλοτριοῦται αὐτούς, ἀλλ' οἰκειοῦται τῷ εἰπεῖν, «Τοῦ ἔθνους μου». Πάλιν δὲ κατασπείρει τὸ δόγμα. Καὶ οὐκ εἶπεν, 'Οὐ κατηγορῶ', ἀλλ' «οὐκ ἔχω τι κατηγορῆσαι», καίτοι τοιαῦτα παθὼν οὕτω δεινά. Οὐδὲν οὖν τούτων φησίν, ἵνα μὴ φορτικὸν ποιήσῃ τὸν λόγον· οὐδὲ χαρίζεσθαι αὐτοῖς δοκεῖ. Καὶ Καὶ διὰ τοῦτο οὐ λέγει, ἀλλ' αἰνίττεται μόνον, καὶ παρατρέχει· τοῦτο γὰρ ἦν τέως τὸ σπουδαζόμενον, τὸ δεῖξαι ὅτι Ρωμαίοις παρέδωκαν δέσμιον. Τοὺς δὲ καταδικάσαι δέον ἐκείνους, δέον κατηγορῆσαι, μᾶλλον ἀπολογοῦνται· δι' ὧν δὲ συνυφαίνουσι τὴν ἀπολογίαν, κατηγοροῦσιν αὐτῶν.

«Γνωστόν ἐστιν ἡμῖν ὅτι πανταχοῦ», φησίν, «ἀντιλέγεται». Ἀλλ' εἰ καὶ τοῦτο συμβαίνει, ὅμως καὶ πιστεύεται πανταχοῦ. «Οἷς ἐξετίθετο», φησίν, «ἀπό τε νόμου καὶ προφητῶν». Ὅρα πάλιν οὐκ ἀπὸ σημείων, ἀλλ' ἀπὸ νόμου καὶ προφητῶν ἐπιστομίζοντα αὐτούς, καὶ πανταχοῦ τοῦτο ποιοῦντα· καίτοι γε ἐνῆν καὶ σημεῖα ποιῆσαι, ἀλλὰ λοιπὸν οὐκ ἔτι πιστὸν

τε ἀπιστία σὲ μένα, ἀλλὰ στὸ Πνεῦμα'. Ἐπομένως αὐτὸ τὸ γνώριζε ὁ Θεὸς ἀπὸ τὴν ἀρχή.

«Οἱ ὁποῖοι», λέγει, «ἀφοῦ μὲ ἀνέκριναν, ἤθελαν νὰ μ' ἀπολύσουν»· δηλαδή, 'ἐπειδὴ δὲν βρῆκαν σ' ἐμένα τίποτε ἄξιο καταδίκης, ἤθελαν νὰ μ' ἀπολύσουν'. Καὶ ἐνῶ ἔπρεπε ἐκεῖνοι νὰ τὸν σώσουν, τὸν παρέδωσαν στὰ χέρια τῶν Ρωμαίων καὶ τόσο ἦταν τὸ μέγεθος τῆς ἐλευθερίας, ὥστε οὔτε ἐκεῖνοι κατόρθωσαν νὰ τὸν καταδικάσουν, ἀλλὰ τὸν παρέδωσαν δεμένο μὲ ἁλυσίδες. «Ἀναγκάσθηκα», λέγει, «νὰ ἐπικαλεσθῶ τὸν Καίσαρα, ὄχι διότι εἶχα νὰ κατηγορήσω γιὰ κάτι τὸ ἔθνος μου»· δηλαδή, 'αὐτὸ τὸ ἔκανα ὄχι γιὰ νὰ περιβάλλω ἄλλους μὲ κακά, ἀλλὰ γιὰ ν' ἀπαλλάξω τὸν ἑαυτό μου ἀπὸ τὰ κακά, καὶ ὄχι μὲ τὴν θέλησή μου, ἀλλ' ἐπειδὴ ἀναγκάσθηκα'. Πρόσεχε λόγια γεμάτα ἀπὸ ἐγκαρδιότητα· δὲν ἀποξενώνει αὐτούς, ἀλλὰ τοὺς καθιστᾶ φίλους μὲ τὸ νὰ πεῖ «τὸ ἔθνος μου». Πάλι διαδίδει τὸ δόγμα τῆς πίστεως. Καὶ δὲν εἶπε, 'Δὲν κατηγορῶ', ἀλλὰ «δὲν ἔχω νὰ κατηγορήσω γιὰ κάτι», ἂν καὶ ἔπαθε τέτοια καὶ τόσο μεγάλα κακά. Τίποτε λοιπὸν ἀπ' αὐτὰ δὲν λέγει, γιὰ νὰ μὴ κάνει ἐνοχλητικὸ τὸ λόγο' οὔτε φαίνεται ὅτι τοὺς κάμνει τὸ χατήρι. Καὶ γι' αὐτὸ δὲν λέγει τίποτε, ἀλλὰ μόνο ὑπαινιγμὸ κάνει, καὶ τὰ παρατρέχει· διότι κατ' ἀρχὴ σ' αὐτὸ συγκεντρώνεται ἡ ὅλη προσπάθειά του, τὸ νὰ δείξει ὅτι τὸν παρέδωσαν στοὺς Ρωμαίους ἁλυσοδεμένο. Αὐτοὶ ἐνῶ ἔπρεπε νὰ καταδικάσουν ἐκείνους, ἐνῶ ἔπρεπε νὰ τοὺς κατηγορήσουν, αὐτοὶ μᾶλλον ἀπολογοῦνται· μὲ τὰ ὅσα ὅμως συνθέτουν τὴν ἀπολογία τους, κατηγοροῦν αὐτούς.

«Γνωρίζομε», λέγει, «ὅτι παντοῦ κατηγορεῖται». Ἀλλ' ἂν καὶ συμβαίνει αὐτό, ὅμως καὶ πιστεύεται παντοῦ. «Στοὺς ὁποίους ἀνέπτυσε», λέγει, «τὴ διδασκαλία του μὲ μαρτυρίες ἀπὸ τὸ νόμο καὶ τοὺς προφῆτες». Πρόσεχε πάλι ποὺ ἀποστομώνει αὐτοὺς ὄχι ἀπὸ θαύματα, ἀλλ' ἀπὸ τὸ νόμο καὶ τοὺς προφῆτες, καὶ ὅτι παντοῦ αὐτὸ κάμνει· ἂν καὶ βέβαια μποροῦσε καὶ θαύματα νὰ κάνει, ἀλλὰ τότε δὲν ἦταν ἀκόμη τὸ πράγμα ἱκανὸ νὰ πιστευθεῖ· διότι αὐτὸ ἦταν

τὸ πρᾶγμα ἦν· μέγα γὰρ τοῦτο σημεῖον, τὸ ἀπὸ νόμου καὶ τῶν προφητῶν διαλέγεσθαι.

Εἶτα, ἵνα μὴ νομίσῃς παράδοξον εἶναι, τὸ μεῖναι αὐτοὺς ἀπειθοῦντας, ἐπάγει καὶ προφητείαν, τὴν λέγουσαν· «Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε»· μᾶλλον, φησί, νῦν ἢ τότε· «καὶ ὄψεσθε, καὶ οὐ μὴ ἴδητε»· μᾶλλον νῦν ἢ τότε. Πρὸς ἐκείνους εἴρηται ταῦτα τοὺς ἀπιστήσαντας, ἃ καὶ οὐχ ὑβρίζοντος ἦν, ἀλλὰ τὸ σκάνδαλον ἀναιροῦντος.

«Γνωστὸν οὖν ἔστω ὑμῖν», φησίν, «ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τὸ σωτήριον τοῦ Θεοῦ· αὐτοὶ καὶ ἀκούσονται». Τί οὖν ἡμῖν διαλέγῃ; ταῦτα οὐκ ᾔδεις; Ναί, ἀλλ' ὥστε πεισθῆναι ἀπολογοῦμαι, καὶ μηδενὶ δοῦναι λαβήν.

"Ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην», φησί, «διδάσκων μετὰ πάσης παρρησίας ἀκωλύτως». Καλῶς τοῦτο προσέθηκεν· ἔνι γὰρ μετὰ παρρησίας λέγειν, ἀλλὰ κεκωλυμένως. Τὴν οὖν παρρησίαν Παύλου οὐδὲν ἐνέκοψεν, ἀλλὰ καὶ ἀκωλύτως ἔλεγεν. «Ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην», φησίν, «ἐν ἰδίῳ μισθώματι»· οὕτως ἦν ἀπέριττος, μᾶλλον δὲ οὕτω τὸν διδάσκαλον αὐτοῦ ἐμιμεῖτο ἐν πᾶσιν, ὅτι καὶ τὴν οἴκησιν εἶχεν οὐκ ἐξ ἀλλοτρίων πόνων, ἀλλ' ἀφ' ὧν αὐτὸς εἰργάζετο· τοῦτο γὰρ σημαίνει τὸ «ἐν ἰδίῳ μισθώματι». Ὅτι δὲ καὶ ὁ Δεσπότης οἰκίαν οὐκ ἐκέκτητο, ἄκουε αὐτοῦ λέγοντος πρὸς τὸν οὐκ ὀρθῶς εἰπόντα· «Ἀκολουθήσω σοι, ὅπου ἂν ἀπέρχῃ»· «Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ». Οὕτως ἐξ ἑαυτοῦ τὸ μηδὲν κεκτῆσθαι ἐπαίδευσε, μηδὲ σφόδρα τοῖς βιωτικοῖς προσηλῶσθαι.

«Καὶ ἀπεδέχετο τοὺς εἰσπορευομένους», φησί, «πρὸς αὐτόν, κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ».

------

4. Ματθ 8, 19 - 20

μεγάλο θαῦμα, τὸ νὰ ὁμιλεῖ πρὸς αὐτοὺς ἀπὸ τὸ νόμο καὶ τοὺς προφῆτες.

Ἔπειτα, γιὰ νὰ μὴ νομίσεις ὅτι εἶναι παράξενο, τὸ νὰ παραμείνουν αὐτοὶ ἀπειθεῖς, προσθέτει καὶ προφητεία ποὺ λέγει· «Θ' ἀκοῦτε μὲ τ' αὐτιά σας καὶ δὲν θὰ καταλαβαίνετε»· πολὺ περισσότερο, λέγει, τώρα, παρὰ τότε· «καὶ θὰ βλέπετε μὲ τὰ μάτια σας καὶ θὰ εἶναι σὰν νὰ μὴ βλέπετε»· πολὺ περισσότερο τώρα παρὰ ποτέ. Αὐτὰ λέχθηκαν πρὸς ἐκείνους ποὺ δὲν πίστεψαν, καὶ τὰ ὁποῖα ἦταν λόγια ὄχι ἀνθρώπου ποὺ κατηγορεῖ, ἀλλ' ἀνθρώπου ποὺ ἀποκρούει τὸ σκάνδαλο.

«Ἂς γνωρίζετε λοιπόν», λέγει, «σεῖς ὅτι ἡ σωτηρία τοῦ Θεοῦ στάλθηκε στοὺς ἐθνικούς, οἱ ὁποῖοι καὶ θ' ἀκούσουν». Γιατί λοιπὸν συνομιλεῖς μαζί τους; δὲν τὰ γνωρίζεις αὐτά; Ναί, ἀλλ' ἀπολογοῦμαι γιὰ νὰ πιστέψουν καὶ νὰ μὴ δώσω σὲ κανένα ἀφορμὴ γιὰ κατηγορία.

«Ἔμεινε», λέγει, «ἐκεῖ ὁ Παῦλος ὁλόκληρη διετία, διδάσκοντας μὲ πολὺ θάρρος καὶ χωρὶς ἐμπόδια». Πολὺ σωστὰ πρόσθεσε αὐτό· διότι ἦταν δυνατὸ νὰ ὁμιλεῖ μὲ θάρρος, ἀλλὰ ἐμποδιζόμενος. Τὸ θάρρος λοιπὸν τοῦ Παύλου τίποτε δὲν τὸ ἐλάττωσε, ἀλλὰ καὶ μιλοῦσε χωρὶς νὰ ἐμποδίζεται. «Ἔμεινε», λέγει, «ὁ Παῦλος ἐκεῖ ὁλόκληρη διετία, σὲ σπίτι μισθωμένο ἀπὸ τὸν ἴδιο». Τόσο ἁπλὴ ἦταν ἡ ζωὴ ποὺ ἔκανε, ἢ καλύτερα τόσο πολὺ μιμοῦνταν τὸ δάσκαλό του σ' ὅλα, ὥστε καὶ τὴν κατοικία του τὴν εἶχε ὄχι ἀπὸ ξένους κόπους, ἀλλὰ ἀπὸ τὰ χρήματα ποὺ κέρδιζε ἀπὸ τὴν ἐργασία του· διότι αὐτὸ σημαίνει τὸ «ἐν ἰδίῳ μισθώματι». Τὸ ὅτι καὶ ὁ Κύριος δὲν εἶχε κατοικία, ἄκου αὐτὸν ποὺ λέγει πρὸς ἐκεῖνον ποὺ δὲν μίλησε ὀρθά· «Θὰ σ' κολουθήσω ὅπου καὶ ἂν πᾶς»· «οἱ ἀλεποῦδες ἔχουν φωλιὲς καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ ἔχουν κατοικίες, ὁ Υἱὸς ὅμως τοῦ ἀνθρώπου δὲν ἔχει ποῦ νὰ γύρει τὸ κεφάλι του»[4]. Ἔτσι ἀπὸ τὸν ἑαυτό του δίδαξε τὸ νὰ μὴ ἔχουν τίποτε, οὔτε νὰ προσηλώνονται ὑπερβολικὰ στὰ κοσμικὰ πράγματα.

«Καὶ δεχόταν», λέγει, «ὅλους ἐκείνους ποὺ πήγαιναν σ' αὐτόν, κηρύσσοντας τὴ βασιλεία τοῦ Θεοῦ». Πρόσεχε

Ὅρα οὐδὲν περὶ τῶν παρόντων, ἀλλὰ περὶ τῆς τοῦ Θεοῦ βασιλείας πάντα φθεγγόμενον. Ὁρᾷς οἰκονομίαν Θεοῦ; Μέχρι τούτων τὸν λόγον ἵστησιν ὁ συγγραφεύς, καὶ ἀφίησι διψῶντα τὸν ἀκροατήν, ὥστε τὸ λοιπὸν ἀφ' ἑαυτοῦ συλλογίζεσθαι. Τοῦτο καὶ οἱ ἔξω ποιοῦσι· τὸ γὰρ πάντα εἰδέναι νωθῆ ποιεῖ καὶ ἐκλελυμένον. Τοῦτο δὲ ποιεῖ, καὶ οἷα τὰ μετὰ ταῦτα οὐ λέγει, περιττὸν ὅσον πρὸς τοὺς ἐντυγχάνοντας τοῖς συγγραφεῦσιν ἡγούμενος, καὶ ἀπὸ τούτων μανθάνοντας τὸ προστιθέναι τῷ λόγῳ· πάντως γάρ, οἷα τὰ πρότερα, τοιαῦτα ἔσχε καὶ τὰ μετὰ τοῦτο. Ἄκουε δὲ καὶ οἷα μετὰ ταῦτα γράφων πρὸς Ρωμαίους φησίν· «Ὡς ἂν πορεύωμαι εἰς τὴν Ἱσπανίαν, ἐλεύσομαι πρὸς ὑμᾶς».

3. Ὁρᾷς πῶς πάντα προεώρα ἡ ἁγία καὶ θεία κεφαλή, ὁ τῶν οὐρανῶν ὑψηλότερος, ὁ ψυχὴν ἔχων πάντα ὁμοῦ περιλαβεῖν δυναμένην, ὁ τὰ πρῶτα κατέχων Παῦλος; οὗ τοῖς εἰδόσι καὶ τὸ ὄνομα μόνον ἀρκεῖ πρὸς διέγερσιν ψυχῆς πρὸς νῆψιν, πρὸς τὸ πάντα ὕπνον ἀποτινάξασθαι. Ἐδέξατο αὐτὸν Ρώμη δεδεμένον ἀπὸ θαλάσσης ἀναβάντα, ἐκ ναυαγίου διασωθέντα, καὶ ἀπηλλάγη τοῦ ναυαγίου τῆς πλάνης. Καθάπερ γάρ τις βασιλεὺς ναυμαχήσας καὶ νικήσας, ἐπέβαινε τῆς βασιλικωτάτης ἐκείνης πόλεως. Περὶ τούτων ἔγραψεν· «Ἐλεύσομαι καὶ συναναπαύσομαι ὑμῖν ἐν πληρώματι εὐλογίας τοῦ Εὐαγγελίου»· καὶ πάλιν· «Πορεύομαι διακονήσων ἐν Ἰερουσαλήμ». Τουτέστιν, ὅπερ ἔλεγεν· «Ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου παρεγενόμην». Ἐγγύτερος ἦν λοιπὸν τοῦ στεφάνου· ἐδέξατο αὐτὸν ἡ Ρώμη δεδεμένον, καὶ εἶδε στεφανωθέντα καὶ ἀνακηρυχθέντα. Ἐκεῖ «συναναπαύσομαι ὑμῖν», ἔφη, ἐνταῦθα «πορεύομαι διακονήσων εἰς Ἰερουσαλήμ». Τὸ δὲ ἀρχὴ τοῦ δρόμου

------

5. Ρωμ. 15, 24 6. Ρωμ. 15, 24· 32· 29 7. Ρωμ. 15, 25
8. Πράξ. 24, 17 9. Ρωμ. 15, 32 10. Ρωμ. 15, 25

πού δὲν λέγει τίποτε γιὰ τὰ παρόντα, ἀλλ' ὅλα ἀναφέρονται στὴ βασιλεία τοῦ Θεοῦ. Βλέπεις πρόνοια Θεοῦ; Μέχρι σ' αὐτὰ σταματᾶ τὸ λόγο ὁ συγγραφέας καὶ ἀφήνει διψασμένο τὸν ἀκροατή, ὥστε τὰ ὑπόλοιπα νὰ τὰ σκεφθεῖ μόνος του. Αὐτὸ κάνουν καὶ οἱ μὴ χριστιανοὶ συγγραφεῖς· διότι τὸ νὰ τὰ ξέρει κανεὶς ὅλα αὐτὸ τὸν κάνει νωθρὸ καὶ ἀποχαυνωμένο. Αὐτὸ κάμνει καὶ αὐτός, καὶ δὲν λέγει τὰ ὅσα συνέβηκαν στὴ συνέχεια, θεωρώντας αὐτὸ περιττὸ γιὰ ἐκείνους ποὺ διαβάζουν τοὺς συγγραφεῖς καὶ μαθαίνουν ἀπ' αὐτὰ νὰ προσθέτουν στὸ λόγο· διότι ὁπωσδήποτε τέτοια ποὺ ἦταν τὰ προηγούμενα, παρόμοια ἦταν καὶ τὰ ὅσα συνέβηκαν στὴ συνέχεια. Ἄκου καὶ αὐτὰ ποὺ λέγει γράφοντας πρὸς τοὺς Ρωμαίους· «Ὅταν θὰ πηγαίνω στὴν Ἱσπανία θὰ ἔρθω καὶ σὲ σᾶς»[5].

3. Βλέπεις πῶς ὅλα τὰ πρόβλεπε ἡ ἅγια καὶ θεία κεφαλή, ἐκεῖνος ποὺ ἦταν ὑψηλότερος ἀπὸ τοὺς οὐρανούς, ἐκεῖνος ποὺ εἶχε ψυχὴ ποὺ μποροῦσε ὅλα μαζὶ νὰ τὰ περιλάβει, ὁ Παῦλος δηλαδὴ ποὺ κατεῖχε τὰ πρωτεῖα, τοῦ ὁποίου καὶ τὸ ὄνομα μόνο εἶναι ἀρκετὸ γιὰ ἐκείνους ποὺ τὸν γνωρίζουν νὰ διεγείρει τὴν ψυχή τους γιὰ σωφροσύνη, νὰ τοὺς κάνει ν' ἀποτινάξουν κάθε ὕπνο τους. Δέχθηκε αὐτὸν ἡ Ρώμη ἀλυσοδεμένο καὶ ἐρχόμενο ἀπὸ τὴ θάλασσα, ἀφοῦ διασώθηκε ἀπὸ ναυάγιο, καὶ ἀπαλλάχθηκε ἀπὸ τὸ ναυάγιο τῆς πλάνης. Διότι ἀποβιβαζόταν στὴ βασιλικότατη ἐκείνη πόλη σὰν ἀκριβῶς κάποιος βασιλιὰς ποὺ ναυμάχησε καὶ νίκησε. Γι' αὐτοὺς ἔγραψε· «Θὰ ἔρθω πρὸς ἐσᾶς καὶ θ' ἀπολαύσω τὴ συντροφιά σας μὲ τὸν πλοῦτο τῆς εὐλογίας τοῦ Εὐαγγελίου»[6]· καὶ πάλι· «Πηγαίνω στὴν Ἱερουσαλὴμ γιὰ νὰ προσφέρω τὴν ὑπηρεσία μου ἐκεῖ»[7]. Δηλαδὴ ἐκεῖνο ἀκριβῶς ποὺ ἔλεγε· «Ἦρθα γιὰ νὰ φέρω στὸ ἔθνος μου τὰ δῶρα τῆς ἐλεημοσύνης»[8]. Βρισκόταν πλέον πολὺ κοντὰ στὸ στεφάνι· τὸν δέχθηκε ἡ Ρώμη ἀλυσοδεμένο, καὶ τὸν εἶδε νικητὴ καὶ στεφανωμένο. Ἐκεῖ «θ' ἀπολαύσω τὴ συντροφιά σας»[9] εἶπε, ἐδῶ «ἔρχομαι γιὰ νὰ προσφέρω τὴν ὑπηρεσία μου στὴν Ἱερουσαλήμ»[10]. Αὐτὸ πάλι ἦταν ἀρχὴ τοῦ ἀγώνα καὶ ἔστηνε τρόπαια ἐπάνω σὲ

πάλιν ἦν, καὶ τρόπαια τροπαίοις συνῆπτεν, ἀκατάπληκτος ὤν. Κόρινθος αὐτὸν κατέσχε δύο ἔτη, καὶ Ἀσία τρία, καὶ αὕτη δύο τέως, ὥστε δεύτερον ἐπέβη, ὅτε καὶ ἐτελειώθη. «Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ», φησίν, «οὐδείς μοι συμπαρεγένετο». Οὕτω διέφυγε τότε, καί, πᾶσαν ἐμπλήσας τὴν οἰκουμένην τοῦ κηρύγματος, κατέλυσεν οὕτω τὸν βίον.

Τί ἐβούλου μαθεῖν τὰ μετὰ ταῦτα; Τοιαῦτά ἐστι κἀκεῖνα· δεσμά, βάσανοι, μάχαι, φυλακαί, ἐπιβουλαί, συκοφαντίαι, θάνατοι καθημερινοί. Εἶδες αὐτοῦ μικρὸν μέρος; Τοιοῦτον νόει καὶ τὸ λοιπόν. Ὥσπερ ἐπὶ τοῦ οὐρανοῦ, ὅσον ἂν ἴδῃς αὐτοῦ, τοσοῦτόν ἐστι καὶ τὸ ἄλλο· οὐρανοῦ γὰρ ἂν μέρος θεάσῃ ἕν, ὅπου ἂν ἀπέλθῃς, τοιοῦτον ὄψει καὶ τὸ λοιπόν· ἢ καθάπερ ἡλίου τὰς ἀκτῖνας κἂν ἐκ μέρους ἴδῃς, στοχάζῃ ἐκ τούτων οἷος ὁ ἥλιος, οὕτω καὶ ἐπὶ Παύλου. Τὰς πράξεις εἶδες ἐκ μέρους αὐτοῦ, πᾶσαι τοιαῦται τυγχάνουσι κινδύνων γέμουσαι. Οὐρανὸς ἦν ἐκεῖνος, ἥλιον δικαιοσύνης ἔχων, οὐ τοιοῦτον, ὥστε καὶ οὐρανοῦ βελτίων ὁ ἀνήρ. Μικρὸν οἴει τοῦτο εἶναι; Οὐκ ἔγωγε οἶμαι. Ὅταν Ἀπόστολον εἴπῃς, εὐθέως πάντες αὐτὸν ἐννοοῦσιν· ὅταν Βαπτιστήν, εὐθέως τὸν Ἰωάννην. Τίνι ἄν τις παραβάλῃ τὰ ἐκείνου ῥήματα; θαλάσσῃ, ἢ καὶ ὠκεανῷ; Ἀλλ' οὐδὲν ἴσον. Πολλῷ ταύτης δαψιλέστερα τὰ ῥεύματα τὰ τούτου, καθαρώτερα καὶ βαθύτερα, ὥστε καὶ θάλασσαν καὶ οὐρανὸν οὐκ ἄν τις ἁμάρτοι τὴν Παύλου καρδίαν εἰπών, τὸ μὲν διὰ τὸ καθαρόν, τὸ δὲ διὰ τὸ βαθύ.

Θάλασσά ἐστιν, οὐκ ἀπὸ πόλεως εἰς πόλιν ἄγουσα τοὺς ἐμπλέοντας, ἀλλ' ἀπὸ γῆς εἰς οὐρανόν· εἴ τις ταύτην πλέοι τὴν θάλασσαν, ἐξ οὐρίας πλεύσεται. Ἐν ταύτῃ τῇ θαλάσσῃ οὐκ ἄνεμοι, ἀλλ' ἀντὶ ἀνέμων

---

11. Β΄ Τιμ. 4, 16

τρόπαια, παραμένοντας ἀτρόμητος. Η Κόρινθος τὸν κράτησε κοντά της δύο χρόνια, ἡ 'Ασία τρία, καὶ αὐτὴ κατ' ἀρχὴ δύο, καὶ ἦρθε σ' αὐτὴν καὶ γιὰ δεύτερη φορά, ὁπότε καὶ θανατώθηκε «Κατὰ τὴν πρώτη μου ἀπολογία», λέγει, «κανένας δὲν μὲ συμπαραστάθηκε»[11] "Ετσι σώθηκε τότε, καί, ἀφοῦ γέμισε ὅλη τὴν οἰκουμένη μὲ τὸ κήρυγμά του, τερμάτισε τὴ ζωή του μὲ τὸν τρόπο αὐτό.

Τί ἤθελες νὰ μάθεις τὰ ὅσα συνέβηκαν στὴ συνέχεια; Τέτοια εἶναι καὶ ἐκεῖνα· δεσμά, βασανισμοί, ἀγῶνες, φυλακίσεις, ἐπιβουλές, συκοφαντίες, θάνατοι καθημερινοί. Εἶδες αὐτῶν ἕνα μικρὸ μέρος; Τέτοιο σκέψου ὅτι εἶναι καὶ τὸ ὑπόλοιπο· ὅπως ἀκριβῶς καὶ στὴν περίπτωση τοῦ οὐρανοῦ, ὅσο μέρος συμβεῖ νὰ δεῖς αὐτοῦ, τόσο εἶναι καὶ τὸ ὑπόλοιπο· διότι τοῦ οὐρανοῦ, ἐὰν δεῖς ἕνα μέρος, ὅπου καὶ ἂν πᾶς, τέτοιο θὰ δεῖς νὰ εἶναι καὶ τὸ ὑπόλοιπο· ἢ ὅπως ἀκριβῶς ἐὰν δεῖς ἕνα μέρος ἀπὸ τὶς ἀκτίνες τοῦ ἡλίου, σκέφτεσαι ἀπ' αὐτὲς τί λογῆς εἶναι ὁ ἥλιος, ἔτσι καὶ στὴν περίπτωση τοῦ Παύλου. Εἶδες ἐν μέρει τὶς πράξεις αὐτοῦ· ὅλες εἶναι παρόμοιες, γεμάτες ἀπὸ κινδύνους. Οὐρανὸς ἦταν ἐκεῖνος, ἔχοντας ἥλιο δικαιοσύνης, ὄχι τέτοιο· ἐπομένως ὁ ἄνθρωπος ἐκεῖνος ἦταν ἀνώτερος καὶ ἀπὸ τὸν οὐρανό. Νομίζεις ὅτι αὐτὸ εἶναι μικρό; 'Εγὼ τουλάχιστο δὲν τὸ νομίζω. "Οταν πεῖς τὴ λέξη "Απόστολος", ἀμέσως ὅλοι αὐτὸν σκέφτονται· ὅταν πεῖς 'Βαπτιστής" ἀμέσως τὸν 'Ιωάννη σκέφτονται. Μὲ τί θὰ μποροῦσε κανεὶς νὰ συγκρίνει τὰ λόγια ἐκείνου; μὲ θάλασσα ἢ καὶ μὲ ὠκεανό; 'Αλλὰ τίποτε δὲν μπορεῖ νὰ ἐξισωθεῖ μ' αὐτά. Πολὺ πιὸ ἄφθονα εἶναι τὰ ρεύματα αὐτοῦ ἀπ' αὐτῆς, πολὺ πιὸ καθαρὰ καὶ πιὸ βαθιά, ὥστε δὲν θὰ ἔσφαλλε κάποιος ἐὰν ὀνόμαζε τὴν καρδιὰ τοῦ Παύλου καὶ θάλασσα καὶ οὐρανό, τὸ πρῶτο ἐξ αἰτίας τῆς καθαρότητός της, καὶ τὸ δεύτερο, ἐξ αἰτίας τοῦ πάθους της.

Θάλασσα εἶναι ἡ καρδιὰ τοῦ Παύλου, ποὺ δὲν ὁδηγεῖ ἐκείνους ποὺ πλέουν μέσα σ' αὐτὴν ἀπὸ πόλη σὲ πόλη, ἀλλ' ἀπὸ τὴ γῆ στὸν οὐρανό· ἐὰν κάποιος διαπλέει αὐτὴ τὴ θάλασσα, θὰ τὴ διαπλεύσει μὲ εὐνοϊκὸ ἄνεμο. Σ' αὐτὴ

Πνεῦμα θεῖον ἅγιον τὰς ἐμπλεούσας παραπέμπει ψυχάς· οὐκ ἔστιν ἐνταῦθα κύματα, οὐκ ἔστι σκόπελος, οὐκ ἔστι θηρία· πάντα γαληνά. Θάλασσά ἐστι, λιμένος γαληνότερα καὶ ἀσφαλεστέρα, οὐδὲν ἁλμυρὸν ἔχουσα, ἀλλὰ πηγὴν καθαρὰν καὶ ἥδιστα ῥέουσαν νάματα, ἡλίου λαμπροτέραν καὶ διειδεστέραν· θάλασσά ἐστιν, οὐ λίθους ἔχουσα τιμίους, οὐδὲ ἁλουργίδα τοιαύτην, ἀλλὰ κτήματα πολλῷ τούτων βελτίω. Ὁ βουλόμενος εἰς τοῦτο καθεῖναι τὸ πέλαγος ἑαυτόν, οὐ κολυμβητῶν δεῖται, οὐκ ἐλαίου, ἀλλὰ φιλοσοφίας πολλῆς· εὑρήσει ἐν αὐτῷ πάντα τὰ ἀγαθὰ τὰ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ὁ τοιοῦτος καὶ δυνήσεται γενέσθαι βασιλεύς, καὶ πάντα τὸν κόσμον λαβεῖν, καὶ ἐν τιμῇ εἶναι μεγίστῃ· ὁ ταύτην πλέων τὴν θάλασσαν οὐδέποτε ναυάγιον ὑποστήσεται, ἀλλὰ πάντα οἴσεται καλῶς.

Ἀλλ' ὥσπερ οἱ ταύτης ἄπειροι τῆς θαλάσσης ἀποπνίγονται, οὕτω δὴ καὶ ἐνταῦθα· ὅπερ δὴ πάσχουσι καὶ αἱρετικοί, τοῖς ὑπὲρ δύναμιν ἐγχειροῦντες. Δεῖ δὴ τὸ βάθος τοίνυν εἰδέναι, ἢ μὴ κατατολμᾶν. Ἂν μέλλωμεν πλεῖν τὸ πέλαγος τοῦτο, εὔζωνοι γενώμεθα. «Οὐκ ἠδυνήθην ὑμῖν», φησί, «λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς». Μηδεὶς ἀκαρτέρητος τοῦτο πλείτω τὸ πέλαγος. Κατασκευάσωμεν ἑαυτοῖς πλοῖα, τουτέστι σπουδήν, προθυμίαν, εὐχάς, ὥστε διανύσαι τὸ πέλαγος ἐν ἡσυχίᾳ· καὶ γὰρ τὸ ὕδωρ τοῦτο ζῶν ἐστι. Καθάπερ εἴ τις πυρὸς λάβοι στόμα, οὕτως ὁ Παῦλος εἰδὼς στομοῦται· καθάπερ εἴ τις μάχαιραν ὀξεῖαν ἔχοι, οὕτως ὁ τοιοῦτος πάλιν ἀκάθεκτος γίνεται. Καὶ πρὸς τὸ νοῆσαι δὲ τὰ Παύλου βί-

12. Α' Κορ. 3, 1

τὴ θάλασσα δὲν πνέουν ἄνεμοι, ἀλλ' ἀντὶ γιὰ ἀνέμους, συνοδεύει τὶς ψυχὲς ποὺ πλέουν μέσα σ' αὐτὴν τὸ θεῖο καὶ ἅγιο Πνεῦμα· δὲν ὑπάρχουν ἐδῶ κύματα, δὲν ὑπάρχει σκόπελος, δὲν ὑπάρχουν θηρία· ὅλα εἶναι γαλήνια. Θάλασσα εἶναι, ποὺ εἶναι πιὸ γαλήνια καὶ πιὸ ἀσφαλὴς ἀπὸ λιμάνι, ποὺ δὲν ἔχει τίποτε τὸ ἁλμυρό, ἀλλ' ἔχει πηγὴ καθαρὴ ποὺ τρέχουν ἀπ' αὐτὴν γλυκὰ νάματα, καὶ εἶναι πιὸ λαμπρὴ καὶ πιὸ καθαρὴ ἀπὸ τὸν ἥλιο· θάλασσα εἶναι, ποὺ δὲν ἔχει λίθους πολύτιμους, οὔτε παρόμοια πορφύρα, ἀλλὰ πράγματα πολὺ πιὸ σπουδαιότερα ἀπ' αὐτά. Ἐκεῖνος ποὺ θέλει νὰ ὁδηγήσει τὸν ἑαυτό του μέσα σ' αὐτὸ τὸ πέλαγος δὲν χρειάζεται κολυμβητές, οὔτε λάδι, ἀλλὰ πολλὴ φιλοσοφικότητα· θὰ βρεῖ μέσα σ' αὐτὸ ὅλα τὰ ἀγαθὰ ποὺ ὑπάρχουν στὴ βασιλεία τῶν οὐρανῶν. Ὁ ἄνθρωπος αὐτὸς θὰ μπορέσει καὶ βασιλιὰς νὰ γίνει, καὶ ὅλο τὸν κόσμο νὰ κερδίσει, καὶ ν' ἀπολαμβάνει μεγάλη τιμή· αὐτὸς ποὺ πλέει αὐτὴ τὴ θάλασσα ποτὲ δὲν θὰ ὑποστεῖ ναυάγιο, ἀλλ' ὅλα θὰ τὰ διέλθει καλά.

Ἀλλ' ὅπως ἀκριβῶς οἱ ἄπειροι τῆς θάλασσας αὐτῆς πνίγονται, ἔτσι λοιπὸν καὶ ἐδῶ· αὐτὸ ἀκριβῶς δηλαδὴ παθαίνουν καὶ οἱ αἱρετικοί, ποὺ ἐπιχειροῦν πράγματα πάνω ἀπὸ τὴ δύναμή τους. Πρέπει λοιπὸν νὰ γνωρίζομε τὸ βάθος της, ἢ νὰ μὴ ἐπιχειροῦμε νὰ διαπλεύσομε αὐτήν. Ὅταν πρόκειται νὰ διαπλεύσομε τὸ πέλαγος αὐτό, ἂς εἴμαστε καλὰ ὁπλισμένοι. «Δὲν μπόρεσα», λέγει, «νὰ σᾶς μιλήσω ὅπως θὰ ταίριαζε σὲ πνευματικοὺς ἀνθρώπους, ἀλλὰ σᾶς μίλησα ὅπως ταίριαζε σὲ σαρκικούς»[12]. Κανένας ἂς μὴ πλέει αὐτὸ τὸ πέλαγος χωρὶς τὴν ἀπαραίτητη ἐπιμονὴ καὶ ὑπομονή. Ἂς κατασκευάσομε γιὰ τὸν ἑαυτό μας πλοῖα, δηλαδή, ζῆλο, προθυμία, προσευχές, ὥστε νὰ διανύσομε τὸ πέλαγος μὲ ἡσυχία· καθόσον αὐτὸ τὸ νερὸ χαρίζει ζωή. Ὅπως ἀκριβῶς ἐὰν κάποιος ἔχει στόμα πυρός, ἔτσι καὶ ὁ Παῦλος γνωρίζει νὰ κλείνει τὰ στόματα· καὶ ὅπως ἀκριβῶς ἐὰν κάποιος ἔχει μαχαίρι κοφτερό, ἔτσι καὶ ὁ ἄνθρωπος αὐτὸς γίνεται ἀσυγκράτητος. Καὶ γιὰ νὰ καταλάβει κάποιος τὰ τοῦ Παύλου χρειάζεται βίο καθαρό. Γι' αὐτὸ

ου καθαροῦ δεῖται. Διὰ τοῦτο καὶ ἔλεγε· «Γάλακτος ἐν χρείᾳ κατέστητε, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς». Ἔστι γάρ, ἔστιν ἀσθένεια τῆς ἀκοῆς. Καθάπερ γὰρ στόμαχος οὐκ ἂν δέξαιτο ὑγιεινὰ σιτία καὶ δυσκατέργαστα, ἀσθενὴς ὤν, οὕτω καὶ ψυχή, ὀγκωθεῖσα, φλεγμαίνουσα, ἄτονος γενομένη καὶ ἔκλυτος, οὐκ ἂν δυνηθείη δέξασθαι τὸν πνευματικὸν λόγον. Ἄκουε τῶν μαθητῶν λεγόντων· «Σκληρός ἐστιν ὁ λόγος οὗτος· τίς δύναται αὐτοῦ ἀκούειν;». Ἂν δὲ ἰσχυρὰ ᾖ καὶ ὑγιεινή, πάντα εὔκολα, ὑψηλοτέρα γίνεται καὶ κουφοτέρα, μᾶλλον μετεωρίζεται καὶ εἰς ὕψος αἴρεται.

Ταῦτα οὖν εἰδότες, ὑγιεινὴν ἡμῶν κατασκευάσωμεν τὴν ψυχήν, καὶ ζηλώσωμεν τὸν Παῦλον, καὶ μιμησώμεθα τὴν γενναίαν ἐκείνην καὶ ἀδαμαντίνην ψυχήν, ἵνα, κατ' ἴχνος τῶν ἐκείνῳ βεβιωμένων πορευόμενοι, δυνηθῶμεν τὸ πέλαγος τοῦ παρόντος βίου διαπλεῦσαι, καὶ εἰς τὸν ἀκύμαντον λιμένα καταντῆσαι, τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀξίως τοῦ Χριστοῦ βιοῦσιν ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.


------

13. Ἑβρ. 5, 12· 11
14. Ἰω. 6, 60

καὶ ἔλεγε· «Καταντήσατε νὰ ἔχετε ἀνάγκη ἀπὸ γάλα, ἐπειδὴ γίνατε ἀδιάφοροι στὸ ν' ἀκοῦτε καὶ νὰ ἐννοεῖτε αὐτά»[13]. Διότι ὑπάρχει, ὑπάρχει ἀσθένεια τῆς ἀκοῆς. Ὅπως ἀκριβῶς δηλαδὴ ἕνα στομάχι, ποὺ εἶναι ἀσθενικὸ δὲν θὰ μποροῦσε νὰ δεχθεῖ ὑγιεινὲς τροφὲς καὶ δυσκολοχώνευτες, ἔτσι καὶ ψυχή, ποὺ εἶναι κυριευμένη ἀπὸ ἀλαζονεία καὶ ταραχή, ποὺ εἶναι ἀποχαυνωμένη καὶ ἀχαλίνωτη, δὲν θὰ μποροῦσε νὰ δεχθεῖ τὸν πνευματικὸ λόγο. Ἄκου τοὺς μαθητὲς ποὺ λέγουν· «Εἶναι σκληρὸς αὐτὸς ὁ λόγος· ποιὸς μπορεῖ νὰ τὸν ἀκούει;»[14]. Ἂν ὅμως εἶναι δυνατὴ καὶ ὑγιεινή, ὅλα εἶναι ἄκοπα, ὅλα εὔκολα, γίνεται πνευματικὰ ὑψηλότερη καὶ πιὸ ἀνάλαφρη, γίνεται πιὸ πρόθυμη γιὰ πνευματικὲς ἀνατάσεις καὶ ἀνέρχεται στὰ ὕψη.

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς καταστήσομε τὴν ψυχή μας ὑγιεινή, ἂς γίνομε ζηλωτὲς τοῦ Παύλου καὶ ἂς μιμηθοῦμε τὴ γενναία ἐκείνη καὶ ἀδαμάντινη ψυχή, ὥστε, βαδίζοντας ἐπάνω στὰ ἴχνη ὅλων ἐκείνων ποὺ ἔπραξε ἐκεῖνος, νὰ μπορέσομε νὰ διαπλεύσομε τὸ πέλαγος τῆς παρούσας ζωῆς, νὰ φθάσομε στὸ ἀκύμαντο λιμάνι, καὶ νὰ ἐπιτύχομε τὰ ἀγαθὰ ποὺ ἔχει ὑποσχεθεῖ σ' ἐκείνους ποὺ κάνουν ζωὴ ἀντάξια τοῦ Χριστοῦ, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΥΠΟΜΝΗΜΑ
ΣΤΗΝ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ
(ΟΜΙΛΙΕΣ Ι΄—ΙΒ΄)



ΕΙΣΑΓΩΓΗ

Ὁ Ἰωάννης Χρυσόστομος ἔχει ἑρμηνέψει ὅλες τὶς ἐπιστολὲς τοῦ ἀποστόλου Παύλου. Στὶς ἑρμηνευτικές του ὁμιλίες αὐτὲς δὲν περιορίζεται μόνο στὴν ἑρμηνεία τοῦ κειμένου τῆς Καινῆς Διαθήκης, ἀλλ' ἀναπτύσσει καὶ δογματικὰ καὶ ἠθικὰ ζητήματα.

Στὴν πρὸς Ρωμαίους ἐπιστολὴ τοῦ Παύλου ἀφιέρωσε 33 ὁμιλίες, ποὺ ἐκφωνήθηκαν στὴν Ἀντιόχεια γύρω στὰ 392 μ.Χ. Στὸν τόμο αὐτὸν δημοσιεύονται οἱ 10 πρῶτες ὁμιλίες τῆς σειρᾶς, τὸ κείμενο τῶν ὁποίων λαμβάνεται ἀπὸ τὴν ἔκδοση Ὀξφόρδης.

Στὴν Α' ὁμιλία, ποὺ ἔχει ὑπότιτλο «Ὑπόθεσις τῆς πρὸς Ρωμαίους ἐπιστολῆς», ὁ Χρυσόστομος ἀναφέρεται στὸ χρόνο συγγραφῆς τῆς ἐπιστολῆς, καθὼς καὶ στὸ χρόνο συγγραφῆς τῶν ἄλλων ἐπιστολῶν τοῦ ἀποστόλου Παύλου. Τονίζει ἀκόμη πόσα κακὰ προκαλεῖ ἡ ἄγνοια τῶν Γραφῶν καὶ καταλήγει μὲ τὴν προτροπὴ νὰ διορθώνει καὶ νὰ διδάσκει ὁ καθένας τὴ γυναίκα του, τὰ παιδιά, τοὺς φίλους, τοὺς συγγενεῖς καὶ τοὺς γείτονες, ἔχοντας παράδειγμα τὸν ἀπόστολο Παῦλο ποὺ ἀγκάλιαζε ὁλόκληρη τὴν οἰκουμένη.

Στὴ Β' ὁμιλία ἑρμηνεύει τὸ Ρωμ. 1, 1-7 καὶ μιλάει γιὰ τὴν ἀγάπη τοῦ Θεοῦ, τὴν υἱοθεσία, τὰ ἀξιώματα ποὺ δωρίζει ὁ Θεός, λέγοντας ὅτι εἶναι σταθερὰ καὶ παραμένουν καὶ ὕστερα ἀπὸ τὸ θάνατο, ἐνῶ τὰ ἀνθρώπινα εἶναι πρόσκαιρα, καὶ προτρέπει τὴν ἀποφυγὴ τῆς κακίας καὶ τὴν ἐπιδίωξη τῆς ἀρετῆς.

Στὴν Γ' ὁμιλία ἑρμηνεύει τὸ Ρωμ. 1, 8-17 καὶ

τονίζει πῶς πρέπει νὰ δεχόμαστε τὰ πάντα μὲ τὴν πίστη καὶ νὰ μὴ ζητοῦμε λόγο γιὰ τὶς ἐντολὲς τοῦ Θεοῦ, οὔτε νὰ τὶς πολυεξετάζουμε, ἀλλὰ νὰ ὑπακούομε μόνο σ' αὐτές, ἔστω καὶ ἂν ἀκόμη φαίνονται παράλογες στὴν ἀνθρώπινη σκέψη.

Στὴν Δ' ὁμιλία ἑρμηνεύει τὸ Ρωμ. 1, 18-25, στρέφεται ἐναντίον τῶν ἐθνικῶν φιλοσόφων, μιλάει γιὰ τὴν ἀνεξικακία καὶ μακροθυμία καὶ τελειώνει μὲ τὴν προτροπὴ νὰ συγκρατοῦμε τὰ πάθη καὶ ἰδιαίτερα τὸ θυμό καὶ τὴν ἐπιθυμία.

Στὴν Ε' ὁμιλία ἑρμηνεύει τὸ Ρωμ. 1, 26-27. Στὴ συνέχεια, ἀναφέρεται στοὺς παιδεραστὲς καὶ κιναίδους, στὰ κακὰ ποὺ τοὺς ἀξίζουν, καθὼς καὶ στὶς παρὰ φύση σαρκικὲς σχέσεις ἀνδρῶν καὶ γυναικῶν, μιλάει γιὰ τὴ γέεννα καὶ κρίση, φέρνοντας ἀπόδειξη τὴν καταστροφὴ τῶν Σοδόμων, καὶ τελειώνει τὴν ὁμιλία μὲ τὴν προτροπὴ νὰ ἀπέχομε ἀπὸ τὴν τρυφηλὴ ζωὴ καὶ νὰ ἔχουμε πάντοτε στὴν ψυχή μας τὸ φόβο τοῦ Θεοῦ.

Στὴν ΣΤ' ὁμιλία του ὁ Χρυσόστομος ἑρμηνεύοντας τὸ Ρωμ. 1, 28-2, 16 κάνει λόγο γιὰ τὴν κρίση καὶ τὴν κόλαση καὶ τὴν ἀπαλλαγή τους, καθὼς καὶ γιὰ τὴν ἀγάπη στὸ Θεό.

Στὴν Ζ' ὁμιλία ἑρμηνεύει τὸ Ρωμ. 2, 17-3, 8. Συνεχίζοντας ἀναλύει τὸ πραγματικὸ νόημα τῆς περιτομῆς καί, μιλῶντας γιὰ τοὺς διδασκάλους καὶ γενικότερα γιὰ τοὺς πιστούς, λέγει πῶς πρέπει νὰ συνδυάζουν λόγο καὶ ἀρετή, γιὰ νὰ ἐπιτύχουν στὸ ἔργο τους.

Στὴν Η' ὁμιλία ἑρμηνεύει τὸ Ρωμ. 3, 9-31 καὶ μιλάει γιὰ τὴν ἀγάπη, τὸ φθόνο καὶ τὴν ἐλεημοσύνη.

Στὴν Θ' ὁμιλία ἑρμηνεύει τὸ Ρωμ. 4, 1-22 καὶ συμβουλεύει νὰ δοξάζουμε τὸ Θεὸ μὲ τὰ ἔργα καὶ τὴν πίστη μας καὶ νὰ ἀποφεύγουμε κάθε ἁμαρτία, μὲ τὴν ὁποία βλασφημεῖται ὁ Θεός, παρατηρώντας πῶς δὲ ζητάει τὰ δικά μας ὁ Θεός, γιατὶ τὰ ἔχει ἀνάγκη ἢ γιατὶ θέλει νὰ δοξάζεται, ἀλλὰ γιὰ τὴ δική μας σωτηρία.

Στὴ συνέχεια λέγει πὼς ἂν δὲν παραδώσουμε τοὺς ἑαυτούς μας στὴν ἁμαρτία, δὲ θὰ τολμήσει νὰ μᾶς πλησιάσει ὁ διάβολος, καὶ τελειώνει μὲ τὴν προτροπὴ γιὰ σεβασμὸ τῆς ἁγίας Τράπεζας.

Στὴ Ι΄ ὁμιλία του ὁ Χρυσόστομος, ἑρμηνεύοντας τὸ Ρωμ. 4,23-5,11, συνιστᾶ νὰ μὴν πενθοῦμε καὶ στενοχωριόμαστε γιὰ τὴν ἀπώλεια τῶν παρόντων ἀγαθῶν, ἀλλὰ νὰ στηρίζουμε τὶς ἐλπίδες μας στὸν Κύριο.

ΣΠΥΡΟΣ ΜΟΥΣΤΑΚΑΣ
Θεολόγος - Φιλόλογος

ΥΠΟΘΕΣΗ ΤΗΣ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ

ΟΜΙΛΙΑ Α΄

1. Συνεχῶς ἀκούων ἀναγινωσκομένων τῶν ἐπιστολῶν τοῦ μακαρίου Παύλου, καὶ καθ' ἑκάστην ἑβδομάδα δίς, πολλάκις δὲ καὶ τρὶς καὶ τετράκις, ἡνίκα ἂν μαρτύρων ἁγίων μνήμας ἐπιτελῶμεν, χαίρω μὲν τῆς σάλπιγγος ἀπολαύων τῆς πνευματικῆς, καὶ διανίσταμαι, καὶ θερμαίνομαι τῷ πόθῳ, τὴν ἐμοὶ φίλην ἐπιγινώσκων φωνήν, καὶ μονονουχὶ παρόντα αὐτὸν δοκῶ φαντάζεσθαι, καὶ διαλεγόμενον ὁρᾶν· ἀλγῶ δὲ καὶ ὀδυνῶμαι, ὅτι τὸν ἄνδρα τοῦτον οὐχ ἅπαντες ἴσασιν, ὥσπερ εἰδέναι χρή, ἀλλ' οὕτω τινὲς αὐτὸν ἀγνοοῦσιν, ὡς μηδὲ τῶν ἐπιστολῶν τὸν ἀριθμὸν εἰδέναι σαφῶς. Τοῦτο δὲ γίνεται οὐ παρὰ ἀμάθειαν, ἀλλὰ παρὰ τὸ μὴ βούλεσθαι συνεχῶς ὁμιλεῖν τῷ μακαρίῳ τούτῳ. Οὐδὲ γὰρ ἡμεῖς ὅσαπερ ἴσμεν, εἴπερ τινὰ ἴσμεν, δι' εὐφυΐαν καὶ ὀξύτητα διανοίας ἐπιστάμεθα, ἀλλὰ διὰ τὸ συνεχῶς ἔχεσθαι τοῦ ἀνδρός, καὶ σφόδρα διακεῖσθαι περὶ αὐτόν.

2. Τὰ γὰρ τῶν φιλουμένων πρὸ τῶν ἄλλων ἁπάντων οἱ φιλοῦντες ἴσασιν, ἅτε δὴ μεριμνῶντες αὐτούς· ὅπερ καὶ ὁ μακάριος οὗτος ἐνδεικνύμενος, ἔλεγε Φιλιππησίοις· «Καθὼς ἐμοὶ δίκαιόν ἐστι τοῦτο φρονεῖν περὶ ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς ἔν τε τοῖς δεσμοῖς μου καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ εὐαγγελίου». Ὥστε καὶ ὑμεῖς εἰ θέλετε μετὰ προθυμίας προσέχειν τῇ ἀναγνώσει, οὐδενὸς ἑτέρου δεηθήσεσθε· ἀψευδὴς γὰρ ὁ τοῦ Χριστοῦ λόγος, εἰπών· «Ζητεῖτε, καὶ εὑρήσετε· κρούετε καὶ

---

1. Φιλιπ. 1, 7

ΥΠΟΘΕΣΗ ΤΗΣ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ

Ο Μ Ι Λ Ι Α Α΄

1. Ἀκούοντας συνέχεια νὰ διαβάζονται οἱ ἐπιστολὲς τοῦ μακάριου Παύλου, καὶ δύο φορὲς κάθε ἑβδομάδα, πολλὲς φορὲς ὅμως καὶ τρεῖς καὶ τέσσερις φορές, ὅταν ἑορτάζουμε τὴ μνήμη ἁγίων μαρτύρων, χαίρομαι βέβαια, ἐπειδὴ ἀπολαμβάνω τὴν πνευματικὴ σάλπιγγα, καὶ σκιρτῶ, καὶ θερμαίνομαι ἀπὸ τὸν πόθο, ἀναγνωρίζοντας τὴν ἀγαπητὴ σὲ μένα φωνή, καὶ σχεδὸν τὸν φαντάζομαι πὼς εἶναι παρών, καὶ νομίζω πὼς τὸν βλέπω νὰ μιλάει. Θλίβομαι ὅμως καὶ πονῶ, γιατὶ τὸν ἄνδρα αὐτὸν δὲν τὸν γνωρίζουν ὅλοι, ὅπως πρέπει νὰ τὸν γνωρίζουν, ἀλλὰ τόσο πολὺ ἀγνοοῦν αὐτὸν μερικοί, ὥστε δὲ γνωρίζουν καλὰ οὔτε τὸν ἀριθμὸ τῶν ἐπιστολῶν του. Καὶ αὐτὸ γίνεται ὄχι ἀπὸ ἀμάθεια, ἀλλὰ γιατὶ δὲ θέλουν νὰ ἀσχολοῦνται συνέχεια μ' αὐτὸν τὸ μακάριο. Γιατὶ οὔτε ἐμεῖς, ὅσα γνωρίζουμε, ἂν βέβαια γνωρίζουμε μερικά, τὰ γνωρίζουμε ἀπὸ εὐφυΐα καὶ ὀξύτητα τῆς διάνοιάς μας, ἀλλὰ γιατὶ συνέχεια ἐπιδιώκουμε τὴν ἐπικοινωνία μὲ τὸν ἄνδρα αὐτὸν καὶ ἀσχολούμαστε πάρα πολὺ μαζί του.

Ὅσοι ἀγαποῦν βέβαια γνωρίζουν πρὶν ἀπ' ὅλους τοὺς ἄλλους τὰ πράγματα ἐκείνων ποὺ ἀγαποῦν, ἐπειδὴ ἐνδιαφέρονται γι' αὐτούς. Αὐτὸ ἀκριβῶς φανερώνοντας καὶ ὁ μακάριος Παῦλος, ἔλεγε στοὺς Φιλιππησίους· «Καὶ εἶναι δίκαιο νὰ ἔχω τὸ φρόνημα αὐτὸ γιὰ ὅλους σας, ἐπειδὴ σᾶς ἔχω μέσα στὴν καρδιά μου καὶ στὰ δεσμά μου καὶ στὴν ἀπολογία μου καὶ στὴν ἐπιβεβαίωση τοῦ κηρύγματός μου γιὰ τὸ εὐαγγέλιο»[1]. Ἐπομένως καὶ ἐσεῖς, ἐὰν θέλετε νὰ προσέχετε πρόθυμα στὴν ἀνάγνωση, δὲν θὰ ἔχετε ἀνάγκη ἀπὸ τίποτε ἄλλο. Γιατὶ εἶναι ἀληθινὸς ὁ λόγος τοῦ Χριστοῦ, ποὺ εἶπε· «Ζητᾶτε καὶ θὰ βρεῖτε· κτυ-

ἀνοιγήσεται ὑμῖν». Ἀλλ' ἐπειδὴ τὸ πλέον ἡμῖν τῶν ἐνταῦθα συλλεγομένων καὶ παιδοτροφίαν καὶ γυναικὸς ἐπιμέλειαν καὶ οἰκίας πρόνοιαν ἀνεδέξαντο, καὶ διὰ τοῦτο οὐκ ἂν ἀνάσχοιντο ὅλους ἑαυτοὺς δοῦναι τῷ πόνῳ τούτῳ· πρὸς γοῦν τὸ λαβεῖν τὰ παρ' ἑτέρων συλλεγέντα διανάστητε, καὶ τοσαύτην ἀπονείματε σπουδὴν τῇ τῶν λεγομένων ἀκροάσει, ὅσην τῇ τῶν χρημάτων συλλογῇ. Εἰ γὰρ καὶ αἰσχρὸν τοσαύτην ἀπαιτῆσαι παρ' ὑμῶν μόνην, πλὴν ἀλλ' ἀγαπητόν, ἂν τοσαύτην γοῦν δῶτε.

Καὶ γὰρ ἐντεῦθεν τὰ μυρία ἐφύη κακά, ἀπὸ τῆς τῶν Γραφῶν ἀγνοίας· ἐντεῦθεν ἡ πολλὴ τῶν αἱρέσεων ἐβλάστησε λύμη, ἐντεῦθεν οἱ ἠμελημένοι βίοι, ἐντεῦθεν οἱ ἀκερδεῖς πόνοι. Ὥσπερ γὰρ οἱ τοῦ φωτὸς ἀπεστερημένοι τούτου οὐκ ἂν ὀρθὰ βαδίσαιεν, οὕτως οἱ πρὸς τὴν ἀκτῖνα τῶν θείων μὴ βλέποντες Γραφῶν, πολλὰ ἀναγκάζονται καὶ συνεχῶς ἁμαρτάνειν, ἅτε δὴ ἐν σκότῳ χαλεπωτάτῳ βαδίζοντες. Ὅπερ ἵνα μὴ γένηται, διανοίξωμεν τοὺς ὀφθαλμοὺς πρὸς τὴν λαμπηδόνα τῶν ἀποστολικῶν ῥημάτων· καὶ γὰρ ὑπὲρ τὸν ἥλιον ἔλαμψεν ἡ τούτου γλῶττα, καὶ τῶν ἄλλων ἁπάντων ἐπλεονέκτησε τῷ τῆς διδασκαλίας λόγῳ· ἐπειδὴ γὰρ περισσότερον αὐτῶν ἐκοπίασε, πολλὴν καὶ τὴν τοῦ Πνεύματος ἐπεσπάσατο χάριν. Καὶ τοῦτο οὐκ ἀπὸ τῶν ἐπιστολῶν διισχυρίζομαι μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν Πράξεων. Εἰ γάρ που δημηγορίας ἦν καιρός, αὐτῷ πανταχοῦ παρεχώρουν· διὸ καὶ Ἑρμῆς εἶναι ἐνομίζετο παρὰ τοῖς ἀπίστοις, διὰ τὸ τοῦ λόγου κατάρχειν.

2. Μέλλοντας δὲ εἰς τὴν ἐπιστολὴν κατιέναι ταύτην, ἀναγκαῖον καὶ τὸν χρόνον εἰπεῖν, καθ' ὃν ἐγράφη. Οὐδὲ γάρ, ὡς πολλοὶ νομίζουσι, πρὸ πασῶν τῶν

------

2. Ματθ. 7, 7

3. Ἑρμῆς· θεὸς τῶν ἀρχαίων Ἑλλήνων. Ἦταν ἀγγελιαφόρος τῶν θεῶν, προστάτης τῶν ἐμπόρων, ἀλλὰ καὶ τῶν κλεπτῶν, τῆς εὐφορίας τῆς γῆς, τῶν ὁδοιπόρων καὶ τῆς συγκοινωνίας, τῆς γυμναστικῆς, τῆς ῥητορικῆς, τῶν γραμμάτων καὶ κάθε τέχνης καὶ ἐπιστήμης. Λατρευόταν σὲ ὅλο τὸν ἑλληνικὸ χῶρο.

πᾶτε τὴν πόρτα, καὶ θ' ἀνοίξει γιὰ σᾶς»[2]. Ἐπειδὴ ὅμως οἱ περισσότεροι ἀπὸ μᾶς, ποὺ συγκεντρωνόμαστε ἐδῶ, ἀνέλαβαν τὴν ὑποχρέωση καὶ γιὰ τὴ διατροφὴ τῶν παιδιῶν καὶ γιὰ τὴ φροντίδα τῆς γυναίκας καὶ γιὰ τὴν ἐπιμέλεια τοῦ σπιτιοῦ, καὶ γι' αὐτὸ δὲ θὰ μποροῦσαν νὰ ἀφιερώσουν ὅλο τὸν ἑαυτό τους στὸ ἔργο αὐτό, γιὰ νὰ πάρετε λοιπὸν αὐτὰ ποὺ συγκεντρώνουν ἄλλοι, προσέξτε πολὺ καὶ δεῖξτε τόσο ἐνδιαφέρον γιὰ τὴν ἀκρόαση αὐτῶν ποὺ λέγονται, ὅσο δείχνετε γιὰ τὴ συγκέντρωση τῶν χρημάτων. Γιατὶ ἂν καὶ εἶναι ἄσχημο νὰ ζητήσω ἀπὸ σᾶς τόσο μόνο ἐνδιαφέρον, ἀλλ' ὅμως θὰ εἶναι εὐχάριστο, ἂν βέβαια τόσο δείξετε.

Γιατὶ πραγματικὰ ἀπὸ ἐδῶ φύτρωσαν τὰ ἄπειρα κακά, δηλαδὴ ἀπὸ τὴν ἄγνοια τῶν Γραφῶν. Ἀπὸ τὴν αἰτία αὐτὴ βλάστησε ἡ μεγάλη καταστροφὴ τῶν αἱρέσεων, ἀπὸ ἐδῶ προῆλθε ὁ ἀδιάφορος τρόπος ζωῆς, ἀπὸ ἐδῶ οἱ ἄχρηστοι κόποι. Γιατὶ ὅπως ἀκριβῶς αὐτοὶ ποὺ ἔχουν στερηθεῖ τὸ φῶς, δὲ θὰ μπορέσουν νὰ βαδίσουν σωστά, ἔτσι καὶ ἐκεῖνοι ποὺ δὲν βλέπουν πρὸς τὴν ἀκτίνα τῶν θείων Γραφῶν, ἀναγκάζονται νὰ σφάλλουν συνέχεια σὲ πολλά, ἐπειδὴ ἀκριβῶς βαδίζουν μέσα σὲ φοβερότατο σκοτάδι. Γιὰ νὰ μὴ γίνει αὐτό, ἂς ἀνοίξουμε τὰ μάτια μας στὴν ἀκτινοβολία τῶν ἀποστολικῶν λόγων. Γιατὶ πραγματικὰ ἡ γλώσσα του ἔλαμψε περισσότερο ἀπὸ τὸν ἥλιο, καὶ μὲ τὸ λόγο τῆς διδασκαλίας του ὑπῆρξε ἀνώτερος ἀπ' ὅλους τοὺς ἄλλους. Ἀφοῦ λοιπὸν κουράστηκε περισσότερο ἀπ' αὐτούς, ἀπέσπασε πολλὴ τὴ χάρη τοῦ ἁγίου Πνεύματος. Καὶ αὐτὸ δὲν τὸ ἰσχυρίζομαι μόνο ἀπὸ τὶς ἐπιστολές του, ἀλλὰ καὶ ἀπὸ τὸ βιβλίο τῶν Πράξεων. Γιατὶ ὅπου παρουσιαζόταν εὐκαιρία ὁμιλίας, σ' αὐτὸν παντοῦ ἔδιναν τὸ λόγο. Γι' αὐτὸ καὶ οἱ ἄπιστοι νόμιζαν πὼς ἦταν ὁ Ἑρμῆς[3], ἐπειδὴ ἦταν ὁ ἀρχηγὸς τοῦ λόγου[4].

2. Ἐπειδὴ ὅμως πρόκειται νὰ ἔρθουμε στὴν ἐπιστολὴ αὐτή, εἶναι ἀνάγκη νὰ ποῦμε καὶ τὸ χρόνο, κατὰ τὸν ὁποῖο γράφτηκε. Γιατὶ δὲν εἶναι γραμμένη, ὅπως νομίζουν

ἄλλων ἐστίν, ἀλλὰ τῶν μὲν ἀπὸ Ῥώμης γραφεισῶν προτέρα πασῶν, τῶν δὲ ἄλλων ὑστέρα, εἰ καὶ μὴ πασῶν· καὶ γὰρ αἱ πρὸς Κορινθίους ἀμφότεραι πρὸ ταύτης εἰσὶν ἀπεσταλμέναι. Καὶ τοῦτο δῆλον ἀφ' ὧν ἐν τῷ τέλει ταύτης ἔγραφεν, οὕτω λέγων· «Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονῶν τοῖς ἁγίοις. Εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ». Κορινθίοις δὲ ἐπιστέλλων ἔλεγεν· «Ἐὰν ᾖ ἄξιον τοῦ καὶ ἐμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται», περὶ τῶν ἀποκομιζόντων ἐκεῖσε τὰ χρήματα ταῦτα λέγων. Ὅθεν δῆλον, ὅτι ἡνίκα μὲν ἐπέστελλε Κορινθίοις, ἀμφίβολον ἦν τὸ τῆς τοιαύτης ἀποδημίας αὐτοῦ· ὅτε δὲ Ῥωμαίοις, ἦν κεκυρωμένον λοιπόν. Τούτου δὲ ὁμολογουμένου, κἀκεῖνο δῆλον, ὅτι αὕτη μετ' ἐκείνας ἡ ἐπιστολή.

Καὶ ἡ πρὸς Θεσσαλονικεῖς δὲ ἐμοὶ δοκεῖ προτέρα τῆς πρὸς Κορινθίους ἐπιστολῆς εἶναι. Καὶ γὰρ ἐκείνοις πρότερον ἐπιστείλας, καὶ τὸν τῆς ἐλεημοσύνης πρὸς αὐτοὺς κινήσας λόγον, ὅτε ἔλεγε· «Περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχομεν γράφειν ὑμῖν· αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους· καὶ γὰρ ποιεῖτε αὐτὸ πρὸς πάντας τοὺς ἀδελφούς»· τότε Κορινθίοις ἐπέστελλε. Καὶ τοῦτο αὐτὸ δηλοῖ λέγων· «Οἶδα γὰρ ἐγὼ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι· καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας». Ἐξ ὧν ἔδειξεν, ὅτι πρώτοις ἐκείνοις περὶ τούτου διελέχθη. Τούτων μὲν οὖν ὑστέρα τῶν ἐπιστολῶν αὕτη, τῶν δὲ ἀπὸ Ῥώμης πρώτη· οὐδέπω γὰρ ἦν τῆς Ῥωμαίων πόλεως ἐπιβάς, ἡνίκα ταύτην ἔγραφε τὴν ἐπιστολήν· καὶ τοῦτο δηλοῖ

---

4. Βλ. Πράξ. 14, 12
5. Ρωμ. 15. 25 - 26
6. Α΄ Κορ. 16, 4
7. Α΄ Θεσ. 4, 9
8. Β΄ Κορ. 9, 2

πολλοί, πρὶν ἀπ' ὅλες τὶς ἄλλες, ἀλλὰ πρὶν ἀπ' ὅλες αὐτὲς ποὺ γράφτηκαν ἀπὸ τὴ Ρώμη, ἐνῶ ὕστερα ἀπὸ τὶς ἄλλες, ἂν καὶ ὄχι ἀπ' ὅλες, γιατὶ πραγματικὰ καὶ οἱ δύο πρὸς Κορινθίους στάλθηκαν πρὶν ἀπὸ αὐτήν. Καὶ αὐτὸ εἶναι φανερὸ ἀπ' ὅσα ἔγραφε στὸ τέλος της, λέγοντας ἔτσι· «Τώρα ὅμως πηγαίνω στὴν Ἱερουσαλὴμ γιὰ νὰ ὑπηρετήσω τοὺς χριστιανούς. Γιατὶ οἱ χριστιανοὶ τῆς Μακεδονίας καὶ τῆς Ἀχαΐας εὐδόκησαν νὰ κάμουν κάποια συνεισφορὰ γιὰ τοὺς φτωχοὺς χριστιανοὺς ποὺ κατοικοῦν στὴν Ἱερουσαλήμ»[5]. Γράφοντας καὶ στοὺς Κορινθίους ἔλεγε· «Ἐὰν ἀξίζει καὶ πάω καὶ ἐγώ, τότε θὰ ταξιδέψουν μαζί μου»[6], λέγοντας αὐτὰ γιὰ ἐκείνους ποὺ μετέφεραν ἐκεῖ τὰ χρήματα. Ἐπομένως εἶναι φανερό, ὅτι, ὅταν ἔγραφε ἐπιστολὴ στοὺς Κορινθίους, ἦταν ἀμφίβολο τὸ ταξίδι του αὐτό, ὅταν ὅμως ἔγραφε στοὺς Ρωμαίους, τὸ εἶχε ἀποφασίσει σίγουρα τότε. Ἐφόσον αὐτὸ εἶναι παραδεκτό, εἶναι φανερὸ καὶ ἐκεῖνο, ὅτι αὐτὴ ἡ ἐπιστολὴ γράφτηκε μετὰ ἀπὸ ἐκεῖνες.

Καὶ ἡ πρὸς Θεσσαλονικεῖς ἐπιστολὴ μοῦ φαίνεται πὼς εἶναι προγενέστερη ἀπὸ τὴν πρὸς Κορινθίους. Γιατὶ πραγματικὰ ἀφοῦ ἔστειλε πρῶτα σ' ἐκείνους ἐπιστολὴ καὶ ἀφοῦ τοὺς μίλησε γιὰ τὴν ἐλεημοσύνη, ὅταν ἔλεγε, «Γιὰ τὴν ἀγάπη πρὸς τοὺς ἀδελφοὺς δὲν ἔχουμε ἀνάγκη νὰ σᾶς γράψουμε, γιατὶ ἐσεῖς οἱ ἴδιοι εἴστε διδαγμένοι ἀπὸ τὸ Θεὸ στὸ νὰ ἀγαπάει ὁ ἕνας τὸν ἄλλο· καὶ ἀλήθεια τὸ κάνετε αὐτὸ πρὸς ὅλους τοὺς ἀδελφούς»[7], τότε ἔγραψε στοὺς Κορινθίους. Καὶ αὐτὸ ἀκριβῶς φανερώνει λέγοντας· «Γιατὶ ξέρω τὴν προθυμία σας, γιὰ τὴν ὁποία καυχιέμαι γιὰ σᾶς στοὺς Μακεδόνες, ὅτι ἡ Ἀχαΐα ἔχει ἑτοιμαστεῖ ἀπὸ πέρυσι. Καὶ ὁ ζῆλος σας παρακίνησε τοὺς περισσότερους»[8]. Ἀπὸ αὐτὰ ἀπέδειξε, ὅτι πρῶτα σ' ἐκείνους μίλησε γι' αὐτό. Ἀπὸ αὐτὲς λοιπὸν τὶς ἐπιστολὲς ἡ πρὸς Ρωμαίους εἶναι μεταγενέστερη, ἐνῶ εἶναι πρώτη ἀπὸ αὐτὲς ποὺ γράφτηκαν ἀπὸ τὴ Ρώμη. Γιατὶ δὲν εἶχε ἀκόμη μεταβεῖ στὴ Ρώμη, ὅταν ἔγραψε αὐτὴ τὴν ἐπιστολή. Καὶ αὐτὸ τὸ φανερώνει λέγοντας· «Γιατὶ ἐπι-

λέγων· «Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικόν».

Ἀπὸ Ρώμης δὲ Φιλιππησίοις ἐπέστελλε· διό φησιν, «Ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες, μάλιστα οἱ ἐκ τῆς Καίσαρος οἰκίας». Καὶ Ἑβραίοις δὲ ἐκεῖθεν ὁμοίως· διό φησι, «Τοὺς ἀπὸ τῆς Ἰταλίας ἀσπάζεσθαι πάντας αὐτούς». Καὶ τὴν πρὸς Τιμόθεον δὲ ἐπιστολὴν καὶ αὐτὴν ἀπὸ Ρώμης δεδεμένος ἔπεμψεν· ἣ καὶ ἐσχάτη μοι δοκεῖ πασῶν εἶναι τῶν ἐπιστολῶν· καὶ δῆλον ἀπὸ τοῦ τέλους· «Ἐγὼ γὰρ ἤδη σπένδομαι», φησί, «καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν». Ὅτι δὲ τὸν βίον ἐκεῖ κατέλυσε, παντί που δῆλόν ἐστιν. Ἡ δὲ πρὸς Φιλήμονα ἐσχάτη μὲν καὶ αὕτη· πρὸς γὰρ ἐσχάτῳ γήρᾳ αὐτὴν ἔγραψε· διὸ καὶ ἔλεγεν· «Ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος ἐν Χριστῷ Ἰησοῦ»· τῆς μέντοι πρὸς Κολοσσαεῖς προτέρα· καὶ τοῦτο ἀπὸ τοῦ τέλους δῆλον πάλιν. Κολοσσαεῦσι γὰρ γράφων φησίν, ὅτι «Τυχικὸς πάντα γνωρίσει ὑμῖν, ὃν ἔπεμψα σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ».

Ὀνήσιμος δὲ οὗτος ἦν, ὑπὲρ οὗ τὴν πρὸς Φιλήμονα ἐπιστολὴν συνέθηκε. Καὶ ὅτι οὐκ ἦν ἄλλος οὗτος ὁμώνυμος ἐκείνῳ, δῆλον καὶ ἀπὸ τοῦ Ἀρχίππου· ὃν γὰρ ἔλαβε συνεργὸν ἐν τῇ πρὸς Φιλήμονα ἐπιστολῇ τῆς παρακλήσεως τῆς ὑπὲρ Ὀνησίμου, τοῦτον Κολοσσαεῦσιν ἐπιστέλλων διεγείρει, λέγων· «Εἴπατε Ἀρχίππῳ, βλέπε τὴν διακονίαν, ἣν παρέλαβες, ἵνα αὐτὴν πληροῖς». Δοκεῖ δέ μοι καὶ ἡ πρὸς Γαλάτας προτέρα εἶναι τῆς πρὸς Ρωμαίους. Εἰ δὲ ἐν ταῖς βίβλοις ἑτέραν ἔχουσι τάξιν, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ οἱ προφῆται οἱ δώδεκα οὐκ ἐφεξῆς ἀλλήλοις ὄντες κατὰ τοὺς χρόνους, ἀλλὰ πολὺ διεστηκότες ἀλ-

------

9. Ρωμ. 1, 11
10. Φιλιπ. 4, 22
11. Ἑβρ. 13, 24
12. Β΄ Τιμ. 4, 6
13. Φιλήμ. 9
14. Κολοσ. 4, 7
15. Κολοσ. 4, 17

θυμῶ πολὺ νὰ σᾶς δῶ, γιὰ νὰ σᾶς μεταδώσω κάποιο χάρισμα πνευματικό»[9].

Ἀπὸ τὴ Ρώμη ἔγραψε στοὺς Φιλιππησίους· γι' αὐτὸ λέγει, «Σᾶς χαιρετοῦν ὅλοι οἱ πιστοί, καὶ ἰδιαίτερα αὐτοὶ ποὺ ἀνήκουν στὸ σπίτι τοῦ Καίσαρα»[10]. Καὶ στοὺς Ἑβραίους ἐπίσης ἀπὸ ἐκεῖ ἔγραψε· γι' αὐτὸ λέγει· «Σᾶς χαιρετοῦν ὅλους ὅσοι κατάγονται ἀπὸ τὴν Ἰταλία[11]. Καὶ τὴν ἐπιστολὴ πρὸς τὸν Τιμόθεο τὴν ἔστειλε ἀπὸ τὴ Ρώμη, ἐνῶ ἦταν φυλακισμένος. Αὐτὴ μοῦ φαίνεται πὼς εἶναι ἡ τελευταία ἀπ' ὅλες τὶς ἐπιστολές· καὶ εἶναι φανερὸ ἀπὸ τὸ τέλος της. «Γιατὶ ἐγὼ τώρα, θυσιάζομαι», λέγει, «καὶ ὁ καιρὸς τῆς ἀναχώρησής μου ἀπὸ τὸν κόσμο πλησιάζει»[12]. Ὅτι βέβαια τελείωσε τὴ ζωή του ἐκεῖ εἶναι στὸν καθένα φανερό. Καὶ ἡ πρὸς Φιλήμονα ἐπιστολὴ καὶ αὐτὴ εἶναι ἡ τελευταία, γιατὶ τὴν ἔγραψε σὲ βαθιὰ γηρατειά· γι' αὐτὸ καὶ ἔλεγε· «Σὰν Παῦλος ἡλικιωμένος, τώρα ὅμως καὶ φυλακισμένος γιὰ χάρη τοῦ Ἰησοῦ Χριστοῦ»[13]. Ἦταν ὅμως προγενέστερη ἀπὸ τὴν ἐπιστολὴ πρὸς Κολοσσαεῖς. Καὶ αὐτὸ πάλι εἶναι φανερὸ ἀπὸ τὸ τέλος. Γιατὶ γράφοντας στοὺς Κολοσσαεῖς λέγει, ὅτι «Ὁ Τυχικὸς θὰ σᾶς γνωστοποιήσει ὅλα, τὸν ὁποῖο ἔστειλα μαζὶ μὲ τὸν Ὀνήσιμο, τὸν πιστὸ καὶ ἀγαπητὸ ἀδελφό»[14].

Ὁ Ὀνήσιμος πάλι ἦταν αὐτός, γιὰ τὸν ὁποῖο ἔγραψε τὴν ἐπιστολὴ πρὸς Φιλήμονα. Καὶ ὅτι δὲν ἦταν αὐτὸς κάποιος ἄλλος συνώνυμος μ' ἐκεῖνον, εἶναι φανερὸ καὶ ἀπὸ τὸν Ἄρχιππο. Γιατὶ αὐτὸν στὴν ἐπιστολὴ πρὸς Φιλήμονα τὸν πῆρε βοηθὸ τῆς παράκλησης γιὰ χάρη τοῦ Ὀνησίμου, αὐτὸν προτρέπει, ὅταν γράφει στοὺς Κολοσσαεῖς, λέγοντας· «Νὰ πεῖτε στὸν Ἄρχιππο· πρόσεχε τὴ διακονία, ποὺ παρέλαβες, γιὰ νὰ τὴν ἐκπληρώσεις τέλεια»[15]. Μοῦ φαίνεται ἀκόμη πὼς καὶ ἡ ἐπιστολὴ πρὸς Γαλάτες εἶναι προγενέστερη ἀπὸ τὴν πρὸς Ρωμαίους. Ἐὰν ὅμως στὰ βιβλία ἔχουν ἄλλη σειρά, δὲν εἶναι καθόλου παράξενο, ἀφοῦ καὶ οἱ δώδεκα προφῆτες ἂν καὶ δὲν εἶναι χρονικὰ ὁ ἕνας ὕστερα ἀπὸ τὸν ἄλλο, ἀλλὰ ἀ-

λήλων, ἐν τῇ τῶν βιβλίων τάξει ἐφεξῆς εἰσι κείμενοι. Ὁ γοῦν Ἀγγαῖος καὶ Ζαχαρίας καὶ ἄλλοι μετὰ τὸν Ἰεζεκιὴλ καὶ Δανιὴλ προεφήτευσαν, καὶ πολὺ μετὰ τὸν Ἰωνᾶν καὶ τὸν Σοφονίαν καὶ τοὺς ἄλλους δὲ πάντας· ἀλλ' ὅμως συνημμένοι πᾶσίν εἰσιν ἐκείνοις, ὧν τοσοῦτον τῷ χρόνῳ διεστήκασι.

3. Μηδεὶς δὲ πάρεργον τοῦτον ἡγείσθω τὸν πόνον, μηδὲ περιεργίας περιττῆς τὴν τοιαύτην ἔρευναν· συντελεῖ γὰρ ἡμῖν πρὸς τὰ ζητούμενα οὐ μικρὸν ὁ τῶν ἐπιστολῶν χρόνος. Ὅταν γὰρ ἴδω Ρωμαίοις καὶ Κολοσσαεῦσιν ὑπὲρ τῶν αὐτῶν μὲν ἐπιστέλλοντα, οὐχ ὁμοίως δὲ ὑπὲρ τῶν αὐτῶν, ἀλλ' ἐκείνοις μὲν μετὰ πολλῆς τῆς συγκαταβάσεως, ὡς ὅταν λέγῃ· «Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν· ὃς μὲν πιστεύει φαγεῖν πάντα· ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει»· Κολοσσαεῦσι δὲ οὐχ οὕτω περὶ τῶν αὐτῶν, ἀλλὰ μετὰ πλείονος παρρησίας· «Εἰ γὰρ ἀπεθάνετε», φησί, «σὺν Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε, μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς; ἅτινά ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός»· οὐδὲν ἄλλο αἴτιον εὑρίσκω τῆς διαφορᾶς ταύτης, ἢ τὸν τῶν πραγμάτων χρόνον. Ἐν ἀρχῇ μὲν γὰρ συγκαταβαίνειν ἔδει, μετὰ δὲ ταῦτα οὐκέτι. Καὶ πολλαχοῦ δὲ ἀλλαχοῦ τοῦτο ἄν τις εὕροι ποιοῦντα αὐτόν.

Οὕτω καὶ ἰατρὸς καὶ διδάσκαλος ποιεῖν εἰώθασιν· οὔτε γὰρ τοῖς ἐξ ἀρχῆς νοσοῦσιν ὁ ἰατρός, καὶ τοῖς πρὸς τὸ τέλος λοιπὸν τῆς ὑγιείας ἐλθοῦσιν, οὔτε τοῖς ἐξ ἀρχῆς μανθάνουσι παιδίοις ὁ διδάσκαλος, καὶ τοῖς τῶν τελεωτέρων δεομένοις διδαγμάτων, ὁ

------

16. Ρωμ. 14, 1 - 2
17. Κολοσ. 2, 20 - 22. 23

πέχουν πολὺ μεταξύ τους, βρίσκονται στὴ σειρὰ τῶν βιβλίων ὁ ἕνας ὕστερα ἀπὸ τὸν ἄλλο. Ὁ Ἀγγαῖος λοιπὸν καὶ ὁ Ζαχαρίας καὶ ἄλλοι προφήτευσαν μετὰ τὸν Ἰεζεκιὴλ καὶ τὸ Δανιήλ, καὶ πολὺ μετὰ τὸν Ἰωνᾶ καὶ τὸ Σοφονία καὶ τοὺς ἄλλους ὅλους, ἀλλ' ὅμως εἶναι ἑνωμένοι μὲ ὅλους ἐκείνους, ἀπὸ τοὺς ὁποίους ἀπέχουν χρονικὰ τόσο πολύ.

3. Κανεὶς ὅμως ἂς μὴ θεωρήσει ἀσήμαντο αὐτὸν τὸν κόπο, οὔτε ἀπόδειξη περιττῆς περιέργειας μιὰ τέτοια ἔρευνα· γιατὶ μᾶς βοηθάει πολὺ γι' αὐτὰ ποὺ ζητᾶμε ὁ χρόνος τῶν ἐπιστολῶν. Γιατὶ ὅταν δῶ νὰ γράφει γιὰ τὰ ἴδια ζητήματα στοὺς Ρωμαίους καὶ τοὺς Κολοσσαεῖς, ὄχι ὅμως μὲ τὸν ἴδιο τρόπο γιὰ ὅμοια ζητήματα, ἀλλὰ στοὺς Ρωμαίους μὲ πολλὴ συγκατάβαση, ὅπως ὅταν λέγει· «Ἐκεῖνον ποὺ εἶναι ἀδύνατος στὴν πίστη νὰ τὸν δέχεστε μὲ καλωσύνη, χωρὶς νὰ ἐπικρίνετε τὶς ἰδέες του. Ἄλλος πιστεύει ὅτι πρέπει νὰ τρώγει ὅλα τὰ φαγητά. Ὁ ἀδύνατος στὴν πίστη ὅμως τρώγει λάχανα»[16], ἐνῶ στοὺς Κολοσσαεῖς δὲ γράφει ἔτσι γιὰ τὰ ἴδια ζητήματα, ἀλλὰ μὲ περισσότερη παρρησία· «Γιατὶ ἂν πεθάνατε», λέγει, «μαζὶ μὲ τὸ Χριστὸ ἀπὸ τὰ στοιχεῖα τοῦ κόσμου, γιατὶ ὑπακοῦτε σὲ παραγγέλματα σὰν νὰ ζεῖτε μέσα στὸν κόσμο, μὴν πιάσεις, οὔτε νὰ γευθεῖς, οὔτε νὰ ἀγγίξεις; Ὅλα αὐτὰ καταστρέφονται μὲ τὴν ὑπερβολικὴ χρήση, χωρὶς νὰ φέρουν καμία τιμή, ἀλλὰ συντελοῦν στὴν ἱκανοποίηση τῆς σάρκας»[17], δὲ βρίσκω καμιὰ ἄλλη αἰτία τῆς διαφορᾶς αὐτῆς, παρὰ μόνο τὸ χρόνο τῶν πραγμάτων. Γιατὶ στὴν ἀρχὴ ἔπρεπε νὰ συγκαταβαίνει, ὄχι ὅμως καὶ μετὰ ἀπ' αὐτά. Καὶ σὲ πολλὰ σημεῖα ἀλλοῦ θὰ μποροῦσε νὰ βρεῖ κανεὶς νὰ τὸ κάνει αὐτὸ ὁ Παῦλος.

Ἔτσι ἔχουν συνηθίσει νὰ κάνουν καὶ ὁ ἰατρὸς καὶ ὁ διδάσκαλος. Γιατὶ οὔτε ὁ ἰατρὸς θὰ μεταχειρισθεῖ κατὰ τὸν ἴδιο τρόπο τοὺς ἀσθενεῖς ἀπὸ τὴν ἀρχὴ καὶ αὐτοὺς ποὺ πλησιάζουν νὰ γίνουν καλά, οὔτε καὶ ὁ διδάσκαλος θὰ μεταχειρισθεῖ μὲ ὅμοιο τρόπο τὰ παιδιὰ ποὺ μαθαίνουν τὰ πρῶτα γράμματα καὶ αὐτοὺς ποὺ ἔχουν ἀ-

μοίως χρήσονται. Τοῖς μὲν οὖν ἄλλοις ἐξ αἰτίας τινὸς καὶ ὑποθέσεως κινούμενος ἐπέστελλε (καὶ δηλοῖ τοῦτο Κορινθίοις μὲν λέγων· «Περὶ δὲ ὧν ἐγράψατέ μοι»· καὶ Γαλάταις δέ, εὐθέως ἐκ τοῦ προοιμίου καὶ τῆς ἐπιστολῆς ἁπάσης τὸ αὐτὸ ἐμφαίνων)· τούτοις δὲ τίνος ἕνεκεν, καὶ διὰ τί; καὶ γὰρ φαίνεται μαρτυρῶν αὐτοῖς, ὅτι μεστοὶ μέν εἰσιν ἀγαθωσύνης, πεπληρωμένοι πάσης γνώσεως, δυνάμενοι καὶ ἄλλους νουθετεῖν. Τίνος οὖν ἕνεκεν ἐπέστελλε; «Διὰ τὴν χάριν τοῦ Θεοῦ», φησί, «τὴν δοθεῖσάν μοι εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ».

Διὸ καὶ ἐν ἀρχῇ ἔλεγεν· «Ὀφειλέτης εἰμί, τὸ κατ' ἐμὲ πρόθυμον, καὶ ὑμῖν τοῖς ἐν Ρώμῃ εὐαγγελίσασθαι». Καὶ γὰρ τὰ εἰρημένα, οἷον ὅτι δύνανται καὶ ἄλλοις νουθετεῖν, καὶ ὅσα τοιαῦτα, ἐγκωμίου μᾶλλόν ἐστι καὶ προτροπῆς· καὶ ἀναγκαία καὶ ἡ διὰ τῶν γραμμάτων διόρθωσις καὶ τούτοις ἦν. Ἐπειδὴ γὰρ οὔπω παραγεγονὼς ἦν, διπλῇ ρυθμίζει τοὺς ἄνδρας, καὶ τῇ τῶν γραμμάτων ὠφελείᾳ, καὶ τῇ τῆς παρουσίας προσδοκίᾳ. Τοιαύτη γὰρ ἡ ἁγία ἐκείνη ψυχή· πᾶσαν περιελάμβανε τὴν οἰκουμένην, καὶ ἐν ἑαυτῷ περιέφερεν ἅπαντας, συγγένειαν μεγίστην τὴν κατὰ Θεὸν εἶναι νομίζων· καὶ ὥσπερ πάντας αὐτοὺς ἀποτεκών, οὕτως ἐφίλει, μᾶλλον δὲ πατρὸς παντὸς μείζονα ἐπεδείκνυτο φιλοστοργίαν. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος χάρις· νικᾷ τὰς σαρκικὰς ὠδῖνας, καὶ θερμότερον ἐπιδείκνυται τὸν πόθον. Καὶ τοῦτο μάλιστα ἔστιν ἰδεῖν ἐπὶ τῆς τοῦ Παύλου ψυχῆς, ὃς καθάπερ πτηνός τις ὑπὸ τῆς ἀγάπης γενόμενος, ἅπαντας περιῄει συνεχῶς, οὐδαμοῦ μένων οὐδὲ ἱστάμενος. Ἐπειδὴ γὰρ ἤκουσε τοῦ Χριστοῦ λέγοντος, «Πέτρε, φιλεῖς με; ποίμαινέ μου τὰ πρόβατα», καὶ τοῦτον μέγιστον ὅρον ἐκφέροντος ἀγάπης, μεθ' ὑπερβολῆς αὐτὸν ἐπεδείκνυτο.

---

18. Α' Κορ. 7, 1
19. Ρωμ. 15, 15. 16
20. Ρωμ. 1, 14. 15
21. Ἰω. 21, 15

νάγκη ἀπὸ τελειότερες διδασκαλίες. Στοὺς ἄλλους λοιπόν, παρακινούμενος ἀπὸ κάποια αἰτία καὶ ἀφορμή, ἔγραφε ἐπιστολὴ (καὶ φανερώνει αὐτὸ στοὺς Κορινθίους λέγοντας· «Γιὰ ὅσα ὅμως μοῦ γράψατε»[18], ἐνῶ στοὺς Γαλάτες ἀμέσως ἀπὸ τὴν ἀρχὴ καὶ ἀπὸ ὅλη τὴν ἐπιστολὴ φανερώνοντας τὸ ἴδιο πράγμα), σ' αὐτοὺς ὅμως γιὰ ποιό λόγο καὶ γιὰ ποιό σκοπό; Γιατὶ φαίνεται νὰ βεβαιώνει γι' αὐτούς, ὅτι εἶναι γεμάτοι ἀπὸ ἀγαθωσύνη καὶ ἀπὸ κάθε γνώση, ἱκανοὶ νὰ συμβουλεύουν καὶ ἄλλους. Γιὰ ποιό λοιπὸν λόγο ἔγραφε τὴν ἐπιστολή; «Ἐξ αἰτίας τῆς χάρης τοῦ Θεοῦ», λέγει, «ποὺ μοῦ δόθηκε γιὰ νὰ εἶμαι ὑπηρέτης τοῦ Ἰησοῦ Χριστοῦ»[19].

Γι' αὐτὸ καὶ στὴν ἀρχὴ ἔλεγε· «Εἶμαι ὀφειλέτης, καὶ ὅσο ἐξαρτᾶται ἀπὸ μένα, εἶμαι πρόθυμος νὰ κηρύξω τὸ εὐαγγέλιο καὶ σὲ σᾶς ποὺ εἶστε στὴ Ρώμη»[20]. Γιατί, πραγματικὰ αὐτὰ ποὺ εἰπώθηκαν, ὅτι δηλαδὴ μποροῦν νὰ συμβουλεύουν καὶ ἄλλους, καὶ ὅλα τὰ παρόμοια, εἶναι ἀπόδειξη περισσότερο ἐπαίνου καὶ προτροπῆς. Ἀκόμη ἦταν καὶ σ' αὐτοὺς ἀναγκαία ἡ διόρθωση μὲ τὰ γράμματα. Γιατί, ἐπειδὴ δὲν εἶχε φθάσει ἀκόμη, συμβουλεύει τοὺς ἄνδρες μὲ διπλὸ τρόπο, δηλαδὴ καὶ μὲ τὴν ὠφέλεια τῶν γραμμάτων καὶ μὲ τὴν προσδοκία τῆς παρουσίας του. Τέτοια λοιπὸν ἦταν ἡ ἁγία ἐκείνη ψυχή. Ἀγκάλιαζε ὅλη τὴν οἰκουμένη καὶ ὅλους ἔφερε μέσα του, ἐπειδὴ θεωροῦσε πὼς ἡ κατὰ Θεὸ συγγένεια εἶναι ἡ πιὸ μεγάλη. Καὶ σὰν νὰ τοὺς γέννησε ὅλους αὐτούς, ἔτσι τοὺς ἀγαποῦσε, ἢ καλύτερα ἔδειχνε μεγαλύτερη φιλοστοργία ἀπὸ κάθε πατέρα. Γιατὶ τέτοια εἶναι ἡ χάρη τοῦ ἁγίου Πνεύματος· νικάει τοὺς σαρκικοὺς πόνους καὶ παρουσιάζει θερμότερο τὸν πόθο. Καὶ αὐτὸ ἰδιαίτερα μπορεῖ νὰ τὸ δεῖ κανεὶς στὴν ψυχὴ τοῦ Παύλου, ὁ ὁποῖος, ἀφοῦ ἔγινε ἀπὸ τὴν ἀγάπη σὰν κάποιο πουλί, περιφερόταν συνεχῶς σὲ ὅλους, χωρὶς νὰ μένει πουθενὰ οὔτε νὰ στέκεται. Ἐπειδὴ λοιπὸν ἄκουσε τὸ Χριστὸ ποὺ ἔλεγε, «Πέτρε, μ' ἀγαπᾶς; βόσκε τὰ πρόβατά μου»[21], καὶ παρουσίαζε αὐτὸν μέγιστο κανόνα ἀγάπης, φανέρωνε αὐτὸν μὲ ὑπερβολικὸ τρόπο.

4. Τοῦτον οὖν καὶ ἡμεῖς ζηλώσαντες, εἰ καὶ μὴ τὴν οἰκουμένην, μηδὲ πόλεις ὁλοκλήρους καὶ ἔθνη, ἀλλὰ τὴν οἰκίαν ἕκαστος ρυθμιζέτω τὴν ἑαυτοῦ, τὴν γυναῖκα, τὰ παιδία, τοὺς φίλους, τοὺς γείτονας. Καὶ μή μοι λεγέτω τις, ὅτι ἄπειρός εἰμι καὶ ἰδιώτης. Οὐδὲν ἀμαθέστερον Πέτρου, οὐδὲν ἰδιωτικώτερον Παύλου. Καὶ τοῦτο αὐτὸς ὡμολόγει, καὶ οὐκ ᾐσχύνετο λέγων· «Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει». Ἀλλ' ὅμως ὁ ἰδιώτης οὗτος καὶ ὁ ἀμαθὴς ἐκεῖνος μυρίους ἐνίκησαν φιλοσόφους, μυρίους ἐπεστόμισαν ρήτορας, ἀπὸ τῆς αὐτῶν προθυμίας, καὶ τῆς τοῦ Θεοῦ χάριτος τὸ πᾶν ἐργασάμενοι.

Τίνα οὖν ἕξομεν ἀπολογίαν ἡμεῖς, οὐδὲ εἴκοσιν ἀρκοῦντες ὀνόμασιν, οὐδὲ τοῖς συνοικοῦσιν ὄντες χρήσιμοι; Σκῆψις ταῦτα καὶ πρόφασις· οὐδὲ γὰρ ἀμόθεια οὐδὲ ἀπαιδευσία κωλύει τὴν διδασκαλίαν, ἀλλὰ νωθεία καὶ ὕπνος. Τοῦτον οὖν ἀποτιναξάμενοι τὸν ὕπνον, μετὰ πάσης σπουδῆς ἀντεχώμεθα τῶν οἰκείων μελῶν, ἵνα καὶ ἐνταῦθα πολλῆς ἀπολαύσωμεν τῆς γαλήνης, κατὰ τὸν τοῦ Θεοῦ φόβον τοὺς ἡμῖν ἐπιτηδείους ρυθμίζοντες, καὶ ἐκεῖ μυρίων μετάσχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

22. Β' Κορ. 11, 6

4. Αὐτὸν λοιπὸν καὶ ἐμεῖς ἀφοῦ μιμηθοῦμε, ὁ καθένας ἂς διορθώνει, ἂν ὄχι τὴν οἰκουμένη, οὔτε ολόκληρες πόλεις καὶ ἔθνη, ἀλλὰ τὸ σπίτι του, τὴ γυναίκα του, τὰ παιδιά του, τοὺς φίλους του, τοὺς γείτονες. Καὶ ἂς μὴ μοῦ πεῖ κανείς, ὅτι εἶμαι ἄπειρος καὶ ἁπλοϊκός. Τίποτε δὲν ἦταν ἀμαθέστερο ἀπὸ τὸν Πέτρο, τίποτε ἁπλοϊκότερο ἀπὸ τὸν Παῦλο. Καὶ αὐτὸς ὁ ἴδιος τὸ ὁμολογοῦσε καὶ δὲν ντρεπόταν νὰ λέγει· «Καὶ ἂν εἶμαι ἄπειρος στὸ λόγο, δὲν εἶμαι ὅμως στὴ γνώση»[22]. Ἀλλ' ὅμως ὁ ἁπλοϊκὸς αὐτὸς καὶ ὁ ἀμαθὴς ἐκεῖνος νίκησαν πάρα πολλοὺς φιλοσόφους, ἀποστόμισαν ἀμέτρητους ρήτορες, κατορθώνοντας τὰ πάντα μὲ δική τους προθυμία καὶ μὲ τὴ χάρη τοῦ Θεοῦ.

Ποιά λοιπὸν ἀπολογία θὰ ἔχουμε ἐμεῖς, ἀφοῦ δὲ βοηθήσαμε οὔτε εἴκοσι ἀνθρώπους, ἀφοῦ δὲν εἴμαστε χρήσιμοι οὔτε στοὺς συνοίκους μας; Αὐτὰ εἶναι δικαιολογία καὶ πρόφαση. Γιατὶ οὔτε ἡ ἀμάθεια οὔτε ἡ ἔλλειψη μόρφωσης ἐμποδίζουν τὴ διδασκαλία, ἀλλ' ἡ νωθρότητα καὶ ὁ ὕπνος. Ἀφοῦ ἀποτινάξουμε αὐτὸν τὸν ὕπνο, ἂς ἀσχοληθοῦμε μὲ κάθε φροντίδα μὲ τὰ συγγενικά μας μέλη, γιὰ νὰ ἀπολαύσουμε καὶ ἐδῶ μεγάλη γαλήνη, διορθώνοντας τοὺς συγγενεῖς μας σύμφωνα μὲ τὸ φόβο τοῦ Θεοῦ, καὶ γιὰ νὰ ἀπολαύσουμε καὶ στὴν ἄλλη ζωὴ ἄπειρα ἀγαθά, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο ἀνήκει ἡ δόξα στὸν Πατέρα, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε, καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Β΄

(Ρωμ. 1, 1 - 7)

«Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις».

1. Μωϋσῆς μὲν πέντε βιβλία συγγράψας, οὐδαμοῦ τὸ ὄνομα τὸ ἑαυτοῦ τέθεικεν, οὐδὲ οἱ μετ' ἐκεῖνον τὰ μετ' ἐκεῖνον συνθέντες, ἀλλ' οὐδὲ Ματθαῖος, οὐδὲ Ἰωάννης, οὐ Μάρκος, οὐ Λουκᾶς· ὁ δὲ μακάριος Παῦλος πανταχοῦ τῶν ἐπιστολῶν αὐτοῦ τὸ ὄνομα αὐτοῦ προτίθησι. Τί δήποτε; Ὅτι ἐκεῖνοι μὲν παροῦσιν ἔγραφον, καὶ περιττὸν ἦν ἑαυτοὺς δηλοῦν παρόντας· οὗτος δὲ διὰ μακροῦ τὰ γράμματα διεπέμπετο, καὶ ἐν ἐπιστολῆς σχήματι· διὸ καὶ ἀναγκαία ἦν ἡ τοῦ ὀνόματος προσθήκη. Εἰ δὲ ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ οὐ ποιεῖ τοῦτο, καὶ τοῦτο κατὰ τὴν αὐτοῦ σύνεσιν. Ἐπειδὴ γὰρ ἀπεχθῶς εἶχον πρὸς αὐτόν, ἵνα μὴ ἐκ προοιμίων ἀκούσαντες τοῦ ὀνόματος, ἀποκλείσωσι τῷ λόγῳ τὴν εἴσοδον, ἐσοφίσατο διὰ τοῦ κρῦψαι τὸ ὄνομα τὴν ἀκρόασιν τὴν ἐκείνων. Εἰ δὲ προφῆται τὰ ὀνόματα τὰ ἑαυτῶν τεθείκασι καὶ Σολομών, τοῦτο ὑμῖν καταλιμπάνω λοιπὸν ἐπιζητεῖν, τίνος ἕνεκεν οἱ μὲν ἔθεσαν, οἱ δὲ οὐκ ἔθεσαν· οὐδὲ γὰρ ἅπαντα παρ' ἐμοῦ χρὴ μανθάνειν ὑμᾶς, ἀλλὰ καὶ αὐτοὺς πονεῖν καὶ ἐπιζητεῖν, ἵνα μὴ νωθρότεροι γίνησθε.

«Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ». Τίνος ἕνεκεν μετέθηκε τὸ ὄνομα αὐτοῦ ὁ Θεός, καὶ Σαῦλον ὄντα

1. Εἶναι ἡ Γένεση, ἡ Ἔξοδος, τὸ Λευιτικό, οἱ Ἀριθμοὶ καὶ τὸ Δευτερονόμιο.

ΟΜΙΛΙΑ Β΄
(Ρωμ. 1, 1 - 7)

«Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ, καλεσμένος ἀπόστολος, ξεχωρισμένος γιὰ τὸ εὐαγγέλιο τοῦ Θεοῦ, ποὺ ὑποσχέθηκε μὲ τοὺς προφῆτες του στὶς ἁγίες Γραφές».

1. Ὁ Μωϋσῆς ἂν καὶ ἔγραψε πέντε βιβλία[1], πουθενὰ δὲν ἔβαλε τὸ ὄνομά του, οὔτε καὶ οἱ συγγραφεῖς ποὺ ἔζησαν ὕστερα ἀπ' αὐτὸν καὶ ἔγραψαν τὰ ἑπόμενα βιβλία, ἀλλ' οὔτε ὁ Ματθαῖος, οὔτε ὁ Ἰωάννης, οὔτε ὁ Μάρκος, οὔτε ὁ Λουκᾶς, ἐνῶ ὁ μακάριος Παῦλος σὲ ὅλες τὶς ἐπιστολές του βάζει πρῶτα τὸ ὄνομά του. Τί συμβαίνει λοιπόν; Ὅτι ἐκεῖνοι ἔγραφαν σὲ παρόντες καὶ θεωροῦσαν περιττὸ νὰ φανερώσουν τοὺς ἑαυτούς τους, ἐνῶ ἦταν παρόντες. Αὐτὸς ὅμως ἔστελνε τὰ γραφόμενά του ἀπὸ μακριά, καὶ μὲ μορφὴ ἐπιστολῆς· γι' αὐτὸ καὶ ἦταν ἀναγκαία ἡ προσθήκη τοῦ ὀνόματός του. Ἐὰν ὅμως δὲν κάνει αὐτὸ καὶ στὴν πρὸς Ἑβραίους ἐπιστολή, καὶ αὐτὸ ἦταν σύμφωνο μὲ τὴ σύνεσή του. Γιατί, ἐπειδὴ τὸν ἀπεχθάνονταν αὐτόν, γιὰ νὰ μὴ ἐμποδίσουν τὴν εἴσοδο στὸ λόγο, ἀφοῦ ἀπὸ τὴν ἀρχὴ ἀκούσουν τὸ ὄνομα, βρῆκε τρόπο μὲ τὸ νὰ κρύψει τὸ ὄνομά του νὰ ἐπιτύχει τὴν ἀκρόαση τῶν λόγων του ἀπὸ ἐκείνους. Καὶ ἂν κάποιοι προφῆτες καὶ ὁ Σολομώντας ἔβαλαν τὰ ὀνόματά τους, αὐτὸ τὸ ἀφήνω νὰ τὸ ἐξετάσετε σεῖς πλέον, γιὰ ποιό λόγο ἄλλοι ἔβαλαν τὰ ὀνόματά τους καὶ ἄλλοι ὄχι. Γιατὶ δὲν πρέπει νὰ τὰ μαθαίνετε ὅλα ἀπὸ μένα, ἀλλὰ καὶ σεῖς νὰ κοπιάζετε καὶ νὰ ἐρευνᾶτε, γιὰ νὰ μὴ γίνεστε πιὸ νωθροί.

«Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ». Γιὰ ποιό λόγο ὁ Θεὸς ἄλλαξε τὸ ὄνομά του καὶ τὸν ὀνόμασε Παῦλο,

Παῦλον ἐκάλεσεν; Ἵνα μηδὲ ταύτῃ τῶν ἀποστόλων ἔλαττον ἔχῃ, ἀλλ' ὅπερ ἔσχεν ἐξαίρετον ὁ κορυφαῖος τῶν μαθητῶν, τοῦτο καὶ αὐτὸς κτίσηται, καὶ πλείονος οἰκειώσεως ὑπόθεσιν λάβῃ. Δοῦλον δὲ ἑαυτὸν οὐχ ἁπλῶς εἶπε τοῦ Χριστοῦ· καὶ γὰρ πολλοὶ δουλείας τρόποι· εἷς μὲν ὁ κατὰ τὴν δημιουργίαν, καθ' ὅν φησιν, ὅτι «Τὰ σύμπαντα δοῦλα σά», καὶ καθ' ὅν φησιν, «Ὁ δοῦλός μου Ναβουχοδονόσορ»· τὸ γὰρ ἔργον τοῦ ποιήσαντος δοῦλον· ἕτερος δὲ ὁ ἀπὸ τῆς πίστεως, περὶ ἧς φησιν· «Χάρις δὲ τῷ Θεῷ, ὅτι δοῦλοι ἦτε τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας, εἰς ὃν παρεδόθητε τύπον διδαχῆς, καὶ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ»· ἕτερος ὁ ἀπὸ τῆς πολιτείας, καθ' ὅν φησι· «Μωϋσῆς ὁ θεράπων μου τετελεύτηκε»· καίτοι καὶ Ἰουδαῖοι πάντες θεράποντες ἦσαν, ἀλλ' ἐξαιρέτως ὁ Μωϋσῆς πολιτείᾳ διαλάμπων.

Ἐπεὶ οὖν κατὰ πάντας τοὺς τρόπους τῆς δουλείας δοῦλος ἦν ὁ Παῦλος, ἀντὶ μεγίστου ἀξιώματος τοῦτο τίθησι λέγων, «Δοῦλος Ἰησοῦ Χριστοῦ»· καὶ τὰ τῆς οἰκονομίας ὀνόματα προβάλλεται, κάτωθεν ἀναβαίνων ἄνω. Καὶ γὰρ τὸ Ἰησοῦς ὄνομα φέρων ὁ ἄγγελος ἦλθεν ἐκ τῶν οὐρανῶν, ὅτε ἐτίκτετο ἐκ τῆς Παρθένου· καὶ Χριστὸς δὲ ἀπὸ τοῦ χρισθῆναι λέγεται, ὃ καὶ αὐτὸ τῆς σαρκὸς ἦν. Καὶ ποίῳ, φησίν, ἐλαίῳ ἐχρίσθη; Ἐλαίῳ μὲν οὐκ ἐχρίσθη, Πνεύματι δέ· οἶδε δὲ καὶ τοὺς τοιούτους χριστοὺς ἡ Γραφὴ καλεῖν. Τὸ γὰρ προηγούμενον ἐν τῇ χρίσει, τὸ Πνεῦμά ἐστι· διὸ καὶ τὸ ἔλαιον παραλαμβάνεται. Καὶ ποῦ χριστοὺς καλεῖ τοὺς μὴ χρισθέντας ἐλαίῳ; Ὅπου λέγει, «Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς

------

2. Ψαλμ. 118, 91
3. Ἱερ. 25, 9
4. Ρωμ. 6, 17 - 18
5. Ἰησ. Ναυῆ 1, 2

ἐνῶ ὀνομαζόταν Σαῦλος; Γιὰ νὰ μὴν ὑστερεῖ οὔτε σ' αὐτὸ ἀπὸ τοὺς ἀποστόλους, ἀλλὰ ἐκεῖνο ἀκριβῶς ποὺ εἶχε ἐκλεκτὸ ὁ κορυφαῖος μαθητής, τοῦτο ν' ἀποκτήσει καὶ αὐτός, καὶ νὰ ἔχει ἀφορμὴ μεγαλύτερης φιλίας. Δὲν ὀνόμασε τὸν ἑαυτό του τυχαῖα δοῦλο τοῦ Χριστοῦ. Γιατὶ πραγματικὰ ὑπάρχουν πολλοὶ τρόποι δουλείας˙ ἕνας τρόπος εἶναι κατὰ τὴ δημιουργία, κατὰ τὸν ὁποῖο λέγει, ὅτι «῞Οσα ὑπάρχουν εἶναι δοῦλα σὲ σένα»[2], καὶ κατὰ τὸν ὁποῖο λέγει, «Ὁ δοῦλος μου ὁ Ναβουχοδονόσορας»[3], γιατὶ τὸ ἔργο εἶναι δοῦλο σ' ἐκεῖνον ποὺ τὸ δημιούργησε. ῎Αλλος τρόπος προέρχεται ἀπὸ τὴν πίστη, γιὰ τὴν ὁποία λέγει˙ «Εὐχαριστία ὅμως ὀφείλεται στὸ Θεό, γιατὶ ἤσαστε δοῦλοι τῆς ἁμαρτίας, ὑπακούσατε ὅμως καὶ στὴν καρδιά σας, στὸν κανόνα τῆς διδασκαλίας ποὺ διδαχθήκατε, καὶ ἀφοῦ ἐλευθερωθήκατε ἀπὸ τὴν ἁμαρτία, γίνατε δοῦλοι στὴν ἀρετή»[4]. ῎Αλλος τρόπος δουλείας προέρχεται ἀπὸ τὴ διαγωγή, κατὰ τὸν ὁποῖο λέγει˙ «Πέθανε ὁ Μωϋσῆς ὁ δοῦλος μου»[5], ἂν καὶ ὅλοι οἱ Ἰουδαῖοι ἦταν δοῦλοι, ἀλλὰ ἰδιαίτερα ὁ Μωϋσῆς, ποὺ διακρινόταν στὴ διαγωγή.

Ἀφοῦ λοιπὸν σύμφωνα μὲ ὅλους τοὺς τρόπους τῆς δουλείας ἦταν δοῦλος ὁ Παῦλος, ἀντὶ γιὰ τὸ πιὸ μεγάλο ἀξίωμα βάζει αὐτὸ λέγοντας, «Δοῦλος Ἰησοῦ Χριστοῦ», καὶ παρουσιάζει τὰ ὀνόματα τῆς θείας πρόνοιας, ἀνεβαίνοντας ἀπὸ κάτω πρὸς τὰ πάνω. Γιατὶ τὸ ὄνομα Ἰησοῦς φέροντας ὁ ἄγγελος ἦρθε ἀπὸ τοὺς οὐρανούς, ὅταν γεννιόταν ἀπὸ τὴν Παρθένο, καὶ Χριστὸς ὀνομάζεται ἀπὸ τὴ χρίση, πράγμα ποὺ καὶ αὐτὸ ἦταν τοῦ *σώματος*. Καὶ μὲ ποιό λάδι, θὰ ἐρωτήσει κανείς, *χρίσθηκε; Δὲ χρίσθηκε μὲ λάδι, ἀλλὰ μὲ Πνεῦμα˙ γνωρίζει ἡ Γραφὴ νὰ ὀνομάζει καὶ αὐτοὺς χριστούς. Γιατὶ τὸ πιὸ σπουδαῖο στὴ χρίση εἶναι τὸ Πνεῦμα, γι' αὐτὸ καὶ γίνεται δεκτὸ τὸ λάδι. Καὶ ποῦ ὀνομάζει χριστοὺς αὐτοὺς ποὺ δὲ χρίσθηκαν μὲ λάδι; Ἐκεῖ ποὺ λέγει, «Μὴν ἀγγίζετε τοὺς χριστούς μου καὶ μὴ σκέπτεστε πονηρὰ ἐναντίον*

προφήταις μου μὴ πονηρεύεσθε». Τότε γὰρ οὐδὲ ἡ κατασκευὴ τῆς χρίσεως ἦν τοῦ ἐλαίου.

«Κλητὸς ἀπόστολος». Πανταχοῦ κλητὸν ἑαυτὸν καλεῖ, δεικνὺς τὴν οἰκείαν εὐγνωμοσύνην, καὶ ὅτι οὐκ αὐτὸς ζητήσας εὗρεν, ἀλλὰ κληθεὶς περιεγένετο καὶ ὑπήκουσε. Καὶ τοὺς πιστοὺς δὲ οὕτως ὀνομάζει, «κλητοὺς ἁγίους». Οἱ μὲν γὰρ μέχρι τοῦ πιστεῦσαι ἐκλήθησαν, οὗτος δὲ καὶ ἕτερον ἐνεχειρίσθη τὴν ἀποστολήν, πρᾶγμα μυρίων ἀγαθῶν γέμον, καὶ τῶν χαρισμάτων ἁπάντων καὶ μεῖζον καὶ περιεκτικόν. Καὶ τί γὰρ δεῖ πλέον εἰπεῖν, ἀλλ' ἢ ὅτι ὅπερ ὁ Χριστὸς παραγενόμενος ἔπραττε, τοῦτο αὐτοῖς ἐγχειρίσας ἀπῆλθεν; Ὃ καὶ βοᾷ Παῦλος, λέγων, καὶ τὸ τῶν ἀποστόλων ἐπαίρων ἀξίωμα· «Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν», τουτέστιν, ἀντὶ Χριστοῦ.

«Ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ». Καθάπερ ἐν οἰκίᾳ πρὸς διάφορα ἕκαστος ἀφώρισται ἔργα, οὕτω καὶ ἐπὶ τῆς Ἐκκλησίας διάφοροι τῶν διακονιῶν εἰσιν αἱ διανομαί. Ἐμοὶ δὲ ἐνταῦθα οὐ τὴν ἀποκλήρωσιν δοκεῖ μόνον αἰνίττεσθαι, ἀλλ' ὅτι πάλαι καὶ ἄνωθεν πρὸς τοῦτο ἦν τεταγμένος. Ὅπερ καὶ Ἱερεμίας φησὶ τὸν Θεὸν εἰρηκέναι περὶ αὐτοῦ· «Πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας ἡγίακά σε, προφήτην εἰς ἔθνη τέθεικά σε». Ἐπειδὴ γὰρ πρὸς πόλιν ἀλαζονικὴν ἔγραφε, καὶ πεφυσιωμένην πάντοθεν, διὰ πάντων δείκνυσι τοῦ Θεοῦ τὴν χειροτονίαν οὖσαν· καὶ γὰρ αὐτὸς ἐκάλεσε, καὶ αὐτὸς ἀφώρισε. Ποιεῖ δὲ τοῦτο, ἵνα ἀξιόπιστον καὶ εὐπαράδεκτον ποιήσῃ τὴν ἐπιστολήν. «Εἰς εὐαγγέλιον Θεοῦ». Οὐκ ἄρα μόνος Ματθαῖος εὐαγγελιστὴς οὐδὲ Μάρκος, ὥσπερ οὐδὲ οὗτος μόνος ἀπόστολος, ἀλλὰ καὶ ἐκεῖνοι, εἰ καὶ κατ' ἐξαίρετον ὁ μὲν τοῦτο, οἱ δὲ ἐκεῖνο λέγονται εἶναι. Εὐαγ-

------

6. Ψαλμ. 104. 15 7. Β΄ Κορ. 5. 20 8. Ἱερ. 1. 5

τῶν προφητῶν μου»[6]. Γιατὶ τότε οὔτε ἡ ἐργασία τοῦ χρίσματος γινόταν ἀπὸ λάδι.

«Καλεσμένος ἀπόστολος». Παντοῦ ὀνομάζει τὸν ἑαυτό του καλεσμένο, δείχνοντας τὴν εὐγνωμοσύνη του, καὶ ὅτι δὲ τὸν βρῆκε, ἐπειδὴ αὐτὸς τὸν ζήτησε, ἀλλ' ἦρθε καὶ ὑπάκουσε, ἐπειδὴ τὸν κάλεσε ὁ Θεός. Ἐξάλλου καὶ τοὺς πιστοὺς ὀνομάζει ἔτσι, «καλεσμένους ἁγίους». Αὐτοὺς λοιπὸν τοὺς κάλεσε μέχρι νὰ πιστέψουν, σ' αὐτὸν ὅμως ἐμπιστεύτηκε καὶ ἄλλο ἔργο, τὸ ἀποστολικό, πράγμα ποὺ εἶναι γεμάτο ἀπὸ ἄπειρα ἀγαθά, καὶ ἀπ' ὅλα τὰ χαρίσματα καὶ τὸ μεγαλύτερο καὶ αὐτὸ ποὺ τὰ περιέχει ὅλα. Καὶ γιατὶ πρέπει νὰ πῶ περισσότερα, παρὰ μόνο ἐκεῖνο ποὺ ὁ Χριστὸς ἔκανε ὅταν ἦρθε, καὶ ἀφοῦ τὸ παρέδωσε σ' αὐτοὺς αὐτό, ἔφυγε; Αὐτὸ φωνάζει καὶ ὁ Παῦλος λέγοντας καὶ ἐξυψώνοντας καὶ τὸ ἀξίωμα τῶν ἀποστόλων «Ἐνεργοῦμε σὰν πρεσβευτὲς τοῦ Χριστοῦ, γιατὶ ὁ Θεὸς παρακαλεῖ μὲ μᾶς»[7], δηλαδὴ ἐνεργοῦμε στὴ θέση τοῦ Χριστοῦ.

«Ξεχωρισμένος γιὰ τὸ εὐαγγέλιο τοῦ Θεοῦ». Ὅπως ἀκριβῶς στὸ σπίτι ὁ καθένας ἔχει ὁριστεῖ γιὰ διάφορες ἐργασίες, ἔτσι καὶ στὴν Ἐκκλησία ὑπάρχουν διάφορες κατανομὲς στὶς διακονίες. Ἐδῶ ὅμως μοῦ φαίνεται πὼς δὲν ὑπονοεῖ μόνο τὴν ἐκλογή του μὲ κλῆρο, ἀλλ' ὅτι ἀπὸ τὴν ἀρχὴ καὶ ἀπὸ τὸ Θεὸ εἶχε ὁρισθεῖ γι' αὐτό. Αὐτὸ ἀκριβῶς καὶ ὁ Ἱερεμίας λέγει ὅτι εἶχε πεῖ ὁ Θεὸς γι' αὐτόν· «Πρὶν γεννηθεῖς σὲ ἁγίασα καὶ σὲ ἐγκατέστησα προφήτη γιὰ τὰ ἔθνη»[8]. Ἐπειδὴ λοιπὸν ἔγραφε σὲ πόλη ἀλαζονικὴ καὶ ὑπερήφανη ἀπὸ παντοῦ, δείχνει μὲ ὅλα πὼς ἡ χειροτονία του ἀνήκει στὸ Θεό, γιατὶ πραγματικὰ αὐτὸς τὸν κάλεσε καὶ αὐτὸς τὸν ξεχώρισε. Καὶ κάνει αὐτό, γιὰ νὰ καταστήσει τὴν ἐπιστολή του ἀξιόπιστη καὶ εὐπρόσδεκτη. «Γιὰ τὸ εὐαγγέλιο τοῦ Θεοῦ». Ἑπομένως δὲν εἶναι μόνο ὁ Ματθαῖος εὐαγγελιστὴς οὔτε ὁ Μάρκος, ὅπως ἀκριβῶς οὔτε μόνο αὐτὸς ἀπόστολος, ἀλλὰ καὶ ἐκεῖνοι, ἂν καὶ ἐξαιρετικὰ αὐτὸς λέγεται πὼς εἶναι ἀπόστολος καὶ ἐκεῖνοι εὐαγγελιστές. Ὀνομάζει

γέλιον δὲ αὐτὸ οὐ διὰ τὰ γεγενημένα ἀγαθὰ μόνον καλεῖ, ἀλλὰ καὶ διὰ τὰ μέλλοντα.

Πῶς δὲ τὸν Θεὸν εὐαγγελίζεσθαι δι' αὐτοῦ φησιν; «'Αφωρισμένος» γάρ, φησίν, «εἰς εὐαγγέλιον Θεοῦ»· ὁ γὰρ Πατὴρ καὶ πρὸ τῶν εὐαγγελίων δῆλος ἦν. 'Αλλ' εἰ καὶ δῆλος ἦν, 'Ιουδαίοις μόνοις, καὶ οὐδὲ τούτοις πᾶσιν, ὡς ἔδει· οὔτε γὰρ Πατέρα αὐτὸν ὄντα ᾔδεσαν, καὶ πολλὰ ἀνάξια αὐτοῦ τότε ἐφαντάζοντο· διὸ καὶ ἔλεγεν ὁ Χριστός, ὅτι ἥξουσιν οἱ ἀληθινοὶ προσκυνηταί· καί, ὅτι «῾Ο Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν». ῞Υστερον δὲ καὶ αὐτὸς μετὰ τοῦ Υἱοῦ ἐξεφάνθη τῇ οἰκουμένῃ πάσῃ· ὅπερ οὖν καὶ προαναφωνῶν ἔλεγεν ὁ Χριστός· «῞Ινα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας 'Ιησοῦν Χριστόν». Εὐαγγέλιον δὲ Θεοῦ καλεῖ, ἀπὸ τῶν προοιμίων ἀνορθῶν τὸν ἀκροατήν. Οὐ γὰρ ἦλθέ τι σκυθρωπὸν ἀπαγγέλλων, ὥσπερ οἱ προφῆται κατηγορίας καὶ ἐγκλήματα καὶ ἐπιτιμήσεις, ἀλλὰ εὐαγγέλια, καὶ εὐαγγέλια Θεοῦ, μενόντων καὶ ἀκινήτων ἀγαθῶν θησαυροὺς μυρίους. «῝Ο προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις». «Κύριος γὰρ δώσει ῥῆμα», φησί, «τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ»· καὶ πάλιν, «῾Ως ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην».

2. ῾Ορᾷς καὶ ῥητῶς τοῦ εὐαγγελίου καὶ τὸ ὄνομα καὶ τὸν τρόπον ἐν τῇ Παλαιᾷ κείμενον; Οὐ γὰρ διὰ ῥημάτων αὐτὸ καταγγέλλομεν μόνον, φησίν, ἀλλὰ καὶ διὰ πραγμάτων· οὐδὲ γὰρ ἀνθρώπινον ἦν, ἀλλὰ καὶ θεῖον καὶ ἀπόρρητον, καὶ πᾶσαν ὑπερβαῖνον φύσιν. 'Επειδὴ δὲ καινοτομίαν ἐνεκάλουν τῷ πράγματι, δείκνυσιν αὐτὸ πρεσβύτερον ῾Ελλήνων ὄν, καὶ ἐν τοῖς προφήταις προδιαγραφόμενον. Εἰ δὲ μὴ ἐξ ἀρχῆς ἔδωκε, παρὰ τοὺς μὴ βουλομένους δέξασθαι· οἱ

------

9. 'Ιω. 4, 23
10. 'Ιω. 17, 3
11. Ψαλμ. 67, 12
12. 'Ησ. 52, 7

αὐτὸ εὐαγγέλιο ὄχι μόνο γιὰ τὰ ἀγαθὰ ποὺ ἔχουν γίνει, ἀλλὰ καὶ γιὰ τὰ μελλοντικά.

Πῶς, ὅμως λέγει ὅτι εὐαγγελίζεται ὁ Θεὸς μὲ αὐτόν; Γιατὶ «εἶμαι ξεχωρισμένος», λέγει, «γιὰ τὸ εὐαγγέλιο τοῦ Θεοῦ», ἐπειδὴ ὁ Πατέρας ἦταν φανερὸς καὶ πρὶν ἀπὸ τὰ εὐαγγέλια. Ἀλλ' ἂν καὶ ἦταν φανερός, στοὺς Ἰουδαίους ἦταν μόνο, καὶ ὄχι σὲ ὅλους αὐτούς, ὅπως ἔπρεπε. Γιατὶ δὲ γνώριζαν ὅτι αὐτὸς ἦταν Πατέρας καὶ φαντάζονταν γι' αὐτὸν τότε πολλὰ ἀνάξια, γι' αὐτὸ καὶ ἔλεγε ὁ Χριστός, ὅτι θὰ ἔρθουν οἱ πραγματικοὶ προσκυνητὲς καὶ ὅτι «Ὁ Πατέρας ζητάει τέτοιοι νὰ εἶναι αὐτοὶ ποὺ τὸν λατρεύουν»[9]. Τελευταῖα ὅμως καὶ αὐτὸς μαζὶ μὲ τὸν Υἱὸ φανερώθηκε σὲ ὅλη τὴν οἰκουμένη, πράγμα λοιπὸν ποὺ προλέγοντας καὶ ὁ Χριστὸς ἔλεγε· «Γιὰ νὰ γνωρίζουν ἐσένα τὸ μόνο ἀληθινὸ Θεὸ καὶ τὸν Ἰησοῦ Χριστό, ποὺ ἔστειλες»[10]. Εὐαγγέλιο τοῦ Θεοῦ τὸ ὀνομάζει γιὰ νὰ ἐμψυχώσει ἀπὸ τὴν ἀρχὴ τὸν ἀκροατή. Γιατὶ δὲν ἦρθε ν' ἀναγγείλλει κάτι τὸ σκυθρωπό, ὅπως οἱ προφῆτες κατηγορίες καὶ ἐγκλήματα καὶ ἐπιτιμήσεις, ἀλλὰ καλὲς εἰδήσεις, καὶ μάλιστα καλὲς εἰδήσεις τοῦ Θεοῦ ἀναρίθμητους θησαυρούς, σταθερῶν καὶ ἀκίνητων ἀγαθῶν. «Τὸ ὁποῖο ὑποσχέθηκε μὲ τοὺς προφῆτες του στὶς ἅγιες Γραφές». Γιατὶ λέγει, «Ὁ Κύριος θὰ δίνει λόγο σ' ἐκείνους ποὺ θὰ εὐαγγελίζονται μὲ μεγάλη δύναμη»[11]· καὶ πάλι, «Πόσο ὡραῖα εἶναι τὰ πόδια αὐτῶν ποὺ εὐαγγελίζονται τὴν εἰρήνη»[12].

2. Βλέπεις πὼς στὴν Παλαιὰ Διαθήκη ἀναφέρεται ρητὰ καὶ τὸ ὄνομα καὶ ὁ τρόπος τοῦ εὐαγγελίου; Γιατὶ δὲν κηρύσσουμε αὐτὸ μόνο μὲ τὰ λόγια, λέγει, ἀλλὰ καὶ μὲ τὶς πράξεις, ἀφοῦ δὲν ἦταν ἀνθρώπινο, ἀλλὰ θεῖο καὶ ἀπόρρητο καὶ ξεπερνᾶ κάθε φύση. Ἐπειδὴ ὅμως κατηγοροῦσαν τὸ πράγμα σὰν καινοτομία, δείχνει πὼς αὐτὸ εἶναι παλιότερο ἀπὸ τοὺς Ἕλληνες καὶ πὼς περιγράφεται ἀπὸ πρὶν στοὺς προφῆτες. Ἐὰν ὅμως δὲν τὸ ἔδωσε ἀπὸ τὴν ἀρχή, αὐτὸ ἔγινε ἐξ αἰτίας ἐκείνων ποὺ δὲν ἤθελαν νὰ τὸ δεχθοῦν· αὐτοὶ βέβαια ποὺ ἤθελαν, ἄ-

γοῦν βουλόμενοι ἤκουσαν. «Ἀβραὰμ ὁ πατὴρ ὑμῶν», φησίν, «ἠγαλλιάσατο, ἵνα ἴδη τὴν ἡμέραν τὴν ἐμὴν καὶ εἶδε καὶ ἐχάρη». Πῶς οὖν φησιν, ὅτι «Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον»; Οὕτω, φησίν, ὡς ὑμεῖς βλέπετε καὶ ἀκούετε, αὐτὴν τὴν σάρκα, καὶ αὐτὰ τὰ σημεῖα τὰ ἐπὶ τῶν ὄψεων. Σὺ δέ μοι σκόπει, πρὸ πόσων ταῦτα προεκηρύττετο χρόνων· καὶ γὰρ ὅταν μεγάλα τινὰ προκατασκευάζειν ὁ Θεὸς μέλλῃ, πρὸ πολλῶν αὐτὰ προαναφωνεῖ χρόνων, γυμνάζων τὴν ἀκοὴν πρὸς τὴν ὑποδοχὴν τῆς παρουσίας αὐτῶν. «Ἐν Γραφαῖς ἁγίαις». Οὐ γὰρ ἔλεγον οἱ προφῆται μόνον, ἀλλὰ καὶ ἔγραφον ἅπερ ἔλεγον· οὐκ ἔγραφον δὲ μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων ἐτύπουν, ὡς Ἀβραὰμ τὸν Ἰσαὰκ ἄγων, καὶ Μωϋσῆς τὸν ὄφιν ὑψῶν, καὶ τὰς χεῖρας ἐκτείνων ἐπὶ τοῦ Ἀμαλήκ, καὶ τὸν ἀμνὸν τοῦ πάσχα θύων.

«Περὶ τοῦ Υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα». Τί ποιεῖς, ὦ Παῦλε; μετεωρίσας ἡμῶν τὰς ψυχὰς καὶ ἀναγαγών, καὶ μεγάλα καὶ ἀπόρρητα φαντασθῆναι ποιήσας, καὶ εὐαγγέλιον εἰπών, καὶ Θεοῦ εὐαγγέλιον, καὶ χορὸν προφητῶν εἰσαγαγών, καὶ δείξας πάντας ἀνακηρύττοντας πρὸ πολλῶν ἐτῶν τὰ ἐσόμενα, ποῦ πάλιν ἡμᾶς κατάγεις πρὸς τὸν Δαυίδ; περὶ ἀνθρώπου τίνος διαλέγῃ, εἰπέ μοι, καὶ πατέρα δίδως αὐτῷ τὸν τοῦ Ἰεσσαὶ υἱόν; καὶ ποῦ ταῦτα τῶν εἰρημένων ἄξια; Σφόδρα μὲν οὖν ἄξια· οὐ γὰρ περὶ ἀνθρώπου ψιλοῦ, φησίν, ὁ λόγος ἡμῖν. Διά τοι τοῦτο προσέθηκε τό, «Κατὰ σάρκα», αἰνιττόμενος, ὅτι καὶ κατὰ πνεῦμα γέννησίς ἐστι τοῦ αὐτοῦ. Καὶ τίνος ἕνεκεν ἐντεῦθεν ἤρξατο, καὶ οὐκ ἐκεῖθεν ἀπὸ τῶν ὑψηλοτέρων; Ὅτι καὶ Ματθαῖος ἐντεῦθεν καὶ Λουκᾶς καὶ Μάρκος. Τὸν γὰρ μέλλοντα χειραγωγεῖν πρὸς τὸν οὐρανόν, κάτωθεν ἄνω χειραγωγεῖν ἀναγκαῖον· οὕτω γὰρ καὶ

---

13. Ἰω. 8,56 14. Ματθ. 13,17

κουσαν. «Ὁ Ἀβραὰμ ὁ πατέρας σας», λέγει, «μὲ μεγάλη χαρὰ ἐπιθύμησε νὰ δεῖ τὴν ἡμέρα τῆς ἐνανθρώπισής μου· καὶ τὴν εἶδε καὶ χάρηκε»[13]. Πῶς λοιπὸν λέγει, ὅτι «Πολλοὶ προφῆτες καὶ δίκαιοι ἐπιθύμησαν νὰ δοῦν αὐτὰ ποὺ ἐσεῖς βλέπετε καὶ δὲν τὰ εἶδαν»[14]; Ἔτσι, λέγει, ὅπως ἐσεῖς βλέπετε καὶ ἀκοῦτε, αὐτὸ τὸ σῶμα καὶ αὐτὰ τὰ θαύματα μπροστὰ στὰ μάτια σας. Ἐσὺ ὅμως πρόσεχε, παρακαλῶ, πρὶν ἀπὸ πόσα χρόνια προλέγονταν αὐτά. Γιατὶ πραγματικὰ ὅταν πρόκειται ὁ Θεὸς νὰ προετοιμάσει κάποια μεγάλα, τὰ προλέγει πρὶν ἀπὸ πολλὰ χρόνια, γιὰ νὰ ἐξασκήσει τὴν ἀκοὴ γιὰ ὑποδοχὴ τῆς παρουσίας τους. «Στὶς ἁγίες Γραφές». Γιατὶ οἱ προφῆτες δὲν ἔλεγαν μόνο, ἀλλὰ καὶ ἔγραφαν αὐτὰ ποὺ ἔλεγαν. Καὶ δὲν ἔγραφαν μόνο, ἀλλὰ καὶ προτύπωναν μὲ τὶς πράξεις τους, ὅπως ὁ Ἀβραὰμ ὅταν ὁδηγοῦσε τὸν Ἰσαάκ, καὶ ὅταν ὁ Μωϋσῆς ὕψωνε τὸ φίδι καὶ ἅπλωνε τὰ χέρια του ἐναντίον τῶν Ἀμαληκιτῶν καὶ θυσίαζε τὸ ἀρνὶ τοῦ πάσχα.

«Γιὰ τὸν Υἱό του ποὺ γεννήθηκε σὰν ἄνθρωπος ἀπὸ ἀπόγονο τοῦ Δαυΐδ». Τί κάνεις, Παῦλε; Ἀφοῦ ἀνύψωσες τὶς ψυχές μας καὶ τὶς ὁδήγησες ψηλὰ καὶ ἔκαμες νὰ φαντασθοῦμε μεγάλα καὶ ἀπόρρητα, καὶ ἀφοῦ μίλησες γιὰ εὐαγγέλιο, καὶ μάλιστα εὐαγγέλιο τοῦ Θεοῦ, καὶ ἀφοῦ παρουσίασες χορὸ προφητῶν, καὶ ἀφοῦ ἔδειξες πῶς ὅλοι κήρυξαν πρὶν ἀπὸ πολλὰ χρόνια αὐτὰ ποὺ πρόκειται νὰ συμβοῦν, ποῦ πάλι μᾶς κατεβάζεις στὸ Δαυΐδ; Γιὰ ποιὸν ἄνθρωπο μιλᾶς, πές μου, καὶ τοῦ δίνεις πατέρα τὸν υἱὸ τοῦ Ἰεσσαί; Καὶ πῶς αὐτὰ εἶναι ἰσάξια μὲ ἐκεῖνα ποὺ εἰπώθηκαν; Πάρα πολὺ λοιπὸν εἶναι ἰσάξια, γιατὶ ὁ λόγος σὲ μᾶς, λέγει, δὲν εἶναι γιὰ ἁπλὸ ἄνθρωπο. Γι' αὐτὸ βέβαια πρόσθεσε τό, «Σὰν ἄνθρωπος», ὑπονοώντας, ὅτι ὑπάρχει καὶ πνευματικὴ γέννηση τοῦ ἴδιου. Καὶ γιὰ ποιό λόγο ἄρχισε ἀπὸ ἐδῶ, καὶ ὄχι ἀπὸ ἐκεῖ, ἀπὸ τὰ ὑψηλότερα; Γιατὶ καὶ ὁ Ματθαῖος ἀπὸ ἐδῶ ἄρχισε, καθὼς ὁ Λουκᾶς καὶ ὁ Μάρκος. Γιατὶ αὐτὸν ποὺ πρόκειται νὰ ὁδηγήσει στὸν οὐρανό, εἶναι ἀνάγκη νὰ τὸν ὁδηγήσει ἀπὸ κάτω πρὸς τὰ πάνω. Ἔτσι λοιπὸν ρυθμίστηκε καὶ

τὸ πρᾶγμα ᾠκονομήθη. Πρῶτον γοῦν εἶδον αὐτὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, καὶ τότε ἐννόησαν Θεόν. Ἡ τοίνυν αὐτὸς τὴν διδασκαλίαν ἐποιήσατο, ταύτῃ καὶ ὁ μαθητὴς αὐτοῦ τέμνει τὴν ἐκεῖ φέρουσαν ὁδόν. Πρῶτον οὖν λέγει τὴν κατὰ σάρκα γέννησιν, οὐκ ἐπειδὴ πρώτη ἦν, ἀλλ' ἐπειδὴ ἀπὸ ταύτης πρὸς ἐκείνην ἀνῆγε τὸν ἀκροατήν.

«Τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ ἐν δυνάμει καὶ Πνεύματι ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ». Ἀσαφὲς τὸ εἰρημένον ἀπὸ τῆς τῶν λέξεων πλοκῆς γέγονε· διόπερ αὐτὸ διελεῖν ἀνάγκη. Τί οὖν ἐστιν ὃ λέγει; Τὸν ἐκ Δαυὶδ γενόμενον ἀνακηρύττομεν, φησίν. Ἀλλὰ τοῦτο δῆλον· πόθεν δέ, ὅτι καὶ Υἱὸς Θεοῦ ἐστιν οὗτος ὁ σαρκωθείς; Πρῶτον ἀπὸ τῶν προφητῶν· διὸ ἔλεγεν, «Ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις». Οὐ μικρᾶς δὲ ἀποδείξεως οὗτος ὁ τρόπος. Ἔπειτα καὶ ἐξ αὐτοῦ τοῦ τρόπου τῆς γεννήσεως· ὃ καὶ αὐτὸς ἐδήλωσεν εἰπών· «Ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα»· τὸν γὰρ τῆς φύσεως ἔλυσε νόμον. Τρίτον ἀπὸ τῶν θαυμάτων ὧνπερ ἔπραττε, πολλῆς δυνάμεως ἀπόδειξιν παρεχόμενος· τοῦτο γάρ ἐστιν, «Ἐν δυνάμει». Τέταρτον ἀπὸ τοῦ Πνεύματος οὗπερ ἐδίδου τοῖς πιστεύουσιν εἰς αὐτόν, καὶ δι' οὗ πάντας ἁγίους ἐποίει· διό φησι, «Κατὰ Πνεῦμα ἁγιωσύνης»· Θεοῦ γὰρ ἦν μόνου τὰ τοιαῦτα δῶρα χαρίζεσθαι.

Πέμπτον ἀπὸ τῆς ἀναστάσεως Κυρίου· πρῶτος γὰρ οὗτος καὶ μόνος ἑαυτὸν ἤγειρεν· ὅπερ καὶ αὐτὸς μάλιστα πάντων ἔφησεν εἶναι σημεῖον ἱκανὸν καὶ τοὺς ἀναισχυντοῦντας ἐπιστομίσαι. «Λύσατε» γάρ, φησί, «τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»· καί, «Ὅταν ὑψώσητέ με ἀπὸ τῆς γῆς, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι»· καὶ πάλιν, «Ἡ γενεὰ

---

15. Ἰω. 2, 19 16. Ἰω. 8, 28

τὸ πράγμα. Πρῶτα βέβαια εἶδαν αὐτὸν σὰν ἄνθρωπο πάνω στὴ γῆ, καὶ τότε τὸν κατανόησαν σὰν Θεό. Ὅπως λοιπὸν δίδαξε αὐτός, ἔτσι καὶ ὁ μαθητής του ἀκολουθεῖ τὸ δρόμο ποὺ ὁδηγεῖ ἐκεῖ. Πρῶτα λοιπὸν λέγει τὴ σαρκικὴ γέννηση, ὄχι ἐπειδὴ ἦταν πρώτη, ἀλλ' ἐπειδὴ ἀπ' αὐτὴ ὁδηγοῦσε τὸν ἀκροατὴ στὴν πνευματική.

«Ὁ ὁποῖος ἀποδείχθηκε Υἱὸς τοῦ Θεοῦ ἀπὸ τὴν ὑπερφυσικὴ δύναμή του, ἀπὸ τὸ Πνεῦμα τοῦ ἁγιασμοῦ, καὶ ἀπὸ τὴν ἀνάστασή του ἀπὸ τοὺς νεκρούς, ὁ ὁποῖος εἶναι ὁ Ἰησοῦς Χριστός». Ἔγινε ἀσαφὲς αὐτὸ ἐξ αἰτίας τῆς πλοκῆς τῶν λέξεων. Γι' αὐτὸ εἶναι ἀνάγκη νὰ τὸ αναλύσουμε. Τί λοιπὸν σημαίνει αὐτὸ ποὺ λέγει; Κηρύσσουμε αὐτὸν ποὺ κατάγεται ἀπὸ τὸ Δαυΐδ, λέγει. Ἀλλ' αὐτὸ εἶναι φανερό. Ἀπὸ ποῦ ὅμως φαίνεται ὅτι αὐτὸς ποὺ ἔγινε ἄνθρωπος εἶναι καὶ Υἱὸς τοῦ Θεοῦ; Πρῶτο, ἀπὸ τοὺς προφῆτες· γι' αὐτὸ ἔλεγε, «Τὸ ὁποῖο ὑποσχέθηκε μὲ τοὺς προφῆτες του στὶς ἁγίες Γραφές». Ὁ τρόπος αὐτὸς δὲν εἶναι μικρὴ ἀπόδειξη. Ἔπειτα καὶ ἀπὸ τὸν ἴδιο τὸν τρόπο τῆς γέννησης, πράγμα ποὺ καὶ ὁ ἴδιος φανέρωσε λέγοντας· «Ἀπὸ ἀπόγονο τοῦ Δαυΐδ σὰν ἄνθρωπος», γιατὶ κατέλυσε τὸ νόμο τῆς φύσης. Τρίτο, ἀπὸ τὰ θαύματα ποὺ ἔκανε, παρέχοντας ἀπόδειξη μεγάλης δύναμης, γιατὶ αὐτὸ σημαίνει, «Μὲ δύναμη». Τέταρτο, ἀπὸ τὸ Πνεῦμα ποὺ χορηγοῦσε σ' ἐκείνους ποὺ πίστευαν σ' αὐτὸν καὶ μὲ τὸ ὁποῖο τοὺς ἔκανε ὅλους ἁγίους. Γι' αὐτὸ λέγει, «Σύμφωνα μὲ τὸ Πνεῦμα τοῦ ἁγιασμοῦ», γιατὶ ὁ Θεὸς μόνο μποροῦσε νὰ χαρίζει τέτοια δῶρα.

Πέμπτο, ἀπὸ τὴν ἀνάσταση τοῦ Κυρίου. Γιατὶ πρῶτος αὐτὸς καὶ μόνος ἀναστήθηκε, πράγμα ποὺ καὶ αὐτὸς περισσότερο ἀπ' ὅλους εἶπε πὼς εἶναι ἱκανὸ σημεῖο ν' ἀποστομώσει καὶ αὐτοὺς ποὺ εἶναι ἀναίσχυντοι. Γιατὶ λέγει, «Γκρεμίστε τὸ ναὸ αὐτὸν καὶ σὲ τρεῖς ἡμέρες θὰ τὸν ξανακτίσω»[15], καί, «Ὅταν μὲ ὑψώσετε ἀπὸ τὴ γῆ, τότε θὰ μάθετε, ὅτι ἐγὼ εἶμαι»[16]· καὶ πάλι, «Ἡ γενεὰ αὐτὴ ἐπιμένει νὰ ζητᾶ θαῦμα, ἀλλὰ δὲ θὰ τῆς δοθεῖ θαῦ-

αὕτη σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ». Τί οὖν ἐστιν, «Ὁρισθέντος»; Δειχθέντος, ἀποφανθέντος, κριθέντος, ὁμολογηθέντος παρὰ τῆς ἁπάντων γνώμης καὶ ψήφου, ἀπὸ τῶν προφητῶν, ἀπὸ τῆς παραδόξου γεννήσεως τῆς κατὰ σάρκα, ἀπὸ τῆς δυνάμεως τῆς ἐν τοῖς σημείοις, ἀπὸ τοῦ Πνεύματος, δι' οὗ τὸν ἁγιασμὸν ἔδωκεν, ἀπὸ τῆς ἀναστάσεως, δι' ἧς τοῦ θανάτου τὴν τυραννίδα κατέλυσε.

«Δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως». Ὅρα εὐγνωμοσύνην οἰκέτου· οὐδὲν ἑαυτοῦ εἶναι βούλεται, ἀλλὰ πάντα τοῦ Δεσπότου. Καὶ μὴν τὸ Πνεῦμα τοῦτο ἔδωκε· διὸ ἔλεγε· «Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν»· καὶ πάλιν, «Ἀφορίσατέ μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν». Καὶ ἐν τῇ πρὸς Κορινθίους δέ φησιν, ὅτι «Ὧ μὲν διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως»· καί, ὅτι «Αὐτὸ πάντα διαιρεῖ, καθὼς βούλεται». Καὶ Μιλησίοις δὲ δημηγορῶν, ἔλεγεν· «Ἐν ᾧ ἔθετο ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ποιμένας καὶ ἐπισκόπους». Ὁρᾷς, ὅτι τὰ τοῦ Πνεύματος τοῦ Υἱοῦ φησι, καὶ τὰ τοῦ Υἱοῦ τοῦ Πνεύματος; «Χάριν καὶ ἀποστολήν»· τουτέστιν, οὐχ ἡμεῖς αὐτὸ κατωρθώσαμεν τὸ γενέσθαι ἀπόστολοι· οὐδὲ γὰρ καμόντες πολλὰ καὶ πονέσαντες, τὴν ἀξίαν ταύτην ἐλάχομεν, ἀλλὰ χάριν ἐλάβομεν, καὶ τῆς ἄνωθεν δωρεᾶς τὸ κατόρθωμα γέγονεν. «Εἰς ὑπακοὴν πίστεως».

3. Οὐκ ἄρα οἱ ἀπόστολοι ἦσαν οἱ κατορθοῦντες, ἀλλ' ἡ προοδοποιοῦσα χάρις αὐτοῖς. Ἐκείνων μὲν γὰρ ἦν τὸ περιιέναι καὶ κηρύττειν, τὸ δὲ πείθειν τοῦ ἐνεργοῦντος ἐν αὐτοῖς Θεοῦ· καθὼς καὶ ὁ Λουκᾶς φησιν, ὅτι «Διήνοιξε τὴν καρδίαν αὐτῶν»· καὶ πά-

------

17. Ματθ. 12, 39   18. Ἰω. 16, 12   19. Πράξ. 13, 2

μα, παρὰ μόνο τὸ θαῦμα τοῦ Ἰωνᾶ»[17]. Τί λοιπὸν σημαίνει τὸ «Ὁρισθέντος»; Ἐκεῖνος ποὺ ἀποδείχθηκε, φανερώθηκε, κρίθηκε, ὁμολογήθηκε ἀπὸ τὴ γνώμη καὶ τὴν ἀπόφαση ὅλων, ἀπὸ τοὺς προφῆτες, ἀπὸ τὴν παράδοξη γέννησή του σὰν ἄνθρωπος, ἀπὸ τὴ δύναμη στὰ θαύματα, ἀπὸ τὸ ἅγιο Πνεῦμα, μὲ τὸ ὁποῖο ἔδωσε τὸν ἁγιασμό, ἀπὸ τὴν ἀνάστασή του, μὲ τὴν ὁποία κατάργησε τὴν τυραννία τοῦ θανάτου.

«Μὲ τὸν ὁποῖο λάβαμε τὴ χάρη καὶ τὸ ἀποστολικὸ ἀξίωμα στὴν ὑπακοὴ τῆς πίστης». Πρόσεχε τὴν εὐγνωμοσύνη τοῦ δούλου. Τίποτε δὲ θέλει νὰ εἶναι δικό του, ἀλλὰ τὰ πάντα τοῦ Κυρίου. Ἄλλωστε τὸ Πνεῦμα τὸ ἔδωσε αὐτό. Γι' αὐτὸ ἔλεγε· «Ἔχω πολλὰ νὰ σᾶς πῶ, ἀλλὰ δὲν μπορεῖτε νὰ τὰ συγκρατήσετε ἀκόμη. Ὅταν ὅμως ἔλθει ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, θὰ σᾶς ὁδηγήσει σὲ ὅλη τὴν ἀλήθεια»[18]· καὶ πάλι, «Ξεχωρίστε μου τὸν Παῦλο καὶ τὸ Βαρνάβα»[19]. Καὶ στὴν ἐπιστολὴ πρὸς Κορινθίους λέγει, ὅτι «Σ' ἄλλον ἀπὸ τὸ Πνεῦμα δίνεται λόγος σοφίας καὶ σ' ἄλλον λόγος γνώσης»[20], καὶ ὅτι «Τὸ Πνεῦμα μοιράζει χωριστὰ τὰ πάντα, ὅπως θέλει»[21]. Καὶ στοὺς Μιλησίους μιλώντας ἔλεγε· «Στὸ ποίμνιο αὐτὸ σᾶς τοποθέτησε τὸ ἅγιο Πνεῦμα ποιμένες καὶ ἐπισκόπους»[22]. Βλέπεις πὼς αὐτὰ ποὺ ἀνήκουν στὸ Πνεῦμα λέγει ὅτι εἶναι τοῦ Υἱοῦ, καὶ πὼς ἐκεῖνα ποὺ ἀνήκουν στὸν Υἱὸ εἶναι τοῦ Πνεύματος; «Χάρη καὶ ἀποστολικὸ ἀξίωμα»· δηλαδή, δὲν κατορθώσαμε ἐμεῖς αὐτό, τὸ νὰ γίνουμε ἀπόστολοι. Γιατὶ δὲν μᾶς ἔλαχε τὸ ἀξίωμα αὐτὸ ἀφοῦ ὑποφέραμε πολλὰ καὶ κοπιάσαμε, ἀλλὰ λάβαμε χάρη καὶ τὸ κατόρθωμα αὐτὸ εἶναι ἀποτέλεσμα τῆς θείας δωρεᾶς. «Στὴν ὑπακοὴ τῆς πίστης.

3. Ἐπομένως δὲν ἦταν οἱ ἀπόστολοι ποὺ κατόρθωναν, ἀλλὰ ἡ χάρη ποὺ προετοίμαζε τὸ δρόμο τους. Γιατὶ ἔργο τους ἦταν τὸ νὰ γυρίζουν καὶ νὰ κηρύττουν, τὸ νὰ πείθουν ὅμως ἦταν ἔργο τοῦ Θεοῦ ποὺ ἐνεργοῦσε μ' αὐτούς, ὅπως καὶ ὁ Λουκᾶς λέγει, ὅτι «Ἄνοιξε τὴν καρδιὰ

------

20. Α' Κορ. 12, 8 21. Α' Κορ. 12, 11 22. Πράξ. 20, 28

λιν, «οἷς ἦν δεδομένον ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ». «Εἰς ὑπακοήν». Οὐκ εἶπεν, εἰς ζήτησιν καὶ κατασκευήν, ἀλλ', «Εἰς ὑπακοήν». Οὐδὲ γὰρ ἐπέμφθημεν, φησί, συλλογίζεσθαι, ἀλλ' ὅπερ ἐνεχειρίσθημεν ἀποδοῦναι. Ὅταν γὰρ ὁ Δεσπότης ἀποφήνηταί τι, τοὺς ἀκούοντας οὐ περιεργάζεσθαι χρὴ τὰ λεγόμενα καὶ πολυπραγμονεῖν, ἀλλὰ δέχεσθαι μόνον. Οἱ γὰρ ἀπόστολοι διὰ τοῦτο ἐπέμφθησαν, ἵνα, ἅπερ ἤκουσαν, εἴπωσιν, οὐχ ἵνα οἴκοθέν τι προσθῶσι· καὶ ἡμεῖς δὲ λοιπόν, ἵνα πιστεύσωμεν. Τί ἵνα πιστεύσωμεν; «Περὶ τοῦ ὀνόματος αὐτοῦ»· οὐχ ἵνα τὴν οὐσίαν αὐτοῦ περιεργασώμεθα, ἀλλ' ἵνα εἰς τὸ ὄνομα αὐτοῦ πιστεύσωμεν· τοῦτο γὰρ ἦν, ὃ καὶ τὰ σημεῖα ἐποίει· «Ἐν γὰρ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ», φησίν, «ἔγειραι καὶ περιπάτει». Καὶ τοῦτο δὲ αὐτὸ πίστεως δεῖται, καὶ οὐδὲν τούτων λογισμῷ καταλαβεῖν δυνατόν.

«Ἐν πᾶσι τοῖς ἔθνεσιν, ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ». Τί οὖν; πᾶσι τοῖς ἔθνεσιν ὁ Παῦλος ἐκήρυξεν; Ὅτι μὲν γὰρ ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ διέδραμε, κἀκεῖθεν πάλιν εἰς αὐτὰς ἐξέβη τῆς γῆς τὰς ἐσχατιάς, δῆλον ἐξ ὧν Ρωμαίοις ἐπέστειλεν. Εἰ δὲ καὶ μὴ πᾶσι ἐπέστη, οὐδὲ οὕτω ψεῦδος τὸ λεγόμενον· οὐ γὰρ περὶ ἑαυτοῦ μόνον φησίν, ἀλλὰ καὶ περὶ τῶν δώδεκα ἀποστόλων, καὶ πάντων τῶν καταγγειλάντων τὸν λόγον τῶν μετ' ἐκείνους. Ἄλλως δὲ οὐδὲ ἐπ' αὐτοῦ τὸν λόγον ἐλεγχόμενον ἴδοι τις ἄν, εἰ τὴν προθυμίαν ἐννοήσει τὴν ἐκείνου, καὶ ὅτι μετὰ τελευτὴν οὐ παύεται πανταχοῦ τῆς οἰκουμένης κηρύττων. Ἐννόησον δὲ πῶς ἐπαίρει τὴν δωρεὰν καὶ δείκνυσι μεγάλην οὖσαν καὶ πολὺ τῆς προτέρας ὑψηλοτέραν· εἴ γε τὰ μὲν παλαιὰ περὶ ἔθνος ἓν ἐγίγνετο, αὕτη δὲ γῆν καὶ θάλασσαν ἐπεσπάσατο.

---

23. Πράξ. 16, 14
24. Βλ. Λουκᾶ 8, 10 καὶ Πράξ. 19, 10

τους»[23]· καὶ πάλι, «στοὺς ὁποίους δόθηκε ν' ἀκούσουν τὸ λόγο τοῦ Θεοῦ»[24]. «Στὴν ὑπακοή». Δὲν εἶπε, στὴν ἀναζήτηση καὶ ἐκτέλεση τοῦ ἔργου, ἄλλά, «Στὴν ὑπακοή». Γιατὶ δὲ μᾶς ἔστειλε, λέγει, νὰ συγκεντρώνουμε, ἀλλὰ γιὰ ν' ἀποδώσουμε αὐτὸ ποὺ μᾶς ἐμπιστεύθηκε. Ὅταν λοιπὸν ὁ Κύριος λέγει κάτι, αὐτοὶ ποὺ ἀκοῦν δὲν πρέπει νὰ περιεργάζονται καὶ νὰ πολυεξετάζουν τὰ λεγόμενα, ἀλλὰ μόνο νὰ τὰ δέχονται. Γιατὶ οἱ ἀπόστολοι γι' αὐτὸ στάλθηκαν, γιὰ νὰ ποῦν ἐκεῖνα ἀκριβῶς ποὺ ἄκουσαν, ὄχι γιὰ νὰ προσθέσουν κάτι ἀπὸ μόνοι τους, καὶ ἐμεῖς ὅμως στὴ συνέχεια, γιὰ νὰ πιστεύσουμε. Γιὰ νὰ πιστεύσουμε τί; «Στὸ ὄνομά του». Ὄχι γιὰ νὰ ἀσχολούμαστε μὲ τὴν οὐσία του, ἀλλὰ γιὰ νὰ πιστεύσουμε στὸ ὄνομά του. Γιατὶ αὐτὸ ἦταν ἐκεῖνο, ποὺ ἔκανε καὶ τὰ θαύματα· «Στὸ ὄνομα λοιπὸν τοῦ Ἰησοῦ Χριστοῦ», λέγει, «σήκω ὄρθιος καὶ περπάτα»[25]. Καὶ αὐτὸ ὅμως χρειάζεται πίστη καὶ τίποτε ἀπ' αὐτὰ δὲν εἶναι δυνατὸ νὰ τὰ κατανοήσουμε μὲ τὸ λογικό.

«Σὲ ὅλους τοὺς ἐθνικούς, ἀνάμεσα στοὺς ὁποίους εἶστε καὶ σεῖς καλεσμένοι τοῦ Ἰησοῦ Χριστοῦ». Τί λοιπόν; Σὲ ὅλα τὰ ἔθνη κήρυξε ὁ Παῦλος; Ὅτι βέβαια ἔτρεξε ἀπὸ τὴν Ἰερουσαλὴμ μέχρι τὸ Ἰλλυρικὸ πέλαγος, καὶ ἀπὸ ἐκεῖ πάλι ἔφθασε στὰ πέρατα τῆς γῆς, εἶναι φανερό, ἀπ' αὐτὰ ποὺ ἔγραψε στοὺς Ρωμαίους. Ἐὰν ὅμως δὲν ἔφθασε σὲ ὅλους, οὔτε ἔτσι εἶναι ψέμα αὐτὸ ποὺ λέγεται. Γιατὶ δὲ μιλάει μόνο γιὰ τὸν ἑαυτό του, ἀλλὰ καὶ γιὰ τοὺς δώδεκα ἀποστόλους καὶ γιὰ ὅλους ἐκείνους ποὺ κήρυξαν τὸ λόγο τοῦ εὐαγγελίου ὕστερα ἀπ' αὐτούς. Ἄλλωστε οὔτε καὶ γι' αὐτὸν θὰ μποροῦσε νὰ κατακρίνει κανεὶς τὸν λόγο αὐτό, ἐὰν κατανοήσει τὴν προθυμία τοῦ Παύλου καὶ ὅτι μετὰ τὸ θάνατό του δὲ σταματάει νὰ κηρύττει παντοῦ στὴν οἰκουμένη. Παρατήρησε ὅμως πῶς ἐξυψώνει τὴ δωρεὰ καὶ τὴν ἀποδείχνει μεγάλη καὶ πολὺ πιὸ ἀνώτερη ἀπὸ τὴν προηγούμενη. Ἐὰν βέβαια τὰ παλιὰ γίνονταν γιὰ ἕνα ἔθνος, αὐτὴ προσκάλεσε ὅλη τὴν οἰκουμένη.

---

25. Πράξ. 3, 6

Σκόπει δέ μοι κἀκεῖνο, πῶς κολακείας πάσης ἀπηλλαγμένη ἐστὶν ἡ τοῦ Παύλου ψυχή. Ρωμαίοις γὰρ διαλεγόμενος τοῖς ὥσπερ ἐν κορυφῇ τινι τῆς οἰκουμένης ἁπάσης καθημένοις, οὐδὲν πλέον αὐτοῖς δίδωσι τῶν λοιπῶν ἐθνῶν, οὐδέ, ἐπειδὴ τότε ἐκράτουν καὶ ἐβασίλευον, καὶ ἐν τοῖς πνευματικοῖς φησί τι πλέον αὐτοὺς ἔχειν· ἀλλ' ὥσπερ, φησί, τοῖς ἔθνεσι πᾶσι κηρύττομεν, οὕτω καὶ ὑμῖν, μετὰ Σκυθῶν καὶ Θρᾳκῶν αὐτοὺς ἀριθμῶν· ἐπεὶ εἰ μὴ τοῦτο ἐβούλετο δηλῶσαι, περιττὸν ἦν τὸ εἰπεῖν, «Ἐν οἷς ἐστε καὶ ὑμεῖς». Ταῦτα δὲ ποιεῖ καθαιρῶν αὐτῶν τὸ φρόνημα, καὶ κενῶν τὸ φύσημα τῆς διανοίας, καὶ διδάσκων αὐτοὺς τὴν πρὸς τοὺς ἄλλους ἰσοτιμίαν. Διὸ ἐπήγαγεν αὐτὸ τοῦτο λέγων· «Ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ»· τουτέστι, μεθ' ὧν ἐστε καὶ ὑμεῖς». Καὶ οὐκ εἶπεν, ὅτι τοὺς ἄλλους μεθ' ὑμῶν, ἀλλ' ὑμᾶς μετὰ τῶν ἄλλων ἐκάλεσεν. Εἰ γὰρ ἐν Χριστῷ Ἰησοῦ οὐκ ἔστι δοῦλος οὐδὲ ἐλεύθερος, πολλῷ μᾶλλον οὐδὲ βασιλεὺς καὶ ἰδιώτης· καὶ γὰρ ὑμεῖς ἐκλήθητε, καὶ οὐκ ἀφ' ἑαυτῶν προσήλθετε.

«Πᾶσι τοῖς οὖσιν ἐν Ρώμῃ ἀγαπητοῖς Θεοῦ, κλητοῖς ἁγίοις, χάριν ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ». Ὅρα πῶς συνεχῶς τὸ ὄνομα τοῦ κλητοῦ τίθησι, «Κλητὸς ἀπόστολος», λέγων, «Ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοί», «Πᾶσι τοῖς οὖσιν ἐν Ρώμῃ κλητοῖς». Τοῦτο δὲ οὐ περιττολογῶν ποιεῖ, ἀλλὰ βουλόμενος αὐτοὺς τῆς εὐεργεσίας ἀναμνῆσαι. Ἐπειδὴ γὰρ εἰκὸς ἦν ἐν τοῖς πιστεύουσι καὶ ἐξ ὑπάρχων εἶναι καὶ ὑπάτων, καὶ πένητας καὶ ἰδιώτας, ἐκβάλλων τὴν ἀνωμαλίαν τῶν ἀξιωμάτων, πᾶσι μίαν ἐπιστέλλει προσηγορίαν. Εἰ δὲ ἐν τοῖς ἀναγκαιοτέροις καὶ πνευματικοῖς κοινὰ δού-

Πρόσεξε, παρακαλῶ, καὶ αὐτό, πῶς δηλαδὴ ἡ ψυχὴ τοῦ Παύλου εἶναι καθαρὴ ἀπὸ κάθε κολακεία. Γιατί, ἂν καὶ μιλάει στοὺς Ρωμαίους, ποὺ βρίσκονταν σὰν σὲ κάποια κορυφὴ ὅλης τῆς οἰκουμένης, δὲν τοὺς ξεχωρίζει καθόλου ἀπὸ τὰ ὑπόλοιπα ἔθνη, οὔτε, λέγει ὅτι ὑπερέχουν κάπως στὰ πνευματικά. Καὶ βασίλευαν, ἐπειδὴ τότε εἶχαν δύναμη. Ἀλλ' ὅπως ἀκριβῶς, λέγει, κηρύττουμε σὲ ὅλα τὰ ἔθνη, ἔτσι καὶ σὲ σᾶς, συγκαταλέγοντας αὐτοὺς μαζὶ μὲ τοὺς Σκύθες καὶ τοὺς Θράκες. Γιατί, ἂν δὲν ἤθελε νὰ δηλώσει αὐτό, ἦταν περιττὸ τὸ νὰ πεῖ, «Ἀνάμεσα στοὺς ὁποίους εἶστε καὶ σεῖς». Καὶ κάνει αὐτὰ γιὰ νὰ κατεβάσει τὸ φρόνημά τους, νὰ μειώσει τὸ φούσκωμα τοῦ νοῦ τους καὶ νὰ τοὺς διδάξει τὴν ἰσότητα μὲ ὅλους. Γι' αὐτὸ τὸ πρόσθεσε τοῦτο λέγοντας· «Ἀνάμεσα στοὺς ὁποίους εἶστε καὶ σεῖς καλεσμένοι τοῦ Ἰησοῦ Χριστοῦ»· δηλαδὴ μαζὶ μ' αὐτοὺς εἶστε καὶ σεῖς. Καὶ δὲν εἶπε, ὅτι κάλεσε τοὺς ἄλλους μαζὶ μὲ σᾶς, ἀλλ' ἐσᾶς μαζὶ μὲ τοὺς ἄλλους. Γιατί, ἂν ἐνώπιον τοῦ Ἰησοῦ Χριστοῦ δὲν ὑπάρχει δοῦλος οὔτε ἐλεύθερος, πολὺ περισσότερο δὲν ὑπάρχει οὔτε βασιλιὰς καὶ ἁπλὸς πολίτης. Γιατὶ καὶ σεῖς προσκληθήκατε καὶ δὲν προσήλθατε ἀπὸ μόνοι σας.

«Σὲ ὅλους τοὺς πιστοὺς ποὺ βρίσκεστε στὴ Ρώμη καὶ εἶστε ἀγαπητοὶ στὸ Θεό, προσκαλεσμένοι ἅγιοι, εἴθε νὰ εἶναι μαζί σας ἡ χάρη καὶ ἡ εἰρήνη ἀπὸ τὸ Θεὸ Πατέρα μας καὶ τὸν Κύριο Ἰησοῦ Χριστό». Βλέπε πῶς συνέχεια βάζει τὸ ὄνομα τοῦ καλεσμένου, «Καλεσμένος ἀπόστολος», λέγοντας, «Ἀνάμεσα στοὺς ὁποίους εἶστε καὶ σεῖς καλεσμένοι», «Σὲ ὅλους ποὺ βρίσκεστε στὴ Ρώμη καλεσμένοι». Αὐτὸ ὅμως δὲν τὸ κάνει περιττολογώντας, ἀλλὰ γιατὶ θέλει νὰ τοὺς ὑπενθυμίσει τὴν εὐεργεσία. Ἐπειδὴ βέβαια ἦταν φυσικὸ ἀνάμεσα στοὺς πιστοὺς νὰ ὑπάρχουν καὶ πιστοὶ ποὺ προέρχονταν ἀπὸ ὑπάρχους καὶ ὑπάτους, καὶ φτωχοὶ καὶ ἁπλοὶ πολίτες, γιὰ νὰ ξερριζώσει τὴ διάκριση τῶν ἀξιωμάτων, γράφει στὴν ἐπιστολή του μιὰ προσφώνηση γιὰ ὅλους. Ἐὰν ὅμως στὰ πιὸ

λοις καὶ ἐλευθέροις ἅπαντα πρόκειται, οἷον ἡ ἀγάπη ἡ παρὰ τοῦ Θεοῦ, ἡ κλῆσις, τὸ εὐαγγέλιον, ἡ υἱοθεσία, ἡ χάρις, ἡ εἰρήνη, ὁ ἁγιασμός, τὰ ἄλλα πάντα, πῶς ἐσχάτης ἀνοίας οὐκ ἂν εἴη, οὓς ὁ Θεὸς συνῆψε καὶ ὁμοτίμους ἐποίησεν ἐν τοῖς μείζοσι, τούτους διαιρεῖν ἀπὸ τῶν ἐν τῇ γῇ πραγμάτων;

Διά τοι τοῦτο ἀπὸ τῶν προοιμίων αὐτῶν τὴν χαλεπὴν ταύτην ἐκβαλὼν νόσον ὁ μακάριος οὗτος, εἰς τὴν μητέρα τῶν ἀγαθῶν αὐτοὺς ἐμβιβάζει, ταπεινοφροσύνην. Τοῦτο καὶ οἰκέτας βελτίους εἰργάζετο, μανθάνοντας ὡς οὐδὲν ἐκ τῆς δουλείας παραβλαβήσονται, τὴν ὄντως ἐλευθερίαν ἔχοντες· τοῦτο καὶ τοὺς δεσπότας παρεσκεύαζε μετριάζειν, παιδευομένους ὡς οὐδὲν αὐτοῖς ὄφελος τῆς ἐλευθερίας, ἂν μὴ τὰ τῆς πίστεως ᾖ προηγούμενα. Καὶ ἵνα μάθῃς, ὅτι οὐ σύγχυσιν ἐργαζόμενος τοῦτο ἐποίει καὶ πάντα μιγνύς, ἀλλ' οἶδε καὶ διαίρεσιν ἀρίστην, οὐχ ἁπλῶς ἔγραψε πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ, ἀλλὰ μετὰ διορισμοῦ, «Τοῖς ἀγαπητοῖς τοῦ Θεοῦ». Αὕτη γὰρ ἡ ἀρίστη διάκρισις, καὶ δείκνυσι πόθεν ὁ ἁγιασμός.

4. Πόθεν οὖν ὁ ἁγιασμός; Ἀπὸ τῆς ἀγάπης. Εἰπὼν γάρ, «Ἀγαπητοῖς», τότε ἐπήγαγε, «Κλητοῖς ἁγίοις», δηλῶν ὅτι ἐντεῦθεν ἡμῖν ἡ πηγὴ τῶν ἀγαθῶν ἁπάντων· ἁγίους δὲ τοὺς πιστοὺς καλεῖ πάντας. «Χάρις ὑμῖν καὶ εἰρήνη». Ὢ προσηγορίας μυρία φερούσης ἀγαθά. Τοῦτο καὶ ὁ Χριστὸς τοῖς ἀποστόλοις εἰς τὰς οἰκίας εἰσιοῦσι πρῶτον ῥῆμα φάσκειν ἐπέταττε. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἐντεῦθεν πανταχοῦ προοιμιάζεται ἀπὸ τῆς χάριτος καὶ τῆς εἰρήνης. Οὐδὲ γὰρ μικρὸν κατέλυσεν ὁ Χριστὸς πόλεμον, ἀλλὰ καὶ ποικίλλον καὶ παντοδαπὸν καὶ χρόνιον καὶ τοῦτον οὐκ ἐκ τῶν ἡμετέρων πόνων, ἀλλὰ διὰ τῆς αὐτοῦ χάριτος. Ἐπεὶ οὖν ἡ μὲν ἀγάπη τὴν χάριν, ἡ δὲ χά-

ἀναγκαῖα καὶ στὰ πνευματικὰ ὅλα εἶναι κοινὰ στοὺς δούλους καὶ στοὺς ἐλεύθερους, ὅπως ἡ ἀγάπη τοῦ Θεοῦ, ἡ κλήση, τὸ εὐαγγέλιο, ἡ υἱοθεσία, ἡ χάρη, ἡ εἰρήνη, ὁ ἁγιασμός, ὅλα τὰ ἄλλα, πῶς δὲ θὰ ἦταν ἀπόδειξη τῆς πιὸ μεγάλης ἀνοησίας, τὸ νὰ ξεχωρίζει αὐτοὺς ἀπὸ τὰ γήινα πράγματα, αὐτοὺς ποὺ ὁ Θεὸς τοὺς ἕνωσε καὶ τοὺς ἔκαμε ἴσους στὰ μεγαλύτερα ἀγαθά;

Γι᾽ αὐτὸ λοιπὸν ἀπὸ τὴν ἀρχὴ ἀπομακρύνει τὴ φοβερὴ αὐτὴ ἀρρώστια ὁ μακάριος Παῦλος καὶ τοὺς ὁδηγεῖ στὴ μητέρα τῶν ἀγαθῶν, τὴν ταπεινοφροσύνη. Αὐτὸ καὶ τοὺς δούλους ἔκανε καλύτερους, γιατὶ μάθαιναν πὼς δὲ θὰ ζημιωθοῦν καθόλου ἀπὸ τὴ δουλεία, ἀφοῦ εἶχαν τὴν πραγματικὴ ἐλευθερία. Αὐτὸ καὶ τοὺς κυρίους ἔκανε νὰ εἶναι μετριόφρονες γιατὶ μάθαιναν πὼς δὲν ἔχουν κανένα ὄφελος ἀπὸ τὴν ἐλευθερία, ἂν δὲν προηγοῦνται τὰ ἔργα τῆς πίστης. Καὶ γιὰ νὰ μάθεις, ὅτι δὲν ἔκανε αὐτὸ προκαλώντας σύγχυση καὶ ἀνακατεύοντας τὰ πάντα, ἀλλὰ γνώριζε καὶ τὴν ἄριστη διάκριση, δὲν ἔγραψε ἁπλὰ σὲ ὅλους ποὺ βρίσκονται στὴ Ρώμη, ἀλλὰ μὲ προσδιορισμό, «Ποὺ εἶστε ἀγαπητοὶ τοῦ Θεοῦ». Γιατὶ αὐτὴ εἶναι ἡ ἄριστη διάκριση καὶ δείχνει ἀπὸ ποῦ προέρχεται ὁ ἁγιασμός.

4. Ἀπὸ ποῦ λοιπὸν προέρχεται ὁ ἁγιασμός; Ἀπὸ τὴν ἀγάπη. Γιατὶ ἀφοῦ εἶπε «Στοὺς ἀγαπητούς», τότε πρόσθεσε, «Στοὺς καλεσμένους ἁγίους», φανερώνοντας ὅτι ἀπὸ ἐδῶ προέρχεται ἡ πηγὴ ὅλων τῶν ἀγαθῶν γιὰ μᾶς. Ἁγίους ὀνομάζει τοὺς πιστοὺς ὅλους. «Εἴθε νὰ ἔρθει σὲ σᾶς ἡ χάρη καὶ εἰρήνη». Αὐτὴ εἶναι ἡ προσφώνηση ποὺ φέρει ἄπειρα ἀγαθά. Αὐτὸ καὶ ὁ Χριστὸς πρόσταζε στοὺς ἀποστόλους νὰ λέγουν πρώτη λέξη, ὅταν ἔμπαιναν στὰ σπίτια. Γι᾽ αὐτὸ καὶ ὁ Παῦλος ἀπὸ ἐδῶ πάντα ἀρχίζει, δηλαδὴ ἀπὸ τὴ χάρη καὶ τὴν εἰρήνη. Γιατὶ ὁ Χριστὸς δὲν κατάργησε μικρὸ πόλεμο, ἀλλὰ καὶ πολύμορφο καὶ πολύτροπο καὶ πολύχρονο, καὶ αὐτὸν ὄχι μὲ τοὺς δικούς μας κόπους, ἀλλὰ μὲ τὴ δική του χάρη. Ἀφοῦ λοιπὸν ἡ ἀγάπη δώρησε τὴ χάρη καὶ ἡ χάρη τὴν

ρις τὴν εἰρήνην ἐδωρήσατο, ὡς ἐν τάξει προσηγορίας αὐτὰ θείς, ἐπεύχεται μένειν διηνεκῆ καὶ ἀκίνητα, ὥστε μὴ πάλιν ἕτερον ἀναρριπισθῆναι πόλεμον· καὶ παρακαλεῖ τὸν δεδωκότα, πάγια ταῦτα διατηρεῖν, οὕτω λέγων· «Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ».

Ἰδοὺ ἐνταῦθα τό, ἀπό, κοινόν ἐστι Πατρὸς καὶ Υἱοῦ, ὅπερ ἐστὶν ἴσον τῷ, ἐξ οὗ. Οὐ γὰρ εἶπε, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ τοῦ Πατρὸς διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλ', «Ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Βαβαί, πόσον ἴσχυσεν ἡ τοῦ Θεοῦ ἀγάπη· οἱ ἐχθροὶ καὶ ἠτιμωμένοι ἅγιοι καὶ υἱοὶ γεγόνασιν ἐξαίφνης. Ὅταν γὰρ πατέρα καλέσῃ, υἱοὺς ἐδήλωσεν· ὅταν δὲ υἱοὺς εἴπῃ, ἅπαντα τῶν ἀγαθῶν τὸν θησαυρὸν ἀνεκάλυψε. Μένωμεν τοίνυν ἀξίαν τῆς δωρεᾶς τὴν πολιτείαν ἐνδεικνύμενοι, καὶ τὴν εἰρήνην καὶ τὴν ἁγιωσύνην διατηροῦντες. Τὰ μὲν γὰρ ἄλλα ἀξιώματα πρόσκαιρά τέ ἐστι, καὶ τῷ παρόντι συγκαταλύεται βίῳ, καὶ χρημάτων ἐστὶν ὠνητά· ὅθεν οὐδὲ ἀξιώματα αὐτὰ εἶναι ἄν τις φαίη, ἀλλ' ὀνόματα ἀξιωμάτων μόνον, ἐν τῇ τῶν ἱματίων περιβολῇ, καὶ τῇ τῶν δορυφόρων κολακείᾳ τὴν δύναμιν ἔχοντα, τοῦτο δέ, ἅτε παρὰ τοῦ Θεοῦ δοθέν, τὸ δῶρον τὸ τῆς ἁγιωσύνης καὶ τῆς υἱοθεσίας, οὐδὲ θανάτῳ διακόπτεται, ἀλλὰ καὶ ἐνταῦθα ποιεῖ λαμπρούς, καὶ πρὸς τὴν μέλλουσαν ἡμῖν συναποδημεῖ ζωήν.

Ὁ γὰρ τὴν υἱοθεσίαν διατηρῶν, καὶ τὴν ἁγιωσύνην μετὰ ἀκριβείας φυλάττων, αὐτοῦ τοῦ τὸ διάδημα προκειμένου καὶ τὴν ἁλουργίδα ἔχοντος, λαμπρότερός τέ ἐστι πολλῷ καὶ μακαριώτερος, καὶ κατὰ τὸν παρόντα βίον γαλήνῃ τε ἐντρυφῶν πολλῇ, καὶ χρησταῖς συντρεφόμενος ἐλπίσι, καὶ οὐδεμίαν θορύβου καὶ ταραχῆς ἔχων ὑπόθεσιν, ἀλλ' ἡδονῆς διηνεκοῦς ἀπολαύων. Εὐθυμίαν γὰρ καὶ χαρὰν οὐκ ἀρχῆς

εἰρήνη, βάζοντας αὐτὰ στὴ θέση τῆς προσφώνησης, εὔχεται νὰ παραμένουν παντοτινὰ καὶ ἀκίνητα, γιὰ νὰ μὴ φουντώσει πάλι ἄλλος πόλεμος. Καὶ παρακαλεῖ αὐτὸν ποὺ τὰ ἔχει δώσει, νὰ τὰ διατηρεῖ αὐτὰ σταθερά, λέγοντας ἔτσι· «Εἴθε νὰ εἶναι μαζί σας ἡ χάρη καὶ ἡ εἰρήνη ἀπὸ τὸ Θεὸ Πατέρα μας καὶ ἀπὸ τὸν Κύριο Ἰησοῦ Χριστό».

Νὰ ἐδῶ τὸ «ἀπὸ» εἶναι κοινὸ καὶ στὸν Πατέρα καὶ στὸν Υἱό, ποὺ εἶναι ἴσο μὲ τὸ «ἀπ' αὐτόν». Γιατὶ δὲν εἶπε, ἂς εἶναι μαζί σας ἡ χάρη καὶ ἡ εἰρήνη ἀπὸ τὸ Θεὸ Πατέρα μέσω τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ἀλλά, «Ἀπὸ τὸ Θεὸ Πατέρα καὶ τὸν Κύριό μας Ἰησοῦ Χριστό». Πώ, πώ, πόσο δυνατὴ εἶναι ἡ ἀγάπη τοῦ Θεοῦ. Οἱ ἐχθροὶ καὶ οἱ ἀτιμασμένοι ἔγιναν· ξαφνικὰ ἅγιοι καὶ υἱοί. Γιατὶ ὅταν τὸν ὀνομάζει Πατέρα, ὑπονοεῖ τοὺς υἱούς· καὶ ὅταν πεῖ τοὺς υἱούς, φανέρωσε ὅλο τὸ θησαυρὸ τῶν ἀγαθῶν. Ἂς ἐξακολουθήσουμε λοιπὸν νὰ παρουσιάζουμε συμπεριφορὰ ἄξια μὲ τὴ δωρεὰ καὶ νὰ διατηροῦμε τὴν εἰρήνη καὶ τὴν ἁγιωσύνη. Γιατὶ τὰ ἄλλα ἀξιώματα εἶναι καὶ πρόσκαιρα καὶ ἐξαφανίζονται μαζὶ μὲ τὴν παρούσα ζωὴ καὶ ἀγοράζονται μὲ χρήματα. Ἑπομένως οὔτε ἀξιώματα θὰ μποροῦσε νὰ πεῖ πὼς εἶναι κάποιος, ἀλλὰ μόνο ὀνόματα ἀξιωμάτων, ποὺ ἔχουν τὴ δύναμή τους στὴν ἐνδυμασία καὶ στὴν κολακεία τῶν σωματοφυλάκων, ἐνῶ αὐτό, ἐπειδὴ δόθηκε ἀπὸ τὸ Θεό, δηλαδὴ τὸ δῶρο τῆς ἁγιωσύνης καὶ τῆς υἱοθεσίας, οὔτε μὲ τὸ θάνατο σταματάει, ἀλλὰ καὶ ἐδῶ μᾶς κάνει λαμπροὺς καὶ ἔρχεται μαζί μας στὴν ἄλλη ζωή.

Γιατὶ ἐκεῖνος ποὺ διατηρεῖ τὴν υἱοθεσία καὶ φυλάγει μὲ ἀκρίβεια τὴν ἁγιωσύνη εἶναι πολὺ λαμπρότερος καὶ εὐτυχέστερος ἀπὸ ἐκεῖνον ποὺ φοράει τὸ στέμμα καὶ ἔχει τὴν βασιλικὴ πορφύρα, καὶ στὴν παρούσα ζωὴ ἀπολαμβάνοντας πολλὴ γαλήνη καὶ τρεφόμενος μαζὶ μὲ τὶς ἀγαθὲς ἐλπίδες καὶ χωρὶς νὰ ἔχει καμιὰ ἀφορμὴ ταραχῆς καὶ σύγχυσης, ἀλλ' ἀπολαμβάνοντας συνέχεια εὐχαρίστηση. Γιατὶ τὴν εὐθυμία καὶ τὴ χαρὰ δὲν τὴν προκα-

μέγεθος, οὐ χρημάτων πλῆθος, οὐ δυναστείας ὄγκος, οὐκ ἰσχὺς σώματος, οὐ πολυτέλεια τραπέζης, οὐχ ἱματίων κόσμος, οὐκ ἄλλο τι τῶν ἀνθρωπίνων ποιεῖν εἴωθεν, ἀλλ' ἢ κατόρθωμα μόνον πνευματικόν, καὶ συνειδὸς ἀγαθόν. Καὶ ὁ τοῦτο κεκαθαρμένον ἔχων, κἂν ῥάκια περικείμενος ᾖ, καὶ λιμῷ παλαίων, τῶν σφόδρα τρυφώντων ἐστὶν εὐθυμότερος· ὥσπερ οὖν ὁ πονηρὰ συνειδὼς ἑαυτῷ, κἂν τὰ πάντων περιβάλληται χρήματα, πάντων ἐστὶν ἀθλιώτερος.

Διὰ δὴ τοῦτο ὁ μὲν Παῦλος ἐν λιμῷ ζῶν τῷ διηνεκεῖ καὶ γυμνότητι, καὶ μαστιζόμενος καθ' ἑκάστην ἡμέραν, ἔχαιρέ τε καὶ ἐτρύφα μᾶλλον τῶν βασιλευόντων τότε· ὁ δὲ 'Αχαὰβ βασιλεύων καὶ τρυφῆς ἀπολαύων πολυτελοῦς, ἐπειδὴ τὴν ἁμαρτίαν ἐκείνην εἰργάσατο, ἔστενέ τε καὶ ἠθύμει, καὶ τὸ πρόσωπον αὐτοῦ συμπεπτωκὸς ἦν, καὶ πρὸ τῆς ἁμαρτίας καὶ μετὰ τὴν ἁμαρτίαν. Εἰ τοίνυν βουλόμεθα ἀπολαύειν ἡδονῆς, πρὸ τῶν ἄλλων ἁπάντων φεύγωμεν πονηρίαν, καὶ διώκωμεν ἀρετήν, ὡς οὐκ ἐνὸν ἄλλως τούτου μετασχεῖν, κἂν ἐπ' αὐτὸν ἀναβῶμεν τὸν θρόνον τὸν βασιλικόν. Διὸ καὶ ὁ Παῦλος ἔλεγεν· «῾Ο δὲ καρπὸς τοῦ Πνεύματος ἀγάπη, χαρά, εἰρήνη». Τοῦτον οὖν τὸν καρπὸν τρέφωμεν παρ' ἑαυτοῖς, ἵνα καὶ τῆς ἐνταῦθα χαρᾶς ἀπολαύσωμεν, καὶ τῆς μελλούσης ἐπιτύχωμεν βασιλείας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

---

26. 'Αχαάβ· βασιλιάς τοῦ 'Ισραήλ. Γιὰ τὴ δράση του βλ. Γ' Βασ. 16, 29 - 22, 40

27. Γαλ. 5, 22

λεῖ συνήθως τὸ μέγεθος τῆς ἐξουσίας, οὔτε τὸ πλῆθος τῶν χρωμάτων, οὔτε τὸ μέγεθος τῆς βασιλείας, οὔτε ἡ δύναμη τοῦ σώματος, οὔτε ἡ πολυτέλεια τῶν φαγητῶν, οὔτε ὁ στολισμὸς τῶν ἐνδυμάτων, οὔτε κάτι ἄλλο ἀπὸ τὰ ἀνθρώπινα, παρὰ μόνο τὸ πνευματικὸ κατόρθωμα καὶ ἡ ἀγαθὴ συνείδηση. Καὶ αὐτὸς ποὺ ἔχει καθαρὴ τὴ συνείδησή του, καὶ ἂν ἀκόμη φοράει ράκη καὶ παλεύει μὲ τὴν πείνα, εἶναι πιὸ εὔθυμος ἀπὸ ἐκείνους ποὺ ζοῦν σὲ πολὺ μεγάλες ἀπολαύσεις· ὅπως ἀκριβῶς πάλι αὐτὸς ποὺ ἔχει πονηρὴ συνείδηση, καὶ ἂν ἀκόμη ἔχει τὰ χρήματα ὅλων, εἶναι πιὸ δυστυχισμένος ἀπ' ὅλους.

Γι' αὐτὸ λοιπὸν ὁ Παῦλος, ἐνῶ ζοῦσε σὲ διαρκὴ πείνα καὶ γύμνια καὶ ἐνῶ μαστιζόταν καθημερινά, καὶ χαιρόταν καὶ ἀπολάμβανε περισσότερο ἀπὸ τοὺς τότε βασιλεῖς, ἐνῶ ὁ Ἀχαάβ[26], ἂν καὶ ἦταν βασιλιὰς καὶ ζοῦσε μὲ πολυτελεῖς ἀπολαύσεις, ἐπειδὴ ἔκαμε ἐκείνη τὴν ἁμαρτία, καὶ στέναζε καὶ στενοχωριόταν καὶ τὸ πρόσωπό του ἦταν θλιμμένο, καὶ πρὶν ἀπὸ τὴν ἁμαρτία καὶ μετὰ ἀπὸ τὴν ἁμαρτία. Ἐὰν λοιπὸν θέλουμε νὰ ἀπολαμβάνομε εὐχαρίστηση, πρὶν ἀπ' ὅλα τὰ ἄλλα ἂς ἀποφεύγουμε τὴν κακία καὶ ἂς ἐπιδιώκουμε τὴν ἀρετή, γιατὶ διαφορετικὰ δὲν εἶναι δυνατὸ νὰ πάρουμε μέρος σ' αὐτό, καὶ ἂν ἀκόμη ἀνεβοῦμε στὸν ἴδιο τὸ βασιλικὸ θρόνο. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Ὁ καρπὸς τοῦ Πνεύματος εἶναι ἡ ἀγάπη, ἡ χαρά, ἡ εἰρήνη»[27]. Αὐτὸν λοιπὸν τὸν καρπὸ ἂς τρέφουμε στοὺς ἑαυτούς μας, ὥστε νὰ ἀπολαύσουμε καὶ τὴ χαρὰ τῆς ζωῆς αὐτῆς, καὶ νὰ ἐπιτύχουμε τὴ μελλοντικὴ βασιλεία, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο ἀνήκει ἡ δόξα στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε, καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Γ΄
(Ρωμ. 1, 8 - 17)

«Πρῶτον μὲν εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ».

1. Πρέπον τῇ μακαρίᾳ ψυχῇ τὸ προοίμιον, καὶ ἱκανὸν ἅπαντα παιδεῦσαι καὶ ἔργων καὶ λόγων ἀγαθῶν ἀπάρχεσθαι τῷ Θεῷ, καὶ μὴ μόνον ὑπὲρ τῶν οἰκείων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἀλλοτρίων εὐχαριστεῖν κατορθωμάτων, ὃ καὶ φθόνου καὶ βασκανίας καθαρὰν ποιεῖ τὴν ψυχήν, καὶ τὸν Θεὸν ἐπισπᾶται μειζόνως πρὸς τὴν τῶν εὐχαριστούντων εὔνοιαν. Διὸ καὶ ἀλλαχοῦ φησιν· «Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ»[1]. Εὐχαριστεῖν δὲ δεῖ οὐχὶ πλουτοῦντος μόνον, ἀλλὰ καὶ πενομένους, οὐχ ὑγιαίνοντας, ἀλλὰ νοσοῦντας, οὐκ εὐημεροῦντας, ἀλλὰ καὶ τἀναντία ὑπομένοντας· τὸ μὲν γὰρ ἐξ οὐρίας τῶν πραγμάτων φερομένων εὐχαριστεῖν, θαυμαστὸν οὐδέν· ὅταν δὲ πολὺ τὸ κλυδώνιον ᾖ, καὶ τὸ σκάφος περιτρέπηται καὶ κινδυνεύῃ, τότε ἐστὶν ἡ πολλὴ τῆς ὑπομονῆς καὶ τῆς εὐγνωμοσύνης ἐπίδειξις. Διὰ δὴ τοῦτο καὶ ὁ Ἰὼβ ἐντεῦθεν ἐστεφανοῦτο, καὶ τὸ ἀναίσχυντον τοῦ διαβόλου στόμα ἐνέφραττε, καὶ ἐδείκνυ σαφῶς, ὅτι οὐδὲ ἡνίκα εὐημερῶν ἦν, διὰ τὰ χρήματα εὐχάριστος ἦν, ἀλλὰ διὰ τὴν πολλὴν περὶ τὸν Θεὸν ἀγάπην.

Ὅρα δὲ καὶ ἐπὶ τίσιν εὐχαριστεῖ· οὐκ ἐπὶ τοῖς γηίνοις καὶ ἀπολλυμένοις, οἷον ἐπὶ ἀρχῇ καὶ δυναστείᾳ καὶ δόξῃ· ταῦτα γὰρ οὐδενὸς ἄξια λόγου· ἀλλ'

------

1. Ἐφ. 1, 3

Ο Μ Ι Λ Ι Α Γ΄
(Ρωμ. 1, 8 - 17)

«Πρῶτα εὐχαριστῶ τὸ Θεό μου μὲ τὸν Ἰησοῦ Χριστὸ γιὰ ὅλους σας, ἐπειδὴ ἡ πίστη σας διαλαλεῖται σὲ ὅλο τὸν κόσμο».

1. Ὁ πρόλογος ταιριάζει στὴ μακάρια ψυχὴ καὶ εἶναι ἱκανὸς νὰ διδάξει ὅλους νὰ προσφέρουν τὶς ἀπαρχὲς τῶν ἀγαθῶν ἔργων καὶ λόγων στὸ Θεό, καὶ νὰ μὴν τὸν εὐχαριστοῦν μόνο γιὰ τὰ δικά τους κατορθώματα, ἀλλὰ καὶ γιὰ τὰ ξένα, πράγμα ποὺ καθαρίζει τὴν ψυχὴ ἀπὸ τὸ φθόνο καὶ τὴν κακολογία καὶ προσελκύει περισσότερο τὸ Θεὸ στὴν εὔνοια ἐκείνων ποὺ τὸν εὐχαριστοῦν. Γι' αὐτὸ καὶ ἀλλοῦ λέγει· «Ἂς εἶναι εὐλογημένος ὁ Θεὸς καὶ Πατέρας τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ποὺ μᾶς εὐλόγησε μὲ κάθε πνευματικὴ εὐλογία»[1]. Καὶ πρέπει νὰ τὸν εὐχαριστοῦν ὄχι μόνο οἱ πλούσιοι ἀλλὰ καὶ οἱ φτωχοί, ὄχι οἱ ὑγιεῖς ἀλλὰ καὶ οἱ ἄρρωστοι, ὄχι αὐτοὶ ποὺ εὐημεροῦν ἀλλὰ καὶ αὐτοὶ ποὺ ὑποφέρουν τὰ ἀντίθετα. Γιατὶ τὸ νὰ εὐχαριστεῖ κανείς, ὅταν τὰ πράγματα πηγαίνουν εὐνοϊκά, δὲν εἶναι καθόλου παράξενο. Ὅταν ὅμως ὑπάρχει μεγάλη τρικυμία καὶ τὸ σκάφος ἀνατρέπεται καὶ κινδυνεύει, τότε ὑπάρχει ἡ μεγάλη ἀπόδειξη τῆς ὑπομονῆς καὶ τῆς εὐγνωμοσύνης. Γι' αὐτὸ λοιπὸν καὶ ὁ Ἰὼβ ἐξ αἰτίας αὐτοῦ στεφανωνόταν καὶ ἔκλεινε τὸ ἀναίσχυντο στόμα τοῦ διαβόλου καὶ ἔδειχνε καθαρά, ὅτι οὔτε ὅταν εὐημεροῦσε δὲν εὐχαριστοῦσε τὸ Θεὸ γιὰ τὰ χρήματα, ἀλλὰ ἀπὸ τὴ μεγάλη του ἀγάπη γι' αὐτόν.

Πρόσεχε ὅμως καὶ γιὰ ποιὰ πράγματα εὐχαριστεῖ. Ὄχι γιὰ τὰ γήινα καὶ τὰ φθαρτά, ὅπως γιὰ τὴν ἐξουσία καὶ τὴ βασιλεία καὶ τὴ δόξα, γιατὶ αὐτὰ δὲν ἀξίζουν κα-

ἐπὶ τοῖς ὄντως ἀγαθοῖς, τῇ πίστει καὶ τῇ παρρησίᾳ· καὶ μεθ' ὅσης εὐχαριστεῖ διαθέσεως· οὐ γὰρ εἶπε, τῷ Θεῷ, ἀλλά, «Τῷ Θεῷ μου»· ὃ καὶ οἱ προφῆται ποιοῦσι, τὸ κοινὸν ἰδιοποιούμενοι. Καὶ τί θαυμαστόν, εἰ οἱ προφῆται; Αὐτὸς γὰρ αὐτὸ συνεχῶς ὁ Θεὸς φαίνεται ποιῶν ἐπὶ τῶν δούλων, Θεὸν 'Αβραάμ, καὶ 'Ισαάκ, καὶ 'Ιακὼβ ἰδιαζόντως λέγων ἑαυτόν. «Ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ». Τί οὖν; πᾶσα ἡ γῆ τὴν πίστιν ἤκουσε τῶν Ρωμαίων; Πᾶσα ἐξ ἐκείνου· καὶ οὐδὲν ἀπεικός· οὐ γὰρ ἄσημος ἡ πόλις ἦν, ἀλλ' ὥσπερ ἐπί τινος κορυφῆς κειμένη, διὰ πάντα κατάδηλος ἦν. Σὺ δέ μοι σκόπει τοῦ κηρύγματος τὴν δύναμιν, πῶς ἐν χρόνῳ βραχεῖ διὰ τελωνῶν καὶ ἁλιέων αὐτῆς τῆς τῶν πόλεων ἐπελάβετο κορυφῆς, καὶ ἄνδρες Σύροι Ρωμαίων ἐγένοντο διδάσκαλοι καὶ καθηγηταί.

Δύο τοίνυν αὐτοῖς μαρτυρεῖ κατορθώματα· καὶ ὅτι ἐπίστευον, καὶ ὅτι μετὰ παρρησίας ἐπίστευον, καὶ τοσαύτης ὡς πᾶσαν τὴν γῆν καταλαβεῖν τὴν ὑπὲρ αὐτῶν φήμην. «Ἡ πίστις γὰρ ὑμῶν», φησί, «καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ»· ἡ πίστις, οὐχ αἱ λογομαχίαι οὐδὲ αἱ συζητήσεις οὐδὲ οἱ συλλογισμοί· καίτοι πολλὰ ἦν ἐκεῖ τὰ κωλύματα τῆς διδασκαλίας. Καὶ γὰρ ἄρτι τῆς οἰκουμένης δεξάμενοι τὴν ἀρχὴν μέγα ἐφρόνουν, καὶ πλούτῳ καὶ τρυφῇ συνέζων, καὶ τὸ κήρυγμα ἁλιεῖς ἐκόμιζον, 'Ιουδαῖοι καὶ ἐξ 'Ιουδαίων, ἔθνους μεμισημένου καὶ παρὰ πᾶσι βδελυκτοῦ, καὶ τὸν ἐσταυρωμένον προσκυνεῖν ἐκελεύοντο, τὸν ἐν 'Ιουδαίᾳ τραφέντα· καὶ μετὰ τοῦ δόγματος καὶ βίον αὐστηρὸν κατήγγελλον οἱ διδάσκαλοι ἀνθρώποις τρυφᾶν μεμελετηκόσι, καὶ πρὸς τὰ παρόντα ἐπτοημένοις. Καὶ οἱ καταγγέλλοντες ἦσαν πένητες καὶ ἰδιῶται, ἀγεννεῖς καὶ ἐξ ἀγεννῶν. 'Αλλ' οὐδὲν τούτων τοῦ λόγου τὸν δρόμον ἐκώλυσε· τοσαύτη τοῦ σταυρο-

2. Α΄ Θεσ. 1, 8

τὴν παρρησία. Πρόσεχε ἀκόμη καὶ μὲ πόση διάθεση εὐχαριστεῖ. Γιατί δὲν εἶπε, «τὸ Θεό», ἀλλά, «Τὸ Θεό μου», πράγμα ποὺ καὶ οἱ προφῆτες κάνουν, οἰκειοποιούμενοι αὐτὸ ποὺ εἶναι κοινό. Καὶ γιατί εἶναι παράξενο, ἂν τὸ κάνουν οἱ προφῆτες; Γιατί καὶ ὁ ἴδιος ὁ Θεὸς φαίνεται πὼς κάνει τὸ ἴδιο συνέχεια στοὺς δούλους του, ὀνομάζοντας τὸν ἑαυτό του ἰδιαίτερα Θεὸ τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰακώβ. «Ἐπειδὴ ἡ πίστη σας διαλαλεῖται σὲ ὅλο τὸν κόσμο». Τί λοιπόν; Ὅλη ἡ γῆ ἄκουσε τὴν πίστη τῶν Ρωμαίων; Ὅλη ἀπὸ ἐκεῖνον καὶ δὲν εἶναι καθόλου παράλογο. Γιατὶ ἡ πόλη δὲν ἦταν ἄσημη, ἀλλὰ φαινόταν ἀπὸ παντοῦ, σὰν νὰ βρισκόταν ἐπάνω σὲ κάποια κορυφή. Ἐσὺ ὅμως, παρακαλῶ, πρόσεχε τὴ δύναμη τοῦ κηρύγματος, πῶς μέσα σὲ μικρὸ χρονικὸ διάστημα μὲ τοὺς τελῶνες καὶ τοὺς ψαράδες κατέλαβε αὐτὴ τὴν κορυφὴ τῶν πόλεων καὶ πῶς ἄνδρες Σύροι ἔγιναν διδάσκαλοι καὶ καθηγητὲς τῶν Ρωμαίων.

Δύο λοιπὸν κατορθώματα βεβαιώνει γι' αὐτούς· καὶ ὅτι πίστευαν, καὶ ὅτι μὲ παρρησία πίστευαν, καὶ μάλιστα μὲ τόση παρρησία ὥστε ἡ φήμη γι' αὐτοὺς ν' ἁπλωθεῖ σὲ ὅλη τὴ γῆ. «Γιατί ἡ πίστη σας», λέγει, «διαλελεῖται σὲ ὅλο τὸν κόσμο». Ἡ πίστη, ὄχι οἱ λογομαχίες οὔτε οἱ συζητήσεις οὔτε οἱ συλλογισμοί, ἂν καὶ ἦταν ἐκεῖ πολλὰ τὰ ἐμπόδια τῆς διδασκαλίας. Γιατί, παίρνοντας πρὶν ἀπὸ λίγο τὴν ἐξουσία τῆς οἰκουμένης, ὑπερηφανεύονταν καὶ ζοῦσαν μέσα στὸν πλοῦτο καὶ τὶς ἀπολαύσεις, καὶ τὸ κήρυγμα τὸ μετέφεραν ψαράδες, Ἰουδαῖοι καὶ ἀπὸ τοὺς Ἰουδαίους, ποὺ ἦταν ἔθνος μισητὸ καὶ ἀπ' ὅλους βδελυρό, καὶ προτρέπονταν νὰ προσκυνοῦν τὸ σταυρωμένο, ποὺ ἔζησε στὴν Ἰουδαία. Καὶ μαζὶ μὲ τὴν πίστη οἱ διδάσκαλοι κήρυτταν καὶ αὐστηρὴ ζωὴ στοὺς ἀνθρώπους, ποὺ εἶχαν συνηθίσει νὰ ζοῦν μέσα στὶς ἀπολαύσεις καὶ νὰ ἐπιθυμοῦν ὑπερβολικὰ τὰ παρόντα ἀγαθά. Καὶ αὐτοὶ ποὺ κήρυτταν ἦταν φτωχοὶ καὶ ἁπλοϊκοὶ ἄνθρωποι, ἄσημοι καὶ ἀπὸ ἄσημους γονεῖς. Ἀλλὰ τίποτε ἀπ' αὐτὰ δὲν ἐμπόδισε τὸ δρόμο τοῦ

θέντος ἡ δύναμις ἦν, ὡς πανταχοῦ περιάγειν τὸν λόγον.

«Καταγγέλλεται» γάρ, φησίν, «ἐν ὅλῳ τῷ κόσμῳ». Καὶ οὐκ εἶπε, δηλοῦται, ἀλλὰ «Καταγγέλλεται», ὡς πάντων ἐν στόμασιν αὐτοὺς ἐχόντων. Θεσσαλονικεῦσι μὲν οὖν τοῦτο μαρτυρῶν, καὶ ἕτερον προστίθησιν· εἰπὼν γάρ, «Ἀφ' ὑμῶν ἐξήχηται ὁ λόγος τοῦ Θεοῦ», ἐπήγαγεν, «Ὥστε μὴ χρείαν ἔχειν ἡμᾶς λαλεῖν τι». Οἱ γὰρ μαθηταὶ ἐν τάξει διδασκάλων κατέστησαν, διὰ τῆς παρρησίας αὐτῶν πάντας παιδεύοντες, καὶ πρὸς ἑαυτοὺς ἐφελκόμενοι. Οὐ γὰρ ἵστατό που τὸ κήρυγμα, ἀλλὰ πυρὸς σφοδρότερον πᾶσαν ἐπῄει τὴν οἰκουμένην. Ἐνταῦθα δὲ τοσοῦτον μόνον, ὅτι «Καταγγέλλεται». Καλῶς εἶπεν, ὅτι «Καταγγέλλεται», δεικνὺς ὅτι οὐδὲν ἔδει προσθεῖναι τοῖς εἰρημένοις οὐδὲ ἀφελεῖν· ἀγγέλου γὰρ τοῦτο ἔργον ἐστί, τὸ μόνα τὰ λεγόμενα διακομίζειν. Διὰ τοῦτο καὶ ὁ ἱερεὺς ἄγγελος καλεῖται, ὅτι οὐ τὰ ἑαυτοῦ, ἀλλὰ τὰ τοῦ πέμποντος ἀναγγέλλει. Καίτοι γε Πέτρος ἐκήρυξεν ἐκεῖ, ἀλλὰ καὶ τὰ ἐκείνου ἑαυτοῦ ἡγεῖται· οὕτως, ὅπερ ἔφθην εἰπών, μεθ' ὑπερβολῆς ἁπάσης βασκανίας ἦν καθαρός. «Μάρτυς γάρ μού ἐστιν ὁ Θεός, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ εὐαγγελίῳ τοῦ Υἱοῦ αὐτοῦ».

2. Ἀποστολικῶν σπλάγχνων τὰ ῥήματα, πατρικῆς κηδεμονίας ἡ ἀπόφασις. Τί δέ ἐστιν ὅ φησι, καὶ τίνος ἕνεκεν τὸν Θεὸν μάρτυρα καλεῖ; Περὶ διαθέσεως ὁ λόγος ἦν αὐτῷ. Ἐπεὶ οὖν οὐδέπω ἦν αὐτὸς ἑωρακώς, διά τοι τοῦτο ἀνθρώπων μὲν οὐδένα, τὸν δὲ ἐμβατεύοντα ταῖς καρδίαις, τοῦτον ἐκάλεσε μάρτυρα. Ἐπειδὴ γὰρ ἔλεγεν, ὅτι ἀγαπῶ ὑμᾶς, καὶ σημεῖον ἐποιεῖτο τὸ διηνεκῶς εὔχεσθαι, καὶ τὸ βούλεσθαι ἐλθεῖν πρὸς αὐτούς, καὶ οὐδὲ τοῦτο δῆλον ἦν, ἐπὶ τὴν ἀξιόπιστον καταφεύγει μαρτυρίαν. Ἆρα δυνήσεταί τις ἡμῶν καυχήσασθαι, ὅτι μέμνηται ἐπὶ

κηρύγματος. Τόσο μεγάλη ἦταν ἡ δύναμη τοῦ σταυρωμένου, ὥστε παντοῦ νὰ φέρει τὸ κήρυγμα.

«Γιατὶ διαλαλεῖται», λέγει, «σ' ὅλο τὸν κόσμο». Καὶ δὲν εἶπε, φανερώνεται», ἀλλὰ «Διαλαλεῖται», σὰν νὰ τοὺς εἶχαν ὅλοι στὰ στόματά τους. Αὐτὸ λοιπὸν βεβαιώνοντας γιὰ τοὺς Θεσσαλονικεῖς, προσθέτει καὶ ἄλλο. Γιατί ἀφοῦ εἶπε, «Ἀπὸ σᾶς ἔχει ἀκουσθεῖ ἔντονα ὁ λόγος τοῦ Θεοῦ», πρόσθεσε, «Ὥστε νὰ μὴ χρειάζεται νὰ ποῦμε ἐμεῖς τίποτε»[2]. Γιατί οἱ μαθητὲς πῆραν τὴ θέση τῶν διδασκάλων, διδάσκοντας ὅλους μὲ τὴν παρρησία τους καὶ προσελκύοντας κοντάς τους. Γιατί τὸ κήρυγμα δὲ σταματοῦσε κάπου, ἀλλά, καθὼς ἦταν ἰσχυρότερο ἀπὸ τὴ φωτιά, ἔφθανε σὲ ὅλη τὴν οἰκουμένη. Ἐδῶ ὅμως τόσο μόνο, ὅτι «Διαλαλεῖται». Καλὰ εἶπε, ὅτι «Διαλαλεῖται», δείχνοντας πὼς δὲν ἔπρεπε οὔτε νὰ προσθέσει τίποτε σ' αὐτὰ ποὺ εἰπώθηκαν οὔτε ν' ἀφαιρέσει. Γιατί ἔργο τοῦ ἀγγέλου εἶναι αὐτό, δηλαδὴ τὸ νά μεταφέρει μόνο τὰ λεγόμενα. Γι' αὐτὸ καὶ ὁ ἱερέας ὀνομάζεται ἄγγελος, γιατί δὲν ἀνακοινώνει τὰ δικά του, ἀλλ' ἐκείνου ποὺ τὸν στέλνει. Μολονότι βέβαια ὁ Πέτρος κήρυξε ἐκεῖ, ἀλλὰ καὶ αὐτοῦ τὰ θεωρεῖ δικά του. Ἔτσι, ὅπως εἶπα προηγουμένως, ἦταν ὑπερβολικὰ καθαρὸς ἀπὸ κάθε κακολογία. «Γιατί μάρτυράς μου εἶναι ὁ Θεός, ποὺ τὸν λατρεύω μὲ τὸ πνεῦμα μου, κηρύττοντας τὸ εὐαγγέλιο τοῦ Υἱοῦ του».

2. Τὰ λόγια αὐτὰ πηγάζουν ἀπὸ ἀποστολικὰ σπλάχνα καὶ ἡ ἀπόφαση ἀπὸ πατρικὴ φροντίδα. Τί ὅμως σημαίνει αὐτὸ ποὺ λέγει καὶ γιὰ ποιὸ λόγο καλεῖ τὸ Θεὸ μάρτυρα; Ὁ λόγος ἦταν γιὰ τὴ διάθεσή του. Ἐπειδὴ λοιπὸν δὲν τοὺς εἶχε δεῖ ποτὲ μέχρι τότε, γι' αὐτὸ βέβαια κανένα ἄνθρωπο, ἀλλ' ἐκεῖνον ποὺ μπαίνει μέσα στὶς καρδιές, αὐτὸν κάλεσε μάρτυρα. Ἀφοῦ λοιπὸν ἔλεγε, ὅτι σᾶς ἀγαπῶ, καὶ σὰν ἀπόδειξη ἔφερε τὸ ὅτι προσευχόταν συνέχεια καὶ τὸ ὅτι ἤθελε νὰ ἔρθει σ' αὐτούς, καὶ οὔτε αὐτὸ ἦταν φανερό, καταφεύγει στὴν ἀξιόπιστη μαρτυρία. Ἄραγε θὰ μπορέσει κανεὶς ἀπὸ σᾶς νὰ καυχηθεῖ, ὅτι θυ-

τῆς οἰκίας εὐχόμενος τοῦ τῆς Ἐκκλησίας πληρώματος; Οὐκ οἶμαι. Ἀλλ' ὁ Παῦλος οὐχ ὑπὲρ πόλεως μιᾶς, ἀλλ' ὑπὲρ τῆς οἰκουμένης ἁπάσης προσήει τῷ Θεῷ, καὶ τοῦτο οὐχ ἅπαξ οὐδὲ δεύτερον οὐδὲ τρίτον, ἀλλὰ διηνεκῶς. Εἰ δὲ τὸ διηνεκῶς ἐν μνήμῃ τινὰ περιφέρειν, οὐκ ἂν γένοιτο, εἰ μὴ ἀπὸ ἀγάπης πολλῆς, τὸ ἐν εὐχαῖς ἔχειν καὶ ἀδιαλείπτως ἔχειν, ἐννόησον πάσης ἐστὶ διαθέσεως καὶ φιλίας.

Ὅταν δὲ εἴπῃ, «Ὧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ εὐαγγελίῳ τοῦ Υἱοῦ αὐτοῦ», ὁμοῦ μὲν τὴν τοῦ Θεοῦ χάριν, ὁμοῦ δὲ τὴν αὐτοῦ ταπεινοφροσύνην ἐνδείκνυται ἡμῖν· τὴν μὲν τοῦ Θεοῦ χάριν, ὅτι τοσοῦτον αὐτῷ πρᾶγμα ἐπέτρεψε, τὴν δὲ αὐτοῦ τεπεινοφροσύνην, ὅτι οὐχὶ τῇ ἑαυτοῦ σπουδῇ, ἀλλὰ τῇ τοῦ Πνεύματος βοηθείᾳ τὸ πᾶν λογίζεται. Ἡ δὲ τοῦ εὐαγγελίου προσθήκη τὸ εἶδος δηλοῖ τῆς διακονίας. Καὶ γὰρ πολλοὶ τῆς διακονίας οἱ τρόποι καὶ διάφοροι, καὶ τῆς λατρείας δὲ ὡσαύτως. Καθάπερ γὰρ ἐπὶ τῶν βασιλέων πάντες μέν εἰσιν ὑφ' ἑνὶ τεταγμένοι τῷ βασιλεύοντι, διακονοῦνται δὲ οὐ πάντες τὰ αὐτά, ἀλλὰ τῷ μέν ἐστιν ἡ διακονία ἐν τῷ στρατοπέδῳ ἄρχειν, τῷ δὲ ἐν τῷ πόλεις οἰκονομεῖν, ἑτέρῳ πάλιν ἐν τῷ φυλάττειν τὰ ἐν τοῖς ταμιείοις χρήματα· οὕτω καὶ ἐπὶ τῶν πνευματικῶν ὁ μὲν λατρεύει τῷ Θεῷ καὶ δουλεύει ἐν τῷ πιστεύειν καὶ τὸν βίον τὸν ἑαυτοῦ καλῶς οἰκονομεῖν, ὁ δὲ ἐν τῷ ξένων θεραπείαν ἀναδέχεσθαι, ὁ δὲ ἐν τῷ τὴν προστασίαν τῶν δεομένων μεταχειρίζεσθαι· καθάπερ καὶ ἐπὶ τῶν ἀποστόλων αὐτῶν οἱ περὶ τὸν Στέφανον ἐν τῇ τῶν χηρῶν προστασίᾳ ἐδούλευον τῷ Θεῷ, ἄλλος ἐν τῇ τοῦ λόγου διδασκαλίᾳ, ὧν καὶ ὁ Παῦλος ἦν, ἐν τῷ τὸ κήρυγμα εὐαγγελίζεσθαι λατρεύων· καὶ οὗτος ἦν ὁ τῆς δουλείας αὐτοῦ τρόπος· τοῦτο γὰρ ἦν ἐπιτεταγμένος.

Διὰ τοῦτο οὐ μάρτυρα καλεῖ τὸν Θεὸν μόνον, ἀλλὰ καὶ ὅπερ ἐνεπιστεύθη λέγει, δεικνὺς ὅτι οὐκ ἂν

μᾶται τὸ πλήρωμα τῆς ἐκκλησίας, ὅταν προσεύχεται στὸ σπίτι του; Δὲ νομίζω. Ὁ Παῦλος ὅμως πλησιάζει τὸ Θεὸ ὄχι γιὰ χάρη μιᾶς πόλης, ἀλλὰ γιὰ χάρη ὅλης τῆς οἰκουμένης, καὶ αὐτὸ ὄχι μία φορὰ οὔτε δύο οὔτε τρεῖς φορές, ἀλλὰ συνέχεια. Ἐάν ὅμως τὸ νὰ θυμᾶται κανεὶς κάποιο συνέχεια, δὲ θὰ μποροῦσε νὰ γίνει, παρὰ μόνο ἀπὸ πολλὴ ἀγάπη, τὸ νὰ τὸν ἀναφέρει πάντοτε στὶς προσευχές του, σκέψου πόσο μεγάλη ἀπόδειξη διάθεσης καὶ φιλίας εἶναι.

Ὅταν λέγει, «Τὸν ὁποῖο λατρεύω μὲ τὸ πνεῦμα μου, κηρύττοντας τὸ εὐαγγέλιο τοῦ Υἱοῦ του», μᾶς φανερώνει μαζὶ τὴ χάρη τοῦ Θεοῦ καὶ τὴ δική του ταπεινοφροσύνη. Τὴ χάρη τοῦ Θεοῦ, γιατὶ ἐπέτρεψε σ' αὐτὸν τόσο μεγάλο πράγμα, ἐνῶ τὴν ταπεινοφροσύνη του, γιατὶ ἀποδίδει τὸ καθετί ὄχι στὴ δική του φροντίδα, ἀλλὰ στὴ βοήθεια τοῦ Πνεύματος. Καὶ ἡ προσθήκη τοῦ εὐαγγελίου φανερώνει τὸ εἶδος τῆς διακονίας. Γιατί πραγματικὰ οἱ τρόποι τῆς διακονίας εἶναι πολλοὶ καὶ διάφοροι, ὅπως ἐπίσης καὶ τῆς λατρείας. Ὅπως ἀκριβῶς λοιπὸν στοὺς βασιλεῖς ὅλοι εἶναι ὑποταγμένοι σ' ἕναν ποὺ βασιλεύει καὶ δὲν προσφέρουν ὅλοι τὶς ἴδιες ὑπηρεσίες, ἀλλ' ἄλλος ἔχει τὴν ὑπηρεσία νὰ διοικεῖ τὰ στρατόπεδα, ἄλλος νὰ διοικεῖ τὶς πόλεις, καὶ ἄλλος πάλι νὰ φυλάγει τὰ χρήματα στὰ ταμεῖα, ἔτσι καὶ στὰ πνευματικὰ ἄλλος λατρεύει τὸ Θεὸ καὶ τὸν ὑπηρετεῖ μὲ τὸ νὰ πιστεύει καὶ νὰ διευθύνει καλὰ τὴ ζωή του, ἄλλος μὲ τὸ ν' ἀναλαμβάνει τὴ περιποίηση τῶν ξένων, καὶ ἄλλος νὰ καταγίνεται μὲ τὴν προστασία ἐκείνων ποὺ ἔχουν ἀνάγκη. Ὅπως ἀκριβῶς καὶ στοὺς ἀποστόλους τοὺς ἴδιους αὐτοὶ ποὺ ἦταν μαζὶ μὲ τὸ Στέφανο ὑπηρετοῦσαν τὸ Θεὸ στὴν προστασία τῶν χηρῶν, ἄλλος στὴ διδασκαλία τοῦ λόγου, ἀνάμεσα στοὺς ὁποίους ἦταν καὶ ὁ Παῦλος, λατρεύοντας τὸ Θεὸ μὲ τὸ κήρυγμα τοῦ εὐαγγελίου. Καὶ αὐτὸς ἦταν ὁ τρόπος τῆς ὑπηρεσίας του, γιατὶ γι' αὐτὸ εἶχε διαταχθεῖ.

Γι' αὐτὸ δὲν καλεῖ μάρτυρα τὸ Θεὸ μόνο, ἀλλὰ καὶ λέγει αὐτὸ ποὺ εἶχε ἀναλάβει, δείχνοντας ὅτι, ἐπειδὴ εἶχε

τηλικαῦτα ἐγχειρισθείς, τὸν ἐμπιστεύσαντα μάρτυρα ἐπὶ ψευδέσιν ἐκάλει. Μετὰ δὲ τούτου κἀκεῖνο δεῖξαι βούλεται, τὴν ἀγάπην τὴν ὑπὲρ αὐτῶν, καὶ τὴν φροντίδα ἀναγκαίαν οὖσαν. Ἵνα γὰρ μὴ λέγωσι, σὺ τίς ὢν καὶ πόθεν, πόλιν οὕτω μεγάλην καὶ βασιλικωτάτην μεριμνᾶν φῄς; δείκνυσιν ἀναγκαίαν οὖσαν αὐτῷ τὴν τοιαύτην φροντίδα, εἴ γε αὐτῷ τῆς δουλείας οὗτος ὁ τρόπος ἐπιτέτακται, τὸ καταγγέλλειν τὸ εὐαγγέλιον. Ὁ γὰρ τοῦτο ἐγκεχειρισμένος ἀνάγκην ἔχει τοὺς μέλλοντας ὑποδέχεσθαι τὸν λόγον διαπαντὸς ἔχειν ἐπὶ τῆς διανοίας. Δηλοῖ δὲ καὶ ἕτερον πρὸς τούτοις εἰπών, «Ἐν τῷ πνεύματί μου»· ὅτι πολὺ καὶ τῆς ἑλληνικῆς καὶ τῆς ἰουδαϊκῆς λατρείας ἀνωτέρα αὕτη. Ἡ μὲν γὰρ ἑλληνική, καὶ πεπλανημένη καὶ σαρκική· ἡ δὲ ἰουδαϊκή, ἀληθὴς μέν, σαρκικὴ δὲ καὶ αὐτή· ἡ δὲ τῆς Ἐκκλησίας, τῆς μὲν ἑλληνικῆς ἐναντία, τῆς δὲ ἰουδαϊκῆς ὑψηλοτέρα πολλῷ τῷ μέτρῳ.

Οὐ γὰρ διὰ προβάτων καὶ μόσχων καὶ καπνοῦ καὶ κνίσσης ὁ τῆς ἡμετέρας λατρείας τρόπος, ἀλλὰ διὰ ψυχῆς πνευματικῆς· ὅπερ καὶ ὁ Χριστὸς δηλῶν ἔλεγε· «Πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν». «Ἐν τῷ εὐαγγελίῳ τοῦ Υἱοῦ αὐτοῦ». Ἀνωτέρω εἰπὼν τὸ εὐαγγέλιον τοῦ Πατρὸς εἶναι, ἐνταῦθα τοῦ Υἱοῦ αὐτό φησιν· οὕτως ἀδιάφορον τοῦ Πατρὸς καὶ Υἱοῦ λέγειν. Καὶ γὰρ ἔμαθε παρὰ τῆς μακαρίας ἐκείνης φωνῆς, ὅτι τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ, καὶ τὰ τοῦ Υἱοῦ τοῦ Πατρός· «Πάντα γάρ», φησί, «τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά». «Ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι ἐπὶ τῶν προσευχῶν μου». Τοῦτο γνησίας ἀγάπης. Καὶ δοκεῖ μὲν ἕν τι λέγειν, τέσσαρα δὲ τίθησιν ἐνταῦθα, καὶ ὅτι μέμνηται, καὶ ὅτι ἀδιαλείπτως, καὶ ὅτι ἐν εὐχαῖς, καὶ ὅτι ὑπὲρ μεγάλων πραγμάτων.

------

3. Ἰω. 4, 24 4. Ἰω. 17, 10

ἀναλάβει τόσο μεγάλα, δὲ θὰ καλοῦσε γιὰ ψέματα μάρτυρα ἐκεῖνον ποὺ τοῦ ἐμπιστεύθηκε. Μαζὶ ὅμως μ' αὐτὸ θέλει νὰ δείξει καὶ ἐκεῖνο, ὅτι δηλαδὴ ἡ ἀγάπη καὶ ἡ φροντίδα του γι' αὐτοὺς ἦταν ἀναγκαία. Γιὰ νὰ μὴ λέγουν, ἐσὺ ποιὸς εἶσαι καὶ ἀπὸ ποῦ, καὶ λέγεις πὼς φροντίζεις γιὰ πόλη τόσο μεγάλη καὶ ἡγεμονική; δείχνει ὅτι ἦταν ἀναγκαία γι' αὐτὸν μιὰ τέτοια φροντίδα, ἂν βέβαια εἶχε διαταχθεῖ σ' ἐκεῖνον αὐτὸς ὁ τρόπος τῆς ὑπηρεσίας, δηλαδὴ τὸ νὰ κηρύττει τὸ εὐαγγέλιο. Γιατί αὐτὸς ποὺ ἔχει ἀναλάβει τοῦτο, νιώθει τὴν ἀνάγκη νὰ ἔχει συνέχεια στὸ νοῦ του ἐκείνους ποὺ πρόκειται νὰ δεχθοῦν τὸ κήρυγμα. Φανερώνει ὅμως καὶ ἄλλο μαζὶ μ' αὐτὰ λέγοντας, «Μὲ τὸ πνεῦμα μου». Ὅτι αὐτὴ ἡ λατρεία εἶναι πολὺ πιὸ ἀνώτερη ἀπὸ τὴν εἰδωλολατρικὴ καὶ τὴν ἰουδαϊκή. Γιατί ἡ εἰδωλολατρικὴ εἶναι καὶ ψεύτικη καὶ σαρκική, ἐνῶ ἡ ἰουδαϊκὴ εἶναι ἀληθινή, ἀλλὰ καὶ αὐτὴ εἶναι σαρκική. Ἡ λατρεία ὅμως τῆς ἐκκλησίας εἶναι ἀντίθετη ἀπὸ τὴν εἰδωλολατρικὴ καὶ κατὰ πολὺ ὑψηλότερη ἀπὸ τὴν ἰουδαϊκή.

Γιατί δὲν εἶναι μὲ πρόβατα καὶ μοσχάρια καὶ καπνὸ καὶ κνίσσα ὁ τρόπος τῆς δικῆς μας λατρείας, ἀλλὰ μὲ ψυχὴ πνευματική. Αὐτὸ ἀκριβῶς καὶ ὁ Χριστὸς φανερώνοντας ἔλεγε «Ὁ Θεὸς εἶναι πνεῦμα, καὶ ἐκεῖνοι ποὺ τὸν λατρεύουν, πρέπει νὰ τὸν προσκυνοῦν πνευματικὰ καὶ ἀληθινά»[3]. «Στὸ εὐαγγέλιο τοῦ Υἱοῦ του». Ἀφοῦ εἶπε παραπάνω πὼς τὸ εὐαγγέλιο εἶναι τοῦ Πατέρα, ἐδῶ λέγει πὼς αὐτὸ εἶναι τοῦ Υἱοῦ. Ἔτσι ἀδιάφορο εἶναι νὰ λέγει καὶ τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ. Γιατὶ ἔμαθε ἀπὸ τὴ μακάρια ἐκείνη φωνή, ὅτι αὐτὰ ποὺ ἀνήκουν στὸν Πατέρα εἶναι τοῦ Υἱοῦ, καὶ αὐτὰ ποὺ ἀνήκουν στὸν Υἱὸ εἶναι τοῦ Πατέρα. Γιατί λέγει, «Ὅλα ὅσα ἀνήκουν σὲ μένα εἶναι δικά σου, καθὼς καὶ τὰ δικά σου εἶναι δικά μου»[4]. «Σᾶς θυμᾶμαι συνέχεια στὶς προσευχές μου». Αὐτὸ εἶναι ἀπόδειξη γνήσιας ἀγάπης. Καὶ φαίνεται βέβαια πὼς λέγει ἕνα μόνο, στὴν πραγματικότητα ὅμως τέσσερα πράγματα ἀναφέρει ἐδῶ· καὶ ὅτι τοὺς θυμᾶται, καὶ ὅτι συνέχεια, καὶ ὅτι στὶς προσευχές, καὶ ὅτι γιὰ μεγάλα πράγματα.

«Δεόμενος, εἴ πως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς. Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς». Ὁρᾷς καὶ ὠδύνοντα αὐτοὺς ἰδεῖν, καὶ οὐκ ἀνεχόμενον παρὰ τὸ τῷ Θεῷ δοκοῦν ἰδεῖν, ἀλλὰ κεκερασμένον φόβῳ Θεοῦ τὸν πόθον ἔχοντα; Ἐφίλει μὲν γὰρ αὐτούς, καὶ ἠπείγετο πρὸς αὐτούς· οὐ μήν, ἐπειδὴ ἐφίλει, παρὰ τὸ τῷ Θεῷ δοκοῦν ἐβούλετο ἰδεῖν. Αὕτη ἡ γνησία ἀγάπη, οὐχ ὡς ἡμεῖς οἱ ἀμφοτέρωθεν τῶν νόμων τῆς ἀγάπης ἐκπίπτοντες. Ἢ γὰρ οὐδένα φιλοῦμεν, ἢ ἐπειδὰν φιλήσωμέν ποτε, παρὰ τὸ τῷ Θεῷ δοκοῦν φιλοῦμεν, ἀμφότερα παρὰ τὸν θεῖον ποιοῦντες νόμον. Εἰ δὲ φορτικὰ ταῦτα λεγόμενα, φορτικώτερα γιγνόμενα.

3. Καὶ πῶς παρὰ τὸ τῷ Θεῷ δοκοῦν φιλοῦμεν, φησίν; Ὅταν τὸν μὲν Χριστὸν λιμῷ τηκόμενον περιορῶμεν, παισὶ δὲ καὶ φίλοις καὶ συγγενέσιν ὑπὲρ τὴν χρείαν παρέχωμεν. Μᾶλλον δὲ τί χρὴ περαιτέρω τὸν λόγον προάγειν; Ἐὰν γὰρ τὸ ἑαυτοῦ συνειδὸς ἕκαστος ἐξετάσῃ, ἐπὶ πολλῶν τοῦτο εὑρήσει γινόμενον πραγμάτων. Ἀλλ' οὐχ ὁ μακάριος ἐκεῖνος τοιοῦτος ἦν, ἀλλ' ᾔδει καὶ φιλεῖν, καὶ φιλεῖν ὡς χρή, καὶ ὡς προσῆκον ἦν, καὶ πάντας νικῶν τῷ φιλεῖν, οὐχ ὑπερέβαινε τῆς ἀγάπης τὰ μέτρα. Ὅρα γοῦν ἀμφότερα μεθ' ὑπερβολῆς ἐν αὐτῷ βρύοντα, καὶ τὸν τοῦ Θεοῦ φόβον, καὶ τὸν τῶν Ρωμαίων πόθον. Τὸ μὲν γὰρ διηνεκῶς εὔχεσθαι, καὶ μὴ τυγχάνοντα μὴ ἀφίστασθαι, ἀγάπης σφοδρᾶς ἦν· τὸ δὲ ἀγαπῶντα μένειν τῷ τοῦ Θεοῦ νεύματι εἴκοντα, εὐλαβείας ἐπιτεταμένης. Ἀλλαχοῦ μὲν οὖν πρὸς τὸν Κύριον παρακαλέσας, οὐ μόνον οὐκ ἔλαβεν, ἀλλὰ καὶ τὸ ἐναντίον, μὴ λαβών, χάριν ἔγνω τοῦ παρακουσθῆναι πολλήν· οὕτω πρὸς τὸν Θεὸν ἐν ἅπασιν ἔβλεπεν. Ἐν-

5. Βλ. Β΄ Κορ. 12. 8

«Παρακαλώντας, μήπως ἔστω καὶ τώρα τόσο ἀργὰ καταξιωθῶ μὲ τὸ θέλημα τοῦ Θεοῦ νὰ ἔρθω σὲ σᾶς. Γιατὶ ἐπιθυμῶ πολὺ νὰ σᾶς δῶ». Βλέπεις ὅτι καὶ ἀδημονεῖ νὰ τοὺς δεῖ καὶ ὅτι δὲ δέχεται νὰ τοὺς δεῖ ἀντίθετα μὲ τὴ θέληση τοῦ Θεοῦ, ἀλλ' ὅτι ἔχει τὴν ἐπιθυμία ἀνακατεμένη μὲ τὸ φόβο τοῦ Θεοῦ; Γιατί βέβαια τοὺς ἀγαποῦσε αὐτοὺς καὶ βιαζόταν νὰ πάει σ' αὐτούς, ἀλλ' ὅμως δὲν ἤθελε νὰ τοὺς δεῖ ἀντίθετα μὲ τὴ θέληση τοῦ Θεοῦ, ἐπειδὴ τοὺς ἀγαποῦσε. Αὐτὴ εἶναι ἡ γνήσια ἀγάπη, ὄχι ὅπως ἐμεῖς ποὺ ἐκπίπτομε καὶ μὲ τοὺς δύο τρόπους ἀπὸ τοὺς νόμους τῆς ἀγάπης. Γιατὶ ἢ δὲν ἀγαποῦμε κανένα, ἢ ὅταν ἀγαπήσουμε κάποτε, ἀγαποῦμε ἀντίθετα μὲ τὴ θέληση τοῦ Θεοῦ, κάνοντας καὶ τὰ δύο ἀντίθετα μὲ τὸ θεῖο νόμο. Ἐὰν ὅμως εἶναι ἐνοχλητικὰ αὐτά, ὅταν λέγονται, εἶναι πιὸ ἐνοχλητικά, ὅταν γίνονται.

3. Καὶ πῶς, θὰ πεῖ κάποιος, ἀγαποῦμε ἀντίθετα μὲ τὴ θέληση τοῦ Θεοῦ; Ὅταν περιφρονοῦμε τὸ Χριστὸ ποὺ λειώνει στὴν πείνα, ἐνῶ δίνουμε περισσότερα ἀπ' ὅ,τι χρειάζονται στὰ παιδιά, στοὺς φίλους καὶ τοὺς συγγενεῖς μας. Μᾶλλον ὅμως γιατί πρέπει νὰ προχωρήσουμε παραπέρα τὸ λόγο; Γιατὶ ἂν ὁ καθένας ἐξετάσει τὴ συνείδησή του, θὰ βρεῖ νὰ γίνεται αὐτὸ σὲ πολλὰ πράγματα. Ὅμως ὁ μακάριος ἐκεῖνος δὲν ἦταν τέτοιος, ἀλλὰ γνώριζε καὶ νὰ ἀγαπᾶ, καὶ νὰ ἀγαπᾶ ὅπως πρέπει, καὶ ὅπως ταίριαζε, καὶ ἐνῶ τοὺς νικοῦσε ὅλους στὴν ἀγάπη, δὲν ξεπερνοῦσε τὰ μέτρα τῆς ἀγάπης. Πρόσεχε λοιπὸν ὅτι καὶ τὰ δύο ὑπάρχουν ὑπερβολικὰ σ' αὐτόν, δηλαδὴ καὶ ὁ φόβος τοῦ Θεοῦ καὶ ἡ μεγάλη ἐπιθυμία γιὰ τοὺς Ρωμαίους. Γιατί τὸ νὰ προσεύχεται συνέχεια καὶ χωρὶς νὰ κατορθώνει νὰ σταματᾶ, ἦταν ἀπόδειξη ὑπερβολικῆς ἀγάπης, ἐνῶ τὸ νὰ ἐξακολουθεῖ νὰ ὑπακούει στὴν προσταγὴ τοῦ Θεοῦ, ἐπειδὴ ἀγαποῦσε, ἦταν ἀπόδειξη μεγάλης εὐλάβειας. Ἀλλοῦ, ἀφοῦ παρακάλεσε τρεῖς φορὲς τὸν Κύριο, ὄχι μόνο δὲν ἔλαβε, ἀλλὰ καὶ τὸ ἀντίθετο, χωρὶς νὰ λάβει, εὐχαρίστησε πολὺ ποὺ δὲν εἰσακούστηκε[5]. Ἔτσι σὲ ὅλα ἔβλεπε πρὸς τὸ Θεό. Ἐδῶ ὅμως ἔλαβε, ὄχι ὅταν

ταῦθα δὲ ἔλαβε μέν, οὐχ ὅτε ᾔτησεν, ἀλλὰ βραδέως, καὶ οὐδὲν ἐντεῦθεν ἐδυσχέρανε.

Ταῦτα δὲ λέγω, ἵνα μὴ ἀσχάλωμεν μὴ ἀκουόμενοι, ἢ βραδέως ἀκουόμενοι. Οὐ γάρ ἐσμεν Παύλου βελτίους, ὃς ἐπ' ἀμφοτέροις χάριν ὁμολογεῖ· καὶ μάλα εἰκότως. Ἐπειδὴ γὰρ ἅπαξ ἑαυτὸν ἔδωκε τῇ πάντα κυβερνώσῃ χειρί, καὶ μετὰ τοσαύτης ὑποταγῆς ὑπέθηκε, μεθ' ὅσης ὁ πηλὸς τῷ κεραμεῖ, ᾗπερ ἦγεν ὁ Θεός, ἠκολούθει. Εἰπὼν τοίνυν, ὅτι ηὔχετο ἰδεῖν αὐτούς, λέγει καὶ τὴν αἰτίαν τῆς ἐπιθυμίας. Τίς δέ ἐστιν αὕτη; «Ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς». Οὐ γὰρ ἁπλῶς, ὥσπερ πολλοὶ νῦν περιττὰς καὶ ἀνονήτους ἀποδημίας ποιοῦνται, οὕτω καὶ ἐκεῖνος, ἀλλ' ὑπὲρ ἀναγκαίων καὶ σφόδρα κατεπειγόντων· καὶ σαφῶς μὲν λέγειν τοῦτο οὐ βούλεται, αἰνιγματωδῶς δέ. Οὐδὲ γὰρ εἶπεν, ἵνα διδάξω ὑμᾶς, ἵνα κατηχήσω, ἵνα τὸ λεῖπον ἀναπληρώσω, ἀλλ', «Ἵνα τι μεταδῶ», δεικνὺς ὅτι οὐ τὰ αὐτοῦ αὐτοῖς δίδωσιν, ἀλλ' ἅπερ ἔλαβε μετεδίδου. Καὶ ἐνταῦθα δὲ μετριάζει πάλιν εἰπών, «Ἵνα τί». Μικρόν τι, φησί, καὶ ἐμοὶ σύμμετρον. Καὶ τί ποτέ ἐστι τὸ μικρὸν τοῦτο, οὗ μέλλεις νῦν μεταδιδόναι; Τοῦτο δέ ἐστι, φησίν, «Εἰς τὸ στηριχθῆναι ὑμᾶς».

Ἄρα καὶ τοῦτο χάριτος, τὸ μὴ σαλεύεσθαι, ἀλλ' ἑστάναι βεβαίως. Χάριν δὲ ὅταν ἀκούσῃς, μὴ νομίσῃς ἐκβεβλῆσθαι τὸν ἀπὸ τῆς προαιρέσεως μισθόν· χάριν γὰρ εἶπεν, οὐχὶ τὸν ἐκ προαιρέσεως ἀτιμάζων πόνον, ἀλλὰ τὸν ἐξ ἀπονοίας ἀποτεμνόμενος τῦφον. Μὴ τοίνυν ἐπειδὴ Παῦλος αὐτὸ χάρισμα ἐκάλεσεν, ἀναπέσῃς. Οἶδε γὰρ δι' εὐγνωμοσύνην πολλὴν καὶ τὰ κατορθώματα χαρίσματα καλεῖν, διὰ τὸ καὶ ἐν τούτοις πολλῆς ἡμᾶς δεῖσθαι τῆς ἄνωθεν ῥοπῆς. Εἰπὼν δέ, «Εἰς τὸ στηριχθῆναι ὑμᾶς», λαν-

ζήτησε, ἀλλ' ἀργότερα, καὶ δὲ δυσανασχέτησε καθόλου γι' αὐτό.

Αὐτὰ ὅμως τὰ λέγω, γιὰ νὰ μὴ στενοχωριέμαστε ὅταν δὲν ἀκουγόμαστε ἢ ὅταν ἀκουγόμαστε μὲ κάποια καθυστέρηση. Γιατὶ δὲν εἴμαστε καλύτεροι ἀπὸ τὸν Παῦλο, ὁ ὁποῖος καὶ γιὰ τὰ δύο εὐχαριστεῖ· καὶ πολὺ σωστά. Γιατί, ἐπειδὴ παρέδωσε τὸν ἑαυτό του μιὰ φορὰ στὸ χέρι ποὺ κυβερνάει τὰ πάντα καὶ τὸν ἔθεσε κάτω ἀπὸ τὴν ἐξουσία του μὲ τόση ὑποταγή, μὲ ὅση ὁ πηλὸς στὸν κεραμοποιό, ἀκολουθοῦσε ὅπου τὸν ὁδηγοῦσε ὁ Θεός. Ἀφοῦ λοιπὸν εἶπε, ὅτι προσευχόταν νὰ τοὺς δεῖ, λέγει καὶ τὴν αἰτία τῆς ἐπιθυμίας. Καὶ ποιὰ εἶναι αὐτή; «Γιὰ νὰ σᾶς μεταδώσω κάποιο πνευματικὸ χάρισμα γιὰ νὰ στηριχθεῖτε». Γιατὶ ἐκεῖνος δὲν ἔκανε ἔτσι ἁπλά, ὅπως κάνουν πολλοὶ τώρα περιττὰ καὶ ἄχρηστα ταξίδια, ἀλλὰ γιὰ ἀναγκαῖες καὶ πολὺ ἐπείγουσες ὑποθέσεις. Καὶ δὲ θέλει νὰ τὸ λέγει αὐτὸ καθαρά, ἀλλὰ αἰνιγματικά. Γιατί δὲν εἶπε, γιὰ νὰ σᾶς διδάξω, νὰ σᾶς κατηχήσω, γιὰ νὰ ἀναπληρώσω αὐτὸ ποὺ λείπει, ἀλλά, «Γιὰ νὰ μεταδώσω κάτι», δείχνοντας πὼς δὲν τοὺς δίνει τὰ δικά του, ἀλλὰ πὼς μετέδιδε αὐτὰ ποὺ ἔλαβε. Καὶ ἐδῶ ὅμως μιλάει μὲ μετριοφροσύνη πάλι λέγοντας, «Γιὰ νὰ σᾶς μεταδώσω κάτι». Κάτι μικρό, λέγει, καὶ σύμφωνο μὲ τὶς δυνάμεις μου. Καὶ τί λοιπὸν εἶναι αὐτὸ τὸ μικρό, ποὺ πρόκειται νὰ μεταδώσεις τώρα; Αὐτὸ εἶναι, λέγει, «Γιὰ νὰ στηριχθεῖτε».

Ἑπομένως καὶ αὐτὸ εἶναι ἔργο τῆς χάρης, δηλαδὴ τὸ νὰ μὴν ταλαντεύονται, ἀλλὰ νὰ στέκονται σταθερά. Ὅταν ὅμως ἀκούσεις γιὰ χάρη, νὰ μὴ νομίσεις ὅτι ἔχει ἀπορριφθεῖ ὁ μισθὸς τῆς προαίρεσης, γιατί χάρη εἶπε, ὄχι περιφρονώντας τὸν κόπο τῆς προαίρεσης, ἀλλὰ γιὰ νὰ ξερριζώσει τὴν ἀλαζονεία τῆς παραφροσύνης. Νὰ μὴ χάσεις λοιπὸν τὸ θάρρος σου, ἐπειδὴ ὁ Παῦλος τὸ ὀνόμασε αὐτὸ χάρισμα. Γιατί γνωρίζει ἀπὸ εὐγνωμοσύνη πολλὴ νὰ ὀνομάζει χαρίσματα καὶ τὰ κατορθώματα, γιατί καὶ σ' αὐτὰ ἔχουμε ἀνάγκη ἀπὸ τὴ μεγάλη ἐνίσχυση τοῦ Θεοῦ. Λέγοντας ὅμως, «Γιὰ νὰ στηριχθεῖτε», ἔδειξε κρυ-

θανόντως ἔδειξε δεομένους πολλῆς διορθώσεως. Ὃ γὰρ βούλεται εἰπεῖν, τοῦτό ἐστιν· ἐκ πολλοῦ τοῦ χρόνου ἐπεθύμουν καὶ ηὐχόμην ὑμᾶς ἰδεῖν, δι' ἕτερον μὲν οὐδέν, ἵνα δὲ ὑμᾶς βεβαιώσω, στηρίξω τε καὶ πήξω καλῶς εἰς τὸν τοῦ Θεοῦ φόβον, ὥστε μὴ σαλεύεσθαι διηνεκῶς. Ἀλλ' οὕτω μὲν οὐκ εἶπεν· ἐπλήξε γὰρ ἄν· ἑτέρως δὲ ὑφειμένως τὸ αὐτὸ αἰνίττεται· ὅταν γὰρ εἴπῃ, «Εἰς τὸ στηριχθῆναι ὑμᾶς», τοῦτο δηλοῖ.

Εἶτα ἐπειδὴ καὶ τοῦτο σφόδρα φορτικὸν ἦν, ὅρα πῶς αὐτὸ παραμυθεῖται διὰ τῆς ἐπαγωγῆς· Ἵνα γὰρ μὴ λέγωσι, τί γάρ; σαλευόμεθα, περιφερόμεθα, καὶ τῆς παρὰ σοῦ δεόμεθα γλώττης εἰς τὸ στῆναι βεβαίως; προλαβὼν ἀναιρεῖ τὴν τοιαύτην ἀντίρρησιν, οὕτω λέγων· «Τοῦτο δέ ἐστι συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ». Ὡς ἂν εἰ ἔλεγε· μὴ ὑποπτεύσητε, ὅτι κατηγορῶν ὑμῶν εἶπον· οὐ ταύτῃ τῇ γνώμῃ ἐφθεγξάμην τὸ ῥῆμα· ἀλλὰ τί ποτέ ἐστιν, ὅπερ ἠβουλήθην εἰπεῖν; Πολλὰς ὑπομείνατε θλίψεις, ὑπὸ τῶν διωκόντων περιαντλούμενοι· ἐπεθύμησα τοίνυν ὑμᾶς ἰδεῖν, ἵνα παρακαλέσω, μᾶλλον δὲ οὐχ ἵνα παρακαλέσω μόνον, ἀλλ' ἵνα καὶ αὐτὸς παράκλησιν δέξωμαι.

4. Ὅρα σοφίαν διδασκάλου. Εἶπεν, «Εἰς τὸ στηριχθῆναι ὑμᾶς»· οἶδε βαρὺ καὶ φορτικὸν τὸ εἰρημένον τοῖς μαθηταῖς ὄν, καὶ λέγει, «Εἰς τὸ παρακληθῆναι ὑμᾶς». Ἀλλὰ καὶ τοῦτο βαρὺ πάλιν, οὐχ οὕτω μὲν ὡς τὸ πρότερον, βαρὺ δὲ ὅμως. Ὑποτέμνεται τοίνυν καὶ τούτου πάλιν τὸ φορτικόν, λεαίνων πανταχόθεν τὸν λόγον, καὶ ποιῶν εὐπαράδεκτον. Οὐ γὰρ ἁπλῶς εἶπε, παρακληθῆναι, ἀλλά, «Συμπαρακληθῆναι», καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ ἑτέραν εἰσάγει πλείονα θεραπείαν, εἰπών· «Διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ». Βαβαί, πόση ἡ ταπεινοφροσύνη· ἔδειξε καὶ ἑαυτὸν ἐκείνων δεόμενον, οὐκ

φὰ πὼς χρειάζονται πολλὴ διόρθωση. Αὐτὸ λοιπὸν ποὺ θέλει νὰ πεῖ εἶναι τὸ ἑξῆς· ἀπὸ πολὺ καιρὸ ἐπιθυμοῦσα καὶ προσευχόμουν νὰ σᾶς δῶ, γιὰ κανένα ἄλλο λόγο, ἀλλὰ γιὰ νὰ σᾶς σταθεροποιήσω καὶ νὰ σᾶς στηρίξω καὶ νὰ σᾶς στερεώσω καλὰ τὸ φόβο τοῦ Θεοῦ, ὥστε νὰ μὴν ταλαντεύεστε γιὰ πάντα. Καὶ βέβαια δὲν μίλησε ἔτσι, γιατί θὰ τοὺς πλήγωνε, ἀλλὰ μὲ διαφορετικὸ τρόπο ὑπονοεῖ τὸ ἴδιο χωρὶς ἔμφαση. Γιατί ὅταν λέγει, «Γιὰ νὰ στηριχθεῖτε», αὐτὸ φανερώνει.

Στὴ συνέχεια, ἐπειδὴ καὶ αὐτὸ ἦταν ὑπερβολικὰ βαρύ, πρόσεχε πῶς τὸ ἐλαττώνει μὲ τὴν προσθήκη. Γιὰ νὰ μὴ λέγουν, τί λοιπόν; ταλαντευόμαστε, δὲν εἴμαστε σταθεροὶ καὶ χρειαζόμαστε τὰ λόγια σου γιὰ νὰ σταθοῦμε σταθερά; προλαβαίνει καὶ ἀναιρεῖ μιὰ τέτοια ἀντίρρηση, λέγοντας τὰ ἑξῆς· «Καὶ αὐτὸ σημαίνει νὰ παρηγορηθῶ καὶ ἐγὼ βρισκόμενος μεταξύ σας ἀπὸ τὴν πίστη σας, ὅπως καὶ σεῖς νὰ παρηγορηθεῖτε ἀπὸ τὴ δική μου». Σὰν νὰ ἔλεγε· νὰ μὴν ὑποψιαστεῖτε, ὅτι μίλησα γιὰ νὰ σᾶς κατηγορήσω· δὲν εἶπα τὰ λόγια μ᾽ αὐτὴν τὴ σκέψη· ἀλλὰ τί λοιπὸν εἶναι αὐτὸ ποὺ θέλω νὰ πῶ; Ὑποφέρατε πολλὲς θλίψεις καὶ ἀφανίζεστε ἀπὸ τοὺς διῶκτες· ἐπιθύμησα λοιπὸν νὰ σᾶς δῶ, γιὰ νὰ σᾶς παρηγορήσω, ἢ καλύτερα ὄχι γιὰ νὰ σᾶς παρηγορήσω μόνο, ἀλλὰ γιὰ νὰ παρηγορηθῶ καὶ ἐγὼ ὁ ἴδιος.

4. Βλέπε σοφία διδασκάλου. Εἶπε, «Γιὰ νὰ στηριχθεῖτε»· γνωρίζει πὼς αὐτὸ εἶναι βαρὺ καὶ ἐνοχλητικὸ στοὺς μαθητές, καὶ λέγει, «Γιὰ νὰ παρηγορηθεῖτε». Ἀλλὰ καὶ αὐτὸ εἶναι βαρὺ πάλι, ὄχι βέβαια τόσο ὅπως τὸ προηγούμενο, ἀλλ᾽ ὅμως εἶναι βαρύ. Ἐλαττώνει λοιπὸν καὶ τὸ ἐνοχλητικὸ αὐτοῦ πάλι, ἀπαλύνοντας ἀπὸ παντοῦ τὸ λόγο καὶ κάνοντας αὐτὸν εὐπρόσδεκτο. Γιατί δὲν εἶπε ἁπλά, νὰ παρηγορηθεῖτε, ἀλλά, «Νὰ παρηγορηθοῦμε μαζί», καὶ δὲν ἀρκέστηκε οὔτε σ᾽ αὐτό, ἀλλὰ φέρει καὶ ἄλλη μεγαλύτερη θεραπεία, λέγοντας· «Μὲ τὴ μεταξύ μας πίστη, τὴ δική σας καὶ τὴ δική μου». Πώ - πώ, πόση εἶναι ἡ ταπεινοφροσύνη. Ἔδειξε πὼς καὶ αὐτὸς ἔχει ἀνάγκη ἀπὸ ἐκεί-

ἐκείνους τούτου μόνον· καὶ τοὺς μαθητὰς ἐν τάξει διδασκάλων ἐκάθισεν, οὐδεμίαν ὑπεροχὴν ἀφεὶς μεῖναι παρ’ αὐτῷ, ἀλλὰ πολλὴν τὴν ἰσοτιμίαν ἐπιδειξάμενος. Κοινὸν γάρ ἐστι τὸ κέρδος, φησί, καὶ ἐγὼ τῆς παρ’ ὑμῶν δέομαι παρακλήσεως, καὶ ὑμεῖς τῆς παρ’ ἐμοῦ.

Καὶ πῶς τοῦτο γίνεται; «Διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ». Καθάπερ γὰρ ἐπὶ πυρὸς ἂν πολλάς τις συναγάγῃ λαμπάδας, λαμπρὸν ἀνάπτει τὴν φλόγα· οὕτω καὶ ἐπὶ τῶν πιστῶν γίνεσθαι πέφυκεν. Ὅταν μὲν γὰρ καθ’ ἑαυτοὺς ὦμεν διεσπασμένοι, ἀθυμότεροί πώς ἐσμεν· ὅταν δὲ ἰδόντες ἀλλήλους τοῖς οἰκείοις περιπλακῶμεν μέλεσι, πολλὴν δεχόμεθα τὴν παράκλησιν. Μὴ γάρ μοι τὸν παρόντα καιρὸν ἐξετάσῃς, καθ’ ὃν τῇ τοῦ Θεοῦ χάριτι κατὰ κώμην καὶ πόλιν, καὶ ἐν αὐτῇ τῇ ἐρήμῳ πολλὰ τῶν πιστευόντων τὰ τάγματα, καὶ πᾶσα ἀσέβεια ἐξελήλαται, ἀλλ’ ἐννόησον κατ’ ἐκεῖνον τὸν καιρόν, ὅσον ἦν ἀγαθὸν καὶ διδάσκαλον ἰδεῖν τοὺς μαθητάς, καὶ ὑπὸ ἀδελφῶν ἀδελφοὺς ὀφθῆναι ἐξ ἄλλης πόλεως ἐπελθόντας.

Ἵνα δὲ καὶ σαφέστερον τὸ λεγόμενον ποιήσω, ἐπὶ ὑποδείγματος τὸν λόγον ἀγάγωμεν. Εἰ γὰρ συμβαίη ποτὲ καὶ γένοιτο, ὃ μὴ γένοιτο, ἀπενεχθέντας εἰς τὴν Περσῶν γῆν ἢ Σκυθῶν ἢ βαρβάρων ἑτέρων διεσπάρθαι κατὰ δύο καὶ τρεῖς ἐν ἐκείναις ταῖς πόλεσιν, εἶτα ἐξαίφνης τινὰ τῶν ἐντεῦθεν ἰδεῖν ἐπελθόντα, ἐννόησον ὅσην ἂν ἐκαρπωσάμεθα τὴν παραμυθίαν. Οὐχ ὁρᾶτε καὶ τοὺς ἐν δεσμωτηρίοις ὄντας, εἴ τινα τῶν ἐπιτηδείων ἴδοιεν, ἀνισταμένους καὶ ἐπτερωμένους ὑπὸ τῆς ἡδονῆς; Εἰ δὲ αἰχμαλωσίᾳ καὶ δεσμωτηρίῳ παραβάλλω τοὺς τότε καιρούς, μὴ θαυμάσῃς· πολὺ γὰρ χαλεπώτερα τούτων ἔπασχον ἐκεῖνοι, διεσπαρμένοι καὶ ἐλαυνόμενοι, καὶ λιμῷ καὶ πολέμοις συζῶντες, καὶ καθημερινοὺς θανάτους τρέμοντες, καὶ ὑποπτεύοντες καὶ φίλους καὶ οἰκείους

νους, ὄχι ἐκεῖνοι μόνο ἀπ' αὐτόν. Καὶ ἔβαλε τοὺς μαθητὲς νὰ καθίσουν στὴ θέση τῶν διδασκάλων, χωρὶς νὰ κρατήσει γιὰ τὸν ἑαυτό σου καμιὰ ὑπεροχή, ἀλλὰ δείχνοντας μεγάλη ἰσοτιμία. Γιατί τὸ κέρδος εἶναι κοινό, λέγει, καὶ ἐγὼ ἔχω ἀνάγκη ἀπὸ τὴ δική σας παρηγοριὰ καὶ σεῖς ἀπὸ τὴ δική μου.

Καὶ μὲ ποιὸ τρόπο γίνεται αὐτό; «Μὲ τὴ μεταξύ μας πίστη, καὶ τὴ δική σας καὶ τὴ δική μου». Γιατί ὅπως ἀκριβῶς στὴ φωτιὰ ἂν συγκεντρώσει κανεὶς πολλὰ δαδιά, ἀνάβει δυνατὴ φωτιά, ἔτσι εἶναι φυσικὸ νά γίνεται καὶ στοὺς πιστούς. Γιατί ὅταν βρισκόμαστε σκορπισμένοι μόνοι μας, εἴμαστε κάπως πιό στενοχωρημένοι· ὅταν ὅμως δοῦμε ὁ ἕνας τὸν ἄλλο καὶ ἀγκαλιαστοῦμε μὲ τὰ δικά μας μέλη, δεχόμαστε πολλὴ παρηγοριά. Μὴ λοιπόν, σὲ παρακαλῶ, ἐξετάσεις τὴν παροῦσα ἐποχή, κατὰ τὴν ὁποία μὲ τὴ χάρη τοῦ Θεοῦ σὲ κάθε κωμόπολη καὶ πόλη καὶ σ' αὐτὴ τὴν ἔρημο ἀκόμη ὑπάρχουν πολλὰ τάγματα πιστῶν καὶ ἔχει διωχθεῖ κάθε ἀσέβεια, ἀλλὰ σκέψου ἐκείνη τὴν ἐποχή, πόσο καλὸ ἦταν καὶ ὁ διδάσκαλος νὰ δεῖ τοὺς μαθητὲς καὶ οἱ ἀδελφοὶ νὰ δοῦν ἀδελφοὺς ποὺ ἦρθαν ἀπὸ ἄλλη πόλη.

Γιὰ νὰ κάμω ὅμως σαφέστερο αὐτὸ ποὺ λέγω, θὰ μιλήσω μὲ κάποιο παράδειγμα. Ἐὰν λοιπὸν συνέβαινε κάποτε, πράγμα ποὺ εἴθε νὰ μὴ γίνει, ὥστε, ἀφοῦ ὁδηγηθοῦμε στὴ χώρα τῶν Περσῶν ἢ τῶν Σκυθῶν ἢ ἄλλων βαρβάρων, νὰ σκορπισθοῦμε δύο δύο καὶ τρεῖς τρεῖς σ' ἐκεῖνες τὶς πόλεις, ἔπειτα νὰ δοῦμε ξαφνικὰ κάποιον ποὺ ἦρθε ἀπὸ ἐδῶ, σκέψου πόση παρηγορία θὰ κερδίζαμε. Δὲ βλέπετε καὶ τοὺς φυλακισμένους, ἂν δοῦν κάποιο συγγενή τους, ὅτι ἀνασταίνονται καὶ ἀναθερρεύουν ἀπὸ τὴν εὐχαρίστηση; Ἐὰν ὅμως παρομοιάζω μὲ αἰχμαλωσία καὶ φυλακὴ τὴν τότε ἐποχή, μὴν παραξενεύεσαι, γιατὶ ἐκεῖνοι πάθαιναν πολὺ χειρότερα ἀπ' αὐτά, διασκορπισμένοι καὶ διωκόμενοι, ζώντας μαζὶ μὲ τὴν πείνα καὶ τοὺς πολέμους, τρέμοντας τοὺς καθημερινοὺς θανάτους, ὑποψιαζόμενοι καὶ φίλους καὶ δικούς τους καὶ συγγενεῖς καὶ κατοικών-

καὶ συγγενεῖς, καὶ καθάπερ ξένην τὴν οἰκουμένην οἰκοῦντες, μᾶλλον δὲ πολλῷ τῶν ἐν ἀλλοτρίᾳ διατριβόντων χαλεπώτερον. Διά τοι τοῦτό φησιν· «Εἰς τὸ στηριχθῆναι ὑμᾶς, καὶ συμπαρακληθῆναι διὰ τῆς ἐν ἀλλήλοις πίστεως».

Τοῦτο δὲ ἔλεγεν, οὐχ ὡς αὐτὸς χρήζων τῆς παρ' ἐκείνων συμμαχίας, ἄπαγε· πῶς γὰρ ὁ τῆς Ἐκκλησίας στῦλος, ὁ σιδήρου καὶ πέτρας στερρότερος, ὁ πνευματικὸς ἀδάμας καὶ μυρίαις ἀρκῶν πόλεσιν; ἀλλ' ἵνα μὴ καταφορικὸν ποιήσῃ τὸν λόγον μηδὲ σφοδρὰν τὴν ἐπιτίμησιν, καὶ αὐτὸς δεῖσθαι τῆς παρακλήσεως ἔλεγε τῆς ἐκείνων. Εἰ δέ τις ἐνταῦθα παράκλησιν καὶ εὐφροσύνην τὴν ἐπὶ τῆς πίστεως αὐτῶν ἐπίδοσιν λέγοι, καὶ ταύτης δεῖσθαι τὸν Παῦλον, οὐκ ἂν οὐδὲ οὕτως ἁμάρτοι τοῦ λόγου. Εἰ οὖν καὶ ἐπιθυμεῖς, φησί, καὶ εὔχῃ, καὶ μέλλεις παρακλήσεως ἀπολαύειν, καὶ παρακλήσεως μεταδιδόναι, τί τὸ κωλῦον ἐλθεῖν; Ταύτην τοίνυν λύων τὴν ὑπόνοιαν, ἐπήγαγεν· οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι πολλάκις προεθυμήθην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τῆς δεῦρο».

Ὅρα μέτρα δουλικῆς ὑπακοῆς, καὶ πολλῆς εὐγνωμοσύνης ἀπόδειξιν. Ὅτι μὲν γὰρ ἐκωλύθη, λέγει· διὰ τί δέ, οὐκέτι. Οὐ γὰρ ἐξετάζει τοῦ Δεσπότου τὸ πρόσταγμα, ἀλλὰ πείθεται μόνον· καίτοι γε εἰκὸς ἦν διαπορῆσαι, τίνος ἕνεκεν πόλιν οὕτω λαμπρὰν καὶ μεγάλην, καὶ πρὸς ἣν ἅπασα ἔβλεπεν ἡ οἰκουμένη, ἐκώλυσεν ὁ Θεὸς ἀπολαῦσαι διδασκάλου τοιούτου, καὶ ἐπὶ χρόνον τοσοῦτον. Ὁ μὲν γὰρ τῆς κρατούσης πόλεως περιγενόμενος, καὶ τοῖς ἀρχομένοις ῥᾳδίως ἐπῄει· ὁ δὲ τὴν βασιλικωτέραν ἀφείς, τοῖς δὲ ὑπηκόοις ἐφεδρεύων, τὸ κεφάλαιον εἶχεν ἠμελημένον. Ἀλλ' ὅμως οὐδὲν τούτων περιεργάζεται, ἀλλὰ παραχωρεῖ τῷ τῆς προνοίας ἀκαταλήπτῳ, τό τε ἐμμελὲς ἐπιδεικνύμενος τῆς ἑαυτοῦ ψυχῆς, καὶ παιδεύων πάντας ἡμᾶς μηδέποτε τὸν Θεὸν ἀπαιτεῖν εὐθύνας

τας σὰν νὰ ἦταν ξένη ἡ οἰκουμένη, καὶ μᾶλλον ζώντας πολὺ χειρότερα ἀπ' αὐτοὺς ποὺ ζοῦν σὲ ξένη χώρα. Γι' αὐτὸ λοιπὸν λέγει· «Γιά νὰ στηριχθεῖτε, καὶ νὰ παρηγορηθοῦμε μαζὶ μὲ τὴ μεταξύ μας πίστη».

Αὐτὸ ὅμως τὸ ἔλεγε, ὄχι ἐπειδὴ αὐτὸς χρειαζόταν τὴ βοήθειά τους, μακριὰ μιὰ τέτοια σκέψη. Γιατὶ πῶς θὰ τὴ χρειαζόταν ὁ στύλος τῆς Ἐκκλησίας, ὁ ἰσχυρότερος ἀπὸ σίδερο καὶ πέτρα, τὸ πνευματικὸ διαμάντι καὶ αὐτὸς ποὺ ἦταν ἰσοδύναμος μὲ πάρα πολλὲς πόλεις; Ἀλλὰ γιὰ νὰ μὴν κάμει βίαιο τὸ λόγο οὔτε αὐστηρὴ τὴν ἐπιτίμηση, ἔλεγε πὼς καὶ αὐτὸς ἔχει ἀνάγκη ἀπὸ τὴν παρηγοριά τους. Ἐὰν ὅμως κάποιος ἐδῶ θὰ ἔλεγε παρηγοριὰ κα εὐφροσύνη τὴν πρόοδό τους στὴν πίστη, καὶ ὅτι ὁ Παῦ λος εἶχε ἀνάγκη ἀπ' αὐτή, οὔτε ἔτσι δὲ θὰ ἔκανε λάθος στὸ λόγο του. Ἐὰν λοιπὸν καὶ ἐπιθυμεῖς, θὰ πεῖ κάποιος καὶ προσεύχεσαι καὶ πρόκειται νὰ παρηγορηθεῖς καὶ νὰ παρηγορήσεις, ποιὸ εἶναι τὸ ἐμπόδιο νὰ ἔρθεις. Διαλύον τας λοιπόν αὐτὴ τὴν ὑπόνοια, πρόσθεσε· «Δὲ θέλω ὅμως ν' ἀγνοεῖτε, ἀδελφοί μου, ὅτι πολλὲς φορὲς ἔβαλα στὸ νοῦ μου νὰ ἔρθω σὲ σᾶς καὶ ἐμποδίστηκα μέχρι τώρα»

Βλέπε μέγεθος δουλικῆς ὑπακοῆς καὶ ἀπόδειξη με γάλης εὐγνωμοσύνης. Ὅτι λοιπὸν ἐμποδίστηκε, τὸ λέγει γιὰ ποιὸ λόγο ὅμως, δὲν τὸ λέγει. Γιατί δὲν ἐξετάζει τὴ προσταγὴ τοῦ Κυρίου, ἀλλά μόνο ὑπακούει. Ἂν καὶ βέβαι ἦταν φυσικὸ νὰ ἀπορήσει, γιὰ ποιὸ λόγο πόλη τόσο ξα κουστὴ καὶ μεγάλη καὶ πρὸς τὴν ὁποία ἔβλεπε ὅλη οἰκουμένη, τὴν ἐμπόδισε ὁ Θεὸς ν' ἀπολαύσει ἕναν τέτοι διδάσκαλο καὶ γιά τόσο πολὺ καιρό. Γιατί ὁ πρῶτος ξε φυγε τὴν κυρίαρχη πόλη καὶ πήγαινε εὔκολα στους ἁ πλοὺς ἀνθρώπους, ἐνῶ ὁ ἄλλος ἄφησε τὴν ἡγεμονικ πόλη, καί, στηριζόμενος στοὺς ὑπηκόους, παραμέλησε τὴ πρωτεύουσα. Ἀλλ' ὅμως δὲν πολυεξετάζει τίποτε ἀπ' α τά, ἀλλὰ ὑποχωρεῖ στὸ ἀκατάληπτο τῆς πρόνοιας, δε χνοντας τὴ μετριοφροσύνη τῆς δικῆς του ψυχῆς καὶ δ δάσκοντας ὅλους ἐμᾶς νὰ μὴ ζητᾶμε ποτὲ εὐθύνες ἀπο τὸ Θεὸ γι' αὐτὰ ποὺ γίνονται, καὶ ἂν ἀκόμη αὐτὰ ποὺ γί-

τῶν γινομένων, κἂν δοκῇ πολλοὺς θορυβεῖν τὰ πραττόμενα. Δεσπότου μὲν γάρ ἐστι μόνον τὸ ἐπιτάττειν, δούλων δὲ τὸ πείθεσθαι.

Διὰ τοῦτο, ὅτι μὲν ἐκωλύθη, λέγει· τίνος δὲ ἕνεκεν, οὐκέτι· οὐδὲ γὰρ ἐγὼ οἶδα, φησί. Μὴ τοίνυν ἐρώτα με Θεοῦ βουλὴν ἢ γνώμην. Οὐδὲ γὰρ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, «Τί με ἐποίησας οὕτω;». Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι καὶ ζητεῖς μαθεῖν; οὐκ οἶσθα, ὅτι μέλλει πάντων αὐτῷ, ὅτι σοφός ἐστιν, ὅτι οὐδὲν ἁπλῶς ἐργάζεται καὶ εἰκῇ; ὅτι τῶν γεγεννηκότων σε μᾶλλον φιλεῖ, καὶ πατρὸς ἐκ πολλοῦ τοῦ περιόντος ὑπερβαίνει φιλοστοργίαν, καὶ μητρὸς κηδεμονίαν; Μηδὲν οὖν πλέον ζήτει, μηδὲ πρόβαινε περαιτέρω· καὶ γὰρ ἀρκεῖ σοι ταῦτα εἰς παραμυθίαν· ἐπεὶ καὶ τότε σοφῶς ᾠκονόμητο τὸ τῶν Ρωμαίων. Εἰ δὲ τὸν τρόπον ἀγνοεῖς, μὴ δυσχέραινε· τοῦτο γὰρ πίστεως μάλιστα, τὸ καὶ ἀγνοοῦντα τὸν τρόπον τῆς οἰκονομίας, δέχεσθαι τὸν περὶ προνοίας λόγον.

5. *Κατορθώσας τοίνυν ὅπερ ἐσπούδαζεν ὁ Παῦλος (τί δὲ τοῦτο ἦν; Τὸ δεῖξαι, ὅτι οὐ καταφρονῶν αὐτῶν οὐκ ἤρχετο, ἀλλὰ καὶ σφόδρα ἐπιθυμῶν ἐκωλύετο), καὶ τὸ ἔγκλημα ἀποδυσάμενος τῆς ῥαθυμίας, καὶ πείσας ὅτι αὐτῶν οὐχ ἧττον ἐκεῖνος ἰδεῖν αὐτοὺς ἐπεθύμει· πάλιν καὶ δι' ἑτέρων ἐνδείκνυται τὴν ἀγάπην. Οὐδὲ γάρ, ἐπειδὴ ἐκωλύθην, φησίν, ἀπέστην τοῦ ἐπιχειρεῖν, ἀλλ' ἀεὶ μὲν ἐπεχείρουν, ἀεὶ δὲ ἐκωλυόμην, οὐδέποτε δὲ ἀφιστάμην, τῷ μὲν θελήματι τοῦ Θεοῦ οὐκ ἀντιπίπτων, τὴν δὲ ἀγάπην τηρῶν. Διὰ μὲν γὰρ τοῦ προτίθεσθαι καὶ μὴ ἀφίστασθαι τὸ φίλτρον ἐπεδείκνυτο· διὰ δὲ τοῦ κωλύεσθαι καὶ μὴ ἀντιτείνειν τὴν περὶ τὸν Θεὸν ἅπασαν ἀγάπην ἐδήλου. «Ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν». Καίτοι καὶ ἀνωτέρω τὴν αἰτίαν εἶπε τῆς ἐπιθυμίας, καὶ αὐτῷ πρέπουσαν ἔδειξεν, ἀλλ' ὅμως καὶ ἐνταῦ-*

------

6. Ρωμ. 9, 20

νονται φαίνονται νὰ ἐνοχλοῦν πολλούς. Γιατὶ γνώρισμα τοῦ Κυρίου εἶναι μόνο τὸ νὰ δίνει ἐντολές, ἐνῶ τῶν δούλων τὸ νὰ ὑπακοῦν.

Γι' αὐτό, ὅτι βέβαια ἐμποδίστηκε, τὸ λέγει, γιὰ ποιό λόγο ὅμως δὲν τὸ λέγει. Γιατὶ οὔτε καὶ ἐγὼ γνωρίζω, λέγει. Μὴ λοιπὸν μ' ἐρωτᾶς γιὰ τὴν ἀπόφαση ἢ τὴ σκέψη τοῦ Θεοῦ. Γιατί οὔτε τὸ δημιούργημα θὰ πεῖ στὸ δημιουργό, «Γιατί μὲ δημιούργησες ἔτσι;»[6]. Γιὰ ποιὸ λοιπὸν λόγο, πές μου, ζητᾶς νὰ μάθεις; Δὲ γνωρίζεις, ὅτι αὐτὸς φροντίζει γιὰ ὅλα, ὅτι εἶναι σοφός, ὅτι δὲν ἐργάζεται καθόλου χωρὶς λόγο καὶ χωρὶς σκοπό; Ὅτι σὲ ἀγαπᾶ περισσότερο ἀπὸ τοὺς γονεῖς σου καὶ ξεπερνᾶ πάρα πολὺ τὴ φιλοστοργία τοῦ πατέρα καὶ τὴ φροντίδα τῆς μητέρας; Μὴ ζητᾶς λοιπόν τίποτε περισσότερο, οὔτε νὰ προχωρεῖς παραπέρα, γιατί σοῦ εἶναι ἀρκετὰ αὐτὰ γιὰ παρηγοριά· ἐπειδὴ καὶ τότε ρυθμιζόταν μὲ σοφία τὸ ζήτημα τῶν Ρωμαίων. Ἐὰν ὅμως δὲ γνωρίζεις τὸν τρόπο, μὴ δυσαναχετεῖς. Γιατί αὐτὸ εἶναι ἰδιαίτερα ἀπόδειξη τῆς πίστης, δηλαδὴ τὸ νὰ δέχεται κανεὶς τὸ κήρυγμα γιὰ τὴν Πρόνοια τοῦ Θεοῦ, ἂν καὶ δὲ γνωρίζει τὸν τρόπο τῆς οἰκονομίας.

5. Ἀφοῦ κατόρθωσε λοιπὸν αὐτὸ ποὺ προσπαθοῦσε ὁ Παῦλος (καὶ ποιό ἦταν αὐτό; Τὸ νὰ δείξει ὅτι δὲν ἐρχόταν ὄχι γιατὶ τοὺς περιφρονοῦσε, ἀλλ' ὅτι ἐμποδιζόταν ἂν καὶ τὸ ἤθελε ὑπερβολικά), καὶ ἀφοῦ ἀνέτρεψε τὴν κατηγορία τῆς ἀδιαφορίας καὶ τοὺς ἔπεισε ὅτι ἐπιθυμοῦσε νὰ τοὺς δεῖ περισσότερο ἀπ' αὐτούς, δείχνει πάλι καὶ μὲ ἄλλα τὴν ἀγάπη του. Γιατί οὔτε, ἐπειδὴ ἐμποδίστηκα, λέγει, σταμάτησα νὰ ἐπιχειρῶ, ἀλλὰ πάντοτε ἐπιχειροῦσα, πάντοτε ὅμως ἐμποδιζόμουν, ποτὲ ὅμως δὲ σταμάτησα, χωρὶς βέβαια ν' ἀντιστέκομαι στὸ θέλημα τοῦ Θεοῦ, ἀλλὰ διατηρώντας τὴν ἀγάπη. Μὲ τὸ νὰ ἔχει λοιπὸν τὴν πρόθεση καὶ νὰ μὴ σταματάει νὰ προσπαθεῖ ἔδειχνε τὴν ἀγάπη του γι' αὐτούς, ἐνῶ μὲ τὸ νὰ ἐμποδίζεται καὶ νὰ μὴν ἀντιστέκεται ἔδειχνε ὅλη τὴν ἀγάπη του γιὰ τὸ Θεό. «Γιὰ νὰ ἐπιτύχω κάποιο καρπὸ καὶ μεταξύ σας». Ἂν καὶ παραπάνω ἀνέφερε τὴν αἰτία τῆς ἐπιθυμίας του καὶ ἔδει-

θα αὐτὴν τίθησι, σφοδρῶς ἐκκαθαίρων αὐτῶν τὴν ὑπόνοιαν. Ἐπειδὴ γὰρ περίβλεπτος ἦν ἡ πόλις, καὶ μόνη πανταχοῦ γῆς καὶ θαλάττης τοιαύτη, καὶ ἡ τῆς ἱστορίας αὐτῆς ἐπιθυμία μόνη πολλοῖς ἀποδημίας πρόφασις γέγονεν· ἵνα μὴ καὶ περὶ τοῦ Παύλου τοιοῦτόν τι νομίσωσι, μηδὲ ὑποπτεύσωσιν, ὅτι ἁπλῶς τῇ οἰκειώσει αὐτῶν ἐγκαλλωπιζόμενος ἐπεθύμει τῆς ἐκεῖ παρουσίας, συνεχῶς τίθησι τὴν ὑπόθεσιν τῆς ἐπιθυμίας.

Καὶ ἔμπροσθεν μέν φησιν. «Ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικόν», ἐπεθύμουν ἰδεῖν· ἐνταῦθα δὲ σαφέστερον, «Ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι». Τοὺς ἄρχοντας μετὰ τῶν ἀρχομένων ἔστησε, καὶ μετὰ τὰ μυρία τρόπαια καὶ τὰς νίκας καὶ τὴν τῶν ὑπάτων περιφάνειαν, μετὰ τῶν βαρβάρων αὐτοὺς τίθησι· καὶ μάλα εἰκότως. Ὅπου γὰρ ἡ τῆς πίστεως εὐγένεια, οὐδεὶς βάρβαρος, οὐδεὶς Ἕλλην, οὐδεὶς ξένος, οὐδεὶς πολίτης, ἀλλ' εἰς μίαν ἅπαντες ἀξιώματος ἀναβαίνουσιν ὑπεροχήν. Ὅρα δὲ αὐτὸν καὶ ἐνταῦθα μετριάζοντα. Οὐ γὰρ εἶπεν, ἵνα διδάξω καὶ κατηχήσω, ἀλλὰ τί; «Ἵνα τινὰ καρπὸν σχῶ». Καὶ οὐδὲ ἁπλῶς καρπόν, ἀλλ', «Ἵνα τινὰ καρπόν»· πάλιν συστέλλων τὰ καθ' ἑαυτόν, ὥσπερ ἀνωτέρω εἶπεν, «Ἵνα τι μεταδῶ». Εἶτα καὶ αὐτούς, ὥσπερ ἔφθην εἰπών, καταστέλλων, «Καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι», φησίν. Οὐ γάρ, ἐπειδὴ πλουτεῖτε καὶ τῶν ἄλλων ἔχετε πλέον, ἐλάττονα περὶ τοὺς λοιποὺς σπουδὴν ἐπιδείκνυμι· οὐ γὰρ τοὺς πλουτοῦντας ζητοῦμεν, ἀλλὰ τοὺς πιστούς.

Ποῦ νῦν οἱ σοφοὶ τῶν Ἑλλήνων, οἱ τοὺς βαθεῖς πώγωνας ἕλκοντες, καὶ τὰς ἐξωμίδας ἀναβεβλημένοι, καὶ τὰ μεγάλα φυσῶντες; Τὴν Ἑλλάδα, τὴν βάρβαρον πᾶσαν ὁ σκηνοποιὸς ἐπέστρεψεν. Ὁ δὲ παρ' αὐτοῖς ἀγόμενος καὶ περιφερόμενος Πλάτων,

7. Ὅπως εἶναι γνωστό, ὁ Παῦλος ἦταν σκηνοποιός.
8. Πλάτων (427 - 347 π.Χ.)· γιὰ πολιτικὴ δράση ἐπισκέφθηκε τὴ Σικελία δύο φορὲς χωρὶς ἐπιτυχία.

ξε πώς ταιριάζει σ' αὐτόν, ἀλλ' ὅμως καὶ ἐδῶ τὴν ἀναφέρει, ξεκαθαρίζοντας ἔντονα τὴν ὑποψία τους. Ἐπειδὴ λοιπὸν ἡ πόλη τους ἦταν διάσημη καὶ ἡ μοναδικὴ σὲ ὅλη τὴν οἰκουμένη καὶ ἡ ἐπιθυμία τῆς ἱστορίας της ἔγινε σὲ πολλοὺς ἡ μόνη πρόφαση γιὰ νὰ τὴν ἐπισκεφθοῦν, γιὰ νὰ μὴ νομίσουν κάτι τέτοιο καὶ γιὰ τὸν Παῦλο, οὔτε νὰ ὑποπτευθοῦν, ὅτι ἐπιθυμοῦσε νὰ βρεθεῖ ἐκεῖ, ἐπειδὴ ἁπλὰ καυχιόταν γιά τὴ συμπάθειά τους, συνέχεια ἀναφέρει τὴν αἰτία τῆς ἐπιθυμίας του.

Καὶ πιὸ μπροστὰ βέβαια λέγει, ἐπιθυμοῦσα νὰ σᾶς δῶ, «Γιὰ νὰ σᾶς μεταδώσω κάποιο χάρισμα πνευματικό», ἐδῶ ὅμως σαφέστερα τὸ λέγει, «Γιὰ νὰ ἐπιτύχω κάποιο καρπὸ καὶ μεταξύ σας, ὅπως καὶ μεταξὺ τῶν ἄλλων ἐθνῶν». Ἔβαλε τοὺς ἄρχοντες μαζὶ μὲ τοὺς πολίτες, καὶ ὕστερα ἀπὸ τὰ πάρα πολλὰ τρόπαια καὶ τὶς νίκες καὶ τὰ ἀξιώματα τῶν ὑπάτων, τοὺς τοποθετεῖ μαζὶ μὲ τοὺς βαρβάρους. Καὶ πολὺ δικαιολογημένα. Γιατί ὅπου ὑπάρχει ἡ εὐγένεια τῆς πίστης, δὲν εἶναι κανεὶς βάρβαρος, κανεὶς Ἕλληνας, κανεὶς ξένος, κανεὶς πολίτης, ἀλλ' ὅλοι ἀνεβαίνουν στὸ ἴδιο ὑψηλὸ ἀξίωμα. Πρόσεχε ὅμως πὼς καὶ ἐδῶ μιλάει μὲ μετριοφροσύνη ὁ Παῦλος. Γιατί δὲν εἶπε, γιὰ νὰ διδάξω καὶ νὰ κατηχήσω, ἀλλὰ τί; «Γιὰ νὰ ἐπιτύχω κάποιον καρπό». Καὶ δὲν εἶπε ἁπλὰ καρπό, ἀλλά, «κάποιον καρπό», μειώνοντας πάλι τὸν ἑαυτό του, ὅπως εἶπε παραπάνω, «Γιὰ νὰ μεταδώσω κάτι». Ἔπειτα μειώνοντας καὶ αὐτούς, ὅπως εἶπα πρίν, λέγει· «Ὅπως καὶ μεταξὺ τῶν ἄλλων ἐθνῶν». Δηλαδὴ ὄχι ἐπειδὴ εἶστε πλούσιοι καὶ ἔχετε περισσότερα ἀπὸ τοὺς ἄλλους, δείχνω γιὰ τοὺς ὑπόλοιπους μικρότερο ἐνδιαφέρον· γιατί δὲ ζητᾶμε τοὺς πλούσιους, ἀλλὰ τοὺς πιστούς.

Ποῦ εἶναι τώρα οἱ σοφοὶ τῶν Ἑλλήνων, ποὺ τρέφουν πυκνὴ γενειάδα καὶ φοροῦν τὶς ἐξωμίδες καὶ ὑπερηφανεύονται πολύ; Τὴν Ἑλλάδα, ὅλες τὶς βάρβαρες χῶρες τὶς ἐπέστρεψε ὁ σκηνοποιός[7]. Καὶ ὁ Πλάτων[8], ποὺ ἐξυμνοῦνταν καὶ εἶχε καλὴ φήμη σ' αὐτούς, ἀφοῦ ἦρθε τρεῖς

τρίτον εἰς Σικελίαν ἐλθὼν μετὰ τοῦ κόμπου τῶν ρημάτων ἐκείνων, μετὰ τῆς ὑπολήψεως τῆς λαμπρᾶς, οὐδὲ ἑνὸς περιεγένετο τυράννου. ἀλλ' οὕτως ἀθλίως ἀπήλλαξεν, ὡς καὶ αὐτῆς ἐκπεσεῖν τῆς ἐλευθερίας. Ὁ δὲ σκηνοποιὸς οὗτος οὐ Σικελίαν μόνον οὐδὲ Ἰταλίαν, ἀλλὰ πᾶσαν ἐπέδραμε τὴν οἰκουμένην, καὶ οὐδὲ ἐν τῷ κηρύττειν τῆς τέχνης ἀπέστη, ἀλλὰ καὶ τότε δέρματα ἔρραπτε, καὶ ἐργαστηρίου προειστήκει· καὶ οὐδὲ τοῦτο ἐσκανδάλισε τοὺς ἐξ ὑπάτων· καὶ μάλα εἰκότως. Οὐ γὰρ αἱ τέχναι καὶ τὰ ἐπιτηδεύματα, ἀλλὰ τὸ ψεῦδος καὶ τὰ πεπλασμένα δόγματα εὐκαταφρονήτους ποιεῖν εἴωθε τοὺς διδάσκοντας. Διά τοι τοῦτο ἐκείνων μὲν καὶ Ἀθηναῖοι λοιπὸν καταγελῶσι· τούτῳ δὲ καὶ βάρβαροι προσέχουσι καὶ ἀνόητοι καὶ ἰδιῶται. Κοινὸν γὰρ τὸ κήρυγμα πρόκειται πᾶσιν· οὐκ ἀξιώματος οἶδε διαφοράν, οὐκ ἔθνους ὑπεροχήν, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· πίστεως γὰρ δεῖται μόνης, οὐ συλλογισμῶν.

Διὸ δὴ μάλιστα αὐτὸ θαυμάζειν ἄξιον, οὐχ ὅτι χρήσιμον καὶ σωτήριον μόνον, ἀλλ' ὅτι καὶ εὔκολον καὶ ρᾷστον, καὶ τοῖς πᾶσιν εὔληπτον· ὃ δὴ μάλιστα τῆς τοῦ Θεοῦ προνοίας ἔργον ἐστί, κοινὰ τὰ παρ' ἑαυτοῦ προτιθέντος ἅπασιν. Ὅπερ γὰρ ἐπὶ ἡλίου καὶ σελήνης καὶ γῆς καὶ θαλάττης καὶ τῶν ἄλλων ἐποίησεν, οὐ τοῖς μὲν πλουτοῦσι καὶ σοφοῖς πλείονος μεταδιδοὺς τῆς ἀπὸ τούτων χορηγίας, ἐλάττονος δὲ τοῖς πένησιν, ἀλλ' ἴσην ἅπασι τὴν ἀπόλαυσιν προτιθείς, τοῦτο καὶ ἐπὶ τοῦ κηρύγματος εἰργάσατο, καὶ πολλῷ πλέον, ὅσῳ καὶ ἀναγκαιότερον τοῦτο ἐκείνων. Διὸ καὶ Παῦλός φησι συνεχῶς, «Πᾶσι τοῖς ἔθνεσιν». Εἶτα δεικνὺς αὐτοῖς, ὅτι οὐδὲν αὐτοῖς χαρίζεται, ἀλλ' ἐπίταγμα πληροῖ δεσποτικόν, καὶ παραπέμπων αὐτοὺς ἐπὶ τὴν τοῦ Θεοῦ τῶν ὅλων εὐχαριστίαν, φησίν· «Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνο-

φορὲς στὴ Σικελία μὲ τὴ μεγάλη καύχηση τῶν λόγων ἐκείνων, μὲ τὴ λαμπρὴ ὑπόληψη, δὲν κατόρθωσε νὰ ὑπερισχύσει οὔτε ἑνὸς τυράννου, ἀλλὰ τόσο ἄθλια διέφυγε, ὥστε νὰ χάσει ἀκόμη καὶ τὴν ἐλευθερία του. Ὁ σκηνοποιὸς ὅμως αὐτὸς ὄχι μόνο τὴ Σικελία οὔτε τὴν Ἰταλία, ἀλλὰ ὁλόκληρη τὴν οἰκουμένη διέτρεξε, καὶ οὔτε ὅταν κήρυττε σταμάτησε τὴν τέχνη του ἀλλὰ καὶ τότε ἔραβε δέρματα καὶ ἦταν προϊστάμενος ἐργαστηρίου. Καὶ οὔτε αὐτὸ σκανδάλισε αὐτοὺς ποὺ προέρχονταν ἀπὸ τοὺς ὑπάτους. Καὶ πολὺ δικαιολογημένα. Γιατί ὄχι οἱ τέχνες καὶ τὰ ἐπαγγέλματα, ἀλλὰ τὸ ψέμα καὶ οἱ πλαστὲς διδασκαλίες κάνουν συνήθως τοὺς διδασκάλους εὐκαταφρόνητους. Γι' αὐτὸ λοιπὸν ἐκείνους καὶ οἱ Ἀθηναῖοι τοὺς περιγελοῦν τώρα, ἐνῶ σ' αὐτὸν προσέχουν οἱ βάρβαροι καὶ ἀμαθεῖς καὶ ἁπλοϊκοὶ ἄνθρωποι. Γιατὶ τὸ κήρυγμα εἶναι κοινὸ γιὰ ὅλους. Δὲν ἀναγνωρίζει διαφορὰ ἀξιώματος, οὔτε ὑπεροχὴ ἔθνους, οὔτε τίποτε ἄλλο ἀπ' αὐτά, ἀφοῦ χρειάζεται μόνο πίστη καὶ ὄχι φιλοσοφικοὺς συλλογισμούς.

Γι' αὐτὸ λοιπὸν ἀξίζει νὰ θαυμάζει κανεὶς πάρα πολὺ τὸ κήρυγμα, ὄχι γιατὶ εἶναι χρήσιμο καὶ σωτήριο μόνο, ἀλλὰ καὶ γιατὶ εἶναι εὔκολο καὶ πολὺ προσιτὸ καὶ τὸ καταλαβαίνουν εὔκολα ὅλοι, πράγμα βέβαια ποὺ εἶναι κυρίως ἔργο τῆς πρόνοιας τοῦ Θεοῦ, ποὺ προσφέρει σὲ ὅλους κοινὰ τὰ δικά του. Γιατὶ αὐτὸ ποὺ ἔκαμε στὴν περίπτωση τῆς σελήνης καὶ τῆς γῆς καὶ τῆς θάλασσας καὶ τῶν ἄλλων, χωρὶς νὰ προσφέρει στοὺς πλούσιους καὶ σοφοὺς περισσότερη δωρεὰ ἀπ' αὐτὰ καὶ λιγότερη στοὺς φτωχούς, ἀλλὰ προσφέροντας σὲ ὅλους τὴν ἴδια ἀπόλαυση, αὐτὸ ἔκαμε καὶ μὲ τὸ κήρυγμα, καὶ πολὺ περισσότερο, ἀφοῦ αὐτὸ εἶναι καὶ πιὸ ἀναγκαῖο ἀπὸ ἐκεῖνα. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει συνέχεια, «Σὲ ὅλα τὰ ἔθνη». Ἔπειτα δείχνοντας, πὼς δὲν τοὺς χαρίζει τίποτε, ἀλλ' ἐκπληρώνει τὴν ἐντολὴ τοῦ Κυρίου, καὶ παραπέμποντας αὐτοὺς στὴν εὐχαριστία τοῦ Θεοῦ τῶν ὅλων, λέγει· «Καὶ στοὺς Ἕλληνες καὶ στοὺς βαρβάρους, καὶ στοὺς σοφοὺς καὶ στοὺς ἀμαθεῖς εἶμαι ὀφειλέτης». Αὐτὸ καὶ στοὺς Κορινθίους γρά-

ἤτοις ὀφειλέτης εἰμί». Ὃ καὶ Κορινθίοις ἐπιστέλλων ἔλεγε. Λέγει δὲ τοῦτο, τὸ πᾶν ἀνατιθεὶς τῷ Θεῷ. «Οὕτω τὸ κατ' ἐμὲ πρόθυμον, καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι».

6. Ὢ ψυχῆς γενναίας· πρᾶγμα τοσούτων κινδύνων μεστὸν ἀναδεξάμενος, ἀποδημίαν διαπόντιον, πειρασμούς, ἐπιβουλάς, ἐπαναστάσεις (καὶ γὰρ εἰκὸς πόλει τοσαύτῃ μέλλοντα διαλέγεσθαι, ὑπὸ ἀσεβείας τυραννουμένῃ, νιφάδας πειρασμῶν ὑπομένειν· οὕτω γοῦν καὶ τὸν βίον κατέλυσεν ἐν τῇ πόλει ταύτῃ, παρὰ τοῦ τότε τυραννοῦντος ἀποτμηθείς)· ἀλλ' ὅμως τοσαῦτα προσδοκῶν ὑπομενεῖν, οὐδενὶ τούτων ὀκνηρότερος ἐγίγνετο, ἀλλὰ κατηπείγετο καὶ ὤδινε καὶ πρόθυμος ἦν. Διό φησιν, «Οὕτω τὸ κατ' ἐμὲ πρόθυμον, καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι». «Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον». Τί φής, ὦ Παῦλε; Δέον εἰπεῖν, ὅτι καὶ καυχῶμαι καὶ σεμνύνομαι καὶ ἐναβρύνομαι, τοῦτο μὲν οὐ λέγεις, τὸ δὲ ἔλαττον τούτου, ὅτι οὐκ ἐπαισχύνῃ· ὅπερ οὐκ ἐπὶ τῶν σφόδρα λαμπρῶν λέγειν εἰώθαμεν.

Τί οὖν ἐστιν ὅ φησι; καὶ τίνος ἕνεκεν οὕτω φθέγγεται, καίτοι γε ἀγαλλόμενος ἐπ' αὐτῷ μᾶλλον ἢ ἐπὶ τῷ οὐρανῷ; Γαλάταις γοῦν ἐπιστέλλων ἔλεγεν· «Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Τίνος οὖν ἕνεκεν ἐνταῦθα οὐ λέγει, ὅτι καὶ καυχῶμαι, ἀλλ' ὅτι «Οὐκ ἐπαισχύνομαι»; Σφόδρα πρὸς τὰ τοῦ κόσμου πράγματα ἦσαν ἐπτοημένοι οἱ Ῥωμαῖοι διὰ τὸν πλοῦτον, διὰ τὴν ἀρχήν, διὰ τὰς νίκας καὶ τοὺς αὐτῶν βασιλεῖς· ἰσοθέους γὰρ ἡγοῦντο τούτους. Οὕτω γοῦν αὐτοὺς καὶ ἐκάλουν. Διὰ δὴ τοῦτο καὶ ναοῖς αὐτοὺς ἐθεράπευον καὶ βωμοῖς καὶ θυσίαις. Ἐπεὶ οὖν οὕτως ἦσαν πεφυσιωμένοι, ὁ δὲ Παῦλος ἔμελλε κηρύττειν τὸν Ἰησοῦν τὸν νομιζόμενον τοῦ τέκτονος υἱόν, τὸν ἐν Ἰουδαίᾳ τραφέντα καὶ ἐν οἰκίᾳ γυναι-

------

9. Σύμφωνα μὲ τὴν ἀρχαία παράδοση τῆς Ἐκκλησίας ὁ Παῦλος μαρτύρησε κατὰ τὸ διωγμὸ τοῦ Νέρωνα (64 - 68).

10. Γαλ 6, 14

φοντας ἔλεγε. Καὶ τὸ λέγει αὐτὸ ἀναθέτοντας τὰ πάντα στὸ Θεό. «Ἔτσι, ὅσο ἐξαρτιέται ἀπὸ μένα, εἶμαι πρόθυμος, νὰ κηρύξω τὸ εὐαγγέλιο καὶ σὲ σᾶς ποὺ εἶστε στὴ Ρώμη».

6. Πώ, πὼ γενναία ψυχή! Ἂν καὶ ἔλαβε ἔργο γεμάτο ἀπὸ τόσους πολλοὺς κινδύνους, ταξίδι θαλασσινό, πειρασμούς, ἐπιβουλές, ἐπαναστάσεις (γιατὶ πραγματικὰ ἦταν φυσικὸ νὰ ὑπομένει πολλοὺς πειρασμούς, ἀφοῦ ἐπρόκειτο νὰ μιλήσει σὲ τόσο μεγάλη πόλη, στὴν ὁποία ἐπικρατοῦσε ἡ ἀσέβεια· ἔτσι λοιπὸν καὶ τὴ ζωή του τελείωσε στὴν πόλη αὐτή, καὶ ἀποκεφαλίστηκε ἀπὸ τὸν τότε αὐτοκράτορα[9]), καὶ ἂν καὶ περίμενε νὰ ὑποφέρει τόσα πολλά, δὲ γινόταν ὀκνηρότερος ἀπὸ κανένα ἀπ' αὐτούς, ἀλλὰ βιαζόταν πολὺ καὶ στενοχωριόταν καὶ ἦταν πρόθυμος. Γι' αὐτὸ λέγει, «Ἔτσι, ὅσο ἐξαρτιέται ἀπὸ μένα, εἶμαι πρόθυμος, νὰ κηρύξω τὸ εὐαγγέλιο καὶ σὲ σᾶς ποὺ εἶστε στὴ Ρώμη». «Γιατὶ δὲν ντρέπομαι τὸ εὐαγγέλιο». Τί λές, Παῦλε; Ἐνῶ ἔπρεπε νὰ πεῖς, ὅτι καὶ καυχιέμαι καὶ παινεύομαι καὶ ὑπερηφανεύομαι, αὐτὸ δὲν τὸ λές, ἀλλὰ τὸ μικρότερο ἀπ' αὐτό, ὅτι δηλαδὴ δὲν ντρέπεσαι, πράγμα ποὺ συνηθίζουμε νὰ λέμε ὄχι γιὰ τὰ πολὺ σπουδαῖα.

Τί λοιπὸν σημαίνει αὐτὸ ποὺ λέγει; Καὶ γιὰ ποιὸ λόγο μιλάει ἔτσι, ἂν καὶ χαιρόταν γι' αὐτὸ περισσότερο παρὰ γιὰ τὸν οὐρανό; Γράφοντας στοὺς Γαλάτες ἔλεγε· «Ἐγὼ ὅμως εἴθε νὰ μὴν καυχηθῶ, παρὰ γιὰ τὸ σταυρὸ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[10]. Γιὰ ποιὸ λοιπὸν λόγο ἐδῶ δὲ λέγει, ὅτι καὶ καυχιέμαι, ἀλλ' ὅτι «Δὲν ντρέπομαι»; Οἱ Ρωμαῖοι ἦταν στραμμένοι πρὸς τὰ πράγματα τοῦ κόσμου αὐτοῦ ἐξ αἰτίας τοῦ πλούτου, τῆς ἐξουσίας, τῶν νικῶν καὶ τῶν ἴδιων τῶν βασιλέων, γιατὶ τοὺς θεωροῦσαν ἰσόθεους. Ἔτσι βέβαια καὶ τοὺς ὀνόμαζαν. Γι' αὐτὸ καὶ τοὺς λάτρευαν σὲ ναοὺς μὲ βωμοὺς καὶ θυσίες. Ἐπειδὴ λοιπὸν ἦταν τόσο ὑπερήφανοι, ἐνῶ ὁ Παῦλος ἐπρόκειτο νὰ κηρύξει τὸν Ἰησοῦ, ποὺ νομιζόταν υἱὸς τοῦ ξυλουργοῦ, ποὺ ἀνατράφηκε στὴν Ἰουδαία καὶ σὲ σπίτι ἄσημης γυ-

κὸς εὐτελοῦς, οὐ δορυφόρους ἐσχηκότα, οὐ χρήματα περιβαλλόμενον, ἀλλὰ καὶ ὡς κατάδικον ἀποθανόντα μετὰ λῃστῶν, καὶ ἕτερα πολλὰ ἄδοξα ὑπομείναντα, καὶ εἰκὸς ἦν αὐτοὺς ἐγκαλύπτεσθαι, οὐδὲν τῶν ἀπορρήτων καὶ μεγάλων εἰδότας οὐδέπω· διὰ τοῦτό φησιν, «Οὐκ ἐπαισχύνομαι», ἐκείνοις διδάσκων τέως μὴ ἐπαισχύνεσθαι· ᾔδει γὰρ ὅτι, ἂν τοῦτο κατορθώσωσι, ταχέως προϊόντες καὶ ἐπὶ τὸ καυχᾶσθαι ἥξουσι.

Καὶ σὺ τοίνυν ἐὰν ἀκούσῃς τινὸς λέγοντος, τὸν ἐσταυρωμένον προσκυνεῖς; μὴ ἐπαισχυνθῇς, μηδὲ κάτω βλέψῃς, ἀλλὰ καὶ ἐναβρύνου καὶ καλλωπίζου, καὶ ἐλευθέροις ὀφθαλμοῖς καὶ ὑψηλῷ προσώπῳ κατάδεξαι τὴν ὁμολογίαν. Κἂν εἴπῃ πάλιν, τὸν ἐσταυρωμένον προσκυνεῖς; εἰπὲ πάλιν πρὸς αὐτόν· ἀλλ' οὐ τὸν μοιχὸν οὐδὲ τὸν πατραλοίαν οὐδὲ τὸν παιδοκτόνον (τοιοῦτοι γὰρ οἱ παρ' αὐτοῖς θεοὶ πάντες), ἀλλὰ τὸν διὰ σταυροῦ δαίμονας ἐπιστομίσαντα, καὶ τὰς μυρίας αὐτῶν ἀνελόντα μαγγανείας. Καὶ γὰρ ὁ σταυρὸς δι' ἡμᾶς τὸ τῆς ἀφάτου φιλανθρωπίας ἔργον, τὸ τῆς πολλῆς κηδεμονίας σύμβολον. Πρὸς δὲ τοῖς εἰρημένοις, ἐπειδὴ καὶ λόγῳ μέγα κομπάζοντες, καὶ τὴν ἔξωθεν περιβεβλημένοι σοφίαν ἐφυσῶντο, ἐγώ, φησίν, ἐρρῶσθαι πολλὰ τούτοις εἰπὼν τοῖς συλλογισμοῖς, σταυρὸν ἔρχομαι κηρύττων, καὶ οὐ διὰ τοῦτο αἰσχύνομαι.

«Δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν». Ἐπειδὴ γάρ ἐστι καὶ δύναμις Θεοῦ εἰς κόλασιν (καὶ γὰρ ὅτε τοὺς Αἰγυπτίους ἐκόλαζεν, ἔλεγεν· «αὕτη ἐστὶν ἡ δύναμίς μου ἡ μεγάλη»), καὶ δύναμις εἰς ἀπώλειαν («Φοβήθητε γάρ», φησί, «τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ»)· διὰ τοῦτό φησιν· οὐ ταῦτα ἐλθὼν κομίζω, οὐ τὰ περὶ κολάσεως καὶ τιμωρίας, ἀλλὰ τὰ περὶ σωτηρίας. Τί οὖν; οὐχὶ καὶ ταῦτα κατήγγελλε τὸ εὐαγγέλιον, τὸν περὶ γεέννης

------

11. Ἰωήλ 2, 25 12. Ματθ. 10, 28

ναίκας, χωρὶς νὰ ἔχει σωματοφύλακες, οὔτε νὰ περιβάλλεται ἀπὸ χρήματα, ἀλλὰ ποὺ πέθανε καὶ σὰν κατάδικος μαζὶ μὲ ληστὲς καὶ ὑπέμεινε καὶ ἄλλα πολλὰ παράδοξα, καὶ ἦταν φυσικὸ νὰ αἰσθάνονται αὐτοὶ ντροπή, ἀφοῦ δὲ γνώριζαν ἀκόμη τίποτε ἀπὸ τὰ μεγάλα καὶ ἀπόρρητα, γι' αὐτὸ λέγει, «Δὲν ντρέπομαι», διδάσκοντας πρῶτα - πρῶτα ἐκείνους νὰ μὴν ντρέπονται, γιατὶ γνώριζε πώς, ἂν κατορθώσουν αὐτό, προχωρώντας γρήγορα θὰ φθάσουν καὶ στὴν καύχηση.

Καὶ ἐσὺ λοιπὸν ἐὰν ἀκούσεις κάποιον νὰ σοῦ λέγει, τὸ σταυρωμένο προσκυνεῖς; μὴν ντραπεῖς, οὔτε νὰ στρέψεις κάτω τὸ βλέμμα σου, ἀλλὰ νὰ καμαρώνεις καὶ νὰ καυσιέσαι, καὶ μὲ καθαρὰ μάτια καὶ ψηλὰ τὸ πρόσωπο νὰ δεχθεῖς τὴν ὁμολογία. Καὶ ἂν πάλι πεῖ, τὸ σταυρωμένο προσκυνεῖς; πές του πάλι· δὲν προσκυνῶ βέβαια κάποιον ποὺ εἶναι μοιχὸς οὔτε πατροκτόνος οὔτε παιδοκτόνος (γιατὶ τέτοιοι εἶναι ὅλοι οἱ θεοί τους), ἀλλ' αὐτὸν ποὺ μὲ τὸ σταυρὸ ἀποστόμωσε τοὺς δαίμονες καὶ ἐξαφάνισε τὶς ἄπειρες μαγγανεῖες τους. Γιατὶ πραγματικὰ ὁ σταυρὸς εἶναι γιὰ μᾶς τὸ ἔργο τῆς ἀνέκφραστης φιλανθρωπίας, τὸ σύμβολο τῆς μεγάλης φροντίδας. Ἐκτὸς ἀπ' αὐτὰ ποὺ εἰπώθηκαν, ἐπειδὴ καὶ μὲ τὰ λόγια ὑπερηφανεύονταν πολὺ καὶ φούσκωναν γιατὶ κατεῖχαν τὴν κοσμικὴ σοφία, ἐγώ, λέγει, ἀφοῦ εἶπα πὼς ἔχω ἐνισχυθεῖ πολὺ μ' αὐτοὺς τοὺς συλλογισμούς, ἔρχομαι νὰ κηρύξω τὸ σταυρὸ καὶ δὲν ντρέπομαι γι' αὐτό.

«Γιατὶ τὸ εὐαγγέλιο εἶναι δύναμη Θεοῦ ποὺ δίνει σωτηρία». Ἐπειδὴ λοιπὸν ὑπάρχει καὶ δύναμη Θεοῦ ποὺ φέρει τὴν τιμωρία (γιατὶ ὅταν τιμωροῦσε τοὺς Αἰγυπτίους, ἔλεγε· «αὐτὴ εἶναι ἡ δύναμή μου ἡ μεγάλη»[11]), καὶ δύναμη ποὺ ὁδηγεῖ στὴν ἀπώλεια, διότι λέγει, («Νὰ φοβηθεῖτε ἐκεῖνον ποὺ ἔχει τὴ δύναμη νὰ καταστρέψει τὴν ψυχὴ καὶ τὸ σῶμα στὴν αἰώνια κόλαση»[12]), γι' αὐτὸ λέγει, δὲν ἔρχομαι νὰ φέρω αὐτά, τὰ σχετικὰ μὲ τὴν κόλαση καὶ τὴν τιμωρία, ἀλλὰ τὰ σχετικὰ μὲ τὴ σωτηρία. Τί λοιπόν; δὲν κήρυττε καὶ αὐτὰ τὸ εὐαγγέλιο, τὰ σχετικὰ μὲ τὴ γέεννα,

λόγον, τὸν περὶ τοῦ σκότους τοῦ ἐξωτέρου καὶ τοῦ σκώληκος τοῦ ἰοβόλου; Καὶ μὴν οὐδαμόθεν ἄλλοθεν, ἢ ἐκ τοῦ εὐαγγελίου ταῦτα ἔγνωμεν· πῶς οὖν, φησί, «Δύναμις Θεοῦ εἰς σωτηρίαν»; Ἀλλ' ἄκουε καὶ τῶν ἑξῆς· «Παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλληνι». Οὐ γὰρ ἁπλῶς πᾶσιν, ἀλλὰ τοῖς δεχομένοις. Κἂν γὰρ Ἕλλην ᾖς, κἂν πᾶσαν ἐπελθὼν κακίαν, κἂν Σκύθης, κἂν βάρβαρος, κἂν αὐτοθηρίον, κἂν πάσης ἀλογίας γέμων, καὶ μυρία ἁμαρτημάτων ἐπιφερόμενος φορτία, ἅμα τὸν περὶ σταυροῦ λόγον κατεδέξω καὶ ἐβαπτίσθης, καὶ πάντα ἐκεῖνα ἐξήλειψας.

Διὰ τί δέ φησιν ἐνταῦθα, «Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι»; τί βούλεται αὕτη ἡ διαφορά; Καίτοι πολλαχοῦ εἶπεν, ὅτι οὔτε περιτομὴ τί ἐστιν, οὔτε ἀκροβυστία· πῶς οὖν ἐνταῦθα διαιρεῖ, προτιθεὶς τὸν Ἰουδαῖον τοῦ Ἕλληνος; Καὶ τί τοῦτο; οὐδὲ γάρ, ἐπειδὴ πρῶτός ἐστι, καὶ πλέον λαμβάνει τῆς χάριτος· ἡ γὰρ αὐτὴ δωρεὰ καὶ τούτῳ κἀκείνῳ δίδοται· ἀλλὰ τάξεώς ἐστι τιμὴ μόνον τὸ πρῶτος. Καὶ γὰρ οὐκ ἐν τῷ μείζονα λαβεῖν δικαιοσύνην πλεονεκτεῖ, ἀλλ' ἐν τῷ πρῶτος αὐτὴν λαβεῖν τετίμηται μόνον· ἐπεὶ καὶ ἐπὶ τῶν φωτιζομένων (ἴστε δὲ οἱ μύσται τὸ λεγόμενον) πάντες μὲν ἐπὶ τὸ βάπτισμα τρέχουσιν, οὐ πάντες δὲ ἐν τῇ αὐτῇ ὥρᾳ, ἀλλ' ὁ μὲν πρῶτος, ὁ δὲ δεύτερος· οὐ μὴν ὁ πρῶτος τοῦ δευτέρου πλέον λαμβάνει, οὐδὲ ἐκεῖνος τοῦ μετ' αὐτόν, ἀλλὰ τῶν αὐτῶν ἅπαντες ἀπολαύουσι. Τὸ τοίνυν, πρῶτος, ἐνταῦθα ῥήματός ἐστι τιμή, οὐ χάριτος πλεονασμός.

Εἶτα εἰπών, «Εἰς σωτηρίαν», πάλιν αὔξάνει τὴν δωρεάν, δεικνὺς οὐκ ἄχρι τοῦ παρόντος ἱσταμένην, ἀλλὰ περαιτέρω προϊοῦσαν· τοῦτο γὰρ ἐδήλωσεν εἰπών· «Δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν, καθὼς γέγραπται· Ὁ δὲ ἐκ πίστεως ζήσεται». Ὁ γοῦν γενόμενος δίκαιος, οὐ κατὰ τὸν παρόντα βίον μόνον, ἀλλὰ καὶ κατὰ τὸν μέλλοντα ζήσεται. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ

τὸ σκότος τὸ ἐξώτερο καὶ τὸ φαρμακερὸ σκουλήκι; Ἀλλ' ὅμως ἀπὸ πουθενὰ ἀλλοῦ παρὰ ἀπὸ τὸ εὐαγγέλιο τὰ γνωρίσαμε αὐτά. Πῶς λοιπόν, λέγει, «Δύναμη Θεοῦ γιὰ σωτηρία»; Ἄκου ὅμως καὶ τὰ ἑπόμενα· «Στὸν καθένα ποὺ πιστεύει, στὸν Ἰουδαῖο πρῶτα καὶ στὸν εἰδωλολάτρη». Ὄχι λοιπὸν σὲ ὅλους γενικά, ἀλλὰ σὲ ὅσους τὸν δέχονται. Γιατὶ καὶ ἂν ἀκόμη εἶσαι Ἕλληνας, καὶ ἂν ἔκαμες κάθε κακία, καὶ ἂν εἶσαι Σκύθης, καὶ ἂν εἶσαι βάρβαρος, καὶ ἂν εἶσαι θηρίο, καὶ ἂν εἶσαι γεμάτος ἀπὸ κάθε ἀνοησία, καὶ ἂν εἶσαι φορτωμένος μὲ πάρα πολλὰ ἁμαρτήματα, ἐφόσον δέχθηκες τὸ κήρυγμα τοῦ σταυροῦ καὶ βαπτίσθηκες, ἐξαφάνισες καὶ ὅλα ἐκεῖνα.

Γιατί ὅμως λέγει ἐδῶ, «Στὸν Ἰουδαῖο πρῶτα καὶ μετὰ στὸν Ἕλληνα»; Τί θέλει αὐτὴ ἡ διαφορά; Ἂν καὶ σὲ πολλὰ σημεῖα εἶπε, ὅτι οὔτε ἡ περιτομὴ εἶναι κάτι, οὔτε ἡ ἀκροβυστία, πῶς λοιπὸν ξεχωρίζει ἐδῶ, βάζοντας τὸν Ἰουδαῖο μπροστὰ ἀπὸ τὸν Ἕλληνα; Καὶ τί σημαίνει αὐτό; Ὅτι δηλαδὴ δὲν παίρνει περισσότερη χάρη, ἐπειδὴ εἶναι πρῶτος, ἀφοῦ ἡ ἴδια ἡ δωρεὰ δίνεται καὶ σ' αὐτὸν καὶ σ' ἐκεῖνον, ἀλλὰ τὸ πρῶτος εἶναι μόνο τιμητικὴ θέση. Γιατὶ δὲν εἶναι σὲ πλεονεκτικότερη θέση μὲ τὸ νὰ πάρει μεγαλύτερη δικαίωση, ἀλλ' ἔχει τιμηθεῖ μόνο μὲ τὸ νὰ τὴν πάρει πρῶτος αὐτός. Ἀφοῦ καὶ στὴν περίπτωση τῶν βαπτιζομένων (γνωρίζετε οἱ μυημένοι αὐτὸ ποὺ λέγω) ὅλοι τρέχουν στὸ βάπτισμα, ὄχι ὅμως ὅλοι τὴν ἴδια ὥρα, ἀλλ' ἄλλος πρῶτος καὶ ἄλλος δεύτερος. Ἀλλ' ὅμως ὁ πρῶτος δὲν παίρνει κάτι περισσότερο ἀπὸ τὸ δεύτερο, οὔτε αὐτὸς ἀπὸ τὸν ἑπόμενο, ἀλλ' ἀπολαμβάνουν ὅλοι τὰ ἴδια. Τὸ πρῶτος λοιπὸν ἐδῶ εἶναι τιμητικὴ λέξη καὶ ὄχι περισσότερη χάρη.

Στὴ συνέχεια, ἀφοῦ εἶπε «Γιὰ σωτηρία», πάλι αὐξάνει τὴ δωρεά, δείχνοντας πὼς δὲ σταματάει μέχρι τὸ παρόν, ἀλλὰ πὼς προχωράει στὸ μέλλον. Γιατὶ αὐτὸ τὸ φανέρωσε λέγοντας· «Γιατὶ μὲ τὸ εὐαγγέλιο φανερώνεται ἡ δικαίωση τοῦ Θεοῦ, ποὺ προέρχεται ἀπὸ πίστη καὶ δίνεται σ' αὐτὸν ποὺ ἔχει πίστη, ὅπως ἔχει γραφεῖ· Ὁ δίκαιος ὅμως θὰ σωθεῖ ἀπὸ τὴν πίστη του». Αὐτὸς λοιπὸν ποὺ ἔγινε δίκαιος, θὰ ζήσει ὄχι μόνο στὴν παροῦσα ζωή, ἀλλὰ καὶ

καὶ ἕτερον αἰνίττεται μετὰ τούτου, τὸ λαμπρὸν καὶ περιφανὲς τῆς τοιαύτης ζωῆς. Ἐπειδὴ γάρ ἐστι καὶ μετὰ αἰσχύνης σωθῆναι· ὥσπερ οὖν πολλοὶ τῶν ἀπὸ φιλανθρωπίας βασιλικῆς ἀπαλλαττομένων κολάσεως σώζονται· ἵνα μὴ ὑποπτεύσῃ τοῦτό τις σωτηρίαν ἀκούσας, προσέθηκε, «Καὶ δικαιοσύνην», καὶ δικαιοσύνην οὐ σήν, ἀλλὰ Θεοῦ, καὶ τὸ δαψιλὲς αὐτῆς καὶ τὸ εὔκολον αἰνιττόμενος. Οὐ γὰρ ἐξ ἱδρώτων καὶ πόνων αὐτὴν κατορθοῖς, ἀλλ' ἀπὸ τῆς ἄνωθεν δωρεᾶς λαμβάνεις, ἓν μόνον εἰσφέρων οἴκοθεν, τὸ πιστεῦσαι.

Εἶτα, ἐπειδὴ ἀπίθανος ὁ λόγος εἶναι ἐδόκει, εἰ ὁ μοιχὸς καὶ μαλακός, καὶ τυμβωρύχος καὶ γόης ἀθρόον οὐχὶ κολάσεως ἀπαλλάττεται μόνον, ἀλλὰ καὶ δίκαιος γίνεται, καὶ δίκαιος τὴν ἀνωτάτω δικαιοσύνην, ἀπὸ τῆς Παλαιᾶς πιστοῦται τὸν λόγον. Καὶ πρῶτον μὲν βρεχεῖ ῥήματι πέλαγος ἱστοριῶν ἀχανὲς τῷ δυναμένῳ βλέπειν ἀναπετάννυσιν. Εἰπὼν γάρ, «Ἐκ πίστεως εἰς πίστιν», παρέπεμψε τὸν ἀκροατὴν ἐπὶ τῆς οἰκονομίας τοῦ Θεοῦ τὰς ἐν τῇ Παλαιᾷ γενομένας, ἃς Ἑβραίοις ἐπιστέλλων μετὰ πολλῆς ἐξηγεῖται τῆς σοφίας, καὶ τοὺς δικαίους καὶ τοὺς ἁμαρτωλοὺς οὕτω δικαιωθέντας δείκνυσι καὶ τότε· διὸ καὶ τῆς Ῥαὰβ καὶ τοῦ Ἀβραὰμ ἐμνημόνευσεν. Ἔπειτα δὲ ἐνταῦθα αἰνιξάμενος αὐτὸ μόνον (καὶ γὰρ ἐφ' ἕτερον ἔτρεχε θεώρημα, καὶ κατεπεῖγον), ἀπὸ τῶν προφητῶν πάλιν πιστοῦται τὸν λόγον, τὸν Ἀμβακοὺμ εἰς μέσον παράγων βοῶντα καὶ λέγοντα, ὅτι οὐδὲ ἔνι ἄλλως ζῆν τὸν μέλλοντα ζήσεσθαι, ἀλλ' ἢ διὰ πίστεως. «Ὁ γὰρ δίκαιος», φησίν, «ἐκ πίστεως ζήσεται», περὶ τῆς μελλούσης λέγων ζωῆς.

13. Στὸ κεφ. 11 τῆς πρὸς Ἑβραίους ἐπιστολῆς ὁ Παῦλος ἀναφέρει παραδείγματα πίστης.

στὴ μελλοντική. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ κάτι ἄλλο ὑπονοεῖ μ' αὐτό, δηλαδὴ τὴ λαμπρότητα καὶ τὴ δόξα αὐτῆς τῆς ζωῆς. Ἐπειδὴ λοιπὸν εἶναι δυνατὸ νὰ σωθεῖ κανεὶς καὶ μὲ ντροπή, ὅπως βέβαια πολλοὶ σώζονται καὶ δὲν τιμωροῦνται ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ βασιλιᾶ, γιὰ νὰ μὴν ὑποψιασθεῖ κανεὶς αὐτό, ὅταν ἀκούσει γιὰ σωτηρία, πρόσθεσε, «Καὶ δικαίωση», καὶ δικαίωση ὄχι τὴ δική σου, ἀλλὰ τοῦ Θεοῦ, ὑπονοώντας πόσο ἄφθονα καὶ πόσο εὔκολα χορηγεῖται αὐτή. Γιατὶ βέβαια δὲν τὴν κατορθώνεις αὐτὴ μὲ ἱδρῶτες καὶ κόπους, ἀλλὰ τὴν παίρνεις ἀπὸ τὴ δωρεὰ τοῦ Θεοῦ, προσφέροντας ὁ ἴδιος ἕνα μόνο πράγμα, τὴν πίστη.

Ἔπειτα, ἐπειδὴ ὁ λόγος φαινόταν πὼς εἶναι ἀπίστευτος, ἐὰν ὁ μοιχὸς καὶ ὁ κίναιδος καὶ ὁ τυμβωρύχος καὶ ὁ ἀγύρτης ἀμέσως ὄχι μόνο ξεφεύγει τὴν τιμωρία, ἀλλὰ καὶ δίκαιος γίνεται, καὶ δίκαιος μὲ τὴν πιὸ ἀνώτερη δικαιοσύνη, ἐπιβεβαιώνει τὸ λόγο ἀπὸ τὴν Παλαιὰ Διαθήκη. Καὶ πρῶτα μὲ λίγες λέξεις ἁπλώνει μπροστὰ σ' αὐτὸν ποὺ μπορεῖ νὰ βλέπει ἀπέραντο πέλαγος ἱστοριῶν. Γιατί, ἀφοῦ εἶπε, «Ποὺ προέρχεται ἀπὸ τὴν πίστη καὶ χορηγεῖται σ' αὐτὸν ποὺ ἔχει πίστη», παρέπεμψε τὸν ἀκροατὴ στὴν οἰκονομία τοῦ Θεοῦ, ποὺ ἔγινε στὴν Παλαιὰ Διαθήκη, τὴν ὁποία ἐξηγεῖ ὁ Παῦλος μὲ πολλὴ σοφία, ὅταν ἔγραφε στοὺς Ἑβραίους[12], καὶ δείχνει πὼς οἱ δίκαιοι καὶ οἱ ἁμαρτωλοὶ ἔτσι δικαιώθηκαν καὶ τότε. Γι' αὐτὸ ἀνέφερε καὶ τὴ Ραάβ[13] καὶ τὸν Ἀβραάμ. Ἔπειτα, ἀφοῦ ὑπονόησε αὐτὸ μόνο (γιατὶ ἔτρεχε γρήγορα σ' ἄλλη σκέψη καὶ πολὺ ἐπείγουσα), ἐπιβεβαιώνει πάλι τὸ λόγο του ἀπὸ τοὺς προφῆτες, φέρνοντας στὴ μέση τὸν Ἀββακοὺμ νὰ φωνάζει καὶ νὰ λέγει, ὅτι δὲν εἶναι δυνατὸ νὰ ζήσει διαφορετικὰ ἐκεῖνος ποὺ πρόκειται νὰ ζήσει, παρὰ μόνο μὲ τὴν πίστη. «Γιατὶ ὁ δίκαιος», λέγει, «θὰ ζήσει ἀπὸ τὴν πίστη»[15], λέγοντας γιὰ τὴ μελλοντικὴ ζωή.

---

14. Πρόκειται γιὰ τὴν πόρνη Ραὰβ ποὺ ἔσωσε στὴν Ἰεριχὼ τοὺς Ἰσραηλίτες κατασκόπους. Γιὰ τὸ σχετικὸ περιστατικὸ βλ. Ἰησ. Ναυῆ 2, 1 - 24.

Ἐπειδὴ γὰρ ἅπερ ὁ Θεὸς χαρίζεται, πάντα ὑπερβαίνει λογισμόν, εἰκότως πίστεως ἡμῖν δεῖ. «Ὁ δὲ κατοιόμενος καὶ καταφρονητὴς ἀνὴρ καὶ ἀλαζὼν οὐθὲν οὐ μὴ περανεῖ».

Ἀκουέτωσαν οἱ αἱρετικοὶ τῆς πνευματικῆς φωνῆς. Τοιαύτη γὰρ ἡ τῶν λογισμῶν φύσις· λαβυρίνθῳ τινὶ καὶ γρίφοις ἔοικεν, οὐδὲν οὐδαμοῦ τέλος ἔχουσα, οὐδὲ ἀφιεῖσα τὸν λογισμὸν ἑστάναι ἐπὶ τῆς πέτρας, καὶ τὴν ἀρχὴν ἐξ ἀλαζονείας λαμβάνουσα. Αἰσχυνόμενοι γὰρ ἐπὶ τῷ παραδέχεσθαι πίστιν καὶ δοκεῖν ἀγνοεῖν τὰ οὐράνια, εἰς κονιορτὸν ἑαυτοὺς μυρίων λογισμῶν ἐμβάλλουσιν. Εἶτα, ἄθλιε καὶ ταλαίπωρε καὶ μυρίων ἄξιε δακρύων, ἂν μέν τίς σε ἔρηται, πῶς ὁ οὐρανὸς γέγονεν, καὶ πῶς ἡ γῆ· τί λέγω τὸν οὐρανὸν καὶ τὴν γῆν; πῶς αὐτὸς ἐτέχθης, πῶς ἐτράφης καὶ ηὐξήθης, οὐκ αἰσχύνῃ τὴν ἄγνοιαν; ἐὰν δὲ περὶ τοῦ Μονογενοῦς γίνηταί τις λόγος, δι' αἰσχύνην εἰς βάραθρον ἑαυτὸν ἐμβάλλεις ἀπωλείας, ἀνάξιον σεαυτῷ νομίζων τὸ μὴ πάντα εἰδέναι; Καὶ μὴν ἀνάξιον ἡ φιλονεικία, καὶ τὸ πολυπραγμονεῖν ἀκαίρως.

Καὶ τί λέγω περὶ δογμάτων; Αὐτῆς γὰρ τῆς κατὰ τὸν παρόντα βίον πονηρίας οὐδαμόθεν ἀπηλλάγημεν ἄλλοθεν, ἀλλ' ἢ διὰ τῆς πίστεως. Οὕτω καὶ οἱ πρὸ τούτου ἔλαμψαν ἅπαντες, οὕτως ὁ Ἀβραάμ, οὕτως ὁ Ἰσαάκ, οὕτως ὁ Ἰακώβ· οὕτω καὶ ἡ πόρνη ἐσώθη, καὶ ἡ ἐν τῇ Παλαιᾷ, καὶ ἡ ἐν τῇ Καινῇ. «Πίστει γάρ», φησί, «Ραὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους». Οὐδὲ πρὸς ἑαυτὴν εἶπε, καὶ πῶς δυνήσονται οὗτοι αἰχμάλωτοι καὶ φυγάδες ὄντες καὶ μετανάσται, καὶ νομάδων βίον ζῶντες, ἡμῶν τῶν πόλιν ἐχόντων καὶ τείχη καὶ πύργους περιγενέσθαι; ὡς εἰ πρὸς ἑαυτὴν ταῦτα

---

15. Ἀββ. 2,4 16. Ἀββ. 2,5

Ἐπειδὴ λοιπὸν αὐτὰ ποὺ χαρίζει ὁ Θεὸς ξεπερνοῦν κάθε λογικό, δικαιολογημένα χρειαζόμαστε πίστη. «Ὁ ὑπερήφανος ὅμως καὶ καταφρονητὴς καὶ ἀλαζονικὸς ἄνθρωπος τίποτε δὲν μπορεῖ νὰ ἐπιτύχει»[16].

Ἂς ἀκούσουν οἱ αἱρετικοὶ τὴν πνευματικὴ φωνή. Γιατί τέτοια εἶναι ἡ φύση τῶν λογισμῶν. Μοιάζει μὲ κάποιο λαβύρινθο καὶ μὲ γρίφους, χωρὶς νὰ ἔχει πουθενὰ κανένα τέλος, οὔτε ν' ἀφήσει τὸ λογισμὸ νὰ σταθεῖ πάνω στὴν πέτρα καὶ ξεκινάει ἀπὸ τὴν ἀλαζονεία. Γιατί, ἐπειδὴ αἰσθάνονται ντροπὴ γιὰ τὴν παραδοχὴ τῆς πίστης καὶ νομίζουν πὼς ἀγνοοῦν τὰ οὐράνια, ρίχνουν τὸν ἑαυτό τους σὲ κονιορτὸ ἀναρίθμητων λογισμῶν. Ἔπειτα, ἄθλιε καὶ ταλαίπωρε καὶ ἄξιε γιὰ πάρα πολλὰ δάκρυα, ἂν κάποιος σὲ ἐρωτήσει, πῶς ἔγινε ὁ οὐρανὸς καὶ πῶς ἡ γῆ· καὶ γιατὶ λέγω τὸν οὐρανὸ καὶ τὴ γῆ; πῶς γεννήθηκες ἐσὺ ὁ ἴδιος, πῶς τράφηκες καὶ μεγάλωσες, δὲν ντρέπεσαι γιὰ τὴν ἄγνοια; Ἐὰν ὅμως γίνεται κάποιος λόγος γιὰ τὸ Μονογενὴ Υἱό, ἐξ αἰτίας τῆς ντροπῆς ρίχνεις τὸν ἑαυτό σου στὸ γκρεμὸ τῆς καταστροφῆς, νομίζοντας πὼς εἶναι ἀνάξιο γιὰ σένα τὸ νὰ μὴ γνωρίζεις τὰ πάντα; Ἀλλ' ὅμως ἀνάξιο πράγμα εἶναι ἡ φιλονικία καὶ ἡ ἄκαιρη πολυπραγμοσύνη.

Καὶ γιατί λέγω γιὰ τὰ δόγματα; Γιατί καὶ ἀπ' αὐτὴ τὴν κακία τῆς παρούσας ζωῆς δὲν ἀπαλλαχθήκαμε ἀπὸ πουθενὰ ἀλλοῦ, παρὰ μόνο μὲ τὴν πίστη. Ἔτσι διακρίθηκαν καὶ ὅλοι ὅσοι ἔζησαν πρὶν ἀπ' αὐτόν, ἔτσι ὁ Ἀβραάμ, ἔτσι ὁ Ἰσαάκ, ἔτσι ὁ Ἰακώβ· ἔτσι σώθηκε καὶ ἡ πόρνη, καὶ αὐτὴ ποὺ ἀναφέρεται στὴν Παλαιὰ Διαθήκη καὶ αὐτὴ ποὺ ἀναφέρεται στὴν Καινὴ[18]. «Γιατὶ μὲ τὴν πίστη», λέγει, «ἡ πόρνη Ραὰβ δὲ θανατώθηκε μαζὶ μ' αὐτοὺς ποὺ ἀπείθησαν, ἐπειδὴ δέχθηκε τοὺς κατασκόπους»[81]. Οὔτε εἶπε στὸν ἑαυτό της, καὶ πῶς θὰ μπορέσουν αὐτοὶ ποὺ εἶναι αἰχμάλωτοι καὶ ἐξόριστοι καὶ μετανάστες καὶ ζοῦν νομαδικὴ ζωή, νὰ νικήσουν ἐμᾶς ποὺ ἔχουμε καὶ πόλη καὶ τείχη καὶ πύργους; Γιατὶ ἐὰν ἔλεγε αὐτὰ στὸν ἑαυτό της θὰ κατέ-

------

17. Βλ. Λουκᾶ 7, 37 - 50

18. Ἑβρ. 11, 31

εἶπε, καὶ ἑαυτὴν καὶ ἐκείνους ἂν προσαπώλεσεν· ὅπερ οὖν καὶ οἱ πρόγονοι τῶν τότε σωθέντων ἔπαθον. Ἐκεῖνοι γὰρ ἐπειδὴ ἄνδρας ἰδόντες μεγάλους καὶ εὐμήκεις, τὸν τρόπον τῆς νίκης ἐζήτουν, ἀπώλοντο χωρὶς πολέμου καὶ παρατάξεως ἅπαντες. Εἶδες πόσον τῆς ἀπιστίας τὸ βάραθρον, καὶ πόσον τῆς πίστεως τὸ τεῖχος; Ἡ μὲν γὰρ ἀπείρους κατήνεγκε χιλιάδας· αὕτη δὲ πόρνην γυναῖκα οὐ μόνον διέσωσεν, ἀλλὰ καὶ δήμου τοσούτου πρόστασιν ἐποίησε.

Ταῦτ' οὖν εἰδότες, καὶ τὰ τούτων πλείονα, μηδέποτε τὸν Θεὸν εὐθύνας τῶν γινομένων ἀπαιτῶμεν, ἀλλ' ὅπερ ἂν ἐπιτἄξῃ, δεχώμεθα· καὶ μὴ περιεργαζώμεθα μηδὲ πολυπραγμονῶμεν, κἂν ἀνθρωπίνοις λογισμοῖς ἄτοπον εἶναι δοκῇ τὸ κελευόμενον. Τί γάρ, εἰπέ μοι, τοῦ σφάξαι μονογενῆ παῖδα καὶ γνήσιον, αὐτὸν τὸν γεγεννηκότα, ἀτοπώτερον εἶναι δοκεῖ; Ἀλλ' ὅμως ὁ δίκαιος κελευσθείς, οὐ περιειργάσατο τοῦτο, ἀλλ' ἀπὸ τῆς ἀξίας τοῦ κελεύσαντος ἐδέξατο τὸ ἐπίταγμα μόνον, καὶ ὑπήκουσε. Καὶ ἕτερος δὲ προφήτην παρὰ τοῦ Θεοῦ κελευσθεὶς ῥαπίσαι, ἐπειδὴ τὸ δοκοῦν ἄτοπον εἶναι τοῦ πράγματος περιειργάσατο, καὶ οὐχ ἁπλῶς ὑπήκουσε, δίκην ἔδωκε τὴν ἐσχάτην· ὁ δὲ πλήξας εὐδοκίμησε. Καὶ ὁ Σαοὺλ δὲ σώσας ἀνθρώπους παρὰ τὸ τῷ Θεῷ δοκοῦν, τῆς βασιλείας ἐξέπεσε, καὶ τὰ ἀνήκεστα ἔπαθε.

Καὶ ἕτερα πλείονα τούτων ἄν τις εὕροι παραδείγματα, δι' ὧν ἁπάντων παιδευόμεθα μηδέποτε τῶν ἐπιταγμἄτων τοῦ Θεοῦ λόγον ἀπαιτεῖν, ἀλλ' εἴκειν καὶ πείθεσθαι μόνον. Εἰ δέ, ἅπερ ἂν ἐπιτάξῃ, περιεργάζεσθαι ἐπισφαλές, καὶ ἐσχάτη κόλασις κεῖται τοῖς πολυπραγμονοῦσι· οἱ τὰ πολλῷ τούτων ἀπορ-

------

19. Βλ. Γ' Βασ. 20, 35
20. Α' Βασ. 15, 10 ἑ.

στρεφε καὶ τόν ἑαυτό της καὶ ἐκείνους μαζί, πράγμα λοιπὰν ποὺ ἔπαθαν καὶ οἱ πρόγονοι αὐτῶν ποὺ σώθηκαν τότε. Γιατὶ ἐκεῖνοι, ἐπειδὴ ζητοῦσαν τόν τρόπο τῆς νίκης, ὅταν εἶδαν ἄνδρες μεγάλους καὶ ὑψηλούς, χάθηκαν ὅλοι χωρὶς πόλεμο καὶ παράταξη. Εἶδες πόσο μεγάλο εἶναι τό βάραθρο τῆς ἀπιστίας καὶ πόσο τὸ τεῖχος τῆς πίστης; Γιατὶ ἡ πρώτη κατέστρεψε ἄπειρες χιλιάδες, ἐνῶ ἡ ἄλλη ὄχι μόνο διέσωσε τὴν πόρνη, ἀλλὰ καὶ τὴν ἔκαμε προστάτιδα τόσο μεγάλου πλήθους.

Γνωρίζοντας λοιπὸν αὐτά, καὶ περισσότερα ἀπ' αὐτά, ἄς μὴ ζητοῦμε ποτὲ εὐθύνες ἀπὸ τό Θεό, γι' αὐτὰ ποὺ γίνονται, ἀλλ' ἄς δεχόμαστε αὐτό ποὺ θὰ διατάξει· καὶ ἄς μὴν τὸ περιεργαζόμαστε οὔτε νὰ τὸ πολυεξετάζουμε, καὶ ἄν ἀκόμη ἡ διαταγή του φαίνεται πώς εἶναι παράλογη στοὺς ἀνθρώπινους λογισμούς. Γιατί, πές μου, τί φαίνεται πώς εἶναι πιό παράλογο ἀπό τὸ νὰ σφάξει τὸ μονογενὴ καὶ γνήσιο υἱό του ὁ ἴδιος ὁ πατέρας του; Ἀλλ' ὅμως ὁ δίκαιος ὅταν διατάχθηκε, δὲν πολυεξέτασε αὐτό, ἀλλ' ἀπὸ τὴν ἀξία αὐτοῦ ποὺ ἔδωσε τὴν προσταγή, τὴ δέχθηκε μόνο καὶ ὑπάκουσε. Καὶ ἕνας ἄλλος ὅταν διατάχθηκε ἀπό τὸ Θεό νὰ κτυπήσει στὸ πρόσωπο προφήτη, ἐπειδὴ ἐξέτασε πώς ἡ θέληση εἶναι παράλογη καὶ δὲν ὑπάκουσε ἁπλά, τιμωρήθηκε μὲ θάνατο[19], ἐνῶ αὐτὸς ποὺ τόν κτύπησε εὐδοκίμησε. Καὶ ὁ Σαοὺλ ὅταν ἔσωσε ἀνθρώπους ἀντίθετα ἀπό τὴ θέληση τοῦ Θεοῦ, ἔχασε τὴ βασιλεία καὶ ἔπαθε ἀθεράπευτα κακά[20].

Καὶ ἄλλα παραδείγματα περισσότερα ἀπ' αὐτὰ θὰ μποροῦσε νὰ βρεῖ κανείς, μὲ ὅλα τὰ ὁποῖα διδασκόμαστε νὰ μὴ ζητοῦμε ποτὲ λόγο γιά τίς προσταγὲς τοῦ Θεοῦ, ἀλλὰ νὰ ὑποχωροῦμε καὶ νὰ ὑπακούομε μόνο. Ἐάν ὅμως εἶναι ἐπικίνδυνο νὰ περιεργαζόμαστε αὐτά ποὺ θὰ διατάξει, καὶ ἐπιφυλάσσεται ἡ χειρότερη τιμωρία γι' αὐτοὺς ποὺ τὰ πολυεξετάζουν, αὐτοὶ ποὺ περιεργάζονται ἐκεῖνα τὰ ὁποῖα εἶναι πολὺ πιό ἀπόρρητα ἀπ' αὐτὰ καὶ πιό φοβερά,

ρητότερα καὶ φρικωδέστερα περιεργαζόμενοι, τουτέστι, πῶς ἐγέννησε τὸν Υἱόν, καὶ τίνι τρόπῳ, καὶ τίς ἡ οὐσία, τίνα ἕξουσιν ἀπολογίαν ποτέ; Ταῦτ' οὖν εἰδότες, τὴν πάντων τῶν ἀγαθῶν μητέρα πίστιν μετὰ πάσης ὑποδεχώμεθα τῆς εὐνοίας, ἵνα ὥσπερ ἐν γαληνῷ πλέοντες λιμένι τά τε ὀρθὰ διατηρῶμεν δόγματα, καὶ τὸν βίον ἡμῶν μετὰ ἀσφαλείας κατευθύνοντες, τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, κράτος, τιμὴ καὶ προσκύνησις σὺν ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δηλαδή, πῶς γέννησε τὸν Υἱὸ καὶ μὲ ποιὸ τρόπο καὶ ποιὰ εἶναι ἡ οὐσία του, ποιὰ ἀπολογία θὰ ἔχουν κάποτε; Γνωρίζοντας λοιπὸν αὐτά, ἂς ὑποδεχόμαστε μὲ κάθε εὔνοια τὴ μητέρα ὅλων τῶν ἀγαθῶν, τὴν πίστη, ὥστε σὰν νὰ πλέουμε σὲ ἥσυχο λιμάνι, νὰ διατηροῦμε καὶ τὰ ὀρθὰ δόγματα καί, κατευθύνοντας τὴ ζωή μας μὲ ἀσφάλεια, νὰ ἐπιτύχουμε τὰ αἰώνια ἀγαθά, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη, ἡ τιμὴ καὶ ἡ προσκύνηση, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Δ´

«Ἀποκαλύπτεται γὰρ ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων».

1. Ὅρα τὴν Παύλου σύνεσιν, πῶς ἀπὸ τῶν χρηστοτέρων προτρέψας, ἐπὶ τὰ φοβερώτερα τρέπει τὸν λόγον. Εἰπὼν γάρ, ὅτι σωτηρίας αἴτιον τὸ εὐαγγέλιον, ὅτι ζωῆς, ὅτι Θεοῦ δύναμις, ὅτι σωτηρίας καὶ δικαιοσύνης ποιητικόν, λέγει καὶ τὰ φοβῆσαι δυνάμενα τοὺς οὐ προσέχοντας. Ἐπειδὴ γὰρ ὡς τὰ πολλὰ τῶν ἀνθρώπων οἱ πλείους οὐχ οὕτω τῇ τῶν χρηστῶν ἐπαγγελίᾳ, ὡς τῷ φόβῳ τῶν λυπηρῶν πρὸς τὴν ἀρετὴν ἕλκονται, ἑκατέρωθεν αὐτοὺς ἐπισπᾶται. Διὰ τοῦτο καὶ ὁ Θεὸς οὐ βασιλείαν ἐπηγγείλατο μόνον, ἀλλὰ καὶ γέενναν ἠπείλησε· καὶ οἱ προφῆται δὲ τοῖς Ἰουδαίοις οὕτω διελέγοντο, τὰ κακὰ τοῖς ἀγαθοῖς ἀναμιγνύντες διηνεκῶς. Διὰ τοῦτο καὶ ὁ Παῦλος οὕτω ποικίλλει τὸν λόγον, οὐ μὴν ἁπλῶς, ἀλλὰ τὰ χρηστὰ τίθησι πρῶτον, καὶ μετὰ ταῦτα τὰ λυπηρά, δεικνεὶς ὅτι ἐκεῖνα μὲν τῆς προηγουμένης τοῦ Θεοῦ γνώμης ἐστί, ταῦτα δὲ τῆς τῶν ῥαθυμούντων πονηρίας. Οὕτω καὶ ὁ προφήτης πρῶτον τὰ ἀγαθὰ τίθησι, λέγων· «Ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θελήσητε, καὶ μὴ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται».

1. Ἡσ. 1, 19 - 20

Ο Μ Ι Λ Ι Α Δ΄

«Γιατὶ φανερώνεται ὀργὴ Θεοῦ ἀπὸ τὸν οὐρανὸ ἐναντίον κάθε ἀσέβειας καὶ ἀδικίας τῶν ἀνθρώπων ποὺ καταπατοῦν μὲ τὴν ἀδικία τους τὴν ἀλήθεια».

1. Πρόσεχε τὴ σύνεση τοῦ Παύλου πῶς, ἀφοῦ προέτρεψε αὐτοὺς ἀπὸ τὰ πιὸ χρηστά, στρέφει τὸ λόγο του στὰ πιὸ φοβερά. Γιατὶ ἀφοῦ εἶπε, ὅτι τὸ εὐαγγέλιο εἶναι αἴτιο σωτηρίας, ὅτι εἶναι αἴτιο ζωῆς, ὅτι εἶναι δύναμη Θεοῦ, ὅτι ὁδηγεῖ στὴ σωτηρία καὶ στὴ δικαίωση, λέγει καὶ αὐτὰ ποὺ μποροῦν νὰ προκαλέσουν φόβο σ' ἐκείνους ποὺ δὲν προσέχουν. Ἐπειδὴ βέβαια οἱ περισσότεροι ἄνθρωποι τὶς πιὸ πολλὲς φορὲς δὲν προσελκύονται στὴν ἀρετὴ τόσο ἀπὸ τὴν ὑπόσχεση τῶν χρηστῶν ὅσο ἀπὸ τὸ φόβο τῶν δυσάρεστων, προσελκύει αὐτοὺς καὶ ἀπὸ τὰ δύο. Γι' αὐτὸ καὶ ὁ Θεὸς δὲν ὑποσχέθηκε βασιλεία μόνο, ἀλλ' ἀπείλησε καὶ τὴ γέεννα. Καὶ οἱ προφῆτες ἔτσι μιλοῦσαν στοὺς Ἰουδαίους ἀναμειγνύοντας πάντοτε τὰ κακὰ μὲ τὰ ἀγαθά. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἀλλάζει τρόπο στὸ λόγο του, ὄχι ὅμως τυχαῖα, ἀλλ' ἀναφέρει πρῶτα τὰ χρηστὰ καὶ ὕστερα ἀπ' αὐτὰ τὰ δυσάρεστα, δείχνοντας πὼς τὰ χρηστὰ προέρχονται ἀπὸ τὴν πρώτη ἀπόφαση τοῦ Θεοῦ, ἐνῶ τὰ δυσάρεστα ἀπὸ τὴν πονηρία τῶν ράθυμων. Ἔτσι καὶ ὁ προφήτης πρῶτα ἀναφέρει τὰ ἀγαθὰ λέγοντας· «Ἐὰν θέλετε νὰ μὲ ἀκούσετε, θὰ φάγετε τὰ ἀγαθὰ τῆς γῆς. Ἐὰν ὅμως δὲ θελήσετε καὶ δὲ μὲ ἀκούσετε, θὰ σᾶς καταφάγει τὸ μαχαίρι»[1].

Οὕτω καὶ ἐνταῦθα προάγει τὸν λόγον ὁ Παῦλος. Σκόπει δέ· ἦλθε φέρων ὁ Χριστὸς ἄφεσιν, φησί, δικαιοσύνην, ζωήν· καὶ οὐχ ἁπλῶς, ἀλλὰ διὰ σταυροῦ φέρει· ὃ δὴ μέγιστον καὶ θαυμαστόν, οὐχ ὅτι τοιαῦτα ἐχαρίσατο μόνον, ἀλλ' ὅτι καὶ τοιαῦτα ἔπαθεν. Ἂν τοίνυν ὑβρίσητε εἰς τὰς δωρεάς, τότε ἀναμενεῖτε τὰ λυπηρά. Καὶ ὅρα πῶς ἐπαίρει τὸν λόγον· «Ἀποκαλύπτεται γάρ», φησίν, «ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ». Πόθεν τοῦτο δῆλον; Ἂν μὲν ὁ πιστὸς λέγῃ, τοῦ Χριστοῦ τὰς ἀποφάσεις ἐροῦμεν· ἂν δὲ ὁ ἄπιστος καὶ ὁ Ἕλλην, ἀπὸ τῶν ἑξῆς αὐτὸν ὁ Παῦλος ἐπιστομίζει τῶν περὶ τῆς κρίσεως τοῦ Θεοῦ λέγων, ἐκ τῶν ὑπ' ἐκείνων γινομένων ἀπόδειξιν ἀναντίρρητον εἰσάγων· ὃ δὴ καὶ ἔστι μάλιστα παραδοξότατον, ὅταν τοὺς ἀντιλέγοντας αὐτῇ τῇ ἀληθείᾳ, δι' ὧν ποιοῦσι καθ' ἑκάστην ἢ καὶ λέγουσι, συνισταμένους αὐτοὺς ἀποφαίνει τοῖς τῆς ἀληθείας δόγμασιν. Ἀλλὰ ταῦτα μὲν ἐν τοῖς ἑξῆς, τέως δὲ τῶν προκειμένων ἐχώμεθα.

«Ἀποκαλύπτεται γὰρ ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ». Καίτοι καὶ ἐνταῦθα πολλάκις τοῦτο γίνεται, οἷον ἐν λιμοῖς καὶ λοιμοῖς καὶ πολέμοις· καὶ γὰρ ἰδίᾳ ἕκαστος, καὶ κοινῇ πάντες κολάζονται. Τί οὖν τὸ ξένον τότε; Ὅτι καὶ μείζων ἡ κόλασις καὶ κοινὴ καὶ οὐκ ἐπὶ τοῖς αὐτοῖς· νῦν μὲν γὰρ πρὸς διόρθωσιν τὰ γινόμενα, τότε δὲ πρὸς τιμωρίαν· ὅπερ καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν, ὅτι «Παιδευόμεθα νῦν, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». Καὶ νῦν μὲν οὐ διὰ τὴν ἄνωθεν ὀργὴν πολλοῖς δοκεῖ τὰ πολλὰ γίνεσθαι, ἀλλὰ δι' ἀνθρώπων ἐπήρειαν· τότε δὲ φανερὰ ἔσται ἡ παρὰ τοῦ Θεοῦ κόλασις, ὅταν καθήμενος ἐπὶ τοῦ φοβεροῦ βήματος ὁ κριτής, τοὺς μὲν ἐπὶ τὰς καμίνους ἕλκεσθαι κελεύῃ, τοὺς δὲ ἐπὶ τὸ σκότος τὸ ἐξώτερον, τοὺς δὲ ἐπ' ἄλλας ἀπαραιτήτους καὶ ἀφορήτους κολάσεις.

---

2. Α΄ Κορ. 11, 32

Ἔτσι καὶ ἐδῶ ὁ Παῦλος παρουσιάζει τὸ λόγο. Παρατήρησε ὅμως· ἦρθε ὁ Χριστὸς γιὰ νὰ φέρει ἄφεση, λέγει, δικαιοσύνη, ζωή· καὶ ὄχι ἔτσι ἁπλά, ἀλλὰ μὲ τὸ σταυρό του· τὸ πιὸ μεγάλο λοιπὸν καὶ θαυμαστὸ δὲν εἶναι τὸ ὅτι χάρισε τέτοια μόνο, ἀλλὰ τὸ ὅτι ἔπαθε καὶ ἔτσι. Ἂν λοιπὸν περιφρονήσετε τὶς δωρεές, τότε θὰ περιμένετε τὰ δυσάρεστα. Καὶ πρόσεχε πῶς συνεχίζει τὸ λόγο. «Γιατί φανερώνεται», λέγει, «ὀργὴ Θεοῦ ἀπὸ τὸν οὐρανό». Ἀπὸ ποῦ φαίνεται αὐτό; Ἂν βέβαια τὸ λέγει ὁ πιστός, θὰ ποῦμε τὶς ἀπαντήσεις τοῦ Χριστοῦ, ἂν ὅμως τὸ λέγει ὁ ἄπιστος καὶ ὁ εἰδωλολάτρης, τὸν ἀποστομώνει ὁ Παῦλος ἀπὸ τοὺς ἑπόμενους λόγους γιὰ τὴν κρίση τοῦ Θεοῦ, παρουσιάζοντας ἀναντίρρητη ἀπόδειξη ἀπὸ ἐκεῖνα ποὺ ἔκαμαν αὐτοί. Αὐτὸ βέβαια εἶναι ἰδιαίτερα παραδοξότατο, ὅταν αὐτοὺς ποὺ ἀντιλέγουν στὴν ἴδια τὴν ἀλήθεια, μὲ αὐτὰ ποὺ κάνουν ἢ καὶ λέγουν καθημερινά, ἀποδείχνει πὼς δέχονται τὰ δόγματα τῆς ἀλήθειας. Ἀλλ' αὐτὰ θὰ τὰ ποῦμε στὴ συνέχεια, τώρα ἂς ἀσχοληθοῦμε μὲ αὐτὰ ποὺ εἶναι μπροστά μας.

«Γιατὶ φανερώνεται ὀργὴ Θεοῦ ἀπὸ τὸν οὐρανό». Μολονότι καὶ ἐδῶ γίνεται αὐτὸ πολλὲς φορές, ὅπως κατὰ τὴν πείνα, τὶς ἀρρώστιες καὶ τοὺς πολέμους, ἐφόσον ξεχωριστὰ ὁ καθένας καὶ ὅλοι μαζὶ τιμωροῦνται. Ποιό λοιπὸν εἶναι τὸ παράξενο τότε; Ὅτι ἡ τιμωρία θὰ εἶναι καὶ μεγαλύτερη καὶ κοινὴ καὶ ὄχι γιὰ τὰ ἴδια πράγματα. Γιατὶ τώρα αὐτὰ ποὺ γίνονται ἀποβλέπουν στὴ διόρθωση, ἐνῶ τότε στὴν τιμωρία, πράγμα ποὺ καὶ ὁ Παῦλος δηλώνοντας ἔλεγε, ὅτι «Τιμωρούμαστε τώρα, γιὰ νὰ μὴν κατακριθοῦμε μαζὶ μὲ τὸν κόσμο»[2]. Καὶ τώρα βέβαια πολλοὶ νομίζουν πὼς τὰ πολλὰ δὲ γίνονται ἀπὸ τὴν ὀργὴ τοῦ Θεοῦ, ἀλλὰ ἀπὸ τὴν κακὴ συμπεριφορὰ τῶν ἀνθρώπων. Τότε ὅμως ἡ τιμωρία τοῦ Θεοῦ θὰ εἶναι φανερή, ὅταν καθισμένος ὁ κριτὴς πάνω στὸ φοβερὸ βῆμα, θὰ διατάζει ἄλλους νὰ σύρονται στὰ καμίνια, ἄλλους στὸ σκότος τὸ ἐξώτερο καὶ ἄλλους σὲ τιμωρίες ἄλλες ποὺ εἶναι ἀναπόφευκτες καὶ ἀφόρητες.

Καὶ τίνος ἕνεκεν οὐχ οὕτως εἶπε σαφῶς, οἷον ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ μέλλει παραγίνεσθαι μετὰ μυρίων ἀγγέλων, καὶ τὰς εὐθύνας ἀπαιτεῖν ἕκαστον, ἀλλ' ὅτι «'Αποκαλύπτεται ὀργὴ Θεοῦ»; Τῶν νεοφύτων ἦσαν οἱ ἀκούοντες ἔτι· διὰ τοῦτο ἀπὸ τῶν σφόδρα ὡμολογημένων παρ' αὐτοῖς πρῶτον αὐτοὺς ἐπισπᾶται. Χωρὶς δὲ τῶν εἰρημένων, καὶ πρὸς Ἕλληνας ἀποτείνεσθαί μοι δοκεῖ· διὸ καὶ ἐντεῦθεν προοιμιάζεται· ὕστερον δὲ καὶ τὸν περὶ τῆς κρίσεως τοῦ Χριστοῦ λόγον εἰσάγει. «'Επὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων». 'Ενταῦθα δείκνυσιν, ὅτι πολλαὶ τῆς ἀσεβείας αἱ ὁδοί, ἡ δὲ τῆς ἀληθείας μία· καὶ γὰρ ποικίλον καὶ πολυειδὲς καὶ συγκεχυμένον ἡ πλάνη, ἡ δὲ ἀλήθεια μία.

Εἰπὼν δὲ περὶ δογμάτων, λέγει καὶ περὶ βίου, ἀδικίαν ἀνθρώπων εἰπών. Καὶ γὰρ αἱ ἀδικίαι ποικίλαι· καὶ ἡ μὲν περὶ χρήματα γίνεται, οἷον ὅταν τις ἐν τούτοις ἀδικῇ τὸν πλησίον· ἡ δὲ περὶ γυναῖκας, ὅταν τις ἀφεὶς τὴν ἑαυτοῦ, τὸν ἑτέρου διορύττῃ γάμον· καὶ γὰρ καὶ τοῦτο πλεονεξίαν ὁ Παῦλος καλεῖ, οὕτω λέγων· «Τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφόν». Ἕτεροι πάλιν, ἀντὶ γυναικὸς καὶ χρημάτων, δόξαν λυμαίνονται τὴν τοῦ πλησίον· καὶ τοῦτο δὲ ἀδικία· καὶ γὰρ «Κρεῖσον ὄνομα καλόν, ἢ πλοῦτος πολύς». Τινές δέ φασιν, ὅτι καὶ τοῦτο περὶ δογμάτων εἴρηται τῷ Παύλῳ· πλὴν οὐδὲν κωλύει περὶ ἀμφοτέρων εἰρῆσθαι. Τί δέ ἐστι, «Τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων», διὰ τῶν ἑξῆς μάνθανε. «Ὅτι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς· Ὁ Θεὸς γὰρ αὐτοῖς ἐφανέρωσεν». 'Αλλὰ ταύτην τὴν δόξαν ξύλοις περιέθηκαν καὶ λίθοις.

2. Ὥσπερ οὖν ὁ χρήματα πιστευθεὶς βασιλικά, καὶ εἰς τὴν τοῦ βασιλέως δόξαν ἀναλῶσαι κελευσθείς,

3. Α΄ Θεσ. 4, 6 4. Παροιμ. 22, 1

Καὶ γιὰ ποιὸ λόγο δὲ μίλησε τόσο καθαρά, ὅτι δηλαδὴ ὁ Υἱὸς τοῦ Θεοῦ πρόκειται νὰ ἔρθει μὲ πάρα πολλοὺς ἀγγέλους καὶ νὰ ζητήσει ἀπὸ τὸν καθένα τὶς εὐθύνες, ἀλλ' ὅτι «φανερώνεται ὀργὴ Θεοῦ»; Οἱ ἀκροατές του ἦταν ἀκόμη ἀπὸ τοὺς νεοφώτιστους. Γι' αὐτὸ τοὺς ὁδηγεῖ πρῶτα ἀπ' αὐτὰ ποὺ ἔχουν παραδεχθεῖ πάρα πολύ. Ἐκτὸς ὅμως ἀπ' αὐτούς, μοῦ φαίνεται πὼς ἀπευθύνεται καὶ στοὺς εἰδωλολάτρες. Γι' αὐτὸ καὶ ἀπὸ ἐδῶ κάνει τὴν ἀρχή, ἐνῶ στὴ συνέχεια μεταφέρει τὸ λόγο στὴν κρίση τοῦ Χριστοῦ. «Ἐναντίον κάθε ἀσέβειας καὶ ἀδικίας τῶν ἀνθρώπων ποὺ μὲ τὴν ἀδικία καταπατοῦν τὴν ἀλήθεια». Ἐδῶ δείχνει, ὅτι οἱ δρόμοι τῆς ἀσέβειας εἶναι πολλοί, ἐνῶ τῆς ἀλήθειας ἕνας, γιατὶ ἡ πλάνη εἶναι ποικίλη καὶ πολύμορφη καὶ ἀσαφής, ἐνῶ ἡ ἀλήθεια εἶναι μία.

Ἀφοῦ εἶπε γιὰ τὰ δόγματα, λέγει καὶ γιὰ τὴ ζωή, μιλώντας γιὰ τὴν ἀδικία τῶν ἀνθρώπων. Γιατὶ καὶ οἱ ἀδικίες εἶναι πολλὲς καὶ διάφορες· καὶ μία γίνεται σχετικὰ μὲ τὰ χρήματα, ὅπως ὅταν κάποιος ἀδικεῖ γι' αὐτὰ τὸν πλησίον· ἄλλη σχετικὰ μὲ τὶς γυναῖκες, ὅταν κάποιος ἀφήνοντας τὴ γυναίκα του, ὑπονομεύει τὸ γάμο ἄλλου. Γιατὶ καὶ αὐτὸ ὁ Παῦλος τὸ ὀνομάζει πλεονεξία, λέγοντας ἔτσι· «Νὰ μὴν ἐξαπατᾶ καὶ ξεπερνᾶ κανεὶς στὸ πράγμα αὐτὸ τὸν ἀδελφό του»[3]. Ἄλλοι πάλι, γιὰ γυναίκα καὶ χρήματα, καταστρέφουν τὴ δόξα τοῦ πλησίον. Καὶ αὐτὸ ὅμως εἶναι ἀδικία, γιατὶ πραγματικά, «Εἶναι ἀνώτερο τὸ καλὸ ὄνομα, παρὰ ὁ μεγάλος πλοῦτος»[4]. Μερικοὶ ὅμως λέγουν, ὅτι καὶ αὐτὸ τὸ ἔχει πεῖ ὁ Παῦλος γιὰ τὰ δόγματα, ἀλλὰ τίποτε δὲν ἐμποδίζει νὰ τὸ ἔχει πεῖ καὶ γιὰ τὰ δύο. Καὶ τί σημαίνει, «Τὴν ἀλήθεια μὲ τὴν ἀδικία καταπατοῦν», μάθαινε ἀπὸ τὰ ἑπόμενα: «Γιατὶ ἡ γνώση τοῦ Θεοῦ εἶναι φανερὴ σ' αὐτούς, ἐπειδὴ ὁ Θεὸς τὴ φανέρωσε σ' αὐτούς». Ἀλλὰ τὴ δόξα αὐτὴ τὴν ἀπέδωσαν στὰ ξύλα καὶ τὶς πέτρες.

2. Ὅπως λοιπὸν αὐτὸς ποὺ τοῦ ἔχουν ἐμπιστευθεῖ χρήματα τοῦ βασιλιᾶ καὶ ποὺ ἔχει ἐντολὲς νὰ τὰ ξοδέψει

ἂν εἰς λῃστὰς καὶ πόρνας καὶ γόητας δαπανήσῃ ταῦτα καὶ λαμπροὺς τούτους ἀπὸ τῶν τοῦ βασιλέως ποιήσῃ χρημάτων, ὡς τὰ μέγιστα ἠδικηκὼς τὸν βασιλέα κολάζεται· οὕτω καὶ οὗτοι λαβόντες τὴν περὶ τοῦ Θεοῦ γνῶσιν καὶ τῆς δόξης αὐτοῦ, εἶτα εἰδώλοις αὐτὴν περιθέντες, ἐν ἀδικίᾳ τὴν ἀλήθειαν κατέσχον, καί, τό γε εἰς αὐτοὺς ἧκον, ἠδίκησαν τὴν γνῶσιν, οὐκ εἰς τὰ προσήκοντα αὐτῇ χρησάμενοι. Ἆρα γέγονεν ὑμῖν σαφὲς τὸ λεχθέν, ἢ δεῖ σαφέστερον αὐτὸ πάλιν εἰπεῖν; Τάχα ἀναγκαῖον πάλιν εἰπεῖν. Τί οὖν ἐστι τὸ λεγόμενον; Τὴν περὶ αὐτοῦ γνῶσιν ἐξ ἀρχῆς τοῖς ἀνθρώποις ἐνέθηκεν ὁ Θεός, ἀλλὰ ταύτην τὴν γνῶσιν οἱ Ἕλληνες ξύλοις περιθέντες καὶ λίθοις, ἠδίκησαν τὴν ἀλήθειαν, τό γε αὐτῶν μέρος· ἐκείνη γὰρ ἄτρεπτος μένει, τὴν οἰκείαν δόξαν ἔχουσα ἀκίνητον.

Καὶ πόθεν δῆλον, ὅτι ἐνέθηκεν αὐτοῖς τὴν γνῶσιν, ὦ Παῦλε; «Ὅτι», φησί, «τὸ γνωστὸν αὐτοῦ φανερόν ἐστιν ἐν αὐτοῖς». Ἀλλὰ τοῦτο ἀπόφασίς ἐστιν, οὐκ ἀπόδειξις· σὺ δέ μοι κατασκεύασον, καὶ δεῖξον, ὅτι ἡ γνῶσις ἡ περὶ τοῦ Θεοῦ δήλη ἦν αὐτοῖς, καὶ ἑκόντες παρέδραμον. Πόθεν οὖν δήλη ἦν; φωνὴν αὐτοῖς ἄνωθεν ἀφῆκεν; Οὐδαμῶς· ἀλλ' ὃ φωνῆς αὐτοὺς ἐφέλκεσθαι μᾶλλον ἠδύνατο, τοῦτο ἐποίησε, τὴν κτίσιν εἰς μέσον προθείς, ὥστε καὶ σοφὸν καὶ ἰδιώτην, καὶ Σκύθην καὶ βάρβαρον διὰ τῆς ὄψεως καταμαθόντα τῶν ὁρωμένων τὸ κάλλος, ἐπὶ τὸν Θεὸν ἀναβαίνειν. Διό φησι· «Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται»· ὅπερ οὖν καὶ ὁ προφήτης ἔλεγεν, «Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ».

Τί γὰρ ἐροῦσι κατ' ἐκείνην τὴν ἡμέραν οἱ Ἑλ-

5. Ψαλμ. 18, 1

γιὰ τὴ δόξα τοῦ βασιλιᾶ, ἂν τὰ σπαταλήσει σὲ ληστὲς καὶ πόρνες καὶ ἀγύρτες καὶ τοὺς κάμει αὐτοὺς λαμπροὺς ἀπὸ τὰ χρήματα τοῦ βασιλιᾶ, τιμωρεῖται ἐπειδὴ ἔχει ἀδικήσει πάρα πολὺ τὸ βασιλιά, ἔτσι καὶ αὐτοί, λαμβάνοντας τὴ γνώση γιὰ τὸ Θεὸ καὶ τὴ δόξα του, ἔπειτα ἀποδίδοντας αὐτὴ στὰ εἴδωλα, μὲ τὴν ἀδικία καταπατοῦσαν τὴν ἀλήθεια καί, ὅσο ἀφορᾶ σ' αὐτούς, ἔκαμαν ἀδικία στὴ γνώση, ἀφοῦ δὲν τὴ χρησιμοποίησαν στὰ πράγματα ποὺ ἔπρεπε. Ἄραγε ἔγινε σὲ μᾶς σαφὲς αὐτὸ ποὺ εἰπώθηκε, ἢ πρέπει νὰ τὸ πῶ πάλι αὐτὸ σαφέστερα; Ἴσως εἶναι ἀνάγκη πάλι νὰ τὸ πῶ. Τί λοιπὸν σημαίνει αὐτὸ ποὺ λέγεται; Τὴ γνώση γιὰ τὸν ἑαυτό του ὁ Θεὸς τὴν τοποθέτησε ἀπὸ τὴν ἀρχὴ στοὺς ἀνθρώπους, ἀλλὰ τὴ γνώση αὐτὴ ἀποδίδοντας οἱ εἰδωλολάτρες στὰ ξύλα καὶ τὶς πέτρες, ἀδίκησαν τὴν ἀλήθεια, ὅσο βέβαια ἐξαρτιόταν ἀπ' αὐτούς, γιατὶ ἐκείνη μένει ἀμετάβλητη, ἐπειδὴ ἔχει ἀκίνητη τὴ δική της δόξα.

Καὶ ἀπὸ ποῦ φαίνεται, ὅτι τοποθέτησε σ' αὐτοὺς τὴ γνώση, Παῦλε; «Γιατί», λέγει, «ἡ γνώση του εἶναι φανερὴ σ' αὐτούς». Ἀλλ' αὐτὸ εἶναι κάποια κρίση, ὄχι ἀπόδειξη. Ἐσὺ ὅμως ἀπόδειξέ μου καὶ δεῖξε, ὅτι ἡ γνώση γιὰ τὸ Θεὸ ἦταν φανερὴ σ' αὐτοὺς καὶ μὲ τὴ θέλησή τους τὴν περιφρόνησαν. Ἀπὸ ποῦ λοιπὸν ἦταν φανερή; τοὺς ἔβγαλε φωνὴ ἀπὸ τοὺς οὐρανούς; Καθόλου· ἀλλ' ἐκεῖνο ποὺ μποροῦσε νὰ τραβήξει αὐτοὺς περισσότερο ἀπὸ φωνή, αὐτὸ ἔκαμε, προβάλλοντας στὴ μέση τὴν κτίση, ὥστε καὶ ὁ σοφὸς καὶ ὁ ἀμαθὴς καὶ ὁ Σκύθης καὶ ὁ βάρβαρος, ἀφοῦ μὲ τὰ μάτια του κατανοήσει τὴν ὀμορφιὰ τῶν ὁρατῶν πραγμάτων, ν' ἀνεβαίνει πρὸς τὸ Θεό. Γι' αὐτὸ λέγει· «Γιατὶ οἱ ἀόρατες ἰδιότητες τοῦ Θεοῦ ἀπὸ τότε ποὺ δημιουργήθηκε ὁ κόσμος, βλέπονται καθαρὰ μέσα ἀπὸ τὰ δημιουργήματα μὲ τὰ μάτια τοῦ νοῦ», πράγμα λοιπὸν ποὺ καὶ ὁ προφήτης ἔλεγε, «Οἱ οὐρανοὶ διηγοῦνται τὴ δόξα τοῦ Θεοῦ»[5].

Τί λοιπὸν θὰ ποῦν ἐκείνη τὴν ἡμέρα οἱ εἰδωλολά-

ληνες; ὅτι ἠγνοήσαμέν σε; Εἶτα οὐκ ἠκούσατε ποῦ οὐρανοῦ φωνὴν διὰ τῆς ὄψεως ἀφιέντος; τῆς εὐτάκτου πάντων ἁρμονίας σάλπιγγος λαμπρότερον βοώσης; νυκτὸς καὶ ἡμέρας νόμους οὐκ εἴδετε μένοντας ἀκινήτους διηνεκῶς; χειμῶνος, ἔαρος, καὶ τῶν ἄλλων ὡρῶν τὴν εὐταξίαν βεβαίαν τε καὶ ἀκίνητον οὖσαν; θαλάττης εὐγνωμοσύνην ἐν ταραχῇ τοσαύτῃ καὶ κύμασι; πάντα ἐν τάξει μένοντα, καὶ διὰ τοῦ κάλλους καὶ διὰ τοῦ μεγέθους ἀνακηρύττοντα τὸν δημιουργόν; Ταῦτα γὰρ ἅπαντα, καὶ τὰ τούτων πλείονα συνελὼν ὁ Παῦλος ἔλεγε· «Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται· ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θεότης εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους». Καίτοι γε οὐ διὰ τοῦτο ταῦτα ἐποίησεν ὁ Θεός, εἰ καὶ τοῦτο ἐξέβη. Οὐ γὰρ ἵνα αὐτοὺς ἀπολογίας ἀποστερήσῃ, διδασκαλίαν τοσαύτην εἰς μέσον προὔθηκεν, ἀλλ' ἵνα αὐτὸν ἐπιγνῶσιν· ἀγνωμονήσαντες δέ, πάσης ἑαυτοὺς ἐστέρησαν ἀπολογίας.

Εἶτα δεικνύς, πῶς εἰσιν ἀπολογίας ἀπεστερημένοι, φησίν· «Ὅτι γνόντες τὸν Θεόν, οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ εὐχαρίστησαν». Ἓν τοῦτο ἔγκλημα μέγιστον· δεύτερον δὲ μετ' ἐκεῖνο, τὸ καὶ εἴδωλα προσκυνῆσαι· ὃ καὶ Ἱερεμίας κατηγορῶν, ἔλεγε· «Δύο πονηρὰ ἐποίησεν ὁ λαὸς οὗτος· ἐμὲ ἐγκατέλιπον πηγὴν ζῶντος ὕδατος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους». Εἶτα καὶ σημεῖον τοῦ εἰδέναι τὸν Θεόν, καὶ μὴ χρῆσθαι εἰς δέον τῇ γνώσει, παράγει τοῦτο αὐτό, τὸ θεοὺς ἐγνωκέναι· διόπερ ἐπήγαγε· «Διότι γνόντες τὸν Θεόν, οὐχ ὡς Θεὸν ἐδόξασαν». Καὶ τὴν αἰτίαν δὲ τίθησι, δι' ἣν εἰς τοσαύτην ἄνοι-

------

6. Ἱερ. 2, 13

τρες; ὅτι δὲ σὲ γνωρίσαμε; Ἔπειτα δὲν ἀκούσατε τὸν οὐρανὸ ποὺ ἔβγαλε φωνὴ ὅταν τὸν ἀντίκρυσε; τὴ φωνὴ τῆς ἁρμονικῆς τάξης τῶν πάντων ποὺ φωνάζει πιὸ δυνατὰ ἀπὸ τὴ σάλπιγγα; δὲν εἴδατε τοὺς νόμους τῆς νύχτας καὶ τῆς ἡμέρας ὅτι μένουν σταθεροὶ διαρκῶς; τὴν τάξη τοῦ χειμώνα, τῆς ἄνοιξης καὶ τῶν ἄλλων ἐποχῶν ποὺ εἶναι σταθερὴ καὶ ἀμετακίνητη; τὴν εὐγνωμοσύνη τῆς θάλασσας σὲ τόσο μεγάλη τρικυμία καὶ μὲ κύματα; ὅλα νὰ παραμένουν σὲ τάξη καὶ μὲ τὴν ὀμορφιὰ καὶ μὲ τὸ μέγεθός τους νὰ δοξολογοῦν τὸ δημιουργό; Ὅλα λοιπὸν αὐτὰ καὶ τὰ περισσότερα ἀπ' αὐτὰ συνοψίζοντας ὁ Παῦλος ἔλεγε· «Γιατὶ οἱ ἀόρατες ἰδιότητες τοῦ Θεοῦ ἀπὸ τότε ποὺ δημιουργήθηκε ὁ κόσμος, βλέπονται καθαρὰ μέσα ἀπὸ τὰ δημιουργήματα μὲ τὰ μάτια τοῦ νοῦ, τόσο ἡ αἰώνια δύναμή του ὅσο καὶ ἡ θεότητά του, ὥστε νὰ εἶναι αὐτοὶ χωρὶς καμιὰ δικαιολογία». Ἂν καὶ βέβαια ὁ Θεὸς δὲ δημιούργησε αὐτὰ γιὰ τὸ σκοπὸ αὐτόν, ἂν καὶ ἔγινε αὐτό. Οὔτε βέβαια γιὰ νὰ τοὺς στερήσει κάθε δικαιολογία, παρουσίασε στὴ μέση τόση διδασκαλία, ἀλλὰ γιὰ νὰ τὸν γνωρίσουν καλά. Ἐπειδὴ ὅμως φήνηκαν ἀγνώμονες, στέρησαν τὸν ἑαυτό τους ἀπὸ κάθε δικαιολογία.

Ἔπειτα, δείχνοντας, πῶς ἔχουν χάσει κάθε δικαιολογία, λέγει· «Γιατί, ἐνῶ γνώρισαν τὸ Θεό, δὲν τὸν δόξασαν σὰν Θεὸ οὔτε τὸν εὐχαρίστησαν». Πρῶτο ἔγκλημα αὐτὸ πάρα πολὺ μεγάλο· καὶ δεύτερο ὕστερα ἀπὸ ἐκεῖνο, τὸ νὰ προσκυνήσουν καὶ τὰ εἴδωλα, γιὰ τὸ ὁποῖο τοὺς κατηγοροῦσε καὶ ὁ Ἱερεμίας λέγοντας· «Δύο πονηρὰ σφάλματα ἔκαμε ὁ λαὸς αὐτός· ἐγκατέλειψαν ἐμένα, ποὺ ἤμουν πηγὴ ζωογόνου νεροῦ, καὶ ἄνοιξαν γιὰ τὸν ἑαυτό τους λάκκους κατεστραμμένους»[6]. Ἔπειτα καὶ ἀπόδειξη τοῦ ὅτι γνώριζαν τὸ Θεὸ καὶ δὲ χρησιμοποιοῦσαν ὅπως ἔπρεπε τὴ γνώση, παρουσιάζει αὐτὸ τὸ ἴδιο, τὸ ὅτι δηλαδὴ ἔχουν γνωρίσει θεούς. Γι' αὐτὸ ἀκριβῶς πρόσθεσε· «Γιατὶ ἐνῶ γνώρισαν τὸ Θεό, δὲν τὸν δόξασαν σὰν Θεό». Καὶ τὴν αἰτία ἀκόμη ἀναφέρει, γιὰ τὴν ὁποία ἔπεσαν σὲ

αν ἐξέπεσον. Τίς οὖν αὕτη ἐστί; Τοῖς λογισμοῖς τὸ πᾶν ἐπέτρεψαν. Ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ πολλῷ πληκτικώτερον· «Ἐματαιώθησαν γάρ», φησί, ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία».

Ὥσπερ γὰρ ἐν ἀσελήνῳ νυκτὶ εἴ τις ξένην ἐπιχειρήσει βαδίζειν ὁδόν, ἢ πέλαγος πλεῖν, οὐ μόνον οὐ φθάσει πρὸς τὸ τέλος, ἀλλὰ καὶ ἀπολεῖται ταχέως· οὕτω καὶ οὗτοι τὴν πρὸς τὸν οὐρανὸν φέρουσαν ὁδὸν βαδίζειν ἐπιχειροῦντες καὶ τὸ φῶς ἀφ' ἑαυτῶν ἀφελόντες, εἶτα ἀντ' ἐκείνου τῷ σκότῳ τῶν λογισμῶν ἑαυτοὺς ἐπιτρέψαντες, καὶ ἐν σώμασι τὸν ἀσώματον, καὶ ἐν σχήμασι τὸν ἀσχημάτιστον ἐπιζητοῦντες, ναυάγιον ὑπέστησαν χαλεπώτατον. Μετὰ δὲ τῶν εἰρημένων καὶ ἑτέραν τίθησιν αἰτίαν τῆς πλάνης αὐτῶν, λέγων· «Φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν». Μέγα γάρ τι περὶ ἑαυτῶν φαντασθέντες, καὶ οὐκ ἀνασχόμενοι ταύτην ἐλθεῖν, ἣν ὁ Θεὸς ἐκέλευσεν αὐτοῖς, ἐβαπτίσθησαν τοῖς τῆς ἀνοίας λογισμοῖς. Εἶτα δεικνὺς καὶ ὑπογράφων τὸ κλυδώνιον, πῶς χαλεπὸν καὶ συγγνώμης ἁπάσης ἐστερημένον, ἐπήγαγε, λέγων· «Καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν».

3. Πρῶτον ἔγκλημα, ὅτι Θεὸν οὐχ εὗρον· δεύτερον, ὅτι καὶ ἀφορμὰς ἔχοντες μεγάλας καὶ σαφεῖς· τρίτον, ὅτι σοφοὶ λέγοντες εἶναι· τέταρτον, ὅτι οὐ μόνον οὐχ εὗρον, ἀλλὰ καὶ εἰς δαίμονας κατήγαγον καὶ λίθους καὶ ξύλα τὸ σέβας ἐκεῖνο. Καθαιρεῖ μὲν οὖν αὐτῶν καὶ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ τὸν τῦφον, ἀλλ' οὐχ ὁμοίως ἐκεῖ καὶ ἐνταῦθα. Ἐκεῖ μὲν γὰρ ἀπὸ τοῦ σταυροῦ δίδωσιν αὐτοῖς πληγήν, λέγων, ὅτι «Τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστίν»· ἐνταῦθα δὲ καὶ χωρὶς συγκρίσεως αὐτὴν καθ'

7. Α' Κορ. 1, 25

τόση ἀνοησία. Ποιά λοιπὸν εἶναι αὐτή; Τὸ ὅτι ἐμπιστεύθηκαν τὰ πάντα στοὺς λογισμούς τους. Δὲν εἶπε ὅμως ἔτσι, ἀλλ' ἔφερε πιὸ δυνατὸ κτύπημα, γιατὶ λέγει· «Ἔγιναν ἀνόητοι μὲ τοὺς συλλογισμούς τους καὶ θόλωσε ἡ ἀσύνετη διάνοιά τους».

Ὅπως λοιπὸν σὲ νύχτα ἀσέληνη ἂν κάποιος ἐπιχειρίσει νὰ βαδίσει ἄγνωστο δρόμο ἢ νὰ πλεύσει πέλαγος, ὄχι μόνο δὲ θὰ φθάσει στὸ τέλος, ἀλλὰ καὶ θὰ χαθεῖ γρήγορα, ἔτσι καὶ αὐτοὶ ἐπιχειρώντας νὰ βαδίζουν τὸ δρόμο ποὺ ὁδηγεῖ στὸν οὐρανὸ καὶ ἐξαφανίζοντας μόνοι τους τὸ φῶς, ἔπειτα ἀφοῦ ἐμπιστεύθηκαν τοὺς ἑαυτούς τους ἀντὶ γιὰ τὸ φῶς στὸ σκοτάδι τῶν συλλογισμῶν καὶ ἀφοῦ ἀναζήτησαν τὸν ἀσώματο σὲ σώματα καὶ τὸν ἀσχημάτιστο σὲ σχήματα, ἔπαθαν φοβερότατο ναυάγιο. Μαζὶ μὲ αὐτὰ ποὺ εἰπώθηκαν, ἀναφέρει καὶ ἄλλη αἰτία τῆς πλάνης τους, λέγοντας «Ἐνῶ ἰσχυρίζονται πὼς εἶναι σοφοί, ἔγιναν ἀνόητοι». Ἐπειδὴ λοιπὸν φαντάσθηκαν κάτι μεγάλο γιὰ τὸν ἑαυτό τους καὶ δὲ δέχθηκαν νὰ βαδίσουν τὸ δρόμο, ποὺ τοὺς διέταξε ὁ Θεός, καταποντίστηκαν στοὺς συλλογισμοὺς τῆς ἀνοησίας. Στὴ συνέχεια δείχνοντας καὶ περιγράφοντας τὴν τρικυμία, πῶς εἶναι φοβερὴ καὶ στερημένη ἀπὸ κάθε συγγνώμη, πρόσθεσε λέγοντας· «Καὶ ἀντάλλαξαν τὴ δόξα τοῦ ἄφθαρτου Θεοῦ μὲ ἀγάλματα, ποὺ ἔχουν τὴν εἰκόνα φθαρτοῦ ἀνθρώπου καὶ πτηνῶν καὶ τετραπόδων καὶ ἑρπετῶν».

3. Πρῶτο ἀδίκημα, ὅτι δὲ βρῆκαν τὸ Θεό· δεύτερο, ὅτι δὲν τὸν βρῆκαν, ἂν καὶ εἶχαν ἀφορμὲς μεγάλες καὶ ὁλοφάνερες· τρίτο, ὅτι δὲν τὸν βρῆκαν, ἂν καὶ ἔλεγαν πὼς εἶναι σοφοί· τέταρτο, ὅτι ὄχι μόνο δὲν τὸν βρῆκαν, ἀλλὰ καὶ κατέβασαν τὸ σεβασμὸ ἐκεῖνο σὲ δαίμονες καὶ πέτρες καὶ ξύλα. Ἐξαφανίζει βέβαια τὴν ἀλαζονεία τους καί στὴν πρὸς Κορινθίους ἐπιστολή, ὄχι ὅμως μὲ τὸν ἴδιο τρόπο ἐκεῖ καὶ ἐδῶ. Γιατὶ ἐκεῖ δίνει σ' αὐτοὺς τὸ κτύπημα ἀπὸ τὸ σταυρό, λέγοντας ὅτι «Τὸ ἀνόητο τοῦ Θεοῦ εἶναι πιὸ σοφὸ ἀπὸ τοὺς ἀνθρώπους»[7], ἐνῶ ἐδῶ καὶ

ἑαυτὴν κωμῳδεῖ τὴν σοφίαν αὐτῶν, δεικνὺς μωρίαν οὖσαν, καὶ ἀλαζονείας ἐπίδειξιν μόνον. Εἶτα ἵνα μάθῃς, ὅτι ἔχοντες τὴν περὶ Θεοῦ γνῶσιν, οὕτως αὐτὴν προὔδωκαν, «Ἤλλαξαν», εἶπεν· ὁ δὲ ἀλλάσσων ὡς ἄλλο ἔχων ἀλλάσσει. Ἤθελον γάρ τι πλέον εὑρεῖν, καὶ οὐκ ἠνέσχοντο τῶν δοθέντων ὅρων· διὸ καὶ τούτων ἐξέπεσον· καινοτομίας γὰρ ἦσαν ἐπιθυμηταί.

Καὶ γὰρ τοιαῦτα πάντα τὰ Ἑλληνικά. Διὰ τοῦτο καὶ κατ' ἀλλήλων ἔστησαν, καὶ Ἀριστοτέλης μὲν ἐπανέστη Πλάτωνι, οἱ Στωικοὶ δὲ πρὸς τοῦτον ἐφρυάξαντο, καὶ ἄλλος ἄλλῳ πολέμιος γέγονεν· ὥστε οὐχ οὕτως αὐτοὺς χρὴ θαυμάζειν διὰ τὴν σοφίαν, ὡς ἀποστρέφεσθαι καὶ μισεῖν, ὅτι δι' αὐτὸ τοῦτο μωροὶ γεγόνασιν. Εἰ γὰρ μὴ λογισμοῖς ἐπέτρεψαν καὶ συλλογισμοῖς καὶ σοφίσμασι τὰ καθ' ἑαυτούς, οὐκ ἂν ἔπαθον, ὅπερ ἔπαθον. Εἶτα ἐπιτείνων αὐτῶν τὴν κατηγορίαν, κωμῳδεῖ τὴν εἰδωλολατρίαν αὐτῶν ἅπασαν. Μάλιστα μὲν οὖν καὶ τὸ ἀλλάξαι, καταγέλαστον· τὸ δὲ καὶ εἰς τοιαῦτα ἀλλάξαι, πάσης ἀπολογίας ἐκτός. Εἰς τίνα οὖν ἤλλαξαν, καὶ τίσι περιέθηκαν τὴν δόξαν, σκόπει. Φαντασθῆναι ἔδει περὶ ἐκείνου, οἷον, ὅτι Θεός, ὅτι πάντων κύριος, ὅτι οὐκ ὄντας ἐποίησεν, ὅτι προνοεῖ, ὅτι κήδεται· ταῦτα γὰρ δόξα Θεοῦ. Τίσιν οὖν ταύτην ἀνέθηκαν; Οὐκ ἀνθρώποις, ἀλλ' ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου. Καὶ οὐδὲ ἐνταῦθα ἔστησεν, ἀλλὰ καὶ εἰς κνώδαλα κατηνέχθησαν, μᾶλλον δὲ καὶ εἰς τὰς τούτων εἰκόνας.

Σὺ δέ μοι σκόπει τὴν σοφίαν τοῦ Παύλου, πῶς τὰ δύο ἄκρα τέθεικε, Θεὸν τὸν ἀνωτάτω, καὶ τὰ ἑρ-

---

8. Ἀριστοτέλης (384 - 322 π.Χ.): μεγάλος φιλόσοφος τῆς ἀρχαιότητας. Ἵδρυσε τὴν Περιπατητικὴ σχολὴ καὶ ἔγραψε πολλὰ συγγράμματα. Ἡ παράδοση ὅτι ἦρθε σὲ ρήξη μὲ τὸν Πλάτωνα, ὅταν ζοῦσε ὁ τελευταῖος, καθὼς καὶ ἡ παράδοση ὅτι ὁ Ἀριστοτέλης ἔφυγε ἀπὸ τὴν Ἀκαδημία καὶ ἵδρυσε δική του σχολή, πρὶν πεθάνει ὁ Πλάτων, εἶναι δύσκολο νὰ γίνουν δεκτές, γιατὶ διαψεύδονται καὶ ἀπὸ τὶς ἀντίθετες μαρτυρίες καὶ ἀπὸ τὰ γεγονότα.

9. Πλάτων (427 - 347)· μεγάλος φιλόσοφος τῆς ἀρχαιότητας. Ὑπῆρξε μαθητὴς τοῦ Σωκράτη, ἵδρυσε τὴν Ἀκαδημία, φιλοσοφικὴ καὶ ἐπιστημονικὴ σχολή, καὶ ἔγραψε πολλὰ συγγράμματα.

χωρὶς σύγκριση γελοιοποιεῖ αὐτὴ τὴν ἴδια τὴ σοφία τους, δείχνοντας πὼς εἶναι ἀνοησία καὶ ἐπίδειξη ἀλαζονείας μόνο. Ἔπειτα γιὰ νὰ μάθεις, ὅτι, ἂν καὶ εἶχαν τὴ γνώση γιὰ τὸ Θεό, τόσο πολὺ τὴν πρόδωσαν, εἶπε «Ἄλλαξαν»· καὶ ἐκεῖνος ποὺ ἀλλάζει κάτι, τὸ ἀλλάζει, ἐπειδὴ ἔχει ἄλλο. Γιατὶ ἤθελαν νὰ βροῦν κάτι περισσότερο, καὶ δὲ δέχθηκαν τοὺς νόμους ποὺ δόθηκαν. Γι' αὐτὸ καὶ ἔχασαν αὐτά, ἐπειδὴ ἐπιθυμοῦσαν καινούρια πράγματα.

Γιατὶ πραγματικὰ τέτοια εἶναι ὅλα τὰ ἑλληνικά. Γι' αὐτὸ καὶ βρέθηκαν ἀντιμέτωποι μεταξύ τους, καὶ ὁ Ἀριστοτέλης[8] ξεσηκώθηκε ἐναντίον τοῦ Πλάτωνα[9], ἐνῶ οἱ Στωικοὶ[10] ὀργίστηκαν ἐναντίον αὐτοῦ, καὶ ἄλλος ἔγινε ἐχθρὸς ἄλλου. Ἑπομένως δὲν πρέπει τόσο νὰ τοὺς θαυμάζομε αὐτοὺς γιὰ τὴ σοφία τους, ὅσο νὰ τοὺς ἀποστρεφόμαστε καὶ νὰ τοὺς μισοῦμε, ἐπειδὴ γι' αὐτὸ ἔγιναν ἀνόητοι. Γιατὶ ἂν δὲν ἐμπιστευόταν τὰ δικά τους στοὺς λογισμοὺς καὶ τοὺς συλλογισμοὺς καὶ τὰ σοφίσματα, δὲ θὰ πάθαιναν, αὐτὸ ποὺ ἔπαθαν. Στὴ συνέχεια ἐντείνοντας τὴν κατηγορία τους, γελοιοποιεῖ ὅλη τὴν εἰδωλολατρία τους. Βέβαια καὶ τὸ ν' ἀλλάξουν εἶναι καταγέλαστο· τὸ νὰ τὰ ἀντικαταστήσουν ὅμως σὲ τέτοια πράγματα, εἶναι ἔξω ἀπὸ κάθε δικαιολογία. Μὲ ποιά λοιπὸν τὰ ἀντικατέστησαν καὶ σὲ ποιοὺς ἀπέδωσαν τὴ δόξα, πρόσεξε. Ἔπρεπε νὰ φαντασθοῦν γιὰ ἐκεῖνον, ὅπως ὅτι εἶναι Θεός, ὅτι εἶναι κυρίαρχος ὅλων, ὅτι τοὺς δημιούργησε, ἂν καὶ δὲν ὑπῆρχαν, ὅτι προνοεῖ, ὅτι φροντίζει. Γιατὶ αὐτὰ εἶναι ἡ δόξα τοῦ Θεοῦ. Σὲ ποιοὺς λοιπὸν τὴν ἀπέδωσαν; Ὄχι σ' ἀνθρώπους, ἀλλὰ σ' ἀγάλματα ποὺ ἔχουν τὴν εἰκόνα φθαρτοῦ ἀνθρώπου. Καὶ οὔτε ἐδῶ σταμάτησαν, ἀλλὰ καὶ στὰ ἄγρια θηρία ἔφθασαν, ἢ καλύτερα καὶ στὶς εἰκόνες αὐτῶν.

Ἐσὺ ὅμως πρόσεξε, σὲ παρακαλῶ, τὴ σοφία τοῦ Παύλου, πῶς ἔχει τοποθετήσει τὰ δύο ἄκρα, τὸν ἀνώτατο Θεὸ

------

10. Στωικοί. Ἡ στωικὴ φιλοσοφία κυριάρχησε στὸν ελληνιστικὸ καὶ ρωμαϊκὸ κόσμο καὶ τὸν ἐπηρέασε βαθύτατα ὥς τὸ τέλος τῶν ἀρχαίων χρόνων. Κύριοι ἐκπρόσωποι τῆς σχολῆς τῶν Στωικῶν ἦταν ὁ Ζήνων ἀπὸ τὸ Κίτιο τῆς Κύπρου (334 - 262 π.Χ.), ἱδρυτὴς καὶ ἀρχηγὸς τῆς σχολῆς, ὁ Κλεάνθης (330 - 232 π.Χ.), ὁ Χρύσιππος (280 - 210 π.Χ.), ὁ Παναίτιος ὁ Ρόδιος (180 - 110 π.Χ.) καὶ ὁ Ποσειδώνιος ἀπὸ τὴν Ἀπάμεια (περ. 135 - 51 π.Χ.).

πετὰ τὰ κατωτάτω· μᾶλλον δὲ οὐδὲ τὰ ἑρπετά, ἀλλὰ τούτων ὁμοιώματα, ἵνα σαφῶς δείξῃ τὴν λαμπρὰν αὐτῶν μανίαν. Τὴν γὰρ γνῶσιν, ἣν ἔδει περὶ τοῦ πάντων ἀσυγκρίτως ὑπερέχοντος ἔχειν, ταύτην τῷ πάντων ἀσυγκρίτως εὐτελεστέρῳ περιέθηκαν. Καὶ τί ταῦτα πρὸς τοὺς φιλοσόφους, φησί; Πρὸς αὐτοὺς μὲν οὖν μάλιστα πάντα τὰ εἰρημένα. Καὶ γὰρ οὗτοι τοὺς ταῦτα ἐφευρόντας Αἰγυπτίους διδασκάλους ἔχουσι· καὶ Πλάτων ὁ δοκῶν εἶναι τῶν ἄλλων σεμνότερος, ἐγκαλλωπίζεται τούτοις, καὶ ὁ τούτου διδάσκαλος περὶ τὰ εἴδωλα ταῦτα ἐπτόηται· τὸν γοῦν ἀλεκτρυόνα ὁ κελεύειν τῷ Ἀσκληπιῷ θύειν, οὗτός ἐστιν.

Ἔνθα τῶν κνωδάλων τούτων καὶ τῶν ἑρπετῶν εἰκόνας, καὶ τὸν Ἀπόλλωνα δὲ καὶ τὸν Διόνυσον μετὰ τούτων θεραπευομένους τῶν ἑρπετῶν ἴδοι τις ἄν. Τινὲς δὲ τῶν φιλοσόφων καὶ εἰς τὸν οὐρανὸν ἀνήγαγον ταύρους καὶ σκορπίους καὶ δράκοντας καὶ τὸν ἄλλον ἅπαντα λῆρον· πανταχοῦ γὰρ ὁ διάβολος ἐσπούδασεν εἰς τὰ τῶν ἑρπετῶν ὁμοιώματα τοὺς ἀνθρώπους καταγαγεῖν, καὶ ὑποτάξαι τοῖς πάντων ἀλογοτέροις αὐτούς, οὓς ὁ Θεὸς ὑπὲρ τὸν οὐρανὸν ἀναγαγεῖν ἠθέλησεν. Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ὄψει τὸν κορυφαῖον αὐτῶν ὑπεύθυνον τοῖς λεγομένοις ὄντα. Ὅταν γὰρ τοὺς ποιητὰς συνάγῃ, καὶ λέγῃ χρῆναι πιστεύειν αὐτοῖς ἐν τοῖς περὶ Θεὸν λόγοις, ὡς ἀκριβῶς εἰδόσιν, οὐδὲν ἕτερον ἢ τὸν ὁρμαθὸν τῶν λήρων τούτων εἰσάγει, καὶ τὸν πολὺν γέλωτα τοῦτον ὅτι ἀληθῆ χρὴ νομίζειν εἶναί φησι.

Διὸ καὶ παρέδωκεν ὁ Θεὸς αὐτοὺς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν, τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς». Δείκνυσιν ἐντεῦθεν, ὅτι καὶ τῆς τῶν νόμων διαστροφῆς ἡ

καὶ τὰ κατώτατα ἑρπετά, ἢ καλύτερα, ὄχι τὰ ἑρπετά, ἀλλὰ τὰ ὁμοιώματα αὐτῶν, γιὰ νὰ δείξει καθαρὰ τὴ φανερή τους μανία. Γιατὶ τὴ γνώση, τὴν ὁποία ἔπρεπε νὰ ἔχουν γι' αὐτὸν ποὺ ὑπερέχει ἀσύγκριτα ἀπ' ὅλα, τὴν ἀπέδωσαν στὸ ἀσύγκριτα κατώτερο ἀπ' ὅλα. Καὶ ποιά σχέση ἔχουν αὐτά, θὰ πεῖ κάποιος, μὲ τοὺς φιλοσόφους; Βέβαια σ' αὐτοὺς κυρίως ἀπευθύνονται ὅλα ὅσα ἔχουν εἰπωθεῖ. Γιατὶ αὐτοὶ ἔχουν διδασκάλους τοὺς Αἰγυπτίους ποὺ τὰ ἐπινόησαν αὐτά. Καὶ ὁ Πλάτων ποὺ φαίνεται πὼς εἶναι πιὸ σπουδαῖος ἀπὸ τοὺς ἄλλους, καυχιέται γι' αὐτά, καὶ ὁ δάσκαλός του συγκινοῦνταν ἀπὸ τὰ εἴδωλα αὐτά. Αὐτὸς εἶναι ἐκεῖνος ποὺ συμβούλευε νὰ θυσιάζουν τὸν πετεινὸ στὸν Ἀσκληπιό.

Ἐδῶ θὰ μποροῦσε νὰ δεῖ κανεὶς εἰκόνες τῶν ἄγριων αὐτῶν θηρίων καὶ τῶν ἑρπετῶν, ἀλλὰ καὶ τὸν Ἀπόλλωνα καὶ τὸ Διόνυσο νὰ λατρεύονται μαζὶ μὲ τὰ ἑρπετὰ αὐτά. Μερικοὶ μάλιστα ἀπὸ τοὺς φιλοσόφους καὶ στὸν οὐρανὸ ἀνέβασαν ταύρους καὶ σκορπιοὺς καὶ δράκοντες καὶ κάθε ἄλλη ἀνοησία. Γιατὶ παντοῦ ὁ διάβολος φρόντισε νὰ κατεβάσει στὰ ὁμοιώματα τῶν ἑρπετῶν τοὺς ἀνθρώπους καὶ νὰ ὑποτάξει στὰ πιὸ ἄλογα ἀπ' ὅλα τὰ ζῶα αὐτούς, τοὺς ὁποίους ὁ Θεὸς θέλησε ν' ἀνεβάσει πιὸ ψηλὰ ἀπὸ τὸν οὐρανό. Ὄχι μόνο ἀπὸ ἐδῶ, ἀλλὰ καὶ ἀπὸ ἀλλοῦ θὰ δεῖς αὐτὸν τὸν κορυφαῖο φιλόσοφο νὰ εἶναι ὑπεύθυνος γι' αὐτὰ ποὺ λέγονται. Ὅταν λοιπὸν συγκεντρώνει τοὺς ποιητὲς καὶ λέγει πὼς πρέπει νὰ τοὺς πιστεύει κανεὶς στὰ λόγια τους γιὰ τὸ Θεό, ἐπειδὴ γνωρίζουν πολὺ καλά, δὲν εἰσάγει τίποτε ἄλλο παρὰ τὸ σύνολο τῶν ἀνοησιῶν αὐτῶν, καὶ λέγει πὼς αὐτὸ τὸ πολὺ γελοῖο πρέπει νὰ τὸ θεωροῦμε ὅτι εἶναι ἀληθινό.

«Γι' αὐτὸ καὶ ὁ Θεὸς τοὺς παρέδωσε μὲ τὶς ἐπιθυμίες τῶν καρδιῶν τους σὲ ἀκαθαρσία, ὥστε νὰ ἀτιμάζονται τὰ σώματά τους ἀπ' αὐτοὺς τοὺς ἴδιους». Ἀπὸ ἐδῶ ἀποδείχνει πὼς ἡ ἀσέβεια ἔγινε αἰτία καὶ τῆς διαστροφῆς τῶν

ἀσέβεια γέγονεν αἰτία. Τὸ δέ, «Παρέδωκεν», ἐνταῦθα εἴασέν ἐστιν». Ὥσπερ γὰρ ὁ στρατοπέδου προηγούμενος ἂν τοῦ πολέμου βαρήσαντος ἀναχωρήσας ἀπέλθοι, παραδίδωσι τοῖς πολεμίοις τοὺς στρατιώτας, οὐχὶ αὐτὸς ὠθῶν, ἀλλὰ γυμνῶν τῆς ἑαυτοῦ βοηθείας· οὕτω καὶ ὁ Θεὸς τοὺς οὐ βουληθέντας δέξασθαι τὰ παρ' αὐτοῦ, ἀλλὰ πρώτους ἀποπηδήσαντας, ἀφῆκεν, αὐτὸς τὰ παρ' ἑαυτοῦ πάντα πληρώσας. Σκόπει δέ· προὔθηκεν ἀντὶ διδασκαλίας εἰς μέσον τὸν κόσμον· ἔδωκε νοῦν καὶ διάνοιαν δυναμένην τὸ δέον συνιδεῖν. Οὐδενὶ τούτων ἐχρήσαντο πρὸς σωτηρίαν οἱ τότε, ἀλλὰ καὶ εἰς τοὐναντίον περιέστρεψαν, ὅπερ ἔλαβον. Τί οὖν ποιῆσαι ἐχρῆν; πρὸς ἀνάγκην ἕλκειν καὶ βίαν; Ἀλλ' οὐκ ἔστι τοῦτο ποιεῖν ἐναρέτους. Ἐλείπετο δὲ ἀφεῖναι, ὅπερ καὶ ἐποίησεν, ἵνα κἂν οὕτω τῇ πείρᾳ μαθόντες, ὧν ἐπεθύμησαν, φύγωσι τὴν αἰσχύνην. Καὶ γὰρ εἴ τις βασιλέως υἱὸς ὤν, τὸν πατέρα ἀτιμάσας ἕλοιτο εἶναι μετὰ λῃστῶν καὶ ἀνδροφόνων καὶ τυμβωρύχων, καὶ τὰ ἐκείνων προτιμήσειε τῆς πατρῴας οἰκίας, ἀφίησιν αὐτὸν ὁ πατήρ, ὥστε διὰ τῆς πείρας αὐτῆς μαθεῖν τῆς οἰκείας ἀνοίας τὴν ὑπερβολήν.

4. Διὰ τί δὲ μηδεμιᾶς ἄλλης ἐμνημόνευσεν ἁμαρτίας, οἷον φόνου, πλεονεξίας, καὶ τῶν ἄλλων τῶν τοιούτων, ἀλλ' ἀκολασίας; Τοὺς ἀκούοντας τότε μοι δοκεῖ, καὶ τοὺς τὴν ἐπιστολὴν δεχομένους αἰνίττεσθαι. «Εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς». Ὅρα τὴν ἔμφασιν πληκτικωτάτην οὖσαν. Οὐ γὰρ ἑτέρων ἐδεήθησαν, φησί, τῶν ὑβριζόντων, ἀλλ' ἅπερ ἂν αὐτοὺς οἱ ἐχθροὶ διέθηκαν, ταῦτα ἑαυτοὺς κατειργάσαντο. Εἶτα πάλιν τὴν αἰτίαν ἀναλαβών, φησίν· «Οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει, καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα». Ἃ μὲν ἦν σφόδρα καταγέλαστα, τίθησι κατ' εἶδος, ἃ

νόμων τῆς φύσης. Τὸ «παρέδωσε», ἐδῶ σημαίνει ἄφησε». Γιατὶ ὅπως ὁ ἀρχηγὸς τοῦ στρατοπέδου ἂν φύγει καὶ ἀπομακρυνθεῖ, ὅταν φουντώσει ὁ πόλεμος, παραδίνει τοὺς στρατιῶτες στοὺς ἐχθρούς, ὄχι ἐπειδὴ τοὺς ὠθεῖ ὁ ἴδιος, ἀλλ' ἐπειδὴ τοὺς στερεῖ τὴ δική του βοήθεια, ἔτσι καὶ ὁ Θεὸς ἐκείνους ποὺ δὲ θέλησαν νὰ δεχθοῦν τὰ δικά του, ἀλλὰ πρῶτοι ἀπομακρύνθηκαν, τοὺς ἄφησε, ἀφοῦ τήρησε ὁ ἴδιος ὅλα τὰ δικά του. Παρατήρησε ὅμως· ἔβαλε ἀντὶ γιὰ διδασκαλία στὴ μέση τὸν κόσμο· ἔδωσε νοῦ καὶ σκέψη ποὺ μπορεῖ νὰ καταλάβει τὸ σωστό. Τίποτε ἀπ' αὐτὰ δὲ χρησιμοποίησαν γιὰ τὴ σωτηρία τους τότε οἱ ἄνθρωποι, ἀλλὰ καὶ αὐτὸ ποὺ πῆραν, τὸ ἔστρεψαν ἀντίθετα. Τί ἔπρεπε λοιπὸν νὰ κάμει; νὰ τοὺς προσελκύει ἀναγκαστικὰ καὶ βίαια; Ἀλλὰ δὲν εἶναι δυνατὸ αὐτὸ νὰ κάνει ἐνάρετους τοὺς ἀνθρώπους. Ἀπέμεινε ὅμως νὰ τοὺς ἀφήσει, πράγμα ποὺ καὶ ἔκαμε, γιὰ ν' ἀποφύγουν τουλάχιστο ἔτσι τὴν ντροπή, μαθαίνοντας μὲ τὴν πείρα ἐκεῖνα ποὺ ἐπιθύμησαν. Γιατὶ πραγματικὰ ἂν κάποιος, ἐνῶ εἶναι υἱὸς τοῦ βασιλιᾶ, διαλέξει, ἀτιμάζοντας τὸν πατέρα του, νὰ ζεῖ μαζὶ μὲ τοὺς ληστὲς καὶ τοὺς δολοφόνους καὶ τοὺς τυμβωρύχους, καὶ προτιμήσει τὰ ἀγαθά τους ἀπὸ τὸ πατρικὸ σπίτι, τὸν ἀφήνει ὁ πατέρας του, ὥστε μὲ τὴν πείρα του αὐτὴ νὰ μάθει τὸ μέγεθος τῆς δικῆς του ἀνοησίας.

4. Γιατί ὅμως δὲν ἀνέφερε καμιὰ ἄλλη ἁμαρτία, ὅπως τὸ φόνο, τὴν πλεονεξία καὶ τὶς ἄλλες τὶς παρόμοιες, ἀλλὰ τὴν ἀκολασία; Μοῦ φαίνεται πὼς ὑπονοεῖ τοὺς ἀκροατές του τότε καὶ τοὺς παραλῆπτες τῆς ἐπιστολῆς. «Σὲ ἀκολασία, ὥστε νὰ ἀτιμάζονται τὰ σώματά τους ἀπ' αὐτοὺς τοὺς ἴδιους». Πρόσεχε πόσο δυνατὰ προσβάλλει ὁ λόγος του. Γιατὶ δὲν ἐπιθύμησαν, λέγει, ἄλλες ἀσέλγειες, ἀλλ' αὐτὰ ποὺ τοὺς ἀπέδωσαν οἱ ἐχθροί, αὐτὰ ἔκαμαν στὸν ἑαυτό τους. Ἔπειτα πάλι ἐξετάζοντας τὴν αἰτία, λέγει· «Αὐτοὶ ἀντικατέστησαν τὴν ἀλήθεια τοῦ Θεοῦ μὲ τὸ ψέμα, καὶ σεβάστηκαν καὶ λάτρευσαν τὴν κτίση ἀντὶ γιὰ τὸν κτίστη». Ἐκεῖνα ποὺ εἶναι πάρα πολὺ γελοῖα τὰ βάζει χωριστά, ἐνῶ ἐκεῖνα ποὺ θεωρεῖ πὼς εἶναι πιὸ σοβαρὰ ἀπὸ

δὲ δοκεῖ σεμνότερα εἶναι τῶν ἄλλων, καθολικῶς· καὶ διὰ πάντων δείκνυσιν, ὅτι τὸ τῇ κτίσει λατρεύειν, Ἑλληνικόν. Καὶ ὅρα πῶς τὸν λόγον ἐδήλωσεν. Οὐ γὰρ εἶπεν ἁπλῶς, ἐλάτρευσαν τῇ κτίσει, ἀλλὰ «Παρὰ τὸν κτίσαντα»· πανταχοῦ ταύτῃ τὸ ἔγκλημα ἐπαίρων, καὶ τῇ παραθέσει πάσης συγγνώμης αὐτοὺς ἀποστερῶν.

«Ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν. Ἀλλ' οὐ διὰ τοῦτό τι παρεβλάβη, φησίν· αὐτὸς μὲν γὰρ εἰς τοὺς αἰῶνας εὐλογητός. Ἐνταῦθα δείκνυσιν, ὅτι οὐχ ἑαυτῷ ἀμύνων εἴασεν αὐτούς, ὅπου γε αὐτὸς οὐδὲν ἔπασχεν. Εἰ γὰρ καὶ οὗτοι ὕβρισαν, ἀλλ' ἐκεῖνος οὐχ ὕβριστο, οὐδὲ ἠκρωτηριάσθη τὰ τῆς δόξης αὐτῷ, ἀλλὰ μένει διαπαντὸς εὐλογητός. Εἰ γὰρ ἄνθρωπος πολλάκις φιλοσοφῶν οὐδὲν ἂν πάθοι παρὰ τῶν ὑβριζόντων, πολλῷ μᾶλλον ὁ Θεός, ἡ ἀνώλεθρος καὶ ἄτρεπτος φύσις, ἡ ἀναλλοίωτος καὶ ἀκίνητος δόξα. Καὶ γὰρ ἄνθρωποι κατ' αὐτὸ ὁμοιοῦνται Θεῷ, ὅταν μηδὲν πάσχωσι παρὰ τῶν ἐπηρεάζειν βουλομένων, μηδὲ ὑβριζόντων ὑβρίζωνται, μηδὲ τυπτόντων τύπτωνται, μηδὲ καταγελῶνται καταγελώντων ἑτέρων αὐτούς.

Καὶ πῶς ἔνι γενέσθαι τοῦτο, φησίν; Ἔνι, καὶ σφόδρα ἔνι, ὅταν μὴ ἀλγῇς τοῖς γινομένοις. Καὶ πῶς ἔνι μὴ ἀλγεῖν, φησί; Πῶς ἔνι μὲν οὖν ἀλγεῖν; Εἰπέ γάρ μοι, εἰ τὸ παιδάριον ὑβρίσειέ σε τὸ σόν, ἆρα ὕβριν ἡγήσῃ τὴν ὕβριν; τί δέ, ἀλγήσεις; Οὐδαμῶς· ἂν δὲ ἀλγήσῃς, οὐ τότε ἔσῃ καταγέλαστος; Οὕτω καὶ ἐπὶ τῶν πλησίον διακεισώμεθα, καὶ οὐδὲν πεισόμεθα ἀηδὲς (τῶν γὰρ παίδων οἱ ὑβρίζοντες ἀνοητότεροι), μηδὲ ζητῶμεν μὴ ὑβρίζεσθαι, ἀλλὰ ὑβριζόμενοι φέρωμεν γενναίως· αὕτη γάρ ἐστιν ἡ βεβαία τιμή. Τί δήποτε; Ὅτι σὺ κύριος τούτου, ἐκείνου δὲ ἕτερος. Οὐχ ὁρᾷς τὸν ἀδάμαντα ἐν τῷ παίεσθαι

τὰ ἄλλα, τὰ ἀναφέρει γενικά καὶ μὲ ὅλα ἀποδείχνει, ὅτι τὸ νὰ λατρεύει κανεὶς τὴν κτίση, εἶναι συνήθεια ἑλληνική. Καὶ πρόσεχε πῶς φανέρωσε τὸ λόγο. Γιατὶ δὲν εἶπε μόνο, λάτρευσαν τὴν κτίση, ἀλλὰ «Ἀντὶ τὸν κτίστη», τονίζοντας παντοῦ ἔτσι τὸ σφάλμα τους καὶ ἀποστερώντας αὐτοὺς ἀπὸ κάθε συγγνώμη μὲ τὴν φράση αὐτή.

«Ὁ ὁποῖος πρέπει νὰ δοξάζεται στοὺς αἰῶνες. Ἀμήν». Ἀλλὰ δὲν ἔπαθε γι' αὐτὸ κάποια ζημιά, λέγει, γιατὶ αὐτὸς εἶναι εὐλογητὸς στοὺς αἰῶνες. Ἐδῶ δείχνει, ὅτι δὲν τοὺς ἄφησε αὐτούς, γιὰ νὰ ὑπερασπισθεῖ τὸν ἑαυτό του, ἀφοῦ βέβαια δὲν ἔπαθε αὐτὸς τίποτε. Γιατὶ ἂν αὐτοὶ φέρθηκαν ὑβριστικά, ἐκεῖνος ὅμως δὲν εἶχε προσβληθεῖ, οὔτε χάθηκε κάτι ἀπὸ τὴ δόξα του, ἀλλὰ μένει παντοτινὰ εὐλογητός. Ἀφοῦ λοιπὸν ὁ ἄνθρωπος ποὺ πολλὲς φορὲς φιλοσοφεῖ δὲν μπορεῖ νὰ πάθει τίποτε ἀπὸ τοὺς ὑβριστές του, πολὺ περισσότερο δὲν εἶναι δυνατὸ νὰ πάθει ὁ Θεός, ἡ ἄφθαρτη καὶ ἀμετάβλητη φύση, ἡ ἀναλλοίωτη καὶ σταθερὴ δόξα. Γιατὶ πραγματικὰ οἱ ἄνθρωποι γίνονται ὅμοιοι μὲ τὸ Θεὸ σ' αὐτό, ὅταν δηλαδὴ δὲν παθαίνουν τίποτε ἀπ' αὐτοὺς ποὺ θέλουν νὰ τοὺς βλάπτουν, οὔτε προσβάλλονται ἐνῶ τοὺς βρίζουν, οὔτε πληγώνονται ἐνῶ τοὺς πληγώνουν, οὔτε χλευάζονται ἐνῶ τοὺς χλευάζουν ἄλλοι.

Καὶ πῶς, θὰ πεῖ κάποιος, εἶναι δυνατὸ νὰ γίνει αὐτό; Εἶναι δυνατό, καὶ πάρα πολὺ μάλιστα εἶναι, ὅταν δὲ στενοχωριέσαι μ' αὐτὰ ποὺ γίνονται. Καὶ πῶς, λέγει, εἶναι δυνατὸ νὰ μὴ στενοχωριέται κανείς; Γιὰ πές μου, ἂν σὲ προσβάλει τὸ παιδί σου, ἄραγε θὰ θεωρήσεις ὕβρη τὴν προσβολή; Καὶ τί, θὰ στενοχωρηθεῖς; Καθόλου. Ἂν ὅμως στενοχωρηθεῖς, δὲ θὰ εἶσαι τότε γελοῖος; Ἔτσι ἂς συμπεριφερόμαστε καὶ στὴν περίπτωση τοῦ πλησίον μας, καὶ δὲ θὰ πάθομε τίποτε δυσάρεστο (γιατὶ οἱ ὑβριστὲς εἶναι πιὸ ἀνόητοι ἀπὸ τὰ παιδιά), οὔτε νὰ ζητοῦμε νὰ μὴ μᾶς προσβάλλουν, ἀλλ' ὅταν μᾶς προσβάλλουν νὰ τὸ ὑποφέρουμε γενναῖα, γιατὶ αὐτὴ εἶναι ἡ μόνιμη τιμή. Τί λοιπὸν συμβαίνει; Ὅτι ἐσὺ εἶσαι κύριος σ' αὐτόν, ἐνῶ σ' ἐκεῖνον ἄλλος. Δὲ βλέπεις πὼς τὸ διαμάντι πληγώνει,

πλήττοντα;'Αλλ' ἡ φύσις, φησί, τοῦτο ἔχει. 'Αλλὰ καί σοι δυνατὸν ἐν τῇ προαιρέσει γενέσθοι τοιοῦτον, ὅπερ ἀπὸ φύσεως ἐκείνῳ συμβαίνει. Τί δέ; οὐκ εἶδες τοὺς παῖδας ἐν τῇ καμίνῳ μὴ καιομένους; καὶ τὸν Δανιὴλ ἐν τῷ λάκκῳ μηδὲν πάσχοντα δεινόν; Ἔξεστι καὶ νῦν τοῦτο γενέσθαι· παρεστήκασι καὶ ἡμῖν λέοντες, θυμός, ἐπιθυμία, χαλεποὺς ἔχοντας ὀδόντας, διασπῶντες τὸν ἐμπίπτοντα. Γενοῦ τοίνυν κατὰ τὸν Δανιήλ, καὶ μὴ δῷς τοῖς πάθεσι τούτοις τοὺς ὀδόντας ἐμπῆξαί σου τῇ ψυχῇ.

'Αλλ' ἐκεῖνος τῆς χάριτος τὸ ὅλον εἶχε συμπρᾶττον, φησί. Καλῶς, ἐπειδὴ ταύτης τὰ τῆς προαιρέσεως προηγήσατο. Ὥστε ἐὰν θέλωμεν καὶ ἡμεῖς τοιούτους ἑαυτοὺς κατασκευάσαι, πάρεστι καὶ νῦν ἡ χάρις· κἂν πεινᾷ τὰ θηρία, οὐχ ἅψεταί σου τῆς πλευρᾶς. Εἰ γὰρ σῶμα δουλικὸν ἰδόντες ᾐδέσθησαν, τὰ μέλη τοῦ Χριστοῦ θεασάμενοι (τοῦτο γάρ ἐσμεν οἱ πιστοί), πῶς οὐχ ἡσυχάσουσιν; Εἰ δὲ οὐχ ἡσυχάσουσι, παρὰ τὴν τῶν ἐμβληθέντων αἰτίαν. Καὶ γὰρ πολλοὶ τοῖς λέουσι τούτοις πολλὴν παρέχουσι δαπάνην, πόρνας τρέφοντες, γάμους διορύττοντες, ἐχθροὺς ἀμυνόμενοι· διὸ πρὶν πρὸς τὸ ἔδαφος ἐλθεῖν, διασπῶνται. 'Αλλ' οὐκ ἐπὶ τοῦ Δανιὴλ τοῦτο γέγονεν, ἀλλ' οὐδὲ ἐφ' ἡμῶν, εἰ βουληθείημεν, τοῦτο ἔσται, ἀλλὰ καὶ πλέον τι συμβήσεται τῶν γενομένων τότε. 'Εκεῖ μὲν γὰρ οὐκ ἠδίκησαν οἱ λέοντες, ἡμᾶς δέ, ἐὰν νήφωμεν, καὶ ὠφελήσουσιν οἱ ἀδικοῦντες.

Οὕτω γοῦν ὁ Παῦλος λαμπρὸς ἐγένετο ἀπὸ τῶν ἐπηρεαζόντων καὶ ἐπιβουλευόντων, οὕτως ὁ 'Ιὼβ ἀπὸ τῶν πολλῶν πληγῶν ἐκείνων, οὕτως ὁ 'Ιερεμίας ἀπὸ τοῦ λάκκου τοῦ βορβόρου, οὕτως ὁ Νῶε ἀπὸ τοῦ κατακλυσμοῦ, οὕτως ὁ Ἄβελ ἀπὸ τῆς ἐπιβουλῆς, οὕτως ὁ Μωϋσῆς ἀπὸ τῶν φονώντων 'Ιουδαίων, οὕτως ὁ 'Ελισσαῖος, οὕτως ἕκαστος τῶν μεγάλων ἐκείνων, οὐκ ἀπὸ ἀνέσεως καὶ τρυφῆς, ἀλλ'

ὅταν τὸ κτυποῦν; Αὐτὸ ὅμως, λέγει, εἶναι ἰδιότητα τῆς φύσης του. Ἀλλὰ καὶ ἐσὺ εἶναι δυνατὸ μὲ τὴν προαίρεσή σου νὰ γίνεις τέτοιος, ὅπως συμβαίνει σ' αὐτὸ ἀπὸ τὴ φύση. Τί λοιπόν; δὲν εἶδες τοὺς νέους νὰ μὴν καίγονται μέσα στὸ καμίνι; καὶ τὸ Δανιὴλ νὰ μὴν παθαίνει τίποτε τὸ φοβερὸ μέσα στὸ λάκκο; Εἶναι δυνατὸ καὶ τώρα νὰ γίνει αὐτό. Βρίσκονται κοντά μας λιοντάρια, δηλαδὴ ὁ θυμὸς καὶ ἡ ἐπιθυμία, ποὺ ἔχουν φοβερὰ δόντια καὶ κατασπαράζουν αὐτὸν ποὺ πέφτει σ' αὐτά. Νὰ γίνεις λοιπόν, ὅπως ὁ Δανιὴλ καὶ νὰ μὴν ἐπιτρέπεις στὰ πάθη αὐτὰ νὰ πληγώσουν τὴν ψυχή σου.

Ἐκεῖνος ὅμως, θὰ πεῖ κάποιος, εἶχε ὁλοσχερῶς τὴ βοήθεια τῆς χάρης. Σωστά· ἐπειδὴ προηγήθηκε ἡ δική του προαίρεση. Ἑπομένως ἐὰν θέλομε καὶ ἐμεῖς νὰ κάνομε τέτοιους τοὺς ἑαυτούς μας, εἶναι παροῦσα καὶ τώρα ἡ χάρη· καὶ ἂν ἀκόμη πεινοῦν τὰ θηρία, δὲ θὰ πλησιάσουν τὴν πλευρά σου. Γιατί, ἀφοῦ σεβάστηκαν σῶμα δούλου, ὅταν τὸ εἶδαν, βλέποντας τὰ μέλη τοῦ Χριστοῦ (γιατὶ αὐτὸ εἴμαστε ἐμεῖς οἱ πιστοί), πῶς δὲ θὰ ἡσυχάσουν; Ἐὰν ὅμως δὲν ἡσυχάσουν, αὐτὸ γίνεται ἐξ αἰτίας ἐκείνων ποὺ ἔπεσαν σ' αὐτά. Γιατὶ πραγματικὰ πολλοὶ ξοδεύουν πολλὰ σ' αὐτὰ τὰ λεοντάρια, διατηρώντας πόρνες, ὑπονομεύοντας γάμους, παίρνοντας ἐκδίκηση ἀπὸ τοὺς ἐχθρούς· γι' αὐτὸ πρὶν νὰ ἔρθουν στὸ ἔδαφος, καταστρέφονται. Ἀλλὰ δὲν ἔγινε αὐτὸ στὸ Δανιήλ, ἀλλ' οὔτε καὶ σὲ μᾶς θὰ γίνει, ἐὰν θέλομε, ἀλλὰ θὰ συμβεῖ καὶ κάτι παραπάνω ἀπ' αὐτὰ ποὺ ἔγιναν τότε. Γιατὶ ἐκεῖ βέβαια δὲν ἔβλαψαν τὰ λεοντάρια, ἐνῶ ἐμᾶς, ἐὰν εἴμαστε νηφάλιοι, θὰ μᾶς ὠφελήσουν κιόλας αὐτοί, ποὺ μᾶς ἀδικοῦν.

Ἔτσι λοιπὸν ὁ Παῦλος ἔγινε διάσημος ἀπ' αὐτοὺς ποὺ προσπαθοῦσαν νὰ τὸν βλάψουν καὶ νὰ πράξουν κακὸ ἐναντίον του, ἔτσι ὁ Ἰὼβ ἀπὸ ἐκεῖνες τὶς πολλὲς συμφορές, ἔτσι ὁ Ἰερεμίας ἀπὸ τὸ γεμάτο βοῦρκο λάκκο, ἔτσι ὁ Νῶε ἀπὸ τὸν κατακλυσμό, ἔτσι ὁ Ἄβελ ἀπὸ τὴν ἐπιβουλή, ἔτσι ὁ Μωϋσῆς ἀπὸ τοὺς Ἰουδαίους ποὺ ἐπιθυμοῦσαν τὸ φόνο, ἔτσι ὁ Ἐλισσαῖος, ἔτσι καθένας ἀπὸ τοὺς μεγάλους

ἀπὸ θλίψεων καὶ πειρασμῶν λαμπροὺς ἀνεδήσαντο στεφάνους. Διὸ καὶ ὁ Χριστὸς ταύτην εἰδὼς τῆς εὐδοκιμήσεως τὴν ὑπόθεσιν, τοῖς μαθηταῖς ἔλεγεν· «Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον». Τί οὖν; φησίν· οὐ πολλοὶ περιετράπησαν ὑπὸ τῶν δεινῶν; Οὐ παρὰ τὴν τῶν πειρασμῶν φύσιν, ἀλλὰ παρὰ τὴν ἑαυτῶν ῥαθυμίαν· ὁ δὲ ποιῶν σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν, αὐτὸς παρασταίη πᾶσιν ἡμῖν, καὶ χεῖρα ὀρέξειεν, ἵνα λαμπρῶς ἀνακηρυχθέντες, τῶν αἰωνίων ἐπιτύχωμεν στεφάνων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι δόξα, τιμή, κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

------

11. Ἀναφέρεται στὸ Σωκράτη.
12. Ἰω. 16. 33

ἐκείνους, δὲ φόρεσαν τὰ λαμπρὰ στεφάνια ἀπὸ τὶς ἀνέσεις καὶ τὶς ἀπολαύσεις, ἀλλ' ἀπὸ τὶς θλίψεις καὶ τοὺς πειρασμούς. Γι' αὐτὸ καὶ ὁ Χριστός, γνωρίζοντας τὴν προϋπόθεση τῆς ἐπιτυχίας, ἔλεγε στοὺς μαθητές· «Μέσα στὸν κόσμο θὰ ἔχετε θλίψη. Ἀλλὰ νὰ ἔχετε θάρρος, ἐγὼ ἔχω νικήσει τὸν κόσμο»[12]. Τί λοιπόν; θὰ πεῖ κάποιος· δὲν ἄλλαξαν πολλοὶ ἀπὸ τὰ δεινά; Ὄχι ἀπὸ τὴ φύση τῶν πειρασμῶν, ἀλλ' ἀπὸ τὴ δική τους ἀδιαφορία. Αὐτὸς ὅμως ποὺ κάνει μαζὶ μὲ τὸν πειρασμὸ νὰ μπορέσουμε νὰ ποφέρουμε καὶ τὸ τέλος, αὐτὸς εἴθε νὰ μᾶς παραστέκει ὅλους καὶ ν' ἁπλώσει τὸ χέρι του, ὥστε, ἀφοῦ ἀνακηρυχθοῦμε μὲ λαμπρότητα νικητές, νὰ ἐπιτύχουμε τὰ αἰώνια στεφάνια, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ τὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ τιμή, καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε, καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ε΄

(Ρωμ. 1, 18 - 25)

«Διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας. Αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν. Ὁμοίως δὲ καὶ οἱ ἄρρενες, ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους».

1. Πάντα μὲν οὖν ἄτιμα τὰ πάθη, μάλιστα δὲ ἡ κατὰ τῶν ἀρρένων μανία· καὶ γὰρ πάσχει ἐν τοῖς ἁμαρτήμασιν ἡ ψυχὴ μᾶλλον καὶ καταισχύνεται, ἢ τὸ σῶμα ἐν τοῖς νοσήμασι. Θέα δὲ πῶς αὐτοὺς καὶ ἐνταῦθα συγγνώμης ἀποστερεῖ, καθάπερ ἐπὶ τῶν δογμάτων, ἐπὶ μὲν τῶν θηλειῶν εἰπών, «Μετήλλαξαν τὴν φυσικὴν χρῆσιν». Οὐ γὰρ ἔχει τις εἰπεῖν, φησίν, ὅτι κωλυθεῖσαι τῆς κατὰ νόμον μίξεως, ἐπὶ τοῦτο ἦλθον, οὔθ' ὅτι οὐκ ἔχουσαι τὴν ἐπιθυμίαν πληρῶσαι. πρὸς τὴν ἀλλόκοτον ταύτην λύσσαν ἐξώκειλαν· τὸ γὰρ μεταλλάξαι τῶν ἐχόντων ἐστίν· ὅπερ καὶ ἐπὶ τῶν δογμάτων διαλεγόμενος ἔλεγε· «Μετήλλαξαν τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει». Ἐπὶ δὲ τῶν ἀρρένων πάλιν ἑτέρως τὸ αὐτὸ ἐδήλωσεν, εἰπών· «Ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας». Καὶ ὁμοίως ἐκείναις καὶ τούτους ἐκβάλλει πάσης ἀπολογίας, κατηγορῶν αὐτῶν, οὐ μόνον ὅτι εἶχον ἀπόλαυσιν, καὶ ἀφέντες ἣν εἶχον, ἐπ' ἄλλην ἦλθον, ἀλλ' ὅτι τὴν κατὰ φύσιν ἀτιμάσαντες, ἐπὶ τὴν παρὰ φύσιν ἔδραμον. Δυσκολώτερα δὲ τὰ παρὰ φύσιν καὶ ἀηδέστερα,

1. Ρωμ. 1, 25

Ο Μ Ι Λ Ι Α Ε΄

(Ρωμ. 1, 18 - 25)

«Γι᾿ αὐτὸ ὁ Θεὸς τοὺς παρέδωσε σὲ ἀτιμωτικὰ πάθη. Γιατὶ καὶ οἱ γυναῖκες τους ἄλλαξαν τὴ φυσικὴ σχέση μὲ τὴν παρὰ φύση. Καθ᾿ ὅμοιο ἀκριβῶς τρόπο καὶ οἱ ἄνδρες, ἀφήνοντας τὴ φυσικὴ χρήση τῆς γυναίκας, κάηκαν ἀπὸ ἐπιθυμία μεταξύ τους».

1. Ὅλα βέβαια τὰ πάθη εἶναι ἀτιμωτικά, ἰδιαίτερα ὅμως ἡ μανία γιὰ τοὺς ἄνδρες. Γιατὶ πραγματικὰ στὰ ἁμαρτήματα ἡ ψυχὴ ὑποφέρει περισσότερο καὶ καταντροπιάζεται, ἀπ᾿ ὅ,τι τὸ σῶμα στὶς ἀρρώστιες. Βλέπε ὅμως πῶς τοὺς στερεῖ καὶ ἐδῶ τὴ συγγνώμη, ὅπως ἀκριβῶς καὶ στὰ δόγματα, λέγοντας γιὰ τὶς γυναῖκες, «Ἄλλαξαν τὴ φυσικὴ σχέση». Γιατὶ δὲν μπορεῖ νὰ πεῖ κανείς, λέγει, πὼς ἔφθασαν σ᾿ αὐτό, ἐπειδὴ ἐμποδίστηκαν ἀπὸ τὴ φυσικὴ συνουσία, οὔτε πὼς κατάντησαν σ᾿ αὐτὴ τὴν ἀλλόκοτη λύσσα, ἐπειδὴ δὲν μποροῦσαν νὰ ἐκπληρώσουν τὴν ἐπιθυμία τους, γιατὶ ἡ ἀλλαγὴ εἶναι γνώρισμα αὐτῶν ποὺ μποροῦν νὰ τὴν κάνουν. Αὐτὸ ἔλεγε μιλώντας καὶ γιὰ τὰ δόγματα· «Ἄλλαξαν τὴν ἀλήθεια τοῦ Θεοῦ μὲ τὸ ψέμα»[1]. Καὶ γιὰ τοὺς ἄνδρες πάλι τὸ ἴδιο δήλωσε διαφορετικά, λέγοντας· «Ἀφήνοντας τὴ φυσικὴ χρήση τῆς γυναίκας». Καὶ ὅμοια μ᾿ ἐκεῖνες τοὺς στερεῖ καὶ αὐτοὺς κάθε δικαιολογία, κατηγορώντας αὐτούς, ὄχι μόνο ὅτι εἶχαν ἀπόλαυση καί, ἀφοῦ ἄφησαν αὐτὴ ποὺ εἶχαν, ἦρθαν σ᾿ ἄλλη, ἀλλ᾿ ὅτι, ἀφοῦ ἀτίμασαν τὴ φυσικὴ ἀπόλαυση, ἔτρεξαν στὴν παρὰ φύση.

Τὰ παρὰ φύση ὅμως εἶναι πιὸ δύσκολα καὶ πιὸ δυ-

ὥστε οὐδὲ ἡδονὴν ἂν ἔχοιεν εἰπεῖν· ἡ γὰρ γνησία ἡδονὴ ἡ κατὰ φύσιν ἐστίν· ἀλλ' ὅταν ὁ Θεὸς ἐγκαταλίπῃ, πάντα ἄνω καὶ κάτω γίνεται. Διὰ τοῦτο οὐ τὸ δόγμα αὐτοῖς σατανικὸν μόνον ἦν, ἀλλὰ καὶ ὁ βίος διαβολικός. Ὅτε μὲν οὖν περὶ δογμάτων διελέγετο, τὸν κόσμον εἰς μέσον ἔθηκε καὶ τὴν διάνοιαν τὴν ἀνθρωπίνην, εἰπών, ὅτι τῇ συνέσει τῇ παρὰ τοῦ Θεοῦ δεδομένῃ διὰ τῶν ὁρωμένων ἠδύναντο χειραγωγηθῆναι πρὸς τὸν δημιουργόν, εἶτα μὴ βουληθέντες, ἔμειναν ἀσύγγνωστοι. Ἐνταῦθα δὲ ἀντὶ τοῦ κόσμου τὴν κατὰ φύσιν τέθεικεν ἡδονήν, ἧς ἠδύναντο μετὰ ἀδείας πλείονος ἀπολαύοντες καὶ μείζονος τῆς εὐφροσύνης, ἀπηλλάχθαι αἰσχύνης· ἀλλ' οὐκ ἠθέλησαν· ὅθεν καὶ συγγνώμης ἁπάσης εἰσὶν ἐκτὸς καὶ εἰς αὐτὴν τὴν φύσιν ὑβρίσαντες· καὶ τὸ δὴ τούτων ἀτιμότερον, ὅταν καὶ γυναῖκες ταύτας ἐπιζητῶσι τὰς μίξεις, ἃς ἀνδρῶν μᾶλλον αἰδεῖσθαι ἐχρῆν.

Ἄξιον δὲ θαυμάσαι καὶ ἐνταῦθα τοῦ Παύλου τὴν σύνεσιν, πῶς εἰς δύο πράγματα ἐμπεσὼν ἐναντία, ἀμφότερα ἤνυσε μετὰ πάσης ἀκριβείας. Ἐβούλετο γὰρ καὶ σεμνῶς εἰπεῖν, καὶ δακεῖν τὸν ἀκροατήν· ταῦτα δὲ ἀμφότερα οὐκ ἐνῆν, ἀλλὰ θάτερον ἐμποδίζει θατέρῳ. Ἂν μὲν γὰρ σεμνῶς εἴπῃς, οὐ δυνήσῃ καθικέσθαι τοῦ ἀκούοντος, ἐὰν δὲ βουληθῇς καθάψασθαι σφοδρῶς, ἀνάγκην ἔχεις ἀπογυμνῶσαι σαφέστερον τὸ λεγόμενον. Ἀλλ' ἡ συνετὴ καὶ ἁγία ψυχὴ μετὰ ἀκριβείας ἀμφότερα ἴσχυσεν, ἐν τῷ τῆς φύσεως ὀνόματι καὶ τὴν κατηγορίαν αὐξήσας, καὶ ὥσπερ παραπέτασμά τινι ταύτῃ χρησάμενος εἰς τὸ σεμνὸν τῆς διηγήσεως. Εἶτα τῶν γυναικῶν καθαψάμενος πρότερον, καὶ ἐπὶ τοὺς ἄνδρας πρόεισι, λέγων· «Ὁμοίως δὲ καὶ οἱ ἄρρενες, ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας», ὅπερ ἐσχάτης ἐστὶν ἀπωλείας δεῖγμα, ὅταν ἑκάτερον ᾖ τὸ γένος διεφθαρμένον, καὶ ὅ τε διδάσκαλος τῆς γυναικὸς εἶναι ταχθείς, ἥ τε

σάρεστα, ὥστε θὰ μποροῦσε νὰ πεῖ κανεὶς πὼς οὔτε ἡδονὴ ἔχουν, γιατὶ ἡ γνήσια ἡδονὴ εἶναι ἡ φυσική. Ἀλλ' ὅταν ὁ Θεὸς μᾶς ἐγκαταλείπει, τὰ πάντα γίνονται ἄνω κάτω. Γι' αὐτὸ δὲν ἦταν μόνο τὸ δόγμα σ' αὐτοὺς σατανικό, ἀλλὰ καὶ ἡ ζωή τους διαβολική. Ὅταν λοιπὸν μιλοῦσε γιὰ τὰ δόγματα, ἔβαλε στὴ μέση τὸν κόσμο καὶ τὸ νοῦ τοῦ ἀνθρώπου, λέγοντας, ὅτι μὲ τὴ σύνεση ποὺ τοὺς δίνει ὁ Θεὸς μποροῦσαν νὰ ὁδηγηθοῦν στὸ δημιουργὸ μέσα ἀπ' αὐτὰ ποὺ ἔβλεπαν, στὴ συνέχεια ὅμως, ἐπειδὴ δὲ θέλησαν, ἔμειναν ἀσυγχώρητοι. Ἐδῶ ὅμως ἀντὶ γιὰ τὸν κόσμο ἀνέφερε τὴ φυσικὴ ἡδονή, τὴν ὁποία μποροῦσαν ν' ἀπολαμβάνουν μὲ περισσότερη ἐλευθερία καὶ μεγαλύτερη εὐχαρίστηση καὶ νὰ εἶχαν ἀπαλλαχθεῖ ἀπὸ τὴν ντροπή. Ἀλλὰ δὲ θέλησαν. Γι' αὐτὸ καὶ εἶναι ἔξω ἀπὸ κάθε συγγνώμη, ἀφοῦ πρόσβαλαν καὶ τὴν ἴδια τὴ φύση. Καὶ τὸ πιὸ ἀτιμωτικὸ ἀπ' αὐτὰ εἶναι, ὅταν καὶ οἱ γυναῖκες ἐπιζητοῦν αὐτὲς τὶς σαρκικὲς σχέσεις, οἱ ὁποῖες ἔπρεπε νὰ ντρέπονται περισσότερο ἀπὸ τοὺς ἄνδρες.

Ἀξίζει ὅμως νὰ θαυμάσουμε καὶ ἐδῶ τὴ σύνεση τοῦ Παύλου, πῶς, ἂν καὶ ἔπεσε σὲ δύο πράγματα ἀντίθετα, καὶ τὰ δύο τὰ πραγματοποίησε μὲ κάθε ἀκρίβεια. Γιατὶ ἤθελε καὶ νὰ μιλήσει σεμνὰ καὶ νὰ ἐρεθίσει τὸν ἀκροατή· αὐτὰ ὅμως δὲν μποροῦσαν νὰ εἶναι μαζί, ἀλλὰ τὸ καθένα ἐμποδίζει τὸ ἄλλο. Γιατὶ ἂν μιλήσεις σεμνά, δὲ θὰ μπορέσεις νὰ ἐρεθίσεις τὸν ἀκροατή, ἂν ὅμως θελήσεις νὰ τὸν ἐρεθίσεις ὑπερβολικά, πρέπει νὰ κάνεις σαφέστερα τὰ λόγια σου. Ἀλλὰ ἡ συνετὴ καὶ ἅγια ψυχὴ κατόρθωσε νὰ ἐπιτύχει τὰ δύο μὲ ἀκρίβεια, αὐξάνοντας στὸ ὄνομα τῆς φύσης καὶ τὴν κατηγορία, καὶ χρησιμοποιώντας αὐτὴ σὰν κάποιο πρόσχημα γιὰ τὴ σεμνότητα τῆς διήγησης. Ἔπειτα, ἀφοῦ ἀναφέρθηκε πρῶτα στὶς γυναῖκες, προχωρεῖ καὶ στοὺς ἄνδρες, λέγοντας· «Καθ' ὅμοιο τρόπο καὶ οἱ ἄνδρες, ἀφήνοντας τὴ φυσικὴ χρήση τῆς γυναίκας», πράγμα ποὺ εἶναι ἀπόδειξη τῆς χειρότερης καταστροφῆς, ὅταν καὶ τὰ δύο φύλα εἶναι ἀνήθικα, καὶ αὐτὸς ποὺ ὁρίστηκε νὰ εἶναι διδάσκαλος τῆς γυναίκας καὶ

βοηθὸς τοῦ ἀνδρὸς κελευσθεῖσα γενέσθαι, τὰ τῶν ἐχθρῶν εἰς ἀλλήλους ἐργάζονται.

Σκόπει δὲ πῶς καὶ ἐμφαντικῶς χρῆται ταῖς λέξεσιν. Οὐ γὰρ εἶπεν, ὅτι ἠράσθησαν καὶ ἐπεθύμησαν ἀλλήλων, ἀλλ', «Ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους». Ὁρᾷς ὅτι ἀπὸ πλεονεξίας τὸ πᾶν τῆς ἐπιθυμίας, οὐκ ἀνασχομένης εἴσω τῶν οἰκείων ὅρων μένειν; Πᾶν γὰρ τὸ ὑπερβαῖνον τοὺς παρὰ Θεοῦ τιθέντας νόμους, τῶν ἀλλοκότων ἐπιθυμεῖ, καὶ οὐχὶ τῶν νενομισμένων. Ὥσπερ γὰρ πολλοὶ πολλάκις τὴν τῶν σιτίων ἐπιθυμίαν ἀφέντες, γῆν σιτοῦνται καὶ λίθους μικρούς, καὶ ἕτεροι δὲ ὑπὸ δίψους κατεχόμενοι σφοδροῦ, καὶ βορβόρου πολλάκις ἐπιθυμοῦσιν, οὕτω καὶ ἐκεῖνοι πρὸς τὸν παράνομον τοῦτον ἐξεβράσθησαν ἔρωτα. Εἰ δὲ λέγεις, καὶ πόθεν ἡ ἐπίτασις τῆς ἐπιθυμίας αὕτη; Ἀπὸ τῆς τοῦ Θεοῦ ἐγκαταλείψεως. Ἡ δὲ ἐγκατάλειψις τοῦ Θεοῦ πόθεν; Ἀπὸ τῆς τῶν ἀφέντων αὐτὸν ἀνομίας· «Ἄρρενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι».

2. Μὴ γὰρ ἐπειδὴ ἤκουσας, φησίν, ὅτι ἐξεκαύθησαν, τῆς ἐπιθυμίας μόνης εἶναι νομίσῃς τὸ νόσημα· καὶ γὰρ τὸ πλέον τῆς αὐτῶν ῥαθυμίας ἐστίν, ἣ καὶ τὴν ἐπιθυμίαν ἀνῆψε. Διὰ τοῦτο οὐκ εἶπε, παρασυρθέντες, ἢ προληφθέντες, ὅπερ ἀλλαχοῦ φησιν, ἀλλὰ τί; «Κατεργαζόμενοι». Ἔργον ἔθεντο τὴν ἁμαρτίαν, καὶ οὐχ ἁπλῶς ἔργον, ἀλλὰ καὶ ἐσπουδασμένον. Καὶ οὐκ εἶπεν, ἐπιθυμίαν, ἀλλ' «Ἀσχημοσύνην», κυρίως· καὶ γὰρ καὶ τὴν φύσιν ᾔσχυναν, καὶ τοὺς νόμους ἐπάτησαν. Καὶ ὅρα πολλὴν τὴν σύγχυσιν ἐξ ἀμφοτέρου τοῦ μέρους γινομένην. Οὐ γὰρ ἡ κεφαλὴ μόνη κάτω γέγονεν, ἀλλὰ καὶ οἱ πόδες ἄνω, καὶ πολέμιοι ἑαυτῶν καὶ ἀλλήλων ἐγένοντο, χαλεπήν τινα καὶ παντὸς ἐμφυλίου πολέμου παρανομωτέραν εἰσάγοντες μάχην καὶ πολυσχιδῆ καὶ ποικίλην. Καὶ γὰρ εἰς τέσσαρα ταύτην διεῖλον εἴδη κενὰ καὶ παράνομα· οὐ γὰρ διπλοῦς καὶ τριπλοῦς, ἀλλὰ καὶ τετραπλοῦς οὗτος ὁ πόλεμος ἦν.

αὐτὴ ποὺ διατάχθηκε νὰ γίνει βοηθὸς τοῦ ἄνδρα, κάνουν μεταξύ τους τὰ ἐχθρικὰ πράγματα.

Πρόσεχε ὅμως πῶς καὶ μὲ ἔμφαση χρησιμοποιεῖ τὶς λέξεις. Γιατὶ δὲν εἶπε, ὅτι ἀγάπησαν καὶ ἐπιθύμησαν ὁ ἕνας τὸν ἄλλο, ἀλλά, «Κάηκαν ἀπὸ ἐπιθυμία μεταξύ τους». Βλέπεις ὅτι τὸ πᾶν τῆς ἐπιθυμίας προέρχεται ἀπὸ τὴν πλεονεξία, ἐπειδὴ δὲν ἀνέχεται νὰ μένει μέσα στὰ δικά της ὅρια; Γιατί, καθετὶ ποὺ ξεπερνᾶ τοὺς νόμους ποὺ ὅρισε ὁ Θεός, ἐπιθυμεῖ πράγματα ἀλλόκοτα καὶ ὄχι τὰ νόμιμα. Ὅπως λοιπὸν πολλοί, ἀφοῦ ἐγκαταλείψουν πολλὲς φορὲς τὴν ἐπιθυμία τῶν φαγητῶν, τρώγουν χῶμα καὶ μικρὲς πέτρες, καὶ ἄλλοι ὅταν διψοῦν ὑπερβολικά, ἐπιθυμοῦν πολλὲς φορὲς καὶ βοῦρκο, ἔτσι καὶ ἐκεῖνοι ἔπεσαν στὸν παράνομο αὐτὸν ἔρωτα. Ἐὰν ὅμως λές, καὶ ἀπὸ ποῦ προέρχεται ἡ δύναμη αὐτὴ τῆς ἐπιθυμίας; Ἀπὸ τὴν ἐγκατάλειψη τοῦ Θεοῦ. Καὶ ἡ ἐγκατάλειψη τοῦ Θεοῦ ἀπὸ ποῦ; Ἀπὸ τὴν παρανομία αὐτῶν ποὺ τὸν ἐγκατέλειψαν «Κάνοντας ἄνδρες μὲ ἄνδρες τὴν ἀσχημοσύνη».

2. Μὴ νομίσεις λοιπόν, λέγει, ἐπειδὴ ἄκουσες πὼς κάηκαν, ὅτι ἡ ἀρρώστια ὀφείλεται μόνο στὴν ἐπιθυμία· γιατὶ πραγματικὰ τὸ περισσότερο μέρος ὀφείλεται στὴν ἀδιαφορία τους, ποὺ ἄναψε καὶ τὴν ἐπιθυμία. Γι᾽ αὐτὸ δὲν εἶπε, παρασυρόμενοι ἢ κυριευόμενοι, πράγμα ποὺ λέγει ἀλλοῦ, ἀλλὰ τί; «Κάνοντας». Θεώρησαν ἔργο τὴν ἁμαρτία, καὶ ὄχι ἁπλὰ ἔργο, ἀλλὰ καὶ φροντισμένο. Καὶ δὲν εἶπε, ἐπιθυμία, ἀλλ᾽ «Ἀσχημοσύνη», μὲ κυριολεκτικὴ σημασία. Γιατὶ πραγματικὰ καὶ τὴ φύση ντρόπιασαν, καὶ τοὺς νόμους καταπάτησαν. Καὶ πρόσεξε πὼς γίνεται μεγάλη σύγχυση καὶ ἀπὸ τὰ δύο μέρη. Γιατὶ δὲν πῆγε μόνο τὸ κεφάλι κάτω, ἀλλὰ καὶ τὰ πόδια πάνω, καὶ ἔγιναν ἐχθροὶ τοῦ ἑαυτοῦ τους καὶ μεταξύ τους, κάνοντας κάποια φοβερὴ μάχη πιὸ παράνομη ἀπὸ κάθε ἐμφύλιο πόλεμο καὶ πολύμορφη καὶ πολύτροπη. Γιατὶ χώρισαν τὴ μάχη αὐτὴ σὲ τέσσερα εἴδη ἀνόητα καὶ παράνομα, ἐπειδὴ αὐτὸς ὁ πόλεμος δὲν ἦταν διπλὸς καὶ τριπλός, ἀλλὰ τετραπλός.

Σκόπει δέ· ἔδει τοὺς δύο ἕνα εἶναι, γυναῖκα καὶ ἄνδρα λέγω· «Ἔσονται γάρ», φησίν, «οἱ δύο εἰς σάρκα μίαν». Ἐποίει δὲ τοῦτο ἡ τῆς ὁμιλίας ἐπιθυμία, καὶ συνῆπτε τὰ γένη πρὸς ἄλληλα. Ταύτην ἀνελὼν ὁ διάβολος τὴν ἐπιθυμίαν, καὶ ἐφ' ἕτερον μετοχετεύσας τρόπον, ἀπέσχισεν οὕτως ἀπ' ἀλλήλων τὰ γένη, καὶ ἐποίησε τὸ ἓν δύο γενέσθαι μέρη, ἀπεναντίας τῷ τοῦ Θεοῦ νόμῳ· ὁ μὲν γάρ φησιν, «Ἔσονται οἱ δύο εἰς σάρκα μίαν»· ὁ δὲ τὴν μίαν εἰς δύο διεῖλεν. Ἰδοὺ πόλεμος εἷς. Πάλιν αὐτὰ τὰ δύο μέρη ταῦτα καὶ πρὸς αὐτοὺς καὶ πρὸς ἀλλήλους ἐξεπολέμωσεν· αἵ τε γὰρ γυναῖκες γυναῖκας ὕβριζον πάλιν, οὐκ ἄνδρας μόνον, οἵ τε ἄνδρες κατά τε ἀλλήλων ἵσταντο, καὶ κατὰ τοῦ γυναικείου γένους, καθάπερ ἐν νυκτομαχίᾳ τινί· εἶδες δεύτερον καὶ τρίτον πόλεμον, καὶ τέταρτον καὶ πέμπτον; Ἔστι καὶ ἕτερος· μετὰ γὰρ τῶν εἰρημένων καὶ εἰς τὴν φύσιν αὐτὴν παρηνόμησαν. Ἐπειδὴ γὰρ εἶδεν ὁ διάβολος, ὅτι αὕτη μάλιστα συνάγει τὰ γένη ἡ ἐπιθυμία, τὸν δεσμὸν ἐσπούδασε διακόψαι, ὥστε οὐ τῷ μὴ σπείρεσθε μόνον κατὰ νόμον τὸ γένος διαλῦσαι, ἀλλὰ καὶ τῷ πρὸς ἀλλήλους ἐκπολεμῶσθαι τὸ γένος καὶ στασιάζειν.

«Καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες». Ὅρα πῶς πάλιν ἐπὶ τὴν πηγὴν ἔρχεται τοῦ κακοῦ, τὴν ἀσέβειαν τὴν ἀπὸ τῶν δογμάτων, καὶ μισθὸν τοῦτον εἶναί φησι τῆς παρανομίας ἐκείνης. Ἐπειδὴ γὰρ περὶ γεέννης καὶ κολάσεως λέγων, νῦν οὐκ ἐδόκει πιστὸς εἶναι τοῖς ἀσεβέσι καὶ οὕτω ζῆν προαιρουμένοις, ἀλλὰ καὶ καταγέλαστος, δείκνυσιν ἐν αὐτῇ τῇ ἡδονῇ ταύτην τὴν κόλασιν οὖσαν. Εἰ δὲ οὐκ αἰσθάνονται, ἀλλ' ἥδονται, μὴ θαυμάσῃς· καὶ γὰρ καὶ οἱ μαινόμενοι καὶ οἱ φρενίτιδι κατεχόμενοι νόσῳ πολλὰ ἑαυτοὺς ἀδικοῦντες,

------

2. Γεν. 2, 24

Πρόσεχε ὅμως. Ἔπρεπε οἱ δύο νὰ εἶναι ἕνα, ἐννοῶ τὴ γυναίκα καὶ τὸν ἄνδρα· «Γιατὶ θὰ εἶναι», λέγει, «οἱ δύο ἕνα σῶμα»[2]. Τὸ ἔκανε αὐτὸ ἡ ἐπιθυμία τῆς συνουσίας καὶ ἕνωνε τὰ φύλα μεταξύ τους. Καταστρέφοντας αὐτὴ τὴν ἐπιθυμία ὁ διάβολος καὶ μεταφέροντας αὐτὴ σ' ἄλλο τρόπο, ξεχώρισε ἔτσι τὰ φύλα μεταξύ τους, καὶ ἔκαμε τὸ ἕνα νὰ γίνει δύο μέρη, ἀντίθετα μὲ τὸ νόμο τοῦ Θεοῦ. Γιατὶ αὐτὸς λέγει, «θὰ εἶναι οἱ δύο μία σάρκα», ἐνῶ ὁ διάβολος χώρισε τὴ μία στὰ δύο. Νὰ ὁ πρῶτος πόλεμος. Πάλι αὐτὰ τὰ ἴδια δύο μέρη τὰ παρέσυρε σὲ πόλεμο καὶ πρὸς τὸν ἑαυτό τους καὶ μεταξύ τους. Γιατὶ καὶ οἱ γυναῖκες πρόσβαλλαν πάλι τὶς γυναῖκες, ὄχι μόνο τοὺς ἄνδρες, καὶ οἱ ἄνδρες στέκονταν ἀντιμέτωποι καὶ μεταξύ τους καὶ ἐναντίον τοῦ γυναικείου φύλου, ὅπως ἀκριβῶς σὲ κάποια μάχη τῆς νύχτας. Εἶδες δεύτερο καὶ τρίτο πόλεμο, καὶ τέταρτο καὶ πέμπτο; Ὑπάρχει καὶ ἄλλος. Γιατὶ μαζὶ μ' αὐτὰ ποὺ ἀναφέρθηκαν, παρανόμησαν καὶ στὴν ἴδια τὴ φύση. Ἐπειδὴ λοιπὸν εἶδε ὁ διάβολος, πὼς αὐτὴ ἰδιαίτερα ἡ ἐπιθυμία ἑνώνει τὰ φύλα, φρόντισε νὰ κόψει τὸ δεσμό, ὥστε νὰ διαλύσει τὸ ἀνθρώπινο γένος ὄχι μόνο μὲ τὸ νὰ μὴ σπείρονται νόμιμα οἱ ἄνθρωποι, ἀλλὰ καὶ μὲ τὸ νὰ παρασύρονται σὲ πόλεμο μεταξύ τους καὶ νὰ ἐπαναστατοῦν.

«Καὶ παίρνοντας τὸ μισθό, ποὺ τοὺς ἄξιζε, γιὰ τὴν πλάνη τους ἀπὸ τὸν ἴδιο τὸν ἑαυτό τους». Πρόσεχε πῶς πάλι ἔρχεται στὴν πηγὴ τοῦ κακοῦ, δηλαδὴ τὴν ἀσέβεια ποὺ προέρχεται ἀπὸ τὰ δόγματα, καὶ λέγει ὅτι αὐτὸς εἶναι ὁ μισθὸς γιὰ τὴν παρανομία τους ἐκείνη. Ἐπειδὴ λοιπὸν μιλώντας γιὰ τὴν γέεννα καὶ τὴν κόλαση, τώρα δὲ φαινόταν πὼς ἦταν ἀξιόπιστος στοὺς ἀσεβεῖς καὶ σ' αὐτοὺς ποὺ προτιμοῦσαν νὰ ζοῦν μ' αὐτὸ τὸν τρόπο, ἀλλὰ καὶ γελοῖος, δείχνει πὼς στὴν ἴδια τὴν ἡδονὴ ὑπάρχει αὐτὴ ἡ κόλαση. Ἂν ὅμως δὲν αἰσθάνονται, ἀλλὰ εὐχαριστιοῦνται, μὴν ἀπορήσεις. Γιατὶ καὶ αὐτοὶ ποὺ κατέχονται ἀπὸ μανία καὶ αὐτοὶ ποὺ ὑποφέρουν ἀπὸ τὴν ἀρρώστια τοῦ νοῦ, ἂν καὶ ἀδικοῦν πολλὲς φορὲς τὸν ἑαυτό τους καὶ

καὶ ἐλεεινὰ πράσσοντες, ἐφ' οἷς αὐτοὺς ἕτεροι δακρύουσι, γελῶσι καὶ ἐντρυφῶσι τοῖς γινομένοις αὐτοί. Ἀλλ' οὐ διὰ τοῦτό φαμεν αὐτοὺς ἀπηλλάχθαι κολάσεως, ἀλλὰ καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο ἐν χαλεπωτέρᾳ εἶναι τιμωρίᾳ, ὅτι οὐδὲ ἴσασιν ἐν οἷς εἰσιν. Οὐ γὰρ ἀπὸ τῶν νοσούντων, ἀλλ' ἀπὸ τῶν ὑγιαινόντων δεῖ φέρειν τὰς ψήφους· ἐπεὶ τό γε παλαιὸν καὶ νόμος εἶναι τὸ πρᾶγμα ἐδόκει, καὶ νομοθέτης τις παρ' αὐτοῖς οἰκέτας ἐκέλευσε μήτε ξηραλοιφεῖν μήτε παιδεραστεῖν, τοῖς ἐλευθέροις τῆς προεδρείας παραχωρήσας ταύτης, μᾶλλον δὲ τῆς ἀσχημοσύνης.

Ἀλλ' ὅμως οὐκ ἐνόμισαν ἀσχημοσύνην εἶναι τὸ πρᾶγμα, ἀλλ' ὡς σεμνὸν καὶ μεῖζον ἢ κατ' οἰκετῶν ἀξίωμα, τοῖς ἐλευθέροις ἐπέτρεψαν· καὶ τοῦτο ὁ σοφώτατος τῶν Ἀθηναίων δῆμος, καὶ ὁ μέγας παρ' αὐτοῖς Σόλων. Καὶ ἕτερα δὲ πολλὰ τῶν φιλοσόφων βιβλία ταύτης ἄν τις εὕροι γέμοντα τῆς νόσου· ἀλλ' οὐ διὰ τοῦτο νενομισμένον εἶναι τὸ πρᾶγμά φαμεν, ἀλλὰ καὶ τοὺς τὸν νόμον δεξαμένους τοῦτον ἐλεεινοὺς καὶ δακρύων ἀξίους εἶναι πολλῶν. Ἃ γὰρ αἱ παραγενόμεναι πάσχουσι γυναῖκες, ταῦτα καὶ οὗτοι· μᾶλλον δὲ ἐκείνων ἀθλιώτερα. Ταῖς μὲν γὰρ εἰ καὶ παράνομος, ἀλλὰ κατὰ φύσιν ἡ μίξις, αὕτη δὲ καὶ παράνομος, καὶ παρὰ φύσιν. Εἰ γὰρ μὴ γέεννα ἦν, μηδὲ κόλασις ἠπείλητο, τοῦτο πάσης κολάσεως χεῖρον ἦν. Εἰ δὲ ἥδονται, τὴν προσθήκην μοι λέγεις τῆς τιμωρίας. Οὐδὲ γὰρ εἴ τινα εἶδον γυμνὸν τρέχοντα, βορβόρῳ τὸ σῶμα ἀνακεχρωσμένον ἅπαν, εἶτα οὐκ ἐγκαλυπτόμενον, ἀλλὰ καὶ ἐγκαλλωπιζόμενον, συνήσθην ἂν αὐτῷ, ἀλλὰ καὶ μᾶλλον ἂν αὐτὸν ἐθρήνησα, ὅτι οὐδὲ αἰσθάνεται ἀσχημονῶν.

Ἵνα δὲ καὶ σαφεστέραν δείξω τὴν ὕβριν, ἀνάσχεσθέ μου καὶ ἑτέρου παραδείγματος. Εἰ γὰρ παρ-

---

3. Στὴ βιογραφία τοῦ Σόλωνα (κεφ. 1) ὁ Πλούταρχος λέγει· «καὶ νόμον ἔγραψε διαγορεύοντα δούλῳ μὴ ξηραλοιφεῖν μηδὲ παιδεραστεῖν, εἰς τὴν τῶν καλῶν μερίδα καὶ σεμνῶν ἐπιτηδευμάτων τιθέμενος τὸ πρᾶγμα, καὶ τρόπον τινὰ τοὺς ἀξίους προκαλούμενος ὧν τοὺς ἀναξίους ἀπήλαυνε».

κάνουν ἐλεεινὰ πράγματα, γιὰ τὰ ὁποῖα ἄλλοι τοὺς θρηνοῦν, αὐτοὶ γελοῦν καὶ ἀπολαμβάνουν αὐτὰ ποὺ γίνονται. Ἀλλὰ δὲ λέμε πὼς γι' αὐτὸ ἔχουν ἀπαλλαχθεῖ αὐτοὶ ἀπὸ τὴν κόλαση, ἀλλὰ πὼς καὶ γι' αὐτὸ ἀκριβῶς βρίσκονται σὲ φοβερότερη τιμωρία, γιατὶ δὲν ξέρουν σὲ ποιὰ κατάσταση βρίσκονται. Δὲν πρέπει λοιπὸν ἀπὸ τοὺς ἀσθενεῖς, ἀλλ' ἀπὸ τοὺς ὑγιεῖς ν' ἀποφασίζομε. Ἐπειδὴ βέβαια στὴν παλιὰ ἐποχὴ τὸ πράγμα φαινόταν πὼς εἶναι νόμιμο καὶ κάποιος νομοθέτης σ' αὐτοὺς ὅρισε οἱ δοῦλοι νὰ μὴν ἀσχολοῦνται μὲ τὶς ἀθλητικὲς ἀσκήσεις, οὔτε νὰ γίνονται παιδεραστές, παραχωρώντας στοὺς ἐλεύθερους πολίτες τὸ δικαίωμα αὐτό[3], ἢ καλύτερα τὴν ἀσχημοσύνη.

Ἀλλ' ὅμως δὲ θεώρησαν πὼς τὸ πράγμα αὐτὸ εἶναι ἀσχημοσύνη, ἀλλ' ἐπειδὴ τὸ θαύμασαν σὰν σεμνὸ καὶ ἀνώτερο ἀπὸ τὸ ἀξίωμα τῶν δούλων, τὸ ἐπέτρεψαν στοὺς ἐλεύθερους πολίτες. Καὶ αὐτὸ τὸ ἔκαμε ὁ σοφότατος λαὸς τῶν Ἀθηναίων καὶ ὁ μεγάλος σ' αὐτοὺς Σόλων. Καὶ πολλὰ ἄλλα βιβλία τῶν φιλοσόφων θὰ μποροῦσε νὰ βρεῖ κανεὶς νὰ εἶναι γεμάτα ἀπὸ τὴν ἀρρώστια αὐτή. Ὅμως δὲ λέμε πὼς γι' αὐτὸ εἶναι νόμιμο τὸ πράγμα, ἀλλὰ πὼς καὶ αὐτοὶ ποὺ δέχθηκαν τὸ νόμο αὐτὸ εἶναι δυστυχισμένοι καὶ ἄξιοι γιὰ πολλὰ δάκρυα. Γιατὶ ἐκεῖνα ποὺ παθαίνουν οἱ πόρνες γυναῖκες, αὐτὰ παθαίνουν καὶ αὐτοί, ἢ καλύτερα χειρότερα ἀπὸ ἐκεῖνα. Γιατὶ σ' αὐτὲς ἂν καὶ ἡ συνουσία εἶναι παράνομη, εἶναι ὅμως σύμφωνη μὲ τὴ φύση, ἐνῶ αὐτὴ εἶναι καὶ παράνομη καὶ ἀντίθετη μὲ τὴ φύση. Ἐὰν λοιπὸν δὲν ὑπῆρχε ἡ γέεννα, οὔτε ἡ ἀπειλὴ τῆς τιμωρίας, αὐτὸ θὰ ἦταν χειρότερο ἀπὸ κάθε τιμωρία. Ἐὰν ὅμως εὐχαριστιοῦνται, μοῦ λέγεις τὴν προσθήκη τῆς τιμωρίας. Γιατί, ἂν ἔβλεπα κάποιο γυμνὸ νὰ τρέχει, ὅλο τὸ σῶμα του νὰ εἶναι μολυσμένο ἀπὸ βοῦρκο, στὴ συνέχεια νὰ μὴ σκεπάζεται, ἀλλὰ καὶ νὰ ὑπερηφανεύεται, δὲ θὰ χαιρόμουν μαζὶ μ' αὐτόν, ἀλλὰ περισσότερο θὰ τὸν θρηνοῦσα, γιατὶ δὲν αἰσθάνεται ὅτι κάνει ἀσχημοσύνη.

Γιὰ νὰ δείξω πιὸ καθαρὰ τὴν προσβολή, ἐπιτρέψτε μου ν' ἀναφέρω καὶ ἄλλο παράδειγμα. Ἐὰν λοιπὸν κατα-

θένον τις κατεδίκασε θαλαμευομένην ἀλόγοις μιγῆναι ζώοις, εἶτα ἥδετο ἐκείνῃ τῇ μίξει, οὐ διὰ τοῦτο μάλιστα δακρύων ἦν ἀξία, ὅτι οὐδὲ ἀπαλλαγῆναι τῆς νόσου ταύτης ἠδύνατο τῷ μηδὲ αἰσθάνεσθαι τῆς νόσου; Παντί που δῆλόν ἐστιν. Εἰ δὲ ἐκεῖνο χαλεπόν, οὐδὲ τοῦτο ἔλαττον ἐκείνου· τὸ γὰρ ὑπὸ τῶν οἰκείων ὑβρίζεσθαι ἐλεεινότερον τοῦ παρὰ τῶν ἀλλοτρίων. Τούτους ἐγὼ καὶ ἀνδροφόνων χείρους εἶναί φημι· καὶ γὰρ βέλτιον ἀποθανεῖν, ἢ ζῆν ὑβριζόμενον οὕτως. Ὁ μὲν γὰρ ἀνδροφόνος τὴν ψυχὴν ἀπὸ τοῦ σώματος διέρρηξεν, οὗτος δὲ τὴν ψυχὴν μετὰ τοῦ σώματος ἀπώλεσε. Καὶ ὅπερ ἂν εἴποις ἁμάρτημα, οὐδὲν ἴσον ἐρεῖς τῆς παρανομίας ταύτης· καὶ εἰ ἐπῃσθάνοντο τῶν γινομένων οἱ πάσχοντες, μυρίους ἂν κατεδέξαντο θανάτους, ὥστε μὴ τοῦτο παθεῖν.

3. Οὐ γάρ ἐστιν, οὐκ ἔστι ταύτης τῆς ὕβρεως ἀλογώτερόν τε καὶ χαλεπώτερον. Εἰ γὰρ περὶ πορνείας διαλεγόμενος ὁ Παῦλος ἔλεγεν, ὅτι «Πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει»· τί ἂν εἴποιμεν περὶ τῆς μανίας ταύτης, ἣ τοσοῦτον πορνείας χείρων ἐστίν, ὅσον οὐδὲ ἔστιν εἰπεῖν; Οὐδὲ γὰρ τοῦτο λέγω μόνον, ὅτι γέγονας γυνή, ἀλλ' ὅτι ἀπώλεσας καὶ τὸ εἶναι ἀνήρ, καὶ οὔτε εἰς ταύτην μετέστης τὴν φύσιν, οὔτε ἣν εἶχες διετήρησας, ἀλλὰ κοινὸς ἑκατέρας ἐγένου προδότης, καὶ παρὰ ἀνδρῶν καὶ γυναικῶν ἄξιος ἐλαύνεσθαι καὶ καταλεύεσθαι, ἅτε ἑκάτερον ἀδικήσας τὸ γένος. Καὶ ἵνα μάθῃς ἡλίκον τοῦτό ἐστιν, εἴ τις ἐλθὼν ἐπηγγέλλετο ἐξ ἀνθρώπων κύνα ποιεῖν σε, ἆρα οὐκ ἂν ὡς λυμεῶνα ἔφυγες; Ἀλλ' ἰδοὺ οὐ κύνα ἐξ ἀνθρώπων σαυτὸν ἐποίησας, ἀλλὰ τὸ τούτου ζῶον ἀτιμότερον· ἐ-

------

4. Α' Κορ. 6, 18

δίκαζε κάποιος μιὰ νέα κλεισμένη σὲ σπίτι νὰ ἔρθει σὲ σαρκικὴ σχέση μὲ τὰ ἄλογα ζῶα, καὶ στὴ συνέχεια εὐχαριστιόταν μὲ τὴ συνουσία αὐτή, δὲ θὰ ἦταν γι' αὐτὸ πρὸ πάντων ἄξια γιὰ δάκρυα, ἐπειδὴ δὲν μποροῦσε ν' ἀπαλλαχθεῖ ἀπὸ τὴν ἀρρώστια αὐτὴ μὲ τὸ νὰ μὴν αἰσθάνεται τὴν ἀρρώστια; Στὸν καθένα βέβαια εἶναι φανερὸ αὐτό. Ἐὰν ὅμως ἐκεῖνο εἶναι φοβερό, οὔτε αὐτὸ εἶναι μικρότερο ἀπὸ ἐκεῖνο, γιατὶ εἶναι χειρότερο τὸ νὰ προσβάλλεται κανεὶς ἀπὸ τοὺς δικούς του, παρὰ ἀπὸ τοὺς ξένους. Αὐτοὺς ἐγὼ τοὺς λέγω πὼς εἶναι χειρότεροι καὶ ἀπὸ τοὺς δολοφόνους, γιατὶ εἶναι καλύτερο νὰ πεθάνει κανείς, παρὰ νὰ ζεῖ καὶ νὰ προσβάλλεται ἔτσι. Γιατὶ ὁ δολοφόνος ἀπέσπασε τὴν ψυχὴ ἀπὸ τὸ σῶμα, ἐνῶ αὐτὸς κατέστρεψε τὴν ψυχὴ μαζὶ μὲ τὸ σῶμα. Καὶ ὅποιο ἁμάρτημα καὶ ἂν πεῖς, δὲ θὰ πεῖς κανένα ἴσο μὲ τὴν παρανομία αὐτή. Καὶ ἂν ἐκεῖνοι ποὺ παθαίνουν αὐτὰ τὰ αἰσθάνονταν, θὰ δέχονταν ἄπειρους θανάτους, προκειμένου νὰ μὴν πάθουν αὐτό.

3. Δὲν ὑπάρχει λοιπόν, δὲν ὑπάρχει πιὸ ἀνόητο καὶ πιὸ φοβερὸ πράγμα ἀπὸ τὴν προσβολὴ αὐτή. Γιατί, ἂν ὁ Παῦλος, ὅταν μιλοῦσε γιὰ τὴν πορνεία, ἔλεγε ὅτι «Κάθε ἁμάρτημα ποὺ θὰ κάμει ὁ ἄνθρωπος, εἶναι ἔξω ἀπὸ τὸ σῶμα του, ἐκεῖνος ὅμως ποὺ πορνεύει, ἁμαρτάνει στὸ ἴδιο του τὸ σῶμα»[1], τί θὰ μπορούσαμε νὰ ποῦμε γιὰ τὴ μανία αὐτή, ποὺ εἶναι τόσο πολὺ χειρότερη ἀπὸ τὴν πορνεία, ὅσο δὲν εἶναι δυνατὸ οὔτε νὰ τὸ ποῦμε; Γιατί δὲ λέγω αὐτὸ μόνο, ὅτι δηλαδὴ ἔγινες γυναίκα, ἀλλ' ὅτι ἔχασες καὶ τὴν ἰδιότητα τοῦ ἄνδρα, καὶ οὔτε ἀπέκτησες αὐτὴν τὴν φύση, οὔτε διατήρησες ἐκείνην ποὺ εἶχες, ἀλλ' ἔγινες κοινὸς προδότης κάθε φύσης, καὶ ἄξιος νὰ καταδιώκεσαι καὶ νὰ λιθοβολεῖσαι ἀπὸ ἄνδρες καὶ γυναῖκες, ἐπειδὴ ἀδίκησες καὶ τὰ δύο φύλα. Καὶ γιὰ νὰ μάθεις πόσο μεγάλο κακὸ εἶναι αὐτό, ἂν κάποιος ἐρχόταν καὶ σοῦ ὑποσχόταν ἀπὸ ἄνθρωπο νὰ σὲ κάνει σκύλο, ἄραγε δὲ θὰ τὸν ἀπέφευγες σὰν κακοῦργο; Ἀλλὰ νά, δὲν ἔκαμες τὸν ἑαυτό σου σκύλο ἀπὸ ἄνθρωπο, ἀλλ' ἐκεῖνο ποὺ εἶναι πιὸ ἀτιμωτικὸ ἀπὸ τὸ ζῶο αὐτό. Γιατὶ ἐκεῖνο τὸ ζῶο εἶναι

κεῖνο μὲν γὰρ εἰς χρῆσιν ἐπιτήδειον, ὁ δὲ ἡταιρηκὼς οὐδαμοῦ χρήσιμος.

Τί δέ, εἰπέ μοι, εἴ τις ἠπείλει ποιεῖν τίκτειν ἄνδρας καὶ λοχεύεσθαι, οὐκ ἂν ἐπλήσθημεν θυμοῦ; Ἀλλ' ἰδοὺ νῦν χαλεπώτερα ἑαυτοὺς κατειργάσαντο οἱ τὰ τοιαῦτα λυττῶντες· οὐ γάρ ἐστιν ἴσον εἰς γυναικείαν μεταβαλεῖν φύσιν, καὶ μένοντα ἄνδρα γενέσθαι γυναῖκα, μᾶλλον δὲ μήτε τοῦτο μήτε ἐκεῖνο. Εἰ δὲ βούλει καὶ ἑτέρωθεν μαθεῖν τοῦ κακοῦ τὴν ὑπερβολήν, ἐρώτησον τίνος ἕνεκεν τοὺς εὐνούχους ποιοῦντας κολάζουσιν οἱ νομοθέται, καὶ εἴσῃ, ὅτι δι' οὐδὲν ἕτερον πάντως, ἢ ὅτι τὴν φύσιν ἀκρωτηριάζουσι. Καίτοι γε οὐδὲν ἀδικοῦσιν ἐκεῖνοι τοσοῦτον, ἐγένοντο γὰρ οἱ ἀκρωτηριασθέντες καὶ μετὰ τὸν ἀκρωτηριασμὸν πολλαχοῦ χρήσιμοι, ἀνθρώπου δὲ πεπορνευομένου οὐδὲν ἀχρηστότερον γένοιτ' ἄν· οὐ γὰρ ἡ ψυχὴ μόνον, ἀλλὰ καὶ τὸ σῶμα τοῦ τὰ τοιαῦτα παθόντος ἄτιμον καὶ ἄξιον ἐλαύνεσθαι πανταχόθεν. Πόσαι γέενναι τούτοις ἀρκέσουσιν;

Εἰ δὲ γεέννης καταγελᾷς ἀκούων καὶ ἀπιστεῖς, ἐκεῖνο τὸ πῦρ ἀναμνήσθητι τῶν Σοδόμων· εἴδομεν γάρ, εἴδομεν καὶ ἐν τῷ παρόντι βίῳ γεέννης εἰκόνα. Ἐπειδὴ γὰρ πολλοὶ τοῖς μετὰ τὴν ἀνάστασιν ἔμελλον διαπιστεῖν, νῦν ἀκούοντες πῦρ ἄσβεστον εἶναι, ἀπὸ τῶν παρόντων αὐτοὺς ἐσωφρόνισεν ὁ Θεός. Τοιοῦτος γοῦν ἐστιν ὁ Σοδόμων ἐμπρησμὸς καὶ ἡ πυρπόλησις ἐκείνη· καὶ ἴσασιν οἱ παραγενόμενοι, καὶ τῇ θέᾳ τὴν πληγὴν ἐκείνην τὴν θεήλατον καὶ τῶν ἄνωθεν κεραυνῶν τὸ ἔργον ἰδόντες. Ἐννόησον ἡλίκον ἐστὶ τὸ ἁμάρτημα, ὡς βιάσασθαι καὶ πρὸ καιροῦ τὴν γέενναν φανῆναι. Ἐπειδὴ γὰρ πολλοὶ τῶν λόγων κατεφρόνουν, διὰ τῶν ἔργων αὐτοῖς τὴν ἐκείνης εἰ-

------

5. Γιὰ τὴν καταστροφὴ τῶν Σοδόμων βλ. Γεν. 19, - 12 - 30

κατάλληλο γιὰ χρήση, ἐνῶ αὐτός, ποὺ εἶναι ὅμοιος μὲ πόρνη, πουθενὰ δὲν εἶναι χρήσιμος.

Τί λοιπόν, πές μου, ἂν κάποιος ἀπειλοῦσε νὰ κάνει τοὺς ἄνδρες νὰ γεννοῦν καὶ νὰ περνοῦν τὸ στάδιο τῆς λοχείας, δὲ θὰ θυμώναμε πάρα πολύ; Νὰ ὅμως ποὺ ἔκαμαν φοβερότερα τώρα στόν ἑαυτό τους αὐτοί, ποὺ μὲ μανία ἐπιθυμοῦν τὰ παρόμοια. Γιατί δὲν εἶναι ἴδιο νὰ μεταβάλει κανεὶς τὴ φύση του σὲ γυναικεία, καὶ νὰ γίνει γυναίκα, ἐνῶ παραμένει ἄνδρας, ἢ καλύτερα οὔτε τὸ ἕνα οὔτε τὸ ἄλλο. Ἐὰν ὅμως θέλεις νὰ μάθεις καὶ ἀπ' ἀλλοῦ τὸ μέγεθος τοῦ κακοῦ, κάνει ἐρώτηση γιὰ ποιὸ λόγο οἱ νομοθέτες τιμωροῦν ἐκείνους ποὺ κάνουν τοὺς εὐνούχους, καὶ θὰ μάθεις, ὅτι γιὰ τίποτε ἄλλο, παρὰ μόνο γιατὶ ἀκρωτηριάζουν τὴ φύση. Ἂν καὶ ἐκεῖνοι βέβαια δὲν κάνουν κανένα τόσο μεγάλο ἀδίκημα, γιατί οἱ εὐνοῦχοι ἔγιναν σὲ πολλὲς περιπτώσεις χρήσιμοι καὶ μετὰ τὸν εὐνουχισμό τους. Ἀπό τὸν ἄνθρωπο ὅμως ποὺ πορνεύεται δὲ θὰ μποροῦσε νὰ γίνει τίποτε πιὸ ἄχρηστο. Γιατὶ ὄχι ἡ ψυχὴ μόνο, ἀλλὰ καὶ τὸ σῶμα ἐκείνου ποὺ παθαίνει αὐτὰ εἶναι χωρὶς τιμὴ καὶ ἄξιο νὰ διώχνεται ἀπὸ παντοῦ. Πόσες γέεννες θὰ εἶναι ἀρκετὲς γι' αὐτούς;

Ἐὰν ὅμως περιγελᾷς, ἀκούγοντας γιὰ γέεννα, καὶ δὲν πιστεύεις, θυμήσου ἐκείνη τὴ φωτιὰ τῶν Σοδόμων[5]. Γιατί εἴδαμε, πραγματικὰ εἴδαμε καὶ στὴν παροῦσα ζωὴ εἰκόνα τῆς γέεννας. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο νὰ μὴν πιστεύουν πολλοὶ γιὰ ἐκεῖνα ποὺ θὰ ἀκολουθήσουν μετὰ τὴν ἀνάσταση, ἀκούγοντας τώρα πὼς ὑπάρχει ἄσβεστη φωτιά, τοὺς σωφρόνισε αὐτοὺς ὁ Θεὸς ἀπὸ τὰ παρόντα. Τέτοιος βέβεια εἶναι ὁ ἐμπρησμὸς τῶν Σοδόμων καὶ ἡ πυρπόληση ἐκείνη. Καὶ γνωρίζουν αὐτοὶ ποὺ ἦταν παρόντες, καὶ μὲ τὸ θέαμα τὴ θεόσταλτη ἐκείνη συμφορὰ καὶ βλέποντας τὸ ἔργο τῶν κεραυνῶν τοῦ Θεοῦ. Σκέψου πόσο μεγάλο ἦταν τὸ ἁμάρτημα, ὥστε νὰ ἐξαναγκάσει νὰ φανεῖ ἡ γέεννα πρὶν ἀπὸ τὴν ὥρα της. Ἐπειδὴ λοιπὸν πολλοὶ περιφρονοῦσαν τὰ λόγια, μὲ τὰ ἔργα τοὺς ἔδειξε ὁ Θεὸς τὴν εἰκόνα ἐκείνης τῆς γέεννας μὲ κάποιο καινού-

κόνα ἐπέδειξεν ὁ Θεὸς καινῷ τινι τρόπῳ. Καὶ γὰρ παράδοξος ἦν ὁ ὑετὸς ἐκεῖνος, ἐπειδὴ καὶ παρὰ φύσιν ἡ μίξις· καὶ κατέκλυσε τὴν γῆν, ἐπειδὴ καὶ τὰς ἐκείνων ψυχὰς ἡ ἐπιθυμία. Διὸ καὶ ἀπεναντίας ἦν ὁ ὑετὸς τῷ συνήθει· οὐ γὰρ μόνον οὐ διήγειρε τὴν γαστέρα τῆς γῆς πρὸς τὴν τῶν καρπῶν γένεσιν, ἀλλὰ καὶ πρὸς τὴν ὑποδοχὴν αὐτὴν τῶν σπερμάτων ἄχρηστον ἐποίει.

Τοιαύτη γὰρ ἦν ἡ μίξις τῶν ἀνδρῶν τῆς γῆς Σοδόμων, τὸ τοιοῦτον σῶμα ἀχρηστότερον ἀποφαίνουσα. Τί γὰρ ἀνδρὸς πεπορνευμένου μυσαρώτερον; τί δὲ ἐναγέστερον; Ὢ τῆς μανίας, ὢ τῆς παραπληξίας· πόθεν εἰσεκώμασεν ἡ ἐπιθυμία αὕτη, τὰ τῶν πολεμίων διατιθεῖσα τὴν ἀνθρωπίνην φύσιν, μᾶλλον δὲ καὶ ἐκείνων χαλεπωτέρα, ὅσῳ καὶ ψυχὴ σώματος ἀμείνων; Ὦ καὶ ἀλόγων ὑμεῖς ἀνοητότεροι, καὶ κυνῶν ἀναιδέστεροι. Οὐδαμοῦ γὰρ τοιαύτη μίξις παρ' ἐκείνοις, ἀλλ' ἐπιγινώσκει τοὺς ἰδίους ὅρους ἡ φύσις· ὑμεῖς δὲ καὶ τῶν ἀλόγων ἀτιμότερον τὸ γένος εἰργάσασθαι τὸ ὑμέτερον καθυβρίζοντες. Πόθεν οὖν ταῦτα ἐτέχθη τὰ κακά; Ἀπὸ τρυφῆς, ἀπὸ τοῦ μὴ εἰδέναι Θεόν· ὅταν γὰρ ἐκβάλωσί τινες αὐτοῦ τὸν φόβον, πάντα οἴχεται λοιπὸν τὰ καλά.

4. Ἵν' οὖν μὴ τοῦτο γένηται, ἔχωμεν πρὸ ὀφθαλμῶν ἀκριβῆ τὸν τοῦ Θεοῦ φόβον. Οὐδὲν γὰρ οὐδὲν οὕτως ἀπόλλυσιν ἄνθρωπον, ὡς τὸ ταύτης ἐκπεσεῖν τῆς ἀγκύρας· ὥσπερ οὐδὲν σώζει, ὡς τὸ διηνεκῶς ἐκεῖ βλέπειν. Εἰ γὰρ ἄνθρωπον ἔχοντες πρὸ ὀφθαλμῶν, ὀκνηρότεροι γινόμεθα περὶ τὰ ἁμαρτήματα, πολλάκις δὲ καὶ οἰκέτας ἐρυθριάσαντες ἐπιεικεστέρους, οὐδὲν πράττομεν ἄτοπον, ἐννόησον πόσης ἀπολαύσομεν ἀσφαλείας, τὸν Θεὸν πρὸ ὀφθαλμῶν ἔχοντες. Οὐδαμοῦ γὰρ ὁ διάβολος ἡμῖν οὕτω διακειμένοις ἐπιθήσεται, ἅτε ἀνόνητα πονῶν· ἂν δὲ πλα-

6. Βλ. Γεν. 19, 24

ριο τρόπο. Γιατὶ πραγματικὰ ἐκείνη ἡ βροχὴ· ἦταν παράξενη, ἐπειδὴ καὶ ἡ συνουσία τῶν ἀνθρώπων ἦταν παρὰ φύση. Καὶ πλημμύρισε τὴ γῆ, ἐπειδὴ καὶ ἡ ἐπιθυμία πλημμύρισε τὶς ψυχές τους. Γι' αὐτὸ καὶ ἡ βροχὴ ἦταν ἀντίθετη ἀπὸ τὴν συνηθισμένη. Γιατὶ ὄχι μόνο δὲν προκαλοῦσε τὴ μήτρα τῆς γῆς γιὰ τὴ δημιουργία τῶν καρπῶν, ἀλλὰ καὶ τὴν ἔκανε ἄχρηστη γιὰ τὴν ὑποδοχὴ τῶν σπερμάτων.

Τέτοια λοιπὸν ἦταν ἡ σαρκικὴ σχέση τῶν ἀνδρῶν τῆς περιοχῆς τῶν Σοδόμων, ἀποδεικνύοντας τὸ παρόμοιο σῶμα πιὸ ἄχρηστο. Γιατὶ τί εἶναι περισσότερο σιχαμερὸ ἀπὸ τὸν ἄνδρα ποὺ εἶναι πόρνος; καὶ τί εἶναι πιὸ μολυσμένο; Πώ, πὼ μανία! πώ, πὼ παραφροσύνη! Ἀπὸ ποῦ ἦρθε ἡ ἐπιθυμία αὐτή, ποὺ προξένησε στὴν ἀνθρώπινη φύση τὰ κακὰ τῶν ἐχθρῶν, ἢ καλύτερα καὶ χειρότερα ἀπ' αὐτὸ τόσο, ὅσο καὶ ἡ ψυχὴ εἶναι ἀνώτερη ἀπὸ τὸ σῶμα; Πόσο πιὸ ἀνόητοι εἴστε ἐσεῖς ἀπὸ τὰ ἄλογα ζῶα καὶ πιὸ ἀναιδεῖς ἀπὸ τοὺς σκύλους! Γιατὶ πουθενὰ δὲν ὑπάρχει τέτοια σχέση σ' αὐτά, ἀλλὰ ἡ φύση γνωρίζει καλὰ τοὺς δικούς της νόμους. Ἐσεῖς ὅμως μὲ τὸ νὰ φέρεστε ὑβριστικὰ κάνατε τὸ δικό σας φύλο πιὸ ἀτιμωτικὸ καὶ ἀπὸ τὰ ζῶα. Ἀπὸ ποῦ λοιπὸν γεννήθηκαν αὐτὰ τὰ κακά; Ἀπὸ τὶς ἀπολαύσεις, ἀπὸ τὸ ὅτι δὲ γνώριζαν τὸ Θεό. Γιατί ὅταν ἀπομακρύνουν μερικοὶ τὸ φόβο τοῦ Θεοῦ, φεύγουν στὴ συνέχεια ὅλα τὰ καλά.

4. Γιὰ νὰ μὴ γίνει λοιπὸν αὐτό, ἂς ἔχομε μπροστά μας σωστὰ τὸ φόβο τοῦ Θεοῦ. Γιατί τίποτε, πραγματικὰ τίποτε δὲν καταστρέφει τὸν ἄνθρωπο ἔτσι, ὅπως τὸ νὰ χάσει κανεὶς αὐτὴ τὴν ἄγκυρα· ὅπως τίποτε δὲν τὸν σώζει τόσο, ὅσο τὸ νὰ βλέπει κανεὶς διαρκῶς ἐκεῖ. Ἂν λοιπόν, ὅταν ἔχουμε μπροστά μας κάποιον ἄνθρωπο, γινόμαστε πιὸ διστακτικοί, στὸ νὰ κάνουμε ἁμαρτήματα, καὶ πολλὲς φορὲς κοκκινίσαμε ἀπὸ ντροπὴ μπροστὰ καὶ στοὺς δούλους ποὺ εἶναι πιὸ ἤπιοι στὴν κρίση τους, καὶ δὲν κάνουμε τίποτε τὸ παράλογο, σκέψου πόση ἀσφάλεια θ' ἀπολαύσουμε, ὅταν ἔχουμε μπροστά μας τὸ Θεό. Γιατὶ πουθενὰ δὲν θὰ μᾶς ἐπιτεθεῖ ὁ διάβολος, ὅταν συμπεριφερόμαστε ἔτσι, ἐ-

νωμένους ἔξω, καὶ χωρὶς χαλινοῦ περιιόντας ἴδη, παρ' ἡμῶν λαβὼν τὴν ἀρχήν, πανταχοῦ λοιπὸν ἡμᾶς ἀποβουκολῆσαι δυνήσεται. Καὶ ὅπερ οἱ ῥάθυμοι τῶν οἰκετῶν πάσχουσιν ἐπ' ἀγορᾶς, τὰς μὲν ἀναγκαίας ἀφέντες διακονίας, ἐφ' ἅς εἰσιν ἀπεσταλμένοι παρὰ τῶν δεσποτῶν, ἁπλῶς δὲ καὶ εἰκῆ τοῖς παρεμπίπτουσι προσηλούμενοι, καὶ τὴν σχολὴν ἐκεῖ καταναλίσκοντες, τοῦτο καὶ ἡμεῖς ὑπομένομεν, ὅταν ἀποστῶμεν τῶν ἐπιταγμάτων τοῦ Θεοῦ.

Ἑστήκαμεν γὰρ λοιπὸν πλοῦτον θαυμάζοντες, καὶ κάλλος σώματος, καὶ τὰ ἄλλα τὰ μηδὲν πρὸς ἡμᾶς, ὥσπερ ἐκεῖνοι οἱ οἰκέται τῶν ἐπαιτῶν τοῖς θαυματοποιοῦσι προσέχουσιν, εἶτα ἐλθόντες βραδέως, οἴκοι τὰς ἐσχάτας ὑπομένουσι πληγάς. Πολλοὶ δὲ καὶ τὴν ὁδὸν τὴν προκειμένην παρῆλθον, ἑτέροις τοιαῦτα ἀσχημονοῦσιν ἀκολουθοῦντες. Ἀλλὰ μὴ ἡμεῖς τοῦτο ποιῶμεν· καὶ γὰρ ἀπεστάλμεθα ἀνύσαι πολλὰ τῶν κατεπειγόντων, κἂν ἀφέντες ἐκεῖνα στῶμεν κεχηνότες πρὸς τὰ ἀνόνητα ταῦτα, ἀναλωθέντος ἡμῖν τοῦ καιροῦ παντὸς εἰκῆ καὶ μάτην, τὴν ἐσχάτην δώσομεν δίκην. Εἰ γὰρ καὶ ἀσχολεῖν βούλει σαυτόν, ἔχεις ἃ θαυμάζειν ὀφείλεις, καὶ περὶ ἃ κεχηνέναι πάντα τὸν χρόνον· ἅπερ οὐ γέλωτός ἐστιν ἄξια, ἀλλὰ θαύματος καὶ ἐπαίνων πολλῶν, ὡς ὅ γε τὰ καταγέλαστα θαυμάζων, καὶ αὐτὸς ἔσται τοιοῦτος, καὶ τοῦ γελωτοποιοῦντος χείρων· ὅπερ ἵνα μὴ πάθῃς, ἀποπήδησον ταχέως.

Τί γὰρ καὶ ἕστηκας, εἰπέ μοι, πρὸς τὸν πλοῦτον κεχηνὼς καὶ ἀνεπτερωμένος; τί θαυμαστὸν ὁρᾷς καὶ ἱκανόν σου τοὺς ὀφθαλμοὺς κατασχεῖν; τοὺς χρυσοφοροῦντας ἵππους, καὶ τοὺς οἰκέτας τοὺς μὲν βαρβάρους, τοὺς δὲ εὐνούχους, καὶ τὰ ἱμάτια τὰ πολυτελῆ, καὶ τὴν καταμαλακιζομένην ἐν τούτοις ψυχήν,

πειδὴ θὰ κουράζεται ἄσκοπα. Ἐὰν ὅμως μᾶς δεῖ νὰ περιπλανόμαστε ἔξω καὶ νὰ περιφερόμαστε χωρὶς χαλινούς, παίρνοντας ἀπὸ μᾶς τὴν ἐξουσία, θὰ μπορέσει παντοῦ στὴ συνέχεια νὰ μᾶς ἀποπλανήσει. Καὶ αὐτὸ ποὺ παθαίνουν στὴν ἀγορὰ οἱ ἐπιπόλαιοι ἀπὸ τοὺς δούλους ποὺ ἐγκαταλείπουν τὶς ἀναγκαῖες ὑπηρεσίες, γιὰ τὶς ὁποῖες τοὺς ἔστειλαν οἱ κύριοί τους, καὶ ἀφοσιώνονται ἄσκοπα καὶ χωρὶς λόγο στοὺς περαστικοὺς καὶ σπαταλοῦν ἐκεῖ τὸν ἐλεύθερο χρόνο τους, τὸ ἴδιο παθαίνουμε καὶ ἐμεῖς, ὅταν ἀπομακρυνθοῦμε ἀπὸ τὶς ἐντολὲς τοῦ Θεοῦ.

Σταθήκαμε λοιπὸν νὰ θαυμάζουμε τὸν πλοῦτο καὶ τὴν ὀμορφιὰ τοῦ σώματος καὶ τὰ ὑπόλοιπα ποὺ δὲν ἔχουν καμιὰ σχέση μὲ μᾶς, ὅπως ἀκριβῶς ἐκεῖνοι οἱ δοῦλοι, ποὺ προσέχουν τοὺς θαυματοποιοὺς ἐπαῖτες, καὶ ἔπειτα, ἐπειδὴ ἦρθαν καθυστερημένα, δέχονται τὶς χειρότερες τιμωρίες στὸ σπίτι. Πολλοὶ μάλιστα ἀπομακρύνθηκαν καὶ ἀπὸ τὸ δρόμο αὐτόν, ἀκολουθώντας ἄλλους ποὺ κάνουν τέτοιες ἀσχήμιες. Ἀλλ᾽ ἐμεῖς ἂς μὴν τὸ κάνομε αὐτό. Γιατὶ ἔχομε σταλθεῖ νὰ κατορθώσομε πολλὰ ἀπὸ τὰ ἐπείγοντα, καὶ ἄν, ἐγκαταλείποντας αὐτά, σταθοῦμε νὰ παρατηροῦμε αὐτὰ τὰ ἀνώφελα πράγματα, ἀφοῦ σπαταλήσομε ὅλο τὸν καιρό μας ἄσκοπα καὶ μάταια, θὰ τιμωρηθοῦμε μὲ τὴ χειρότερη τιμωρία. Γιατί, ἂν πραγματικὰ θέλεις ν᾽ ἀπασχολεῖς τὸν ἑαυτό σου, ἔχεις ἐκεῖνα ποὺ πρέπει νὰ θαυμάζεις καὶ νὰ ἀφιερώνεις γι᾽ αὐτὰ ὅλο τὸν καιρό σου. Αὐτὰ βέβαια δὲν εἶναι ἄξια γιὰ γέλια, ἀλλὰ γιὰ θαυμασμὸ καὶ πολλοὺς ἐπαίνους, ὅπως ἀσφαλῶς καὶ ἐκεῖνος ποὺ θαυμάζει τὰ γελοῖα πράγματα, θὰ εἶναι καὶ αὐτὸς γελοῖος καὶ χειρότερος ἀπὸ τὸ γελωτοποιό. Γιὰ νὰ μὴν πάθεις τὸ ἴδιο, ἀπομακρύνσου ἀπ᾽ αὐτὰ γρήγορα.

Γιατὶ λοιπόν, πές μου, στάθηκες μπροστὰ στὸν πλοῦτο μὲ ἀνοιχτὸ τὸ στόμα καὶ ξεμυαλισμένος; Τί θαυμαστὸ βλέπεις καὶ ἱκανὸ νὰ συγκρατήσει τὰ μάτια σου; Τὰ χρυσοστολισμένα ἄλογα, καὶ τοὺς δούλους ποὺ ἄλλοι εἶναι βάρβαροι καὶ ἄλλοι εὐνοῦχοι, καὶ τὰ πολυτελέστατα ροῦχα, καὶ τὴν ψυχὴ ποὺ γίνεται μαλθακὴ μ᾽ αὐτά, καὶ τὴ σκυ-

καὶ τὴν ἀνεσπασμένην ὀφρύν, καὶ τὰς περιδρομάς, καὶ τοὺς θορύβους; Καὶ ποῦ ταῦτα ἄξια θαύματος; τί δὲ οὗτοι τῶν ἐπαιτῶν διεστήκασι τῶν ὀρχουμένων, καὶ συριζόντων ἐπὶ τῆς ἀγορᾶς; Καὶ γὰρ καὶ οὗτοι πολλῷ τῷ λιμῷ τῆς ἀρετῆς κατεχόμενοι, χορεύουσιν ἐκείνων χορείαν καταγελαστοτέραν, ἀγόμενοι καὶ περιαγόμενοι, νῦν μὲν εἰς τραπέζας πολυτελεῖς, νῦν δὲ εἰς ἑταιριζομένων γυναικῶν καταγώγιον, νῦν δὲ εἰς κολάκων ἑσμοὺς καὶ παρασίτων πλῆθος. Εἰ δὲ χρυσοφοροῦσι, διὰ τοῦτο μάλιστα ἐλεεινοί, ὅτι τὰ μηδὲν πρὸς αὐτοὺς περισπούδαστα αὐτοῖς μᾶλλόν εἰσι.

Μὴ γάρ μοι τὰ ἱμάτια ἴδῃς, ἀλλὰ ἀνακάλυψον αὐτῶν τὴν ψυχήν, καὶ σκόπησον εἰ μὴ μυρίων γέμει τραυμάτων, καὶ ῥάκια περιβέβληται, καὶ ἔστιν ἔρημος καὶ ἀπροστάτευτος. Τί οὖν ὄφελος τῆς ἔξω μανίας; Καὶ γὰρ πολλῷ βέλτιον πένητα εἶναι ἐν ἀρετῇ ζῶντα, ἢ βασιλέα ζῶντα μετὰ πονηρίας. Ὁ μὲν γὰρ πένης παρ' ἑαυτῷ ἀπολαύει πάσης τῆς κατὰ ψυχὴν τρυφῆς, καὶ οὐδὲ τῆς ἔξωθεν αἰσθάνεται πενίας διὰ τὸν ἔνδον πλοῦτον· ὁ δὲ βασιλεὺς τρυφῶν ἐν τοῖς οὐδὲν αὐτῷ προσήκουσιν, ἐν τοῖς μάλιστα αὐτῷ διαφέρουσι κολάζεται, ἐν ψυχῇ καὶ λογισμοῖς καὶ τῷ συνειδότι, τοῖς ἐκεῖ συναποδημοῦσιν αὐτῷ.

Ταῦτ' οὖν εἰδότες, τὰ μὲν ἱμάτια ἀποθώμεθα τὰ χρυσᾶ, ἀνελώμεθα δὲ ἀρετὴν καὶ τὴν ἐκ ταύτης ἡδονήν. Οὕτω γὰρ καὶ ἐνταῦθα καὶ ἐκεῖ πολλῆς ἀπολαύσομεν τῆς τρυφῆς, καὶ τῶν ἐπηγγελμένων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι δόξα, τιμή, κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

θρωπὴ ἔκφραση τοῦ προσώπου, καὶ τὶς περιστροφὲς καὶ τοὺς θορύβους; Καὶ ποῦ εἶναι αὐτὰ ἄξια γιὰ θαυμασμό; Καὶ τί διαφέρουν αὐτοὶ ἀπὸ τοὺς ἐπαῖτες ποὺ χορεύουν καὶ σφυρίζουν στὴν ἀγορά; Γιατὶ καὶ αὐτοί, ἐπειδὴ κατέχονται ἀπὸ μεγάλη πείνα ἀρετῆς, χορεύουν πιὸ γελοῖο χορὸ ἀπὸ ἐκείνους, ἀφοῦ πηγαίνουν καὶ περιφέρονται πότε σὲ πλούσια τραπέζια, πότε σὲ καταγώγιο γυναικῶν ποὺ εἶναι πόρνες, καὶ πότε σὲ πλῆθος κολάκων καὶ παρασίτων. Ἐὰν ὅμως φοροῦν χρυσὰ ροῦχα, γι' αὐτὸ ἰδιαίτερα εἶναι δυστυχισμένοι, ἐπειδὴ αὐτὰ ποὺ δὲν ἔχουν καμιὰ σχέση μ' αὐτούς, εἶναι γι' αὐτοὺς πολὺ περιζήτητα.

Μὴ λοιπόν, σὲ παρακαλῶ, δεῖς τὰ ροῦχα, ἀλλὰ ξεσκέπασε τὴν ψυχή τους καὶ πρόσεξε μήπως δὲν εἶναι γεμάτη ἀπὸ πάρα πολλὰ τραύματα καὶ εἶναι ντυμένη μὲ ράκη καὶ εἶναι ἔρημη καὶ ἀπροστάτευτη. Ποιὸ λοιπὸν εἶναι τὸ κέρδος ἀπὸ τὴ μανία αὐτὴ τῶν ἐθνικῶν; Γιατὶ πραγματικὰ εἶναι πολὺ καλύτερο νὰ εἶναι κανεὶς φτωχός, ἀλλὰ νὰ ζεῖ μὲ ἀρετή, παρὰ νὰ εἶναι βασιλιὰς καὶ νὰ ζεῖ μὲ κακία. Γιατὶ ὁ φτωχὸς ἀπὸ μόνος του ἀπολαμβάνει ὅλη τὴν ψυχικὴ ἀπόλαυση καὶ δὲν αἰσθάνεται καθόλου τὴν ἐξωτερικὴ φτώχεια ἐξ αἰτίας τοῦ ἐσωτερικοῦ του πλούτου, ἐνῶ ὁ βασιλιάς, ἀπολαμβάνοντας αὐτὰ ποὺ δὲν τοῦ ταιριάζουν καθόλου, τιμωρεῖται μαζὶ μ' ἐκείνους, ποὺ διαφέρουν πάρα πολὺ ἀπ' αὐτόν, στὴν ψυχὴ καὶ στὶς σκέψεις καὶ στὴ συνείδηση, ποὺ πηγαίνουν μαζί του ἐκεῖ.

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς βγάλουμε τὰ χρυσὰ ροῦχα καὶ ἂς φορέσουμε τὴν ἀρετὴ καὶ τὴν εὐχαρίστηση ποὺ προέρχεται ἀπ' αὐτή. Ἔτσι λοιπὸν καὶ στὴ ζωὴ αὐτὴ καὶ στὴν ἄλλη θ' ἀπολαύσομε πολλὴ ἀπόλαυση καὶ θὰ ἐπιτύχουμε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθεῖ, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ τιμή, καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΣΤ΄
(Ρωμ. 1, 28 - 2, 16)

«Καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν ὁ Θεὸς αὐτοὺς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα».

1. Ἵνα μὴ δόξῃ αὐτοὺς αἰνίττεσθαι, ἐπὶ πολὺ τῷ τῆς παιδεραστίας ἐνδιατρίβων λόγῳ, μετέβη λοιπὸν ἐφ' ἕτερα εἴδη ἁμαρτημάτων· διὸ καὶ ἐφ' ἑτέρων προσώπων προάγει τὸν λόγον ἅπαντα. Καὶ ὥσπερ ἀεὶ τοῖς πιστοῖς διαλεγόμενος περὶ ἁμαρτημάτων, καὶ βουλόμενος ταῦτα δεῖξαι φευκτά, παράγει εἰς μέσον τὰ ἔθνη, λέγων· «Μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ λοιπὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν»· καὶ πάλιν, «Μὴ λυπεῖσθε, ὥσπερ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα»· οὕτω καὶ ἐνταῦθα δείκνυσιν ἐκείνων τὰ ἁμαρτήματα ὄντα, καὶ πάσης αὐτοὺς ἀποστερεῖ συγγνώμης· οὐ γὰρ ἀγνοίας, ἀλλὰ μελέτης εἶναί φησι τὰ τολμήματα. Διόπερ οὐκ εἶπε, καὶ καθὼς οὐκ ἔγνωσαν, ἀλλά, «Καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει»· κρίσεως διεφθαρμένης καὶ φιλονεικίας μᾶλλον, καὶ δεικνὺς οὐχὶ τῆς σαρκός, καθώς τινες τῶν αἱρετικῶν φασιν, ἀλλὰ τῆς διανοίας ὄντα τῆς πονηρᾶς ἐπιθυμίας τὰ ἁμαρτήματα, καὶ τὴν πηγὴν ἐκεῖθεν οὖσαν τῶν κακῶν. Ἐπειδὴ γὰρ ὁ νοῦς ἀδόκιμος γέγονε, πάντα παρεσύρη λοιπὸν καὶ ἀνετράπη, τοῦ ἡνιόχου διαφθαρέντος.

«Πεπληρωμένους πάσῃ ἀδικίᾳ, πονηρίᾳ, πλεονε-

1. Α΄ Θεσ. 4, 5 2. Α΄ Θεσ. 4, 13

ΟΜΙΛΙΑ ΣΤ΄
(Ρωμ. 1, 28 - 2, 16)

«Καθὼς δὲ θεώρησαν καλὸ νὰ γνωρίσουν τὸ Θεό, τοὺς παρέδωσε ὁ Θεὸς σὲ ἀνίκανο νοῦ, νὰ κάνουν ἐκεῖνα ποὺ δὲν ἔπρεπε».

1. Γιὰ νὰ μὴ φανεῖ πὼς ὑπονοεῖ αὐτούς, ἐπιμένοντας πολὺ στὸ λόγο τῆς παιδεραστίας, ἔρχεται στὴ συνέχεια σὲ ἄλλα εἴδη ἁμαρτημάτων. Γι' αὐτὸ καὶ φέρει ὅλο τὸ λόγο σὲ ἄλλα πρόσωπα. Καὶ ὅπως ἀκριβῶς πάντοτε ὅταν μιλάει στοὺς πιστοὺς γιὰ τὰ ἁμαρτήματα καὶ θέλει νὰ δείξει πὼς πρέπει ν' ἀποφεύγονται αὐτά, φέρει γιὰ παράδειγμα τὰ ἔθνη, λέγοντας «Ὄχι σὲ πάθος ἐπιθυμίας, ὅπως καὶ οἱ ὑπόλοιποι ἐθνικοί, οἱ ὁποῖοι δὲ γνωρίζουν τὸ Θεό»[1]· καὶ πάλι, «Νὰ μὴ λυπάστε, ὅπως καὶ οἱ λοιποί, ποὺ δὲν ἔχουν ἐλπίδα»[2], ἔτσι καὶ ἐδῶ δείχνει πὼς τὰ ἁμαρτήματα εἶναι ἐκείνων, καὶ τοὺς στερεῖ ἀπὸ κάθε συγγνώμη. Γιατὶ οἱ ἐνέργειες αὐτές, λέγει, δὲν εἶναι ἀποτέλεσμα ἄγνοιας, ἀλλὰ μελέτης. Γι' αὐτὸ ἀκριβῶς δὲν εἶπε, καὶ καθὼς δὲ γνώρισαν τὸ Θεό, ἀλλά, «Καθὼς δὲ θεώρησαν καλὸ νὰ γνωρίσουν τὸ Θεό», λέγοντας πὼς τὸ ἁμάρτημα αὐτὸ προέρχεται ἀπὸ διεφθαρμένη κρίση καὶ φιλονεικία, ὄχι ἀπὸ ἀπερισκεψία, καὶ ἀποδεικνύοντας πὼς τὰ ἁμαρτήματα δὲν προέρχονται ἀπὸ τὴ σάρκα, ὅπως ἰσχυρίζονται μερικοὶ ἀπὸ τοὺς αἱρετικούς, ἀλλ' ἀπὸ τὸ νοῦ, τὴν πονηρὴ ἐπιθυμία, καὶ πὼς ἡ πηγὴ τῶν κακῶν βρίσκεται ἐκεῖ. Ἐπειδὴ λοιπὸν ὁ νοῦς ἔγινε ἀνίκανος, ὅλα παρασύρθηκαν στὴ συνέχεια καὶ ἀνατράπηκαν, ἀφοῦ ὁ ἡνίοχος καταστράφηκε.

«Καὶ γέμισαν ἀπὸ κάθε ἀδικία, πονηρία, πλεονεξία.

ξία, κακία». Ὅρα πάντα μετ' ἐπιτάσεως· καὶ γὰρ «Πεπληρωμένους» εἶναί φησι, καὶ «Πάσῃ». Ὀνομάσας δὲ γενικῶς τὴν κακίαν, καὶ τοῖς μέρεσιν ἐπεξέρχεται, καὶ τούτοις μεθ' ὑπερβολῆς, λέγων «Μεστοὺς φθόνου, φόνου». Τοῦτο γὰρ ἐξ ἐκείνου, ὥσπερ ἐπὶ τοῦ Ἄβελ καὶ τοῦ Ἰωσὴφ ἐδείχθη. Εἶτα εἰπών, «Ἔριδας, δόλου, κακοηθείας, ψιθυριστάς, καταλάλους, θεοστυγεῖς, ὑβριστάς», καὶ τὰ δοκοῦντα ἀδιάφορα εἶναι πολλοῖς ἐν τάξει θεὶς ἐγκλημάτων, αὔξει πάλιν τὴν κατηγορίαν, ἐπὶ τὴν ἀκρόπολιν ἀναβὰς τῶν κακῶν, καὶ εἰπὼν «Ἀλαζόνας». Τοῦ γὰρ ἁμαρτάνειν τὸ καὶ ἁμαρτάνοντα φρονεῖν μέγα, χαλεπώτερον· διὸ καὶ Κορινθίοις αὐτὸ ἐγκαλεῖ λέγων, «Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ». Εἰ γὰρ ἐπὶ κατορθώματί τις φυσώμενος τὸ πᾶν ἀπώλεσεν, ὁ μετὰ ἁμαρτημάτων τοῦτο ποιῶν, πόσης οὐκ ἂν εἴη τιμωρίας ἄξιος; οὐδὲ γὰρ μεταγνῶναι δυνήσεται λοιπὸν ὁ τοιοῦτος.

Εἶτά φησιν, «Ἐφευρετὰς κακῶν»· δηλῶν, ὅτι οὐδὲ τοῖς ἤδη οὖσιν ἠρκέσθησαν, ἀλλὰ καὶ ἐφεῦρον ἕτερα· ὅπερ πάλιν μελετώντων ἦν καὶ σπουδαζόντων, οὐχὶ συναρπαζομένων καὶ παρασυρομένων. Εἰπὼν δὲ κατὰ μέρος τὴν κακίαν, καὶ δείξας, ὅτι καὶ πρὸς αὐτὴν πάλιν τὴν φύσιν ἔστησαν («Γονεῦσι γάρ», φησίν, «ἀπειθεῖς»), ἐπὶ τὴν ῥίζαν λοιπὸν πρόεισι τῆς τοσαύτης λύμης, «Ἀστόργους καὶ ἀσπόνδους» καλῶν. Ταύτην γὰρ καὶ ὁ Χριστὸς τὴν αἰτίαν εἶναί φησι τῆς πονηρίας, λέγων· «Ὅταν πληθυνθῇ ἡ ἀνομία, ψυγήσεται ἡ ἀγάπη». Τοῦτο γοῦν καὶ ἐνταῦθα λέγει ὁ Παῦλος, «Ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας» καλῶν, καὶ δηλῶν, ὅτι καὶ αὐτὸ τὸ τῆς φύσεως προὔδωκαν δῶρον. Ἔχομεν γὰρ καὶ φυσικήν τινα πρὸς ἀλλήλους οἰκείωσιν, ἣν καὶ θηρία

------

3. Α' Κορ. 5, 2
4. Ματθ. 24, 12

κακία». Πρόσεχε πώς ὅλα λέγονται μὲ ἔμφαση. Γιατὶ λέγει πὼς εἶναι καὶ «Γεμάτοι» καὶ «Ἀπὸ κάθε». Καὶ ἀφοῦ ὀνόμασε γενικὰ τὴν κακία, ἔρχεται καὶ στὰ μέρη της, καὶ μὲ ὑπερβολὴ σ' αὐτά, λέγοντας «Γεμάτοι ἀπὸ φθόνο, φόνο». Γιατὶ ὁ φόνος προέρχεται ἀπὸ τὸ φθόνο, ὅπως ἀποδείχθηκε στὴν περίπτωση τοῦ Ἄβελ καὶ τοῦ Ἰωσήφ. Ἔπειτα λέγοντας, «Γεμάτοι ἀπὸ φιλονεικία, δόλο, κακοήθεια, ψιθυρίζουν, κακολογοῦν, μισοῦν τὸ Θεό, βρίζουν», καὶ τοποθετώντας στὴ σειρὰ τῶν ἁμαρτημάτων ἐκεῖνα ποὺ στοὺς πολλοὺς φαίνονται ἀδιάφορα, μεγαλώνει πάλι τὴν κατηγορία, ἀνεβαίνοντας στὴν κορυφὴ τῶν κακῶν καὶ λέγοντας «εἶναι φαντασμένοι». Γιατὶ καὶ ἀπὸ τὸ νὰ ἁμαρτάνει κανεὶς εἶναι πιὸ φοβερὸ τὸ νὰ εἶναι καὶ φαντασμένος, ὅταν ἁμαρτάνει. Γι' αὐτὸ καὶ τοὺς Κορινθίους τοὺς κατηγορεῖ λέγοντας· «Καὶ ἐσεῖς εἶστε φαντασμένοι»[3]. Ἐὰν λοιπὸν κάποιος ποὺ καυχιέται γιὰ ἕνα κατόρθωμά του, ἔχασε τὰ πάντα, ἐκεῖνος ποὺ κάνει αὐτὸ μὲ ἁμαρτήματα, πόση τιμωρία δὲ θὰ ἄξιζε; Γιατὶ αὐτὸς δὲ θὰ μπορέσει στὴ συνέχεια οὔτε νὰ μετανοήσει.

Ἔπειτα λέγει, «Ἐπινοοῦν κακά», δηλώνοντας πὼς οὔτε σ' αὐτὰ ποὺ ὑπῆρχαν ἀρκέστηκαν, ἀλλὰ καὶ ἐπινόησαν ἄλλα. Αὐτὸ πάλι ἦταν ἀπόδειξη ἀνθρώπων ποὺ μελετοῦσαν καὶ προσπαθοῦσαν, καὶ ὄχι ἀνθρώπων ποὺ ἐπηρεάζονταν καὶ παρασύρονταν. Ἀφοῦ εἶπε ὅμως ξεχωριστὰ τὴν κακία καὶ ἀφοῦ ἔδειξε, πὼς ξεσηκώθηκαν πάλι καὶ ἐναντίον τῆς ἴδιας τῆς φύσης (γιατὶ λέγει, «Εἶναι ἀπειθεῖς στοὺς γονεῖς»), προχωράει στὴ συνέχεια στὴ ρίζα αὐτῆς τῆς μεγάλης καταστροφῆς, ὀνομάζοντας αὐτοὺς «Ἀστόργους καὶ ἀδιάλλακτους». Γιατὶ καὶ ὁ Χριστὸς αὐτὴ λέγει πὼς εἶναι ἡ αἰτία τῆς κακίας, λέγοντας· «Ὅταν πληθύνει ἡ κακία, θὰ ψυχρανθεῖ ἡ ἀγάπη»[4]. Αὐτὸ ἀκριβῶς λέγει καὶ ὁ Παῦλος ἐδῶ, ὀνομάζοντας αὐτοὺς «Ἀσταθεῖς, ἄστοργους, ἄσπονδους, ἀνέσπλαχνους», καὶ δηλώνοντας πὼς πρόδωσαν καὶ αὐτὸ τὸ δῶρο τῆς φύσης. Γιατὶ ἔχομε καὶ κάποια φυσικὴ συμπάθεια μεταξύ μας, τὴν ὁποία καὶ τὰ ἄγρια ζῶα ἔχουν μεταξύ τους. «Γιατὶ κάθε ζῶο», λέγει,

πρὸς ἄλληλα κέκτηνται. «Πᾶν γὰρ ζῶον», φησίν, «ἀγαπᾷ τὸ ὅμοιον αὐτοῦ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ». Ἀλλ' οὗτοι κἀκείνων κατέστησαν ἀγριώτεροι.

Τὴν μὲν οὖν νόσον τὴν ἀπὸ τῶν πονηρῶν δογμάτων τῇ οἰκουμένῃ γενομένην διὰ τούτων ἡμῖν παρέστησε, καὶ σαφῶς ἔδειξε τῆς τῶν νοσούντων ῥᾳθυμίας τὴν ἀρρωστίαν οὖσαν ἑκατέραν. Δείκνυσι δὲ λοιπόν, ὅπερ ἐπὶ τῶν δογμάτων ἐποίησε, καὶ ἐνταῦθα συγγνώμης αὐτοὺς ἀπεστερημένους· διό φησιν· «Οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ εἰδότες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτοὶ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσι». Δύο θεὶς ἀντιθέσεις, ἐνταῦθα ἀνεῖλεν ἀμφοτέρας αὐτὰς προηγουμένως. Τί γὰρ ἂν εἴποις, φησίν, ὅτι οὐκ οἶδας τὰ πρακτέα; Μάλιστα μὲν εἰ καὶ μὴ ᾔδεις, σὺ αἴτιος, ὁ ἀφεὶς τὸν γνωρίσαντά σοι Θεόν· νῦν δὲ καὶ διὰ πολλῶν σε δείκνυμεν εἰδότα, καὶ ἑκοντὶ πλημμελοῦντα. Ἀλλ' ὑπὸ τοῦ πάθους ἕλκῃ; Τί οὖν καὶ συμπράττεις, καὶ ἐπαινεῖς; «Οὐ γὰρ μόνον αὐτὰ ποιοῦσι», φησίν, «ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι».

Τὴν οὖν χαλεπωτέραν πρότερον θεὶς καὶ ἀσύγγνωστον, ἵνα ἕλῃ (καὶ γὰρ τοῦ πλημμελοῦντος ὁ τὴν ἁμαρτίαν ἐπαινῶν χαλεπώτερος πολύ)· τοῦτο οὖν πρῶτον εἰπών, διὰ τούτου σφοδρότερον πάλιν ἐν τοῖς ἑξῆς αὐτὸν χειροῦται, λέγων οὕτω· «Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων· Ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις». Ταῦτα πρὸς τοὺς ἄρχοντας ἀποτεινόμενος ἔλεγεν, ἐπειδὴ καὶ ἡ πόλις τότε ἐκείνη τὴν ἀρχὴν ἦν ἐγκειχειρισμένη τῆς οἰκουμένης. Προλαβὼν οὖν φησι· σαυτοῦ ἀφαιρῇ τὴν ἀπολογίαν πᾶς ὅστις ἂν ᾖς· ὅταν γὰρ κατακρίνῃς τὸν μοιχόν, μοιχεύῃς δὲ καὶ αὐτός, κἂν μηδεὶς ἀν-

5. Σοφ. Σειρ. 13, 15

«ἀγαπάει τὸ ὅμοιό του, καὶ κάθε ἄνθρωπος ἀγαπάει τὸν πλησίον του»[5]. Αὐτοὶ ὅμως ἔγιναν πιὸ ἄγριοι καὶ ἀπὸ τὰ ζῶα.

Μᾶς παρουσίασε λοιπὸν μ' αὐτὰ τὴν ἀρρώστια ποὺ ἔγινε στὴν οἰκουμένη ἀπὸ τὰ πονηρὰ δόγματα καὶ ἔδειξε καθαρὰ πὼς κάθε ἀσθένεια ὀφείλεται στὴν ἀδιαφορία τῶν ἀσθενῶν. Καὶ στὴ συνέχεια δείχνει, πράγμα ποὺ καὶ στὴν περίπτωση τῶν δογμάτων ἔκαμε, πὼς καὶ ἐδῶ αὐτοὶ ἔχουν στερηθεῖ τὴ συγγνώμη. Γι' αὐτὸ λέγει· «Αὐτοί, ἂν καὶ γνώριζαν τὸ δίκαιο τοῦ Θεοῦ, ὅτι δηλαδὴ ὅσοι κάνουν τέτοια ἔργα εἶναι ἄξιοι θανάτου, ὄχι μόνο κάνουν αὐτά, ἀλλὰ καὶ ἐπιδοκιμάζουν ἐκείνους ποὺ τὰ κάνουν». Ἀφοῦ ἀνέφερε δύο ἀντιθέσεις, ἐδῶ τὶς ἀναίρεσε ἀμέσως καὶ τὶς δύο. Γιατὶ τί θὰ μποροῦσες νὰ πεῖς, λέγει, ὅτι δὲ γνωρίζεις αὐτὰ ποὺ πρέπει νὰ κάνεις; Βέβαια καὶ ἂν ἀκόμη δὲ γνώριζες, ἐσὺ εἶσαι ὁ αἴτιος, ποὺ ἐγκατέλειψες τὸ Θεό, ὁ ὁποῖος σοῦ τὰ γνώρισε. Τώρα ὅμως δείχνουμε μὲ πολλὲς ἀποδείξεις ὅτι γνωρίζεις καὶ ὅτι ἁμαρτάνεις μὲ τὴ θέλησή σου. Ἀλλὰ παρασύρεσαι ἀπὸ τὸ πάθος; Γιατί λοιπὸν καὶ ἐνεργεῖς μαζὶ μὲ ἄλλους καὶ τοὺς ἐπαινεῖς; «Γιατί ὄχι μόνο κάνουν αὐτά», λέγει, «ἀλλὰ καὶ ἐπιδοκιμάζουν ἐκείνους ποὺ τὰ κάνουν».

Ἀνέφερε λοιπὸν πρῶτα τὴ φοβερότερη καὶ ἀσυγχώρητη, γιά νὰ τὴν ἐξαφανίσει (γιατὶ ἐκεῖνος ποὺ ἐπαινεῖ τὴν ἁμαρτία εἶναι πολὺ φοβερότερος ἀπ' αὐτὸν ποὺ ἁμαρτάνει). Ἀφοῦ λοιπὸν εἶπε αὐτὸ πρῶτα, μ' αὐτὸ πάλι μὲ περισσότερη σφοδρότητα τὸν αἰχμαλωτίζει στὰ ἑπόμενα, λέγοντας ἔτσι· «Γι' αὐτὸ εἶσαι ἀναπολόγητος, ἄνθρωπε, ὁποιοσδήποτε καὶ ἂν εἶσαι ἐσὺ ποὺ κρίνεις. Γιατί μ' αὐτὸ ποὺ κρίνεις τὸν ἄλλο, κατακρίνεις τὸν ἑαυτό σου». Αὐτὰ τὰ ἔλεγε ἀπευθυνόμενος στοὺς ἄρχοντες, ἐπειδὴ καὶ ἡ πόλη τότε ἐκείνη εἶχε ἀναλάβει τὴν ἐξουσία τῆς οἰκουμένης. Προκαταβολικὰ λοιπὸν λέγει· ἀφαιρεῖς ἀπὸ τὸν ἑαυτό σου τὴν ἀπολογία ὁποιοσδήποτε καὶ ἂν εἶσαι. Γιατὶ ὅταν κατακρίνεις τὸ μοιχό, μοιχεύεις καὶ ἐσὺ ὁ ἴδιος, καὶ ἂν ἀκόμη δὲ σὲ δικάζει κανεὶς ἀπὸ τοὺς ἀνθρώπους,

θρώπων σε δικάζῃ, ἐν τῇ περὶ τοῦ ὑπευθύνου ψήφῳ καὶ κατὰ σαυτοῦ τὴν ἀπόφασιν ἤνεγκας.

«Οἴδαμεν γάρ, ὅτι τὸ κρίμα τοῦ Θεοῦ ἐστι κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας». Ἵνα γὰρ μὴ λέγῃ τις, ὅτι τέως διέφυγον, φοβῶν φησιν, ὅτι οὐχ οὕτως ἐστὶ παρὰ τῷ Θεῷ, ὥσπερ ἐνταῦθα. Ἐνταῦθα γὰρ ὁ μὲν κολάζεται, ὁ δὲ διαφεύγει τὰ αὐτὰ ποιῶν, ἐκεῖ δὲ οὐχ οὕτως. Ὅτι μὲν οὖν οἶδε τὸ δίκαιον ὁ κρίνων, εἶπε, πόθεν δὲ οἶδεν, οὐκ ἔτι προσέθηκε· περιττὸν γὰρ ἦν. Ἐπὶ μὲν γὰρ τῆς ἀσεβείας ἀμφότερα δείκνυσι, καὶ ὅτι τὸν Θεὸν εἰδώς, ἠσέβει, καὶ πόθεν εἰδώς, ἀπὸ τῆς κτίσεως. Ἐπειδὴ γὰρ οὐκ ἦν δῆλον ἅπασιν, εἶπε καὶ τὴν αἰτίαν· ἐνταῦθα δὲ ὡς ὡμολογημένου, παρίησιν. Ὅταν δὲ εἴπῃ, «Πᾶς ὁ κρίνων», οὐ τοῖς ἄρχουσι διαλέγεται μόνον, ἀλλὰ καὶ ἰδιώταις καὶ ἀρχομένοις.

2. Καὶ γὰρ ἅπαντες ἄνθρωποι, κἂν μὴ θρόνον ἔχωσι, μηδὲ δημίους καὶ ξύλον, ἀλλ' ὅμως καὶ αὐτοὶ κρίνουσι τοὺς ἁμαρτάνοντας, ἐν διαλέξεσι καὶ κοινοῖς συλλόγοις καὶ τῇ τοῦ συνειδότος ψήφῳ· καὶ οὐδεὶς ἂν τολμήσειεν εἰπεῖν, ὅτι οὐκ ἄξιος κολάσεως ὁ μοιχός. Ἀλλ' ἑτέρους, φησί, καταδικάζουσιν, οὐχ ἑαυτούς. Διὰ γὰρ τοῦτο αὐτῶν καὶ σφοδρῶς κατεξανίσταται, λέγων· «Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράττοντας, καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ;». Ἐπειδὴ γὰρ πολλὴν ἔδειξε τῆς οἰκουμένης τὴν ἁμαρτίαν, ἀπὸ τῶν δογμάτων, ἀπὸ τῶν πραγμάτων, καὶ ὅτι σοφοὶ ὄντες, καὶ ὅτι τὴν κτίσιν ἔχοντες χειραγωγοῦσαν, καὶ ὅτι οὐ τῷ τὸν Θεὸν ἀφεῖναι μόνον, ἀλλὰ καὶ τῷ ἑλέσθαι τὰ ὁμοιώματα τῶν ἑρπετῶν, καὶ τῷ τὴν ἀρετὴν ἀτιμάσαι, καὶ τῷ τῆς φύσεως ἀνθελκούσης ἐπὶ τὴν

στὴν κρίση σου γιὰ τὸν ὑπεύθυνο ἔβγαλες καὶ ἐναντίον τοῦ ἑαυτοῦ σου τὴν ἀπόφαση.

«Γιατὶ γνωρίζομε, ὅτι ἡ ἀπόφαση τοῦ Θεοῦ ἐναντίον ἐκείνων, ποὺ κάνουν τέτοια ἔργα, εἶναι ἀληθινή». Γιὰ νὰ μὴ λέγει λοιπὸν κάποιος, ὅτι προηγουμένως ξέφυγα, φοβερίζοντας λέγει, ὅτι δὲ συμβαίνει στὸ Θεό, ἔτσι ὅπως συμβαίνει ἐδῶ. Γιατὶ ἐδῶ ἄλλος τιμωρεῖται, ἐνῶ ἄλλος ποὺ κάνει τὰ ἴδια ξεφεύγει. Ἐκεῖ ὅμως δὲ συμβαίνει ἔτσι. Ὅτι λοιπὸν γνωρίζει τὸ δίκαιο ὁ κριτής, τὸ εἶπε, ἀπὸ ποῦ ὅμως γνωρίζει, δὲν τὸ ἀνέφερε ἀκόμη, γιατὶ ἦταν περιττό. Στὴν περίπτωση βέβαια τῆς ἀσέβειας δείχνει καὶ τὰ δύο, καὶ ὅτι, ἂν καὶ γνώριζε τὸ Θεό, ἀσεβοῦσε, καὶ ἀπὸ ποῦ γνώριζε, δηλαδὴ ἀπὸ τὴν κτίση. Ἐπειδὴ λοιπὸν δὲν ἦταν φανερὸ σὲ ὅλους, ἀνέφερε καὶ τὴν αἰτία· ἐδῶ ὅμως, ἐπειδὴ θεωροῦνταν σὰν δεδομένο, τὸ παραλείπει. Ὅταν ὅμως λέγει, «Ὁποιοσδήποτε καὶ ἂν εἶναι αὐτὸς ποὺ κρίνει», δὲν ἀπευθύνεται μόνο στοὺς ἄρχοντες, ἀλλὰ καὶ στοὺς ἰδιῶτες καὶ στοὺς ἁπλοὺς πολίτες.

2. Γιατὶ πραγματικὰ ὅλοι εἶναι ἄνθρωποι, ἔστω καὶ ἂν δὲν ἔχουν θρόνο, οὔτε δήμιους καὶ ράβδο, ἀλλ᾽ ὅμως καὶ αὐτοὶ κρίνουν ἐκείνους ποὺ ἁμαρτάνουν, σὲ συζητήσεις καὶ κοινὲς συγκεντρώσεις καὶ μὲ τὴν κρίση τῆς συνειδησής τους. Καὶ κανεὶς δὲ θὰ τολμοῦσε νὰ πεῖ, ὅτι ὁ μοιχὸς δὲν εἶναι ἄξιος γιὰ τιμωρία. Ἄλλους ὅμως, λέγει, καταδικάζουν, ὄχι τοὺς ἑαυτούς τους. Γι᾽ αὐτὸ ἀκριβῶς καὶ μὲ σφοδρότητα ὀργίζεται ἐναντίον τους, λέγοντας· «Φαντάζεσαι ὅμως αὐτό, ἄνθρωπε, ἐσὺ ποὺ κρίνεις ἐκείνους ποὺ κάνουν τέτοια ἔργα καὶ ὅμως κάνεις καὶ ἐσὺ αὐτά, ὅτι ἐσὺ θ᾽ ἀποφύγεις τὴν κρίση τοῦ Θεοῦ;». Ἐπειδὴ λοιπὸν ἔδειξε πὼς εἶναι πολλὴ ἡ ἁμαρτία τῆς οἰκουμένης, ἀπὸ τὰ δόγματα, ἀπὸ τὰ πράγματα, καὶ πὼς ἂν καὶ ἦταν σοφοί, καὶ πὼς ἂν καὶ εἶχαν τὴν κτίση νὰ τοὺς καθοδηγεῖ, καὶ πὼς ὄχι μὲ τὸ νὰ ἐγκαταλείψουν τὸ Θεὸ μόνο, ἀλλὰ καὶ μὲ τὸ νὰ προτιμήσουν τὰ ὁμοιώματα τῶν ἑρπετῶν, καὶ μὲ τὸ νὰ ἀτιμάσουν τὴν ἀρετή, καὶ μὲ τὸ νὰ στραφοῦν στὴν κακία, μολονότι ἡ φύση τοὺς ὁδηγοῦσε στὴν ἀντί-

κακίαν αὐτομολῆσαι, καὶ τῷ παρὰ φύσιν εἶναι, πρόεισι λοιπὸν εἰς τὸ δεῖξαι, ὅτι καὶ κολάζονται οἱ τὰ τοιαῦτα πράσσοντες.

Ἔδειξε μὲν οὖν ἤδη τιμωρίαν, εἰπὼν τὴν πρᾶξιν αὐτήν· «Τὴν γὰρ ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν αὐτοῖς ἀπολαμβάνουσι», φησίν· ἀλλ' ἐπειδὴ οὐκ αἰσθάνονται ἐκείνης, εἶπε καὶ τὴν ἑτέραν, ἣν μάλιστα δεδοίκασι. Μάλιστα μὲν ἤδη καὶ ταύτην ἔδειξεν· ὅταν γὰρ λέγῃ, ὅτι «Τὸ κρίμα τοῦ Θεοῦ κατὰ ἀλήθειάν ἐστιν», οὐδὲν ἕτερον ἢ τοῦτο λέγει· πλὴν ἀλλὰ καὶ ἐφ' ἑτέρων αὐτὸ πλειόνων κατασκευάζει πάλιν, οὕτω λέγων, «Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ;». Τὸ σὸν οὐκ ἐξέφυγες κρίμα, καὶ τὸ τοῦ Θεοῦ διαφεύξῃ; καὶ τίς ἂν τοῦτο εἴποι; Καίτοι γε σὺ σαυτὸν ἔκρινας. Ἀλλ' ἐπειδὴ τοσαύτη ἦν ἡ περιουσία τοῦ δικαστηρίου, καὶ οὐδὲ σαυτοῦ φείσασθαι ἠδυνήθης, πῶς ὁ Θεός, ὁ ἀναμάρτητος, ὁ μεθ' ὑπερβολῆς δίκαιος, οὐ πολλῷ μᾶλλον τοῦτο ποιήσει; Ἀλλὰ σὺ μὲν σαυτοῦ κατέγνως, ὁ δὲ Θεὸς ἀποδέξεται καὶ ἐπαινέσει; Καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; Καίτοι γε ἐκείνου τοῦ παρὰ σοῦ καταδικαζομένου κολάσεως μείζονος σὺ ἀξιώματος. Οὐ γάρ ἐστι ταὐτὸν ἁμαρτάνειν ἁπλῶς, καὶ ἕτερον ἁμαρτάνοντα κολάσαντα τοῖς αὐτοῖς περιπεσεῖν πάλιν.

Ὁρᾷς πῶς τὸ ἔγκλημα ηὔξησεν; Εἰ γὰρ σύ, φησί, τὸν ἐλάττονα ἁμαρτόντα κολάζεις, καίτοι γε μέλλων αἰσχύνειν σαυτόν, πῶς ὁ Θεὸς τὸν μείζονα πλημμελήσαντά σε, καὶ ταῦτα οὐ μέλλων ἑαυτὸν αἰσχύνειν, οὐ καταδικάσει καὶ κατακρινεῖ μειζόνως, ἤδη κατακεκριμένον ἀπὸ τῶν οἰκείων λογισμῶν; Εἰ δὲ λέγεις, ὅτι οἶδα μέν, ὅτι ἄξιός εἰμι κολάσεως, διὰ δὲ τὴν μα-

6. Ρωμ. 1. 27

θετη κατεύθυνση, καὶ μὲ τὸ νὰ συμπεριφέρονται ἀντίθετα ἀπὸ τὴ φύση, προχωρεῖ στὴν συνέχεια ν' ἀποδείξει, πὼς ἐκεῖνοι ποὺ κάνουν τέτοια ἔργα τιμωροῦνται.

Ἔδειξε λοιπὸν ἤδη τιμωρία, ὅταν εἶπε αὐτὴν τὴν πράξη. Γιατὶ λέγει· «Παίρνουν τὸ μισθό, ποὺ τοὺς ἄξιζε, γιὰ τὴν πλάνη τους ἀπὸ τὸν ἴδιο τὸν ἑαυτό τους»[6]. Ἀλλ' ἐπειδὴ δὲν τὴν αἰσθάνονται ἐκείνη, ἀνέφερε καὶ ἄλλη, ποὺ τὴ φοβοῦνται πάρα πολύ. Καὶ μάλιστα καὶ αὐτὴν τὴν ἔδειξε προηγουμένως. Γιατὶ ὅταν λέγει, ὅτι «Ἡ κρίση τοῦ Θεοῦ εἶναι ἀληθινή», τίποτε ἄλλο δὲν ἐννοεῖ παρὰ αὐτό. Ἀλλ' ὅμως καὶ σὲ περισσότερα ἄλλα τὸ ἴδιο ἀποδείχνει πάλι, λέγοντας ἔτσι, «Φαντάζεσαι ὅμως αὐτό, ἄνθρωπε, ἐσὺ ποὺ κρίνεις ἐκείνους ποὺ κάνουν τέτοια ἔργα καὶ ὅμως καὶ ἐσὺ κάνεις αὐτά, πὼς ἐσὺ θ' ἀποφύγεις τὴν κρίση τοῦ Θεοῦ;». Δὲν ξέφυγες τὴ δική σου κρίση καὶ θὰ ξεφύγεις τὴν κρίση τοῦ Θεοῦ; Καὶ ποιὸς θὰ μποροῦσε νὰ τὸ πεῖ αὐτό; Ὅμως ἐσὺ βέβαια ἔκρινες τὸν ἑαυτό σου. Ἀλλ' ἐπειδὴ τόσο μεγάλη ἦταν ἡ ὑπεροχὴ τοῦ δικαστηρίου καὶ δὲν μπόρεσες οὔτε τὸν ἑαυτό σου νὰ λυπηθεῖς, πῶς ὁ Θεός, ὁ ἀναμάρτητος, ὁ δίκαιος σὲ ὑπερβολικὸ βαθμό, δὲ θὰ κάμει αὐτὸ πολὺ περισσότερο; Ἀλλ' ἐσὺ καταδίκασες τὸν ἑαυτό σου, ἐνῶ ὁ Θεὸς θὰ παραδεχθεῖ καὶ θὰ ἐπαινέσει; Καὶ πῶς θὰ μποροῦσε νὰ ἔχει δικαιολογία αὐτό; Μολονότι βέβαια ἐσὺ ἀξίζεις μεγαλύτερη τιμωρία ἀπὸ ἐκεῖνον ποὺ καταδικάζεις. Γιατὶ δὲν εἶναι τὸ ἴδιο τὸ νὰ ἁμαρτάνει κανεὶς ἁπλά, καὶ τὸ νὰ περιπέσει πάλι στὰ ἴδια ἐκεῖνος ποὺ τιμώρησε ἄλλον ποὺ ἁμάρτησε.

Βλέπεις πῶς μεγάλωσε τὴν κατηγορία; Ἐὰν λοιπὸν ἐσύ, λέγει, τιμωρεῖς ἐκεῖνον ποὺ ἁμάρτησε λιγότερο, ἂν καὶ βέβαια πρόκειται νὰ ντροπιάσεις τὸν ἑαυτό σου, πῶς ὁ Θεὸς δὲ θὰ καταδικάσει καὶ δὲ θὰ κατακρίνει περισσότερο ἐσένα ποὺ ἁμάρτησες περισσότερο, χωρὶς μάλιστα νὰ πρόκειται νὰ ντροπιάσει τὸν ἑαυτό του, δὲ θὰ καταδικάσει καὶ δὲ θὰ κατακρίνει ἐντονότερα ἐσένα, ποὺ ἔχεις ἤδη κατακριθεῖ ἀπὸ τὶς δικές σου σκέψεις; Ἐὰν ὅμως λέγεις, ὅτι γνωρίζω βέβαια, πὼς εἶμαι ἄξιος γιὰ τιμωρία,

κροθυμίαν καταφρονεῖς, καὶ διὰ τὸ μὴ δοῦναι παρὰ πόδας δίκην, θαρρεῖς· δεδοικέναι μὲν καὶ τρέμειν διὰ τοῦτο ἂν εἴης δίκαιος. Οὐ γὰρ εἰς τὸ μὴ δοῦναι δίκην, ἀλλ' εἰς τὸ δοῦναι χαλεπωτέραν, εἰ μένοις ἀδιόρθωτος ὤν, ἀναβάλλεται· ὃ μηδέποτε συμβήσεταί σοι. Διὸ καὶ ἐπάγει λέγων· «Ἢ τοῦ πλούτου της χρηστότητος αὐτοῦ καταφρονεῖς, καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας, ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει;».

Ἐπαινέσας γὰρ τοῦ Θεοῦ τὴν μακροθυμίαν, καὶ δείξας αὐτῆς τὸ κέρδος μέγιστον τοῖς προσέχουσι (τοῦτο δὲ ἦν τὸ εἰς μετάνοιαν ἕλκειν τοὺς ἁμαρτάνοντας), αὔξει τὸν φόβον. Ὥσπερ γὰρ τοῖς εἰς δέον χρησαμένοις σωτηρίας ἐστὶν ὑπόθεσις, οὕτω τοῖς καταφρονήσασιν ἐφόδιον μείζονος τιμωρίας. Τοῦτο γὰρ τὸ περιφερόμενον, ὅτι χρηστὸς καὶ μακρόθυμος ὢν ὁ Θεὸς οὐκ ἀπαιτεῖ δίκην· ὅταν δὲ εἴπῃς τοῦτο, φησίν, οὐδὲν ἄλλο λέγεις, ἢ τῆς τιμωρίας τὴν ἐπίτασιν. Τὴν γὰρ χρηστότητα ὁ Θεὸς ἐπιδείκνυται, ἵνα ἀπαλλαγῇς ἁμαρτημάτων, οὐχ ἵνα προσθῇς· ἂν τοίνυν μὴ τοῦτο ποιῇς, φοβερωτέρα ἡ δίκη. Διὸ μάλιστα ἁμαρτάνειν οὐ χρή, ἐπειδὴ μακρόθυμος ὁ Θεός, οὐδὲ τὴν εὐεργεσίαν ὑπόθεσιν ἀγνωμοσύνης ποιεῖσθαι· εἰ γὰρ μακρόθυμος, καὶ κολάζει πάντως. Πόθεν δῆλον; Ἀπὸ τῶν ἑξῆς εἰρημένων. Εἰ γὰρ πολλὴ ἡ κακία, οὐκ ἀπέλαβον δὲ οἱ κακοί, ἀνάγκη πάντως ἀπολαβεῖν. Εἰ γὰρ ἄνθρωποι ταῦτα οὐ περιορῶσι, πῶς ὁ Θεὸς περιόψεται;

Ὥστε ἐντεῦθεν καὶ τὸν περὶ τῆς κρίσεως εἰσήγαγε λόγον. Τῷ γὰρ δεῖξαι πολλοὺς ὄντας ὑπευθύνους, εἰ μὴ μετανοήσαιεν, εἶτα οὐ κολασθέντας ἐνταῦθα, τὴν κρίσιν συνεισάγει πάντως, καὶ μετ' ἐπιτάσεως· διό φησι· «Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργήν».

ἐνῶ ἐξ αἰτίας τῆς μακροθυμίας περιφρονεῖς καί, ἐπειδὴ δὲν τιμωρήθηκες ἀμέσως παίρνεις θάρρος, γι' αὐτὸ βέβαια ἔπρεπε νὰ φοβᾶσαι καὶ νὰ τρέμεις, ἂν θὰ ἤσουν δίκαιος. Γιατὶ δὲν ἀναβάλλει τὴν τιμωρία, ἀλλὰ τὴν αὐστηρότερη τιμωρία, ἐὰν παραμένεις ἀδιόρθωτος. Γι' αὐτὸ καὶ προσθέτει λέγοντας· «Ἢ περιφρονεῖς τὸν πλοῦτο τῆς ἀγαθότητάς του καὶ τῆς ἀνεκτικότητας καὶ τῆς μακροθυμίας του, ἀγνοώντας, ὅτι ἡ ἀγαθότητα τοῦ Θεοῦ σὲ ὁδηγεῖ σὲ μετάνοια;».

Ἀφοῦ ἐπαίνεσε λοιπὸν τὴ μακροθυμία τοῦ Θεοῦ καὶ ἀφοῦ ἔδειξε πὼς τὸ κέρδος της εἶναι πάρα πολὺ μεγάλο σ' αὐτοὺς ποὺ προσέχουν (καὶ αὐτὸ ἦταν ἐκεῖνο ποὺ ὁδηγοῦσε σὲ μετάνοια τοὺς ἁμαρτωλούς), μεγαλώνει τὸ φόβο. Γιατὶ ὅπως σ' ἐκείνους ποὺ τὴ χρησιμοποίησαν σωστὰ εἶναι προϋπόθεση σωτηρίας, ἔτσι σ' ἐκείνους ποὺ τὴν περιφρονοῦν εἶναι ἀφορμὴ γιὰ μεγαλύτερη τιμωρία. Γιατὶ αὐτὸ εἶναι ποὺ λέγεται πολύ, ὅτι δηλαδὴ ὁ Θεὸς δὲν ἀπαιτεῖ τιμωρία, ἐπειδὴ εἶναι ἀγαθὸς καὶ μακρόθυμος. Ὅταν ὅμως πεῖς αὐτό, λέγει, τίποτε ἄλλο δὲ λέγεις παρὰ τὴν αὔξηση τῆς τιμωρίας. Γιατὶ ὁ Θεὸς φανερώνει τὴν ἀγαθότητά του, γιὰ ν' ἀπαλλαγεῖς ἀπὸ ἁμαρτήματα, ὄχι γιὰ νὰ προσθέσεις. Ἐὰν λοιπὸν δὲν κάνεις αὐτό, ἡ τιμωρία θὰ εἶναι πιὸ φοβερή. Γι' αὐτὸ κυρίως δὲν πρέπει νὰ ἁμαρτάνομε, ἐπειδὴ ὁ Θεὸς εἶναι μακρόθυμος, οὔτε νὰ κάνομε τὴν εὐεργεσία αἰτία ἀχαριστίας. Γιατί, ἐὰν εἶναι μακρόθυμος, ὁπωσδήποτε καὶ τιμωρεῖ. Ἀπὸ ποῦ εἶναι φανερό; Ἀπὸ τὰ ἑπόμενα λόγια. Γιατί, ἐὰν ἡ κακία εἶναι πολλή, καὶ δὲ τιμωρήθηκαν οἱ κακοί, εἶναι ἀνάγκη νὰ τιμωρηθοῦν ὁπωσδήποτε. Ἀφοῦ λοιπὸν οἱ ἄνθρωποι δὲν τὰ παραβλέπουν αὐτά, πῶς θὰ τὰ παραβλέψει ὁ Θεός;

Συνεπῶς ἀπὸ ἐδῶ παρουσίασε καὶ τὸ λόγο γιὰ τὴν κρίση. Γιατὶ μὲ τὸ νὰ δείξει πὼς πολλοὶ εἶναι ὑπεύθυνοι, ἂν δὲ μετανοήσουν, στὴ συνέχεια πὼς δὲν τιμωρήθηκαν ἐδῶ, παρουσιάζει μαζὶ μ' αὐτὰ ὁπωσδήποτε τὴν κρίση, καὶ μάλιστα μὲ ἔμφαση. Γι' αὐτὸ λέγει· «Σύμφωνα μὲ τὴ σκληρότητά σου καὶ τὴν ἀμετανόητη καρδιά σου μαζεύεις

Ὅταν γὰρ μήτε χρηστότητι μαλάσσηται, μήτε φόβῳ κάμπτηται, τί τοῦ τοιούτου σκληρότερον γένοιτ' ἄν; Ἐπειδὴ γὰρ ἔδειξε τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, τότε δείκνυσι τὴν τιμωρίαν, ὅτι ἔστιν ἀφόρητος τῷ μηδὲ οὕτω ἐπιστραφέντι. Καὶ ὅρα πῶς κυρίως τοῖς λέξεσι κέχρηται· «Θησαυρίζεις» γάρ, φησί, «σεαυτῷ ὀργήν», τὸ πάντως ἀποκείμενον δηλῶν, καὶ δεικνύς, οὐ τὸν δικάζοντα, ἀλλὰ τὸν κρινόμενον αἴτιον τούτου.

«Σευατῷ γάρ», φησί, «θησαυρίζεις», οὐχ ὁ Θεός σοι. Ἐκεῖνος γὰρ πάντα ἐποίησεν ὅσα ἐχρῆν, καὶ διαγνωστικόν σε τῶν καλῶν καὶ τῶν οὐ τοιούτων κατεσκεύασε, καὶ μακροθυμίαν ἐπεδείξατο, καὶ εἰς μετάνοιαν ἐκάλεσε, καὶ ἡμέραν ἠπείλησε φοβεράν, διὰ πάντων σε ἐπὶ τὴν μετάνοιαν ἕλκων· εἰ δὲ μένεις ἀνένδοτος, «Σεαυτῷ θησαυρίζεις ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ». Ἵνα γὰρ μή, ἀκούσας ὀργήν, νομίσῃς πάθος, ἐπήγαγε· «Δικαιοκρισίας τοῦ Θεοῦ». Καὶ καλῶς εἶπεν, «Ἀποκαλύψεως»· τότε γὰρ ἀποκαλύπτεται τοῦτο, ὅταν τὰ κατ' ἀξίαν ἕκαστος ἀπολαμβάνῃ. Ἐνταῦθα γὰρ πολλοὶ πολλάκις ἐπηρεάζουσι παρὰ τὸ δίκαιον καὶ ἐπιβουλεύουσιν· ἐκεῖ δὲ οὐχ οὕτως· «Ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ».

3. Ἐπειδὴ γὰρ φοβερὸς ἐγένετο καὶ βαρύς, περὶ κρίσεως καὶ τῆς μελλούσης διαλεγόμενος κολάσεως, εὐθέως οὐκ εἰς τὸ προσδοκώμενον ἐνέβαλε τὴν τιμωρίαν, ἀλλ' ἐπὶ τὸ ἡδύτερον ἔτρεψε τὸν λόγον, τὴν τῶν ἀγαθῶν ἀντίδοσιν, οὕτω λέγων· «Τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον». Ἐνταῦθα καὶ τοὺς ἀναπεπτωκότας ἐν τοῖς πειρασμοῖς διανίστησι, καὶ δείκνυσιν, ὅτι οὐ χρὴ τῇ πίστει θαρρεῖν μόνον· καὶ

ἐναντίον σου θησαυροὺς ὀργῆς». Ὅταν λοιπὸν δὲ μαλακώνει οὔτε μὲ τὴν ἀγαθότητα, οὔτε κάμπτεται μὲ τὸ φόβο, τί θὰ μποροῦσε νὰ γίνει πιὸ σκληρὸ ἀπ' αὐτόν; Ἀφοῦ λοιπὸν ἔδειξε τὴ φιλανθρωπία τοῦ Θεοῦ, τότε δείχνει τὴν τιμωρία, πὼς εἶναι ἀνυπόφορη σ' αὐτὸν ποὺ οὔτε ἔτσι μετανοεῖ. Καὶ πρόσεχε πῶς χρησιμοποιεῖ κυριολεκτικὰ τὶς λέξεις. Γιατὶ λέγει· «Μαζεύεις ἐναντίον σου θησαυροὺς ὀργῆς», φανερώνοντας ἐκεῖνο ποὺ ὁπωσδήποτε ὑπάρχει καὶ δείχνοντας πὼς ὑπεύθυνος γι' αὐτὸ δὲν εἶναι αὐτὸς ποὺ δικάζει, ἀλλ' ἐκεῖνος ποὺ δικάζεται.

«Ἐναντίον σου λοιπόν», λέγει, «ἐσὺ μαζεύεις θησαυρούς», ὄχι ὁ Θεὸς ἐναντίον σου. Γιατὶ αὐτὸς ἔκαμε ὅσα ἔπρεπε, καὶ σὲ δημιούργησε ἱκανὸ νὰ ξεχωρίζεις τὰ καλὰ καὶ ἐκεῖνα ποὺ δὲν εἶναι τέτοια, καὶ μακροθυμία ἔδειξε, καὶ φοβερὴ ἡμέρα ἀπείλησε, γιὰ νὰ σὲ ὁδηγήσει μὲ ὅλα στὴ μετάνοια. Ἐὰν ὅμως παραμένεις ἀνένδοτος, «Μαζεύεις ἐναντίον σου θησαυροὺς ὀργῆς κατὰ τὴν ἡμέρα τῆς ὀργῆς καὶ φανέρωσης καὶ τῆς δίκαιης κρίσης τοῦ Θεοῦ». Γιὰ νὰ μὴ νομίσεις λοιπόν, ὅταν ἀκούσεις γιὰ ὀργή, ὅτι ὑπάρχει πάθος πρόσθεσε· «Τῆς δίκαιης κρίσης τοῦ Θεοῦ». Καὶ σωστὰ εἶπε, «φανέρωσης», γιατὶ τότε φανερώνεται αὐτό, ὅταν ὁ καθένας ἀπολαμβάνει αὐτὰ ποὺ ἀξίζει. Γιατὶ ἐδῶ πολλοί, πολλὲς φορές, ἀπειλοῦν καὶ ἐπιβουλεύουν ἀντίθετα ἀπὸ τὸ δίκαιο, ἐνῶ ἐκεῖ δὲ συμβαίνει ἔτσι. «Ὁ ὁποῖος Θεὸς θ' ἀποδώσει στὸν καθένα σύμφωνα μὲ τὰ ἔργα του· σ' ἐκείνους ποὺ μὲ ὑπομονὴ κάνουν κάθε ἔργο ἀγαθό».

3. Ἐπειδὴ λοιπὸν ἔγινε φοβερὸς καὶ σκληρός, μιλώντας γιὰ κρίση καὶ τὴ μελλοντικὴ κόλαση, ἀμέσως δὲν ἔβαλε τὴν τιμωρία μέσα στὸ προσδοκώμενο, ἀλλ' ἔτρεψε τὸ λόγο στὸ πιὸ εὐχάριστο, δηλαδὴ στὴν ἀνταπόδοση τῶν ἀγαθῶν, λέγοντας ἔτσι· «Σ' ἐκείνους ποὺ μὲ ὑπομονὴ κάνουν κάθε ἔργο ἀγαθὸ καὶ ζητοῦν δόξα καὶ τιμὴ καὶ ἀφθαρσία, θ' ἀποδώσει ζωὴ αἰώνια». Ἐδῶ ἀνυψώνει καὶ αὐτοὺς ποὺ εἶχαν πάλι πέσει στοὺς πειρασμοὺς καὶ δείχνει, πὼς δὲν πρέπει νὰ ἔχομε θάρρος στὴν πίστη μόνο,

γὰρ καὶ πράξεών ἐστι τὸ δικαστήριον ἐκεῖνο ἐξεταστικόν. Ὅρα δὲ αὐτὸν ὅταν περὶ τῶν μελλόντων διαλέγηται, μὴ δυνάμενον τρανῶς εἰπεῖν τὰ ἀγαθά, ἀλλὰ καὶ δόξαν καὶ τιμὴν λέγοντα. Ἐπειδὴ γὰρ πάντα ὑπερβαίνει τὰ ἀνθρώπινα, οὐκ ἔχει εἰκόνα αὐτῶν ἐντεῦθεν δεῖξαι, ἀλλ' ἀπὸ τῶν δοκούντων εἶναι λαμπρῶν παρ' ἡμῖν, ἀπὸ τούτων αὐτά, ὡς ἐγχωρεῖ, παρίστησιν, ἀπὸ τῆς δόξης, ἀπὸ τῆς τιμῆς, ἀπὸ τῆς ζωῆς· ταῦτα γάρ ἐστι τὰ ἀνθρώποις περισπούδαστα. Ἀλλ' οὐ τοιαῦτα ἐκεῖνα, ἀλλὰ πολλῷ βελτίῳ τούτων, ὅσῳ καὶ ἄφθαρτα καὶ ἀθάνατα.

Εἶδες πῶς καὶ τὰς περὶ τῆς ἀναστάσεως τῶν σωμάτων ἡμῖν θύρας ἀνέῳξεν, ἀφθαρσίαν εἰπών; ἡ γὰρ ἀφθαρσία τοῦ φθειρομένου σώματός ἐστιν. Εἶτα, ἐπειδὴ οὐκ ἤρκει τοῦτο, προσέθηκε δόξαν καὶ τιμήν. Πάντες γὰρ ἀναστησόμεθα ἄφθαρτοι, ἀλλ' οὐ πάντες εἰς δόξαν, ἀλλ' οἱ μὲν εἰς κόλασιν, οἱ δὲ εἰς δόξαν. «Τοῖς δὲ ἐξ ἐριθείας», φησί. Πάλιν γὰρ ἀποστερεῖ συγγνώμης τοὺς ἐν κακίᾳ ζῶντας, καὶ δείκνυσιν ἀπὸ φιλονεικίας τινὸς καὶ ῥᾳθυμίας ἐπὶ τὴν πονηρίαν πίπτοντας. «Καὶ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ». Ἰδοὺ καὶ ἑτέρα κατηγορία πάλιν. Ποίαν γὰρ ἀπολογίαν ἂν ἔχοι ὁ τὸ φῶς φεύγων, καὶ τὸ σκότος αἱρούμενος; Καὶ οὐκ εἶπε βιαζομένους καὶ τυραννουμένους, ἀλλὰ «Πειθομένους τῇ ἀδικίᾳ»· ἵνα μάθῃς, ὅτι προαιρέσεως τὸ πτῶμα, οὐκ ἀνάγκης τὸ ἔγκλημα. «Θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν»· τουτέστι, κἂν εὔπορός τις ᾖ, κἂν ὕπατος, κἂν αὐτοβασιλεύς, οὐδένα ὁ τῆς κρίσεως δυσωπεῖται λόγος· οὐδεμίαν γὰρ ἐνταῦθα χώραν τὰ ἀξιώματα ἔχει.

Δείξας τοίνυν τὴν ὑπερβολὴν τῆς νόσου, καὶ τὴν αἰτίαν προσθείς, ὅτι ἀπὸ ῥᾳθυμίας τῶν ἀρρωστούντων, καὶ τὸ τέλος, ὅτι ἀπώλεια αὐτοὺς διαδέξεται,

γιατὶ βέβαια τὸ δικαστήριο ἐκεῖνο ἐξετάζει καὶ τὶς πράξεις. Πρόσεχε ὅμως αὐτόν, ὅταν μιλάει γιὰ τὰ μελλοντικά, ὅτι δὲν μπορεῖ νὰ πεῖ καθαρὰ τὰ ἀγαθά, ἀλλ' ὅτι λέγει καὶ δόξα καὶ τιμή. Γιατί, ἐπειδὴ ὅλα ξεπερνοῦν τὰ ἀνθρώπινα, δὲν ἔχει ἀπὸ ἐδῶ κάποια εἰκόνα τους νὰ δείξει, ἀλλὰ παρουσιάζει αὐτά, ὅπως μπορεῖ, ἀπὸ ἐκεῖνα ποὺ τὰ θεωροῦμε πὼς εἶναι λαμπρὰ σ' ἐμᾶς, δηλαδὴ ἀπὸ τὴ δόξα, ἀπὸ τὴν τιμή, ἀπὸ τὴ ζωή. Δὲν εἶναι ὅμως τέτοια ἐκεῖνα, ἀλλὰ πολὺ καλύτερα ἀπ' αὐτά, ὅσο καὶ ἄφθαρτα καὶ ἀθάνατα.

Εἶδες πῶς μᾶς ἄνοιξε καὶ τὶς πύλες γιὰ τὴν ἀνάσταση τῶν σωμάτων, λέγοντας «ἀφθαρσία»; Γιατὶ ἡ ἀφθαρσία ἀνήκει στὸ φθαρτὸ σῶμα. Στὴ συνέχεια, ἐπειδὴ δὲν ἦταν ἀρκετὸ αὐτό, πρόσθεσε δόξα καὶ τιμή. Γιατὶ ὅλοι θ' ἀναστηθοῦμε ἄφθαρτοι, ὄχι ὅμως ὅλοι σὲ δόξα, ἀλλ' ἄλλοι σὲ κόλαση καὶ ἄλλοι σὲ δόξα. «Σ' ἐκείνους ὅμως ποὺ εἶναι κυριευμένοι ἀπὸ φατριαστικὸ πνεῦμα», λέγει. Πάλι λοιπὸν στερεῖ τὴ συγγνώμη ἀπ' αὐτοὺς ποὺ ζοῦν μὲ κακία καὶ δείχνει πὼς πέφτουν στὴν κακία ἀπὸ κάποια φιλονικεία καὶ ἀδιαφορία. «Καὶ σ' ἐκείνους ποὺ ἀπειθοῦν στὴν ἀλήθεια, ἐνῶ πείθονται στὴν ἀδικία». Νὰ καὶ ἄλλη κατηγορία πάλι. Γιατὶ ποιὰ δικαιολογία θὰ μποροῦσε νὰ ἔχει ἐκεῖνος ποὺ ἀποφεύγει τὸ φῶς καὶ προτιμάει τὸ σκοτάδι; Καὶ δὲν εἶπε 'ἐκείνους ποὺ ἐξαναγκάζονται καὶ πιέζονται', ἀλλὰ «Ἐκείνους ποὺ πείθονται στὴν ἀδικία», γιὰ νὰ μάθεις, ὅτι ἡ πτώση εἶναι ἀποτέλεσμα τῆς προαίρεσης, τὸ ἁμάρτημα δὲν εἶναι ἀποτέλεσμα ἀναγκασμοῦ. «Θλίψη καὶ στενοχώρια θὰ πέσει σὲ κάθε ἄνθρωπο, ποὺ ἐπιμένει νὰ κάνει τὸ κακό». Δηλαδή, καὶ ἂν ἀκόμη κάποιος εἶναι πολὺ πλούσιος, καὶ ἂν ἀκόμη εἶναι ὕπατος, καὶ ἂν ἀκόμη ὁ ἴδιος εἶναι βασιλιάς, κανένα δὲν ντρέπεται ὁ λόγος τῆς κρίσης, γιατὶ ἐδῶ τὰ ἀξιώματα δὲν ἔχουν καμιὰ σημασία.

Ἀφοῦ λοιπὸν ἔδειξε τὸ μέγεθος τῆς ἀρρώστιας καὶ ἀφοῦ πρόσθεσε τὴν αἰτία της, ὅτι δηλαδὴ προέρχεται ἀπὸ τὴν ἀδιαφορία τῶν ἀρρώστων, καὶ τὸ τέλος, ὅτι δηλαδὴ

καὶ τὸ εὔκολον τῆς διορθώσεως, βαρεῖ πάλιν καὶ ἐν τῇ κολάσει τὸν Ἰουδαῖον. «Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος». Ὁ γὰρ πλείονος ἀπολαύσας τῆς διδασκαλίας, μείζονα ἂν εἴη καὶ τιμωρίαν ἄξιος ὑπομεῖναι παρανομῶν. Ὥστε ὅσῳ ἂν συνετώτεροι ὦμεν ἢ δυνατώτεροι, τοσοῦτον κολαζόμεθα μᾶλλον ἁμαρτάνοντες. Καὶ γὰρ εἰ πλούσιος εἶ, πλείονα ἀπαιτηθήσῃ χρήματα τοῦ πένητος, καὶ εἰ συνετώτερος, μείζονα ὑπακοήν, καὶ εἰ δυναστείαν περιβέβλησαι, λαμπρότερα κατορθώματα· καὶ ἐπὶ πάντων δὲ τῶν ἄλλων οὕτω πρὸς τὴν δύναμιν καὶ τὰ μέτρα εἰσοίσεις.

«Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλληνι». Ποῖον Ἰουδαῖον ἐνταῦθά φησιν, ἢ περὶ ποίων Ἑλλήνων διαλέγεται; Τῶν πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας. Οὔπω γὰρ εἰς τοὺς τῆς χάριτος ἔφθασε χρόνους ὁ λόγος, ἀλλ' ἔτι τοῖς ἀνωτέρω χρόνοις ἐνδιατρίβει, προκαθαιρῶν πόρρωθεν, καὶ ἀναιρῶν τὸ μέσον τοῦ Ἕλληνος καὶ τοῦ Ἰουδαίου, ἵν', ὅταν ἐν τῇ χάριτι τοῦτο ποιῇ, μηκέτι δόξῃ καινόν τι καὶ φορτικὸν ἐπινοεῖν. Εἰ γὰρ ἐν τοῖς ἀνωτέρω χρόνοις, ὅτε οὔπω ἡ χάρις ἦν ἐκλάμψασα ἡ τοσαύτη, ὅτε τὰ τῶν Ἰουδαίων σεμνὰ καὶ περιβόητα καὶ λαμπρὰ παρὰ πᾶσιν ἦν, οὐδὲν ἦν τὸ μέσον, τίνα ἂν ἔχοιεν λοιπὸν εἰπεῖν λόγον μετὰ τὴν τοσαύτην τῆς χάριτος ἐπίδειξιν; Διά τοι τοῦτο καὶ μετὰ πολλῆς αὐτὸ κατασκευάζει τῆς σπουδῆς. Καὶ γὰρ ὁ ἀκροατὴς τοῦτο μαθὼν ἐν τοῖς ἀνωτέρω χρόνοις κρατοῦν, πολλῷ μᾶλλον μετὰ τὴν πίστιν αὐτὸ παραδέξεται.

Ἕλληνας δὲ ἐνταῦθά φησιν, οὐ τοὺς εἰδωλολατροῦντας, ἀλλὰ τοὺς θεοσεβοῦντας, τοὺς τῷ φυσικῷ πειθομένους νόμῳ, τοὺς πλὴν τῶν Ἰουδαϊκῶν παρατηρήσεων πάντα τὰ πρὸς εὐσέβειαν συντελοῦντα διατηροῦντας· οἷοι ἦσαν οἱ περὶ τὸν Μελχισεδέκ,

θὰ τοὺς ἀκολουθήσει ἡ καταστροφή, καὶ τὴν εὐκολία τῆς διόρθωσής τους, ἐνοχλεῖ πάλι καὶ στὴν κόλαση τὸν Ἰουδαῖο. «Καὶ στὸν Ἰουδαῖο πρῶτα καὶ στὸν εἰδωλολάτρη». Γιατὶ ἐκεῖνος ποὺ ἔκουσε περισσότερη διδασκαλία, θὰ εἶναι ἄξιος νὰ ὑποστεῖ καὶ μεγαλύτερη τιμωρία, ὅταν παρανομεῖ. Ἑπομένως, ὅσο πιὸ συνετοὶ εἴμαστε ἢ πιὸ δυνατοί, τόσο περισσότερο τιμωρούμαστε, ὅταν ἁμαρτάνομε. Γιατὶ καὶ ἂν εἶσαι πλούσιος, θὰ σοῦ ζητηθοῦν περισσότερα χρήματα ἀπὸ τὸ φτωχό, καὶ ἂν εἶσαι πιὸ συνετός, μεγαλύτερη ὑπακοή, καὶ ἂν ἔχεις ἐξουσία, πιὸ λαμπρὰ κατορθώματα. Καὶ σὲ ὅλα τὰ ἄλλα ἔτσι θὰ προσφέρεις ἀνάλογα μὲ τὴ δύναμη καὶ τὰ μέτρα σου.

«Δόξα ὅμως καὶ τιμὴ καὶ εἰρήνη θ' ἀποδοθεῖ στὸν καθένα ποὺ ἐργάζεται τὸ ἀγαθό, στὸν Ἰουδαῖο πρῶτα καὶ στὸν Ἕλληνα». Ποιόν Ἰουδαῖο ἐννοεῖ ἐδῶ, ἢ γιὰ ποιοὺς Ἕλληνες μιλάει; Γι' αὐτοὺς ποὺ ἔζησαν πρὶν ἀπὸ τὴν παρουσία τοῦ Χριστοῦ. Γιατὶ ὁ λόγος δὲν ἔφθασε ἀκόμη στὰ χρόνια τῆς χάρης, ἀλλὰ μένει ἀκόμη στὰ προηγούμενα χρόνια, καθαρίζοντας ἀπὸ μακριὰ καὶ ἐξαφανίζοντας τὴ διαφορὰ τοῦ Ἕλληνα καὶ τοῦ Ἰουδαίου, ὥστε, ὅταν κάνει αὐτὸ στὸν καιρὸ τῆς χάρης, νὰ μὴ φανεῖ πιὰ ὅτι ἐπινοεῖ κάτι τὸ νέο καὶ ἐνοχλητικό. Ἐὰν λοιπὸν στὰ προηγούμενα χρόνια, ὅταν δὲν ἔλαμψε ἀκόμη ἡ τόσο μεγάλη χάρη, ὅταν τὰ πράγματα τῶν Ἰουδαίων ἦταν σὲ ὅλους σεβαστὰ καὶ ξακουστὰ καὶ λαμπρά, δὲν ὑπῆρχε καμιὰ διαφορά, ποιὸ λόγο θὰ μποροῦσε νὰ πεῖ στὴ συνέχεια ὕστερα ἀπὸ τὴν τόσο μεγάλη φανέρωση τῆς χάρης; Γι' αὐτὸ ἀκριβῶς καὶ μὲ πολλὴ φροντίδα τὸ ἑτοιμάζει αὐτό. Γιατὶ πραγματικὰ ὁ ἀκροατής, ἀφοῦ μάθει ὅτι αὐτὸ ἐπικρατοῦσε στὰ προηγούμενα χρόνια, θὰ τὸ παραδεχθεῖ αὐτὸ πολὺ περισσότερο μετὰ τὴν πίστη.

Ἕλληνες ὅμως ἐδῶ λέγει, ὄχι τοὺς εἰδωλολάτρες, ἀλλὰ τοὺς θεοσεβεῖς, ἐκείνους ποὺ πείθονταν στὸ φυσικὸ νόμο, ἐκείνους ποὺ τηροῦσαν ἐκτὸς ἀπὸ τὶς ἰουδαϊκὲς ἐντολὲς ὅλα αὐτὰ ποὺ ὁδηγοῦσαν στὴν εὐσέβεια. Τέτοιοι ἦταν ἐκεῖνοι ποὺ ἦταν μαζὶ μὲ τὸ Μελχισεδέκ, τέτοιος

οἷος ἦν ὁ Ἰώβ, οἷοι ἦσαν οἱ Νινευῖται, οἷος ἦν ὁ Κορνήλιος. Ἤδη τοίνυν προδιορύττει τῆς περιτομῆς καὶ τῆς ἀκροβυστίας τὸ μέσον, καὶ πόρρωθεν ταύτην προκαταλύει τὴν διαφοράν, ὥστε καὶ ἀνυπόπτως αὐτὸ ποιῆσαι, καὶ ἐξ ἑτέρας ἀνάγκης εἰς τοῦτο ἐμβαλεῖν· ὅπερ ἀεὶ τῆς συνέσεώς ἐστιν ἴδιον τῆς ἀποστολικῆς. Εἰ μὲν γὰρ ἐπὶ τῶν καιρῶν αὐτὸ τῆς χάριτος ἔδειξεν, ἔδοξεν ἂν πολλὴν ὑποψίαν ἔχειν ὁ λόγος· τὸ δὲ διηγούμενον τὴν κατέχουσαν τὸν κόσμον κακίαν καὶ πονηρίαν, ἐκ τῆς ἀκολουθίας ἐκείνης εἰς τὸν περὶ τούτων ἐμβῆναι λόγον, ἀνύποπτον ἐποίει τὴν διδασκαλίαν.

4. Καὶ ὅτι τοῦτο βούλεται, καὶ διὰ τοῦτο οὕτω συνέθηκε, δῆλον ἐκεῖθεν. Εἰ μὴ γὰρ τοῦτο ἐσπούδαζε κατασκευάσαι, ἤρκει εἰπόντα, ὅτι «Κατὰ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς», παύσασθαι τῆς ὑποθέσεως ταύτης· καὶ γὰρ ἀπηρτισμένη ἦν. Ἀλλ' ἐπειδὴ οὐ τοῦτο ἦν αὐτῷ τὸ ζητούμενον, περὶ κρίσεως μόνον εἰπεῖν τῆς μελλούσης, ἀλλὰ καὶ δεῖξαι οὐδὲν πλέον ἔχοντα τὸν Ἰουδαῖον τοῦ τοιούτου Ἕλληνος, ἵνα μὴ μέγα φρονῇ, πρόεισι περαιτέρω, καὶ τάξει κέχρηται. Σκόπει δέ· ἐφόβησε τὸν ἀκροατήν, ἐπήχησεν αὐτῷ τὴν ἡμέραν τὴν φοβεράν, εἶπεν ὅσον κακὸν τῇ πονηρίᾳ συζῆν, ἔδειξεν οὐδένα ἐξ ἀγνοίας ἁμαρτάνοντα οὐδὲ ἀτιμωρητί, ἀλλά, κἂν μὴ νῦν δῷ δίκην, δώσοντα πάντως· ἐντεῦθεν λοιπὸν βούλεται κατασκευάσαι, ὅτι ἡ τοῦ νόμου διδασκαλία οὐ σφόδρα τῶν κατεπειγόντων ἦν· ἐν γὰρ τοῖς ἔργοις ἡ κόλασις καὶ ἡ τιμή, οὐκ ἐν περιτομῇ καὶ ἀκροβυστίᾳ.

Ἐπεὶ οὖν εἶπεν ὅτι πάντως κολασθήσεται ὁ Ἕλλην, καὶ ἔλαβεν ὡμολογημένον τοῦτο, καὶ ἀπ' αὐτοῦ κατεσκεύασεν, ὅτι καὶ τιμηθήσεται, περιττὸν λοιπὸν ἐδήλωσε τὸν νόμον καὶ τὴν περιτομήν· μάλιστα γὰρ

ήταν ὁ Ἰώβ, τέτοιοι ἦταν οἱ Νινευΐτες, τέτοιος ἦταν ὁ Κορνήλιος. Ἤδη λοιπὸν ὑπονομεύει ἀπὸ πρὶν τὴ διαφορὰ τῆς περιτομῆς καὶ τῆς ἀκροβυστίας καὶ ἀπὸ μακριὰ ἐξαφανίζει αὐτὴ τὴ διαφορά, ὥστε καὶ χωρὶς ὑποψία νὰ κάμει αὐτὸ καὶ ἀπὸ ἄλλη ἀνάγκη νὰ τοὺς ὁδηγήσει σ' αὐτό, πράγμα ποὺ πάντοτε εἶναι χαρακτηριστικὸ γνώρισμα τῆς σύνεσης τοῦ ἀποστόλου. Ἐὰν λοιπὸν φανέρωνε αὐτὸ στὰ χρόνια τῆς χάρης, θὰ φαινόταν πὼς ὁ λόγος ἦταν πολὺ ὕποπτος, ἐνῶ τὸ νὰ ἀλλάξει τὸ λόγο γι' αὐτοὺς μὲ βάση τὸ συμπέρασμα ἐκεῖνο, τὴν ὥρα ποὺ μιλοῦσε γιὰ τὴν κακία καὶ τὴν πονηρία ποὺ ἐπικρατοῦσε στὸν κόσμο, ἔκανε ἀνύποπτη τὴ διδασκαλία.

4. Καὶ ὅτι θέλει αὐτὸ καὶ γι' αὐτὸ τὸ παρουσίασε ἔτσι, εἶναι φανερὸ ἀπὸ ἐκεῖ. Γιατί, ἐὰν δὲν προσπαθοῦσε ν' ἀποδείξει αὐτό, ἦταν ἀρκετὸ λέγοντας, ὅτι «Σύμφωνα μὲ τὴ σκληρότητά σου καὶ τὴν ἀμετανόητη καρδιά σου μαζεύεις ἐναντίον σου θησαυροὺς ὀργῆς κατὰ τὴν ἡμέρα τῆς ὀργῆς», νὰ σταματήσει τὸ θέμα αὐτό· γιατὶ πραγματικὰ εἶχε ὁλοκληρωθεῖ. Ἐπειδὴ ὅμως δὲν ἦταν τοῦτο τὸ ζητούμενο γι' αὐτόν, νὰ πεῖ δηλαδὴ μόνο γιὰ τὴ μέλλουσα κρίση, ἀλλὰ καὶ νὰ δείξει πὼς ὁ Ἰουδαῖος δὲν ἔχει τίποτε περισσότερο ἀπὸ ἕνα τέτοιον Ἕλληνα, γιὰ νὰ μὴν ὑπερηφανεύεται, προχωρεῖ στὰ ἑπόμενα, καὶ χρησιμοποιεῖ τὴν τάξη. Πρόσεχε ὅμως. Φοβέρισε τὸν ἀκροατή, ὑπενθύμισε σ' αὐτὸν τὴ φοβερὴ ἡμέρα, εἶπε πόσο κακὸ εἶναι νὰ ζεῖ κανεὶς μαζὶ μὲ τὴν πονηρία, ἔδειξε πὼς κανεὶς δὲν ἁμαρτάνει ἀπὸ ἄγνοια οὔτε χωρὶς τιμωρία, ἀλλά, καὶ ἂν ἀκόμη δὲν τιμωρηθεῖ τώρα, θὰ τιμωρηθεῖ ὁπωσδήποτε. Ἔτσι στὴ συνέχεια θέλει ν' ἀποδείξει, πὼς ἡ διδασκαλία τοῦ νόμου δὲν ἦταν ἀπὸ τὰ πολὺ ἐπείγοντα πράγματα, γιατὶ ἡ κόλαση καὶ ἡ τιμὴ βρίσκονται στὰ ἔργα, καὶ ὄχι στὴν περιτομὴ καὶ τὴν ἀκροβυστία.

Ἐπειδὴ λοιπὸν εἶπε πὼς ὁπωσδήποτε θὰ τιμωρηθεῖ ὁ Ἕλληνας, καὶ τὸ θεώρησε αὐτὸ σὰν δεδομένο, καὶ ἀπ' αὐτὸ ἀπέδειξε, ὅτι καὶ θὰ τιμηθεῖ, περιττὰ φανέρωσε στὴ συνέχεια καὶ τὸ νόμο καὶ τὴν περιτομή. Γιατὶ ἐδῶ μάχε-

'Ιουδαίοις ἐνταῦθα μάχεται. 'Επειδὴ γὰρ ἐκεῖνοι φιλονεικότερον διέκειντο, πρῶτον μὲν ὑπὸ τύφου οὐκ ἀξιοῦντες μετὰ τῶν ἐξ ἐθνῶν συναριθμεῖσθαι· δεύτερον καταγελῶντες, εἰ ἡ πίστις πάντα ἀφανίζει τὰ ἁμαρτήματα, διὰ τοῦτο πρότερον κατηγόρησε τῶν 'Ελλήνων, ὑπὲρ ὧν ποιεῖται τὸν λόγον, ἵνα ἀνυπόπτως καὶ μετὰ παρρησίας τῶν 'Ιουδαίων καθίκηται· εἶτα εἰς τὴν περὶ τῆς κολάσεως ἐξέτασιν ἐλθών, δείκνυσιν οὐ μόνον οὐδὲν ὠφελούμενον τὸν 'Ιουδαῖον ἀπὸ τοῦ νόμου, ἀλλὰ καὶ βαρούμενον· καὶ τοῦτο ἄνωθεν κατασκευάζει. Εἰ γὰρ ὁ "Ελλην διὰ τοῦτο ἀναπολόγητος, ὅτι τῆς κτίσεως αὐτὸν ἐναγούσης καὶ τῶν λογισμῶν, οὐκ ἐγένετο βελτίων· πολλῷ μᾶλλον ὁ 'Ιουδαῖος μετὰ τούτων καὶ τὴν ἀπὸ τοῦ νόμου διδασκαλίαν λαβών. Πείσας τοίνυν αὐτὸν εὐκόλως δέξασθαι τὸν λογισμὸν τοῦτον ἐν τοῖς ἑτέρων ἁμαρτήμασι, καὶ ἄκοντα ἀναγκάζει λοιπὸν ἐν τοῖς περὶ ἑαυτοῦ τοῦτο ποιῆσαι.

Καὶ ὥστε εὐπαράδεκτον γενέσθαι τὸν λόγον, καὶ ἐπὶ τῶν χρηστοτέρων αὐτὸν προάγει, λέγων οὕτω· «Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, 'Ιουδαίῳ τε πρῶτον καὶ "Ελληνι». 'Ενταῦθα μὲν γάρ, ὅσα ἂν τις ἔχῃ καλά, μετὰ πολλῶν ἔχει ταραχῶν, κἂν πλούσιος ᾖ, κἂν δυνάστης, κἂν βασιλεύς· κἂν μὴ πρὸς ἕτερον, πρὸς γοῦν ἑαυτὸν διαστασιάζει πολλάκις, καὶ πολὺν ἐν τοῖς λογισμοῖς ἔχει πόλεμον· ἐκεῖ δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ πάντα γαληνὰ καὶ ταραχῆς ἀπηλλαγμένα, καὶ γνησίαν ἔχοντα τὴν εἰρήνην. Κατασκευάσας τοίνυν ἐκ τῶν ἄνωθεν εἰρημένων, ὅτι καὶ οἱ μὴ νόμον ἔχοντες τῶν αὐτῶν ἀπολαύσονται, ἐπάγει καὶ λογισμόν, οὕτω λέγων· «Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ». "Οταν μὲν γὰρ λέγῃ, ὅτι κολάζεται καὶ ὁ 'Ιουδαῖος καὶ ὁ "Ελλην ἁμαρτάνοντες, οὐ δεῖται λογισμῶν· ὅ-

ται ἰδιαίτερα τοὺς Ἰουδαίους. Ἐπειδὴ λοιπὸν ἐκεῖνοι ἦταν περισσότερο φιλόνικοι, πρῶτα μὲ τὸ νὰ ἔχουν ἀπὸ ὑπερηφάνεια τὴν ἀξίωση νὰ μὴν ἀριθμοῦνται μαζὶ μ' αὐτοὺς ποὺ προέρχονταν ἀπὸ τοὺς ἐθνικούς· δεύτερο, μὲ τὸ νὰ περιγελοῦν, ἐὰν ἡ πίστη ἐξαφανίζει ὅλα τὰ ἁμαρτήματα, γι' αὐτὸ κατηγόρησε πρῶτα τοὺς Ἕλληνες, γιὰ τοὺς ὁποίους μιλάει, ὥστε χωρὶς ὑποψία καὶ μὲ παρρησία νὰ φθάσει στοὺς Ἰουδαίους. Ἔπειτα, ἀφοῦ ἦρθε στὴν ἐξέταση γιὰ τὴν κόλαση, δείχνει πὼς ὄχι μόνο δὲν ὠφελεῖται καθόλου ὁ Ἰουδαῖος ἀπὸ τὸ νόμο, ἀλλὰ καὶ ἐπιβαρύνεται. Καὶ αὐτὸ τὸ ἀποδείχνει ἀπὸ τὰ προηγούμενα. Ἐὰν λοιπὸν ὁ Ἕλληνας εἶναι γι' αὐτὸ ἀναπολόγητος, ἐπειδὴ δὲν ἔγινε καλύτερος, ἂν καὶ ἡ κτίση καὶ οἱ σκέψεις του τὸν ὁδηγοῦσαν, πολὺ περισσότερο θὰ εἶναι ὁ Ἰουδαῖος, ἀφοῦ πῆρε μαζὶ μ' αὐτὰ καὶ τὴ διδασκαλία ἀπὸ τὸ νόμο. Ἀφοῦ τὸν ἔπεισε λοιπὸν εὔκολα νὰ δεχθεῖ τὴ σκέψη αὐτὴ στὰ ἁμαρτήματα τῶν ἄλλων, τὸν ἀναγκάζει στὴ συνέχεια καὶ χωρὶς τὴ θέλησή του νὰ κάμει αὐτὸ καὶ στὰ δικά του ἁμαρτήματα.

Καὶ γιὰ νὰ γίνει εὔκολα δεκτὸς ὁ λόγος, τὸν ὁδηγεῖ καὶ στὰ πιὸ ἀγαθά, λέγοντας ἔτσι· «Δόξα ὅμως καὶ τιμὴ καὶ εἰρήνη θ' ἀποδοθεῖ στὸν καθένα ποὺ ἐργάζεται τὸ ἀγαθό, στὸν Ἰουδαῖο πρῶτα καὶ στὸν Ἕλληνα». Γιατὶ ἐδῶ βέβαια, ὅσα καλὰ ἂν ἔχει κανείς, τὰ ἔχει μὲ πολλὲς ταραχές, καὶ ἂν ἀκόμη εἶναι πλούσιος ἢ ἄρχοντας ἢ βασιλιάς. Καὶ ἂν ὄχι πρὸς ἄλλον, τουλάχιστο ἐπαναστατεῖ πρὸς τὸν ἑαυτό του πολλὲς φορὲς καὶ στὶς σκέψεις του ἔχει πολὺ πόλεμο. Ἐκεῖ ὅμως δὲ συμβαίνει τίποτε τέτοιο, ἀλλὰ τὰ πάντα εἶναι γαλήνια καὶ χωρὶς ταραχὴ καὶ ἔχουν τὴ γνήσια εἰρήνη. Ἀποδείχνοντας λοιπὸν ἀπὸ τὰ προηγούμενα, ὅτι καὶ ἐκεῖνοι ποὺ δὲν εἶχαν νόμο θ' ἀπολαύσουν τὰ ἴδια, προσθέτει καὶ ἕνα συλλογισμό, λέγοντας ἔτσι· «Γιατὶ ὁ Θεὸς δὲ χαρίζεται σὲ πρόσωπα». Γιατί, ὅταν λέγει, ὅτι τιμωρεῖται καὶ ὁ Ἰουδαῖος καὶ ὁ Ἕλληνας, ὅταν ἁμαρτάνουν, δὲ χρειάζεται συλλογισμούς· ὅταν ὅμως λέ-

ταν δέ, ὅτι καὶ τιμᾶται ὁ Ἕλλην, συστῆσαι βούληται, καὶ κατασκευῆς δεῖται λοιπόν.

Καὶ γὰρ ἐδόκει θαυμαστὸν εἶναι καὶ παράδοξον, εἰ ὁ μὴ νόμον μηδὲ προφητῶν ἀκούσας, τιμᾶται τὰ ἀγαθὰ ἐργαζόμενος. Διὰ τοῦτο, ὅπερ καὶ ἔμπροσθεν εἶπον, ἐν τοῖς πρὸ τῆς χάριτος χρόνοις γυμνάζει αὐτῶν τὰς ἀκοάς, ἵν' εὐκολώτερον ἐπεισαγάγῃ λοιπὸν μετὰ τῆς πίστεως καὶ τὴν ἐν τούτοις συγκατάθεσιν. Ἐνταῦθα γὰρ ἀνύποπτος μάλιστα γίνεται, ἅτε οὐ τὸ ἑαυτοῦ κατασκευάζων. Εἰπὼν τοίνυν, «Δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλληνι», ἐπήγαγεν· «Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ». Βαβαί, ἐξ ὅσης ἐνίκησε τῆς περιουσίας· δείκνυσι γὰρ εἰς ἄτοπον τὸν λόγον ἀπαγαγών, ὅτι οὐ κατὰ Θεὸν τὸ μὴ οὕτω γενέσθαι· καὶ γὰρ προσωποληψίας τὸ πρᾶγμα· ὁ δὲ Θεὸς οὐ τοιοῦτος. Καὶ οὐκ εἶπεν, εἰ δὲ μὴ τοῦτο γένοιτο, προσωπολήπτης ὁ Θεός, ἀλλὰ σεμνότερον· «Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ»· τουτέστιν, οὐ προσώπων ποιότητα, ἀλλὰ πραγμάτων ἐξετάζει διαφοράν. Τοῦτο εἰπών, ἐδήλωσεν οὐκ ἐν πράγμασιν, ἀλλ' ἐν προσώποις μόνον διαφέροντα τὸν Ἰουδαῖον τοῦ Ἕλληνος.

Τούτοις ἀκόλουθον ἦν εἰπεῖν· οὐ γάρ, ἐπειδὴ ὁ μὲν Ἰουδαῖος, ὁ δὲ Ἕλλην, διὰ τοῦτο ὁ μὲν τιμᾶται· ὁ δὲ ὑβρίζεται· ἀλλ' ἀπὸ τῶν ἔργων ἑκάτερα γίνεται. Ἀλλ' οὐκ εἶπεν οὕτω· διήγειρε γὰρ ἂν τὸν θυμὸν τοῦ Ἰουδαίου· ἀλλ' ἕτερόν τι πλέον τίθησι κατασπῶν αὐτῶν κατωτέρω τὸ φρόνημα καὶ καταστέλλων, ὥστε ἐκεῖνο καταδέξασθαι. Τί δὲ ἐστί τοῦτο; Τὸ ἑξῆς κείμενον. «Ὅσοι γὰρ ἀνόμως», φησίν, «ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται». Ἐνταῦθα γάρ, ὅπερ ἔφθην εἰπών, οὐ μόνον ἰσοτιμίαν δείκνυσιν Ἰ-

γει, ὅτι καὶ τιμᾶται ὁ Ἕλληνας, θέλει νὰ κάμει καὶ στὴ συνέχεια χρειάζεται πλέον ἀπόδειξη.

Γιατὶ πραγματικὰ φαινόταν πὼς εἶναι θαυμαστὸ καὶ παράδοξο, ἐὰν ἐκεῖνος, ποὺ δὲν ἄκουσε οὔτε τὸ νόμο οὔτε τοὺς προφῆτες, τιμᾶται, ὅταν ἐργάζεται τὰ ἀγαθά. Γι᾽ αὐτό, πράγμα ποὺ εἶπα καὶ πιὸ μπροστά, στὰ πρὶν ἀπὸ τὴ χάρη χρόνια γυμνάζει τὶς ἀκοές τους, γιὰ νὰ προσθέσει εὐκολότερα στὴ συνέχεια μαζὶ μὲ τὴν πίστη καὶ τὴ συγκατάθεσή τους σ᾽ αὐτά. Ἐδῶ βέβαια γίνεται ἰδιαίτερα ἀνύποπτος, ἐπειδὴ οὔτε τὸ δικό του δὲν προετοιμάζει. Ἀφοῦ λοιπὸν εἶπε, «Δόξα καὶ τιμὴ καὶ εἰρήνη θ᾽ ἀποδοθεῖ στὸν καθένα ποὺ ἐργάζεται τὸ ἀγαθό, στὸν Ἰουδαῖο πρῶτα καὶ στὸν Ἕλληνα», πρόσθεσε· «Γιατί ὁ Θεὸς δὲ χαρίζεται σὲ πρόσωπα». Πώ, πώ! μὲ πόση ἀφθονία νίκησε. Γιατὶ δείχνει, φέροντας τὸ λόγο σὲ παραδοξολογία, ὅτι δὲν εἶναι σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ τὸ νὰ μὴ γίνει ἔτσι· γιατὶ τότε τὸ πράγμα θὰ ἦταν ἀποτέλεσμα μεροληψίας, ἐνῶ ὁ Θεὸς δὲν εἶναι τέτοιος. Καὶ δὲν εἶπε, ἐὰν ὅμως δὲ γίνει αὐτό, ὁ Θεὸς εἶναι μεροληπτικός, ἀλλὰ πιὸ σεμνό· «Γιατὶ ὁ Θεὸς δὲ χαρίζεται σὲ πρόσωπα». Δηλαδή, ὁ Θεὸς δὲν ἐξετάζει τὴν ποιότητα τῶν προσώπων, ἀλλὰ τὴ διαφορὰ τῶν πράξεων. Λέγοντας αὐτό, φανέρωσε ὅτι ὁ Ἰουδαῖος δὲ διαφέρει ἀπὸ τὸν Ἕλληνα στὶς πράξεις, ἀλλὰ μόνο στὰ πρόσωπα.

Σ᾽ αὐτὰ ἦταν ἑπόμενο νὰ πεῖ· ὄχι λοιπόν, ἐπειδὴ ὁ ἕνας εἶναι Ἰουδαῖος καὶ ὁ ἄλλος Ἕλληνας, γι᾽ αὐτὸ τιμᾶται ὁ πρῶτος καὶ περιφρονεῖται ὁ δεύτερος, ἀλλὰ καὶ τὰ δύο γίνονται ἀπὸ τὰ ἔργα τους. Ὅμως δὲν εἶπε ἔτσι, γιατὶ θὰ προκαλοῦσε τὴν ὀργὴ τοῦ Ἰουδαίου, ἀλλὰ κάτι ἄλλο περισσότερο ἀναφέρει συγκρατώντας καὶ ταπεινώνοντας παρακάτω τὸ φρόνημά τους, ὥστε νὰ παραδεχθοῦν ἐκεῖνο. Καὶ ποιὸ εἶναι αὐτό; Τὰ ἑπόμενα λόγια· «Γιατὶ ὅσοι ἁμάρτησαν χωρὶς νόμο», λέγει, «θὰ καταδικασθοῦν σὲ ἀπώλεια χωρὶς τὸ νόμο· καὶ ὅσοι ἁμάρτησαν μὲ νόμο, θὰ κριθοῦν μὲ βάση τὸ νόμο». Ἐδῶ λοιπόν, πράγμα ποὺ εἶπα παραπάνω, ὄχι μόνο δείχνει τὴν ἰσοτι-

ουδαίου καὶ Ἕλληνος, ἀλλὰ καὶ πολὺ τὸν Ἰουδαῖον βαρούμενον ἀπὸ τῆς τοῦ νόμου δόσεως. Ὁ μὲν γὰρ Ἕλλην ἀνόμως κρίνεται· τὸ δέ, «Ἀνόμως», ἐνταῦθα οὐ τὸ χαλεπώτερον, ἀλλὰ τὸ ἡμερώτερον λέγει· τουτέστιν, οὐκ ἔχει κατηγοροῦντα τὸν νόμον. Τὸ γὰρ «Ἀνόμως», τουτέστι, χωρὶς τῆς ἐξ ἐκείνου κατακρίσεως, φησίν, ἀπὸ τῶν τῆς φύσεως λογισμῶν καταδικάζεται μόνων. Ὁ δὲ Ἰουδαῖος ἐννόμως, τουτέστι, μετὰ τῆς φύσεως καὶ τοῦ νόμου κατηγοροῦντος· ὅσῳ γὰρ πλείονος ἀπήλαυσε τῆς ἐπιμελείας, τοσούτῳ μείζονα δώσει δίκην.

5. Ὁρᾷς πῶς μείζονα τοῖς Ἰουδαίοις τὴν ἀνάγκην ἐπέστησε τοῦ τῇ χάριτι προσδραμεῖν; Ἐπειδὴ γὰρ ἔλεγον, ὅτι οὐ δέονται τῆς χάριτος, διὰ μόνου τοῦ νόμου δικαιούμενοι, δείκνυσιν, ὅτι αὐτοὶ μᾶλλον τῶν Ἑλλήνων δέονται, εἴ γε μᾶλλον μέλλουσι κολάζεσθαι. Εἶτα πάλιν ἐπάγει λογισμὸν ἕτερον, τοῖς εἰρημένοις ἐπαγωνιζόμενος. «Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ». Καλῶς προσέθηκε, «Παρὰ τῷ Θεῷ»· παρὰ μὲν γὰρ ἀνθρώποις ἴσως σεμνοὶ δύνανται φαίνεσθαι καὶ μεγάλα κομπάζειν, παρὰ δὲ τῷ Θεῷ, τοὐναντίον ἅπαν, «Οἱ ποιηταὶ τοῦ νόμου δικαιοῦνται μόνον». Εἶδες πόσῃ τῇ περιουσίᾳ κέχρηται εἰς τὸ ἐναντίον περιτρέπων τὸν λόγον; Εἰ γὰρ διὰ τὸν νόμον ἀξιοῖς σωθῆναι, φησί, πρῶτός σου ταύτῃ ὁ Ἕλλην στήσεται, ποιητὴς φανεὶς τῶν ἐγγεγραμμένων.

Καὶ πῶς ἔνι, φησίν, ἀκροατὴν μὴ γενόμενον, ποιητὴν γενέσθαι; Ἔνι, φησίν, οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ τούτου πολλῷ πλέον. Οὐ γὰρ μόνον χωρὶς ἀκροάσεώς ἐστι γενέσθαι ποιητήν, ἀλλὰ καὶ μετὰ ἀκροάσεως μὴ εἶναι τοῦτο· ὅπερ ὕστερον σαφέστερον τίθησι λέγων, καὶ μετὰ πλείονος τῆς περιουσίας· «Ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;». Ἐν-

7. Ρωμ. 2, 21

μία Ἰουδαίου καὶ Ἕλληνα, ἀλλὰ καὶ πῶς ὁ Ἰουδαῖος ἐπιβαρύνεται πολὺ ἀπὸ τὴ χορήγηση τοῦ νόμου. Γιατὶ ὁ Ἕλληνας κρίνεται χωρὶς τὸ νόμο. Τὸ «χωρὶς νόμο», ἐδῶ δὲ σημαίνει τὸ πιὸ δυσάρεστο, ἀλλὰ τὸ πιὸ μαλακό· δηλαδή, δὲν ἔχει τὸ νόμο κατήγορο. Γιατὶ τὸ «Χωρὶς νόμο», δηλαδή, χωρὶς τὴν κατηγορία τοῦ νόμου, σημαίνει, καταδικάζεται μόνο ἀπὸ τοὺς φυσικοὺς συλλογισμούς. Ὁ Ἰουδαῖος ὅμως κρίνεται μὲ βάση τὸ νόμο, δηλαδή, μαζὶ μὲ τὴ φύση εἶναι καὶ ὁ νόμος κατήγορος. Γιατὶ ὅσο περισσότερο δέχτηκε τὴ φροντίδα, τόσο περισσότερο θὰ τιμωρηθεῖ.

5. Βλέπεις πῶς παρουσίασε μεγαλύτερη τὴν ἀνάγκη στοὺς Ἰουδαίους γιὰ νὰ τρέξουν στὴ χάρη; Ἐπειδὴ λοιπὸν ἔλεγαν, ὅτι δὲ χρειάζονται τὴ χάρη, σωζόμενοι μόνο μὲ τὸ νόμο, δείχνει πῶς αὐτοὶ τὴ χρειάζονται περισσότερο ἀπὸ τοὺς Ἕλληνες, ἀφοῦ βέβαια πρόκειται νὰ τιμωρηθοῦν περισσότερο. Ἔπειτα πάλι προσθέτει ἄλλο συλλογισμό, γιὰ νὰ ὑπερασπίσει αὐτὰ ποὺ εἰπώθηκαν. «Γιατὶ δίκαιοι μπροστὰ στὸ Θεὸ δὲν εἶναι οἱ ἀκροατὲς τοῦ νόμου». Σωστὰ πρόσθεσε, «Μπροστὰ στὸ Θεό». Γιατὶ μπροστὰ στοὺς ἀνθρώπους ἴσως μποροῦν νὰ φαίνονται ἀξιοσέβαστοι καὶ νὰ ὑπερηφανεύονται πολύ, μπροστὰ στὸ Θεὸ ὅμως, ἐντελῶς τὸ ἀντίθετο, «Αὐτοὶ ποὺ τηροῦν τὸ νόμο θ' ἀναγνωρισθοῦν μόνο δίκαιοι». Εἶδες πόση ἀφθονία μεταχειρίζεται γιὰ νὰ τρέψει τὸ λόγο στὸ ἀντίθετο; Ἐὰν λοιπὸν ἔχεις τὴν ἀξίωση νὰ σωθεῖς ἐξ αἰτίας τοῦ νόμου, λέγει, θὰ σταθεῖ ἔτσι πρῶτα ἀπὸ σένα ὁ Ἕλληνας, ἐπειδὴ φάνηκε πῶς ἔκαμε ὅσα ἔχουν γραφεῖ.

Καὶ πῶς εἶναι δυνατό, λέγει, χωρὶς ν' ἀκούσει τὸ νόμο, νὰ ἐκτελέσει τὸ νόμο; Εἶναι δυνατό, λέγει, ὄχι μόνο αὐτό, ἀλλὰ καὶ τὸ πολὺ περισσότερο ἀπ' αὐτό. Γιατὶ ὄχι μόνο χωρὶς ν' ἀκούσει κανεὶς μπορεῖ νὰ ἐκτελέσει τὸ νόμο, ἀλλὰ καὶ ὅταν ἀκούσει νὰ μὴ συμβεῖ αὐτό, πράγμα ποὺ ἀναφέρει πιὸ καθαρὰ ὕστερα λέγοντας καὶ μὲ περισσότερη ἔμφαση· «Ἐσὺ ποὺ διδάσκεις τὸν ἄλλο, δὲ διδάσκεις τὸν ἑαυτό σου;»[7]. Ἐδῶ ὅμως πρῶτα ἀποδείχνει τὸ

ταῦθα δὲ τέως τὸ πρότερον κατασκευάζει. «Ὅταν γὰρ ἔθνη», φησί, «τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος». Οὐκ ἐκβάλλω τὸν νόμον, φησίν, ἀλλὰ καὶ ἐντεῦθεν δικαιῶ τὰ ἔθνη. Εἶδες πῶς ὑπορύττων τοῦ ἰουδαϊσμοῦ τὴν δόξαν, οὐδεμίαν καθ' ἑαυτοῦ δίδωσι λαβὴν ὡς ἀτιμάζων τὸν νόμον, ἀλλὰ τοὐναντίον, ὡς ἐπαίρων καὶ μέγαν δεικνύς, οὕτω κατασκευάζει τὸ πᾶν; «Φύσει» δὲ ὅταν εἴποι, τοῖς ἐκ φύσεως λέγει λογισμοῖς. Καὶ δείκνυσιν ἑτέρους ὄντας αὐτῶν βελτίους, καὶ τὸ μεῖζον, διὰ τοῦτο βελτίους, ἐπειδὴ μὴ νόμον ἔλαβον, μηδὲ ἔχουσι τοῦτον, ᾧ δοκοῦσιν αὐτῶν πλεονεκτεῖν οἱ Ἰουδαῖοι.

Διὰ τοῦτο γάρ, φησίν, εἰσὶ θαυμαστοί, ὅτι νόμου οὐκ ἐδεήθησαν, καὶ τὰ τοῦ νόμου πάντα ἐπεδείξαντο, τὰ ἔργα, οὐ τὰ γράμματα, ταῖς διανοίαις αὐτῶν ἐγκολάψαντες. Τοῦτο γάρ φησιν· «Οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτοῖς τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων, ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, κατὰ τὸ εὐαγγέλιόν μου, διὰ Ἰησοῦ Χριστοῦ». Ὁρᾷς πῶς πάλιν παρέστησε τὴν ἡμέραν ἐκείνην καὶ ἐγγὺς ἤγαγε, κατασείων αὐτῶν τὴν διάνοιαν, καὶ δεικνὺς ὅτι τούτους δεῖ τιμᾶσθαι μᾶλλον τοὺς χωρὶς νόμου τὰ τοῦ νόμου κατορθοῦν ἐσπουδακότας; Ὃ δὲ μάλιστά ἐστι θαυμάσαι τῆς συνέσεως τῆς ἀποστολικῆς, τοῦτο ἄξιον εἰπεῖν νῦν. Ἀπὸ γὰρ τῆς κατασκευῆς δείξας, ὅτι μείζων ὁ Ἕλλην τοῦ Ἰουδαίου, ἐν τῇ συναγωγῇ καὶ ἐν τῷ συμπεράσματι τῶν λογισμῶν οὐ τίθησιν αὐτό, ὥστε μὴ τραχῦναι τὸν Ἰουδαῖον.

Ἵνα δὲ καὶ σαφέστερον ὅπερ εἶπον ποιήσω, αὐτὰ ἐρῶ τὰ ῥήματα τὰ ἀποστολικά. Ἐπειδὴ γὰρ εἶπεν,

προηγούμενο. «Γιατὶ ὅταν οἱ ἐθνικοί», λέγει, «οἱ ὁποῖοι δὲν ἔχουν νόμο, κάνουν ἀπὸ τὴ φύση ὅσα λέγει ὁ νόμος, αὐτοὶ χωρὶς νὰ ἔχουν νόμο, εἶναι οἱ ἴδιοι νόμος στοὺς ἑαυτούς τους». Δὲν ἀπορρίπτω τὸ νόμο, λέγει, ἀλλὰ καὶ ἀπὸ ἐδῶ δικαιώνω τοὺς ἐθνικούς. Εἶδες πῶς ὑπονομεύοντας τὴ δόξα τοῦ ἰουδαϊσμοῦ, δὲ δίνει καμιὰ ἀφορμὴ ἐναντίον του ὅτι προσβάλλει τὸ νόμο, ἀλλὰ τὸ ἀντίθετο, ἀποδείχνει τὰ πάντα ἔτσι, ὥστε νὰ τὸν ἐξυψώνει καὶ νὰ τὸν παρουσιάζει μεγάλο; Καὶ ὅταν λέγει «φύσει», ἐννοεῖ μὲ τὶς σκέψεις ποὺ εἶναι ἔμφυτες καὶ ἀποδείχνει πὼς ἄλλοι εἶναι καλύτεροι ἀπ᾽ αὐτούς, καὶ τὸ πιὸ σπουδαῖο, γι᾽ αὐτὸ εἶναι καλύτεροι, ἐπειδὴ δὲν ἔλαβαν νόμο, οὔτε ἔχουν αὐτόν, μὲ τὸν ὁποῖο οἱ Ἰουδαῖοι νομίζουν πὼς βρίσκονται σὲ καλύτερη κατάσταση ἀπ᾽ αὐτούς.

Γι᾽ αὐτὸ ἀκριβῶς, λέγει, εἶναι ἀξιοθαύμαστοι, ἐπειδὴ δὲ χρειάστηκαν νόμο καὶ ἐκτέλεσαν ὅλες τὶς ἐντολὲς τοῦ νόμου, χαράζοντας στὶς διάνοιές τους τὰ ἔργα καὶ ὄχι τὰ γράμματα. Γιατὶ αὐτὸ λέγει· «Αὐτοὶ οἱ ἐθνικοὶ ἀποδείχνουν πὼς ἔχουν γραμμένο τὸ ἔργο τοῦ νόμου στὶς καρδιές τους, ὅταν ἡ συνείδησή τους δίνει μαρτυρία σ᾽ αὐτοὺς καὶ οἱ σκέψεις τους κατηγοροῦνται ἀναμεταξύ τους ἢ καὶ ἀπολογοῦνται, κατὰ τὴν ἡμέρα ποὺ θὰ κρίνει ὁ Θεὸς τὶς ἀπόκρυφες πράξεις τῶν ἀνθρώπων, σύμφωνα μὲ τὸ εὐαγγέλιο ποὺ κηρύττω, μὲ τὸν Ἰησοῦ Χριστό». Βλέπεις πὼς πάλι παρουσίασε τὴν ἡμέρα ἐκείνη καὶ τὴν ἔφερε κοντά, τρομάζοντας τὸ νοῦ τους καὶ δείχνοντας πὼς πρέπει νὰ τιμοῦνται περισσότεροι αὐτοὶ ποὺ χωρὶς νὰ ἔχουν νόμο φρόντισαν νὰ πραγματοποιήσουν τὶς ἐντολὲς τοῦ νόμου; Γιὰ ἐκεῖνο ὅμως ποὺ μποροῦμε νὰ θαυμάσουμε ἰδιαίτερα τὴ σύνεση τοῦ ἀποστόλου, αὐτὸ ἀξίζει νὰ ποῦμε τώρα. Γιατὶ ἀφοῦ μὲ τὴν ἀπόδειξη ἔδειξε, πὼς ὁ Ἕλληνας εἶναι ἀνώτερος ἀπὸ τὸν Ἰουδαῖο, δὲν τὸ ἀναφέρει αὐτὸ στὴν ἀνακεφαλαίωση καὶ τὸ συμπέρασμα τῶν σκέψεών του, γιὰ νὰ μὴν ἐρεθίσει τὸν Ἰουδαῖο.

Γιὰ νὰ κάμω ὅμως πιὸ καθαρὸ αὐτὸ ποὺ εἶπα, θ᾽ ἀναφέρω τὰ ἴδια τὰ λόγια τοῦ ἀποστόλου. Ἀφοῦ λοιπὸν

«Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται», ἀκόλουθον ἦν εἰπεῖν. Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, τούτων πολλῷ βελτίους εἰσὶ τῶν ἀπὸ νόμου διδασκομένων. Ἀλλ' οὐ λέγει τοῦτο, ἀλλ' ἵσταται μέχρι τοῦ ἐγκωμίου τῶν Ἑλλήνων, καὶ οὐ προάγει τὸν λόγον κατὰ σύγκρισιν τέως, ἵνα κἂν οὕτως ὁ Ἰουδαῖος δέξηται τὸ λεγόμενον. Διόπερ οὐχ οὕτως εἶπεν, ὡς εἶπον, ἀλλὰ πῶς; «Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος· οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως». Ἀρκεῖ γὰρ ἀντὶ τοῦ νόμου τὸ συνειδὸς καὶ λογισμός. Διὰ τούτων ἔδειξε πάλιν, ὅτι αὐτάρκη τὸν ἄνθρωπον ἐποίησεν ὁ Θεὸς πρὸς τὴν τῆς ἀρετῆς αἵρεσιν, καὶ τὴν τῆς κακίας φυγήν.

Καὶ μὴ θαυμάσῃς, εἰ καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις αὐτὸ κατασκευάζει. Σφόδρα γὰρ ἦν ἀναγκαῖον αὐτῷ τὸ κεφάλαιον τοῦτο διὰ τοὺς λέγοντας, τί δήποτε νῦν ὁ Χριστὸς παρεγένετο; καὶ ποῦ τὸν ἔμπροσθεν χρόνον τὰ τῆς τοσαύτης προνοίας ἦν; Καὶ πρὸς τούτους οὖν ἐν παρέργῳ νῦν ἀπομαχόμενος, δείκνυσιν, ὅτι καὶ ἐν τοῖς ἄνωθεν χρόνοις, καὶ πρὸ τῆς τοῦ νόμου δόσεως πάσης ἀπήλαυσε προνοίας ἡ τῶν ἀνθρώπων φύσις. Καὶ γὰρ τὸ γνωστὸν τοῦ Θεοῦ φανερὸν ἦν αὐτοῖς, καὶ τί μὲν καλόν, τί δὲ κακὸν ᾔδεσαν, δι' ὧν τοὺς ἄλλους ἔκριναν· ὅπερ ὀνειδίζων αὐτοῖς, ἔλεγεν, ὅτι «Ἐν ᾧ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις». Ἐπὶ δὲ τῶν Ἰουδαίων, μετὰ τῶν εἰρημένων καὶ ὁ νόμος ἕστηκεν, οὐχὶ λογισμὸς μόνον οὐδὲ συνείδησις. Τίνος δὲ ἕνεκεν τίθησι τό, «Κατηγορούντων ἢ καὶ ἀπολογουμένων»; Εἰ γὰρ νόμον

εἶπε, «Γιατὶ ὄχι ὅσοι ἀκοῦν τὸ νόμο, ἀλλ' ὅσοι τὸν ἐκτελοῦν θ' ἀναγνωρισθοῦν δίκαιοι», ἦταν ἑπόμενο νὰ πεῖ. Γιατὶ ὅταν οἱ ἐθνικοί, ποὺ δὲν ἔχουν νόμο, κάνουν ἀπὸ τὴ φύση ὅσα ὁρίζει ὁ νόμος, εἶναι πολὺ καλύτεροι ἀπ' αὐτοὺς ποὺ διδάσκονται ἀπὸ τὸ νόμο. Δὲ λέγει ὅμως αὐτό, ἀλλὰ σταματάει μέχρι τὸν ἔπαινο τῶν Ἑλλήνων, καὶ δὲ συνεχίζει τὸ λόγο κάνοντας σύγκριση πρῶτα, γιὰ νὰ δεχθεῖ τουλάχιστο ἔτσι τὰ λεγόμενα ὁ Ἰουδαῖος. Γι' αὐτὸ βέβαια δὲν εἶπε ἔτσι, ὅπως ἀνέφερα, ἀλλὰ πῶς; «Γιατὶ ὅταν οἱ ἐθνικοί, ποὺ δὲν ἔχουν νόμο, κάνουν ἀπὸ τὴ φύση ὅσα ὁρίζει ὁ νόμος, αὐτοὶ χωρὶς νὰ ἔχουν νόμο, εἶναι οἱ ἴδιοι νόμος στοὺς ἑαυτούς τους. Αὐτοὶ ἀποδείχνουν πὼς ἔχουν γραμμένο στὶς καρδιές τους τὸ ἔργο τοῦ νόμου, ὅταν ἡ συνείδησή τους δίνει μαρτυρία σ' αὐτούς». Γιατὶ εἶναι ἀρκετὴ ἀντὶ τοῦ νόμου ἡ συνείδηση καὶ τὸ λογικό. Μὲ τὰ λόγια αὐτὰ ἔδειξε πάλι, πὼς ὁ Θεὸς ἔκαμε τὸν ἄνθρωπο ἱκανὸ γιὰ τὴν ἐκλογὴ τῆς ἀρετῆς καὶ τὴν ἀποφυγὴ τῆς κακίας.

Καὶ μὴν ἀπορήσεις, ἂν ἀποδείχνει αὐτὸ καὶ μιὰ καὶ δυὸ καὶ πολλὲς φορές. Γιατὶ τοῦ ἦταν πάρα πολὺ ἀναγκαῖο αὐτὸ τὸ σπουδαῖο πράγμα γιὰ ἐκείνους ποὺ ἔλεγαν, γιατὶ λοιπὸν ἦρθε τώρα ὁ Χριστός; Καὶ ποῦ ἦταν οἱ ἐκδηλώσεις τῆς μεγάλης του πρόνοιας τὸν προηγούμενο καιρό; Καὶ αὐτοὺς λοιπὸν ἀποκρούοντας παρεμπιπτόντως τώρα, δείχνει πὼς καὶ στὰ προηγούμενα χρόνια καὶ πρὶν ἀπὸ τὴ χορήγηση τοῦ νόμου τὸ ἀνθρώπινο γένος ἀπολάμβανε ὅλη τὴν πρόνοια τοῦ Θεοῦ. Γιατὶ πραγματικὰ ἐκεῖνο ποὺ μποροῦσε ἀπὸ τὸ Θεὸ νὰ γίνει γνωστὸ ἦταν φανερὸ σ' αὐτούς, καὶ γνώριζαν ποιὸ ἦταν τὸ καλὸ καὶ ποιὸ ἦταν τὸ κακό, μὲ τὰ ὁποῖα ἔκριναν τοὺς ἄλλους. Γι' αὐτὸ ἀκριβῶς τοὺς κατηγοροῦσε καὶ ἔλεγε, ὅτι «Μ' αὐτὸ ποὺ κρίνεις τὸν ἄλλο, καταδικάζεις τὸν ἑαυτό σου». Στὴν περίπτωση τῶν Ἰουδαίων ὅμως, μαζὶ μ' αὐτὰ ποὺ εἰπώθηκαν ὁρίστηκε καὶ ὁ νόμος, ὄχι μόνο τὸ λογικὸ οὔτε ἡ συνείδηση. Γιὰ ποιὸ λόγο ὅμως ἀναφέρει τό, «Ὅταν κατηγοροῦν οἱ σκέψεις ἢ καὶ ἀπολογοῦνται»; Γιατί, ἂν ἔχουν

ἔχουσι γραπτὸν καὶ τὸ ἔργον ἐνδείκνυνται, τί ἔχει κατηγορῆσαι λοιπὸν ὁ λογισμός; Ἀλλ' οὐκέτι περὶ ἐκείνων φησὶ τό, «Κατηγορούντων», μόνον, ἀλλὰ καὶ περὶ τῆς φύσεως ἁπάσης. Τότε γὰρ ἑστήκασιν ἡμῶν καὶ οἱ λογισμοί, οἱ μὲν κατηγοροῦντες, οἱ δὲ ἀπολογούμενοι, καὶ οὐ δεῖται ἑτέρου κατηγόρου ἄνθρωπος ἐπ' ἐκείνου τοῦ δικαστηρίου.

Εἶτα αὔξων τὸν φόβον, οὐκ εἶπε, τὰ ἁμαρτήματα τῶν ἀνθρώπων, ἀλλὰ «Τὰ κρυπτὰ τῶν ἀνθρώπων». Ἐπειδὴ γὰρ εἶπε, «Λογίζῃ ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτά, ὅτι ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ;», ἵνα μὴ τοιαύτην ἐκδέξῃ ψῆφον, οἵαν καὶ αὐτὸς φέρεις, ἀλλ' ἴδῃς, ὅτι πολλῷ τῆς σῆς ἀκριβεστέρα ἡ τοῦ Θεοῦ, ἐπήγαγε· «Τὰ κρυπτὰ τῶν ἀνθρώπων», καὶ προσέθηκε· «Κατὰ τὸ εὐαγγέλιόν μου, διὰ Ἰησοῦ Χριστοῦ». Ἄνθρωποι γὰρ τῶν φανερῶν κάθηνται δικασταὶ μόνων. Καίτοι γε ἄνω περὶ τοῦ Πατρὸς ἔλεγε μόνου, ἀλλ' ἐπειδὴ λοιπὸν αὐτοὺς κατελέανε τῷ φόβῳ, ἐπήγαγε καὶ τὸν περὶ τοῦ Χριστοῦ λόγον· καὶ οὐδὲ τοῦτον ἁπλῶς, ἀλλὰ καὶ ἐνταῦθα τοῦ Πατρὸς μνημονεύσας, οὕτως αὐτὸν ἐπεισήγαγε· καὶ τοῦ κηρύγματος δὲ τὸ ἀξίωμα δι' αὐτῶν ἐπαίρει· τοῦτο γάρ, φησί, τὸ κήρυγμα ταῦτα προαναφωνεῖ, ἃ προλαβοῦσα ἡ φύσις ἔδειξεν.

6. Εἶδες πῶς συνετῶς καὶ τῷ εὐαγγελίῳ καὶ τῷ Χριστῷ φέρων αὐτοὺς προσέδησε, καὶ ἀπέδειξεν, ὅτι οὐ μέχρι τῶν ἐνταῦθα τὰ ἡμέτερα ἵσταται, ἀλλὰ ὁδεύει περαιτέρω; Ὃ καὶ ἄνω κατεσκεύασεν εἰπών, «Θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς», καὶ ἐνταῦθα πάλιν, «Κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων». Ἕκαστος τοίνυν εἰς τὸ ἑαυτοῦ συνειδὸς ἐλθών, καὶ ἀναλογιζόμενος τὰ πλημμελήματα, ἀπαιτείτω τὰς εὐθύνας ἑαυτὸν ἀκριβῶς, ἵνα τότε μὴ κα-

γραπτὸ νόμο καὶ ἀποδείχνουν τὸ ἔργο του, τί μπορεῖ νὰ κατηγορήσει στὴ συνέχεια ἡ σκέψη; Ἀλλὰ δὲ λέγει πιὰ γιὰ ἐκεῖνες μόνο τό, «Ὅταν κατηγοροῦν», ἀλλὰ καὶ γιὰ ὁλόκληρη τὴ φύση. Γιατὶ τότε παρουσιάζονται καὶ οἱ σκέψεις μας, ἄλλες γιὰ νὰ κατηγορήσουν καὶ ἄλλες γιὰ ν' ἀπολογηθοῦν, καὶ δὲ χρειάζεται ἄλλο κατήγορο ὁ ἄνθρωπος σ' ἐκεῖνο τὸ δικαστήριο.

Στὴ συνέχεια αὐξάνοντας τὸ φόβο, δὲν εἶπε, τὰ ἁμαρτήματα τῶν ἀνθρώπων, ἀλλὰ «Τὶς ἀπόκρυφες πράξεις τῶν ἀνθρώπων». Ἐπειδὴ λοιπὸν εἶπε, «Φαντάζεσαι ἐσύ, ποὺ κατακρίνεις ἐκείνους ποὺ κάνουν τέτοια ἔργα καὶ ὅμως κάνεις καὶ ἐσὺ αὐτά, ὅτι θ' ἀποφύγεις τὴν κρίση τοῦ Θεοῦ;» γιὰ νὰ μὴ δεχθεῖς τέτοια κρίση, ὅμοια μ' αὐτὴν ποὺ ἐκφέρεις καὶ ὁ ἴδιος, ἀλλὰ γιὰ νὰ δεῖς, ὅτι ἡ κρίση τοῦ Θεοῦ εἶναι πολὺ ἀκριβέστερη ἀπὸ τὴ δική σου, συμπλήρωσε· «Τὶς ἀπόκρυφες πράξεις τῶν ἀνθρώπων», καὶ πρόσθεσε· «Σύμφωνα μὲ τὸ εὐαγγέλιο ποὺ κηρύττω, μὲ τὸν Ἰησοῦ Χριστό». Γιατὶ οἱ ἄνθρωποι δικάζουν τὶς φανερὲς μόνο. Μολονότι βέβαια μιλοῦσε παραπάνω γιὰ τὸν Πατέρα μόνο, ἀλλ' ἐπειδὴ στὴ συνέχεια τοὺς μαλάκωσε μὲ τὸ φόβο, πρόσθεσε καὶ τὸ λόγο γιὰ τὸν Χριστό. Καὶ ὄχι μόνο αὐτόν, ἀλλὰ καὶ ἐδῶ, ἀφοῦ μνημόνευσε τὸν Πατέρα, τότε τὸν πρόσθεσε. Καὶ τὴν ἀξία ὅμως τοῦ κηρύγματος ἐξυψώνει μ' αὐτά. Γιατὶ τὸ ἴδιο τὸ κήρυγμα, λέγει, διακηρύσσει αὐτά, ποὺ προκαταβολικὰ φανέρωσε ἡ φύση.

6. Εἶδες πῶς μὲ σύνεση ὁδήγησε αὐτοὺς καὶ τοὺς προσκάλεσε στὸ εὐαγγέλιο καὶ τὸ Χριστό, καὶ ἀπέδειξε, ὅτι τὰ ἀνθρώπινα δὲ σταματοῦν μέχρι ἐδῶ, ἀλλὰ προχωροῦν πιὸ πέρα; Αὐτὸ καὶ προηγουμένως τὸ ἔκανε, λέγοντας, «Μαζεύεις ἐναντίον σου θησαυροὺς ὀργῆς κατὰ τὴν ἡμέρα τῆς ὀργῆς», καὶ ἐδῶ πάλι, «Θὰ κρίνει ὁ Θεὸς τὶς ἀπόκρυφες πράξεις τῶν ἀνθρώπων». Ὁ καθένας λοιπὸν γνωρίζοντας τὴ συνείδησή του, καὶ ἀναλογιζόμενος τὰ ἁμαρτήματά του, ἂς ζητάει τὶς εὐθύνες μὲ ἀκρίβεια ἀπὸ τὸν ἑαυτό του, γιὰ νὰ μὴν κατακριθοῦμε τότε μαζὶ μὲ ὅλο

τακριθῶμεν μετὰ τῆς οἰκουμένης. Φοβερὸν γὰρ ἐκεῖνο τὸ δικαστήριον, φρικτὸν τὸ βῆμα, τρόμου γέμουσιν αἱ εὐθῦναι, πυρὸς ἕλκεται ποταμός «Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος;». Ἀναμνήσθητι γὰρ τῶν ἐν τῷ εὐαγγελίῳ λεγομένων, τῶν ἀγγέλων τῶν περιτρεχόντων, τοῦ νυμφῶνος τοῦ ἀποκλειομένου, τῶν λαμπάδων τῶν μὴ σβεννυμένων, τῶν δυνάμεων τῶν εἰς τὰς καμίνους ἑλκουσῶν. Κἀκεῖνο λόγισαι, ὅτι εἴ τινος ἡμῶν πρᾶγμα κρυπτὸν εἰς μέσον ἐνήχθη τήμερον ἐπὶ τῆς ἐκκλησίας μόνης, πῶς οὐκ ἂν ἀπολέσθαι καὶ τὴν γῆν αὐτῷ διαστῆναι ηὔξατο μᾶλλον, ἢ τοσούτους μάρτυρας τῆς κακίας σχεῖν;

Τί οὖν τότε πεισόμεθα, ὅταν ἐπὶ τῆς οἰκουμένης εἰς μέσον ἅπαντα φέρηται ἐν τοιούτῳ θεάτρῳ λαμπρῷ καὶ περιφανεῖ, καὶ τῶν γνωρίμων καὶ τῶν ἀγνώστων ἡμῖν ἅπαντα κατοπτευόντων; Ἀλλ' οἶμαι πόθεν ἀναγκάζομαι φοβεῖν ὑμᾶς; ἀπὸ τῆς τῶν ἀνθρώπων ὑπολήψεως, δέον ἀπὸ τοῦ φόβου τοῦ Θεοῦ, καὶ τῆς ἑαυτοῦ καταγνώσεως τοῦτο ποιεῖν. Τίνες γὰρ ἐσόμεθα, εἰπέ μοι, τότε, ὅταν δεθέντες, τῶν ὀδόντων βρυχόντων, εἰς τὸ ἐξώτερον ἀγώμεθα σκότος; μᾶλλον δὲ τί ποιήσομεν, ὃ πάντων ἐστὶ φοβερώτερον, ὅταν τῷ Θεῷ προσκρούσωμεν; Εἰ γάρ τις αἴσθησιν ἔχει καὶ νοῦν, ἤδη καὶ τὴν γέενναν ὑπέμεινεν, ὅταν ἐξ ὄψεως γένηται τοῦ Θεοῦ· ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ὀδυνᾷ, διὰ τοῦτο ἠπείλει πῦρ. Καὶ γὰρ ἐχρῆν, οὐχ ὅταν κολαζώμεθα, ἀλγεῖν, ἀλλ' ὅταν ἁμαρτάνωμεν.

Ἄκουσον γοῦν τοῦ Παύλου θρηνοῦντος καὶ ἀποδυρομένου ὑπὲρ ἁμαρτημάτων, ὧν οὐκ ἔμελλε δώσειν δίκην. «Οὐ γάρ εἰμι ἱκανός», φησί, «καλεῖσθαι ἀπόστολος, ὅτι ἐδίωξα τὴν Ἐκκλησίαν». Ἄκουσον γοῦν καὶ τοῦ Δαυὶδ τῆς μὲν κολάσεως ἀπηλλαγμένου, ἐπειδὴ δὲ ἐνόμισε τῷ Θεῷ προσκεκρουκέναι, τὴν τιμωρίαν καθ' ἑαυτοῦ καλοῦντος καὶ λέγοντος· «Γενέ-

τὸν κόσμο. Γιατὶ εἶναι φοβερὸ τὸ δικαστήριο ἐκεῖνο, φρικτὸ τὸ βῆμα, οἱ εὐθύνες εἶναι γεμάτες τρόμο, τρέχει ποταμὸς φωτιᾶς. «Ὁ ἀδελφὸς δὲν μπορεῖ νὰ σώσει, θὰ σώσει ὁ ξένος ἄνθρωπος;»[8]. Θυμήσου λοιπὸν αὐτὰ ποὺ λέγονται στὸ εὐαγγέλιο, τοὺς ἀγγέλους ποὺ τρέχουν γύρω-γύρω, τὸ νυμφώνα ποὺ ἀποκλείεται, τὶς λαμπάδες ποὺ δὲ σβήνουν, τὶς δυνάμεις ποὺ σύρουν στὰ καμίνια. Καὶ ἐκεῖνο νὰ σκεφθεῖς, ὅτι ἂν κάποιου ἀπὸ μᾶς φανερώθηκε σήμερα κάποιο κρυφὸ πράγμα μπροστὰ στὴν ἐκκλησία μόνο, πῶς δὲ θὰ εὐχόταν νὰ ἐξαφανισθεῖ μᾶλλον καὶ νὰ τὸν καταπιεῖ ἡ γῆ, παρὰ νὰ ἔχει τόσους μάρτυρες γιὰ τὴν κακία του;

Τί λοιπὸν θὰ πάθομε τότε, ὅταν θὰ παρουσιάζονται ὅλα μπροστὰ στὴν οἰκουμένη σὲ τέτοιο λαμπρὸ καὶ ἐπίσημο θέατρο, καὶ ἐνῶ γνωστοὶ καὶ ἄγνωστοί μας θὰ τὰ βλέπουν ὅλα καθαρά; Ἀλλ' ἀλοίμονο, ἀπὸ ποῦ ἀναγκάζομαι νὰ σᾶς φοβερίσω; ἀπὸ τὴν ὑπόληψη τῶν ἀνθρώπων, ἐνῶ πρέπει νὰ τὸ κάμω αὐτὸ ἀπὸ τὸ φόβο τοῦ Θεοῦ καὶ τῆς καταδίκης του. Ποιοὶ λοιπόν, πές μου, θὰ εἴμαστε τότε, ὅταν, ἐνῶ θὰ μᾶς δέσουν καὶ θὰ τρίζουν τὰ δόντια, θὰ μᾶς ὁδηγήσουν στὸ σκότος τὸ ἐξώτερο; ἢ καλύτερα, τί θὰ κάνουμε, πράγμα ποὺ εἶναι πιὸ φοβερὸ ἀπ' ὅλα, ὅταν θὰ ἔρθουμε σὲ σύγκρουση μὲ τὸ Θεό; Γιατί, ἐὰν κάποιος ἔχει αἴσθηση καὶ νοῦ, ἤδη ὑπέμεινε καὶ τὴ γέεννα, ὅταν θὰ παρουσιασθεῖ μπροστὰ στὸ Θεό· ἐπειδὴ ὅμως δὲν παθαίνει αὐτό, γι' αὐτὸ ἀπειλοῦσε μὲ τὴ φωτιὰ τῆς κόλασης. Γιατὶ πραγματικὰ ἔπρεπε νὰ ὑποφέρομε, ὄχι ὅταν τιμωρούμαστε, ἀλλ' ὅταν ἁμαρτάνομε.

Ἄκουσε λοιπὸν τὸν Παῦλο νὰ θρηνεῖ καὶ νὰ ὀδύρεται γι' ἁμαρτήματα, γιὰ τὰ ὁποῖα δὲν ἐπρόκειτο νὰ τιμωρηθεῖ. «Γιατὶ ἐγὼ δὲν εἶμαι ἄξιος», λέγει, «νὰ λέγομαι ἀπόστολος, ἐπειδὴ καταδίωξα τὴν Ἐκκλησία»[9]. Ἄκουσε ἐπίσης καὶ τὸ Δαυΐδ, ποὺ, ἐνῶ ἦταν ἀπαλλαγμένος βέβαια ἀπὸ τὴν κόλαση, ἐπειδὴ ὅμως νόμισε πὼς ἦρθε σὲ σύγκρουση μὲ τὸ Θεό, καλοῦσε τὴν τιμωρία ἐναντίον του

9. Α΄ Κορ. 15, 9.

8. Ψαλμ. 48, 8

σθω ἡ χείρ σου ἐν ἐμοί, καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου». Τὸ γὰρ προσκροῦσαι τῷ Θεῷ, τοῦ κολασθῆναι χαλεπώτερον. Νῦν δὲ οὕτως ἀθλίως διακείμεθα, ὡς εἰ μὴ γεέννης φόβος ἦν, μηδὲ ἂν ἑλέσθαι ταχέως ποιῆσαί τι καλόν. Διόπερ εἰ καὶ μηδενὸς ἕνεκεν ἑτέρου, τούτου γε ἕνεκεν γεέννης ἂν ἦμεν ἄξιοι, τὴν γέενναν μᾶλλον τοῦ Χριστοῦ φοβούμενοι. Ἀλλ' οὐχ ὁ μακάριος Παῦλος οὕτως, ἀλλ' ἀντιστρόφως. Ἐπειδὴ δὲ ἡμεῖς ἑτέρως, διὰ τοῦτο τῇ γεέννῃ καταδικαζόμεθα· ὡς εἴ γε τὸν Χριστὸν ἐφιλοῦμεν, ὡς φιλεῖν ἐχρῆν, ἔγνωμεν ἄν, ὅτι γεέννης χαλεπώτερον τὸ προσκροῦσαι τῷ φιλουμένῳ· ἐπειδὴ δὲ οὐ φιλοῦμεν, οὐκ ἴσμεν τῆς κολάσεως ταύτης τὸ μέγεθος. Καὶ τοῦτό ἐστιν, ὃ μάλιστα ὀδύρομαι καὶ θρηνῶ.

Καίτοι τί οὐκ ἐποίησεν ὁ Θεός, ὥστε φιληθῆναι παρ' ἡμῶν; τί δὲ οὐκ ἐμηχανήσατο; τί δὲ παρέλιπεν; Ὑβρίσαμεν αὐτὸν μηδὲν ἠδικηκότα, ἀλλὰ καὶ εὐεργετήσαντα μυρία καὶ ἀπόρρητα ἀγαθά, ἀπεστράφημεν καλοῦντα καὶ πανταχόθεν ἐφελκόμενον, καὶ οὐδὲ οὕτως ἡμᾶς ἐκόλασεν, ἀλλὰ προσέδραμεν αὐτός, καὶ κατέσχε φεύγοντας, καὶ ἀπετιναξάμεθα καὶ πρὸς τὸν διάβολον ἀπεπηδήσαμεν· καὶ οὐδὲ οὕτως ἀπέστη, ἀλλ' ἔπεμψε μυρίους παρακαλοῦντας πάλιν, προφήτας, ἀγγέλους, πατριάρχας· ἡμεῖς δὲ οὐ μόνον οὐκ ἐδεξάμεθα τὴν πρεσβείαν, ἀλλὰ καὶ ὑβρίσαμεν τοὺς ἐλθόντας. Ὁ δὲ οὐδὲ ἐπὶ τούτοις ἡμᾶς διέπτυσεν, ἀλλ' ὥσπερ οἱ σφοδροὶ τῶν ἐραστῶν τῶν καταφρονουμένων, περιῄει πᾶσιν ἐντυγχάνων, τῷ οὐρανῷ, τῇ γῇ, τῷ Ἱερεμίᾳ, τῷ Μιχαίᾳ, οὐχ ἵνα βαρήσῃ, ἀλλ' ἵνα ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογήσηται, καὶ μετὰ τῶν προφητῶν καὶ αὐτὸς προσῄει τοῖς ἀποστρεφο-

------

10. Β' Βασ. 24. 17

καὶ ἔλεγε· «Ἂς πέσει τὸ χέρι σου ἐναντίον μου καὶ ἐναντίον τοῦ οἴκου τοῦ πατέρα μου»[10]. Γιατὶ ἡ σύγκρουση πρὸς τὸ Θεὸ εἶναι πιὸ φοβερὴ ἀπὸ τὴν τιμωρία. Τώρα ὅμως συμπεριφερόμαστε τόσο ἄθλια, ὥστε ἂν δὲν ὑπῆρχε ὁ φόβος τῆς γέεννας, οὔτε θὰ προτιμούσαμε γρήγορα νὰ κάμουμε κάτι καλό. Γι' αὐτὸ ἀκριβῶς, ἂν καὶ γιὰ τίποτε ἄλλο, τουλάχιστο γι' αὐτὸ θὰ εἴμαστε ἄξιοι γιὰ τὴ γέεννα, ἐπειδὴ δηλαδὴ φοβόμαστε τὴ γέεννα περισσότερο ἀπὸ τὸ Χριστό. Ὅμως ὁ μακάριος Παῦλος δὲν συμπεριφερόταν ἔτσι, ἀλλ' ἀντίθετα. Καὶ ἐπειδὴ συμπεριφερόμαστε διαφορετικά, γι' αὐτὸ καταδικαζόμαστε μὲ τὴ γέεννα. Γιατὶ θὰ γνωρίζαμε, ἂν βέβαια ἀγαπούσαμε τὸ Χριστό, ὅπως ἔπρεπε νὰ τὸν ἀγαπᾶμε, ὅτι ἀπὸ τὴ γέεννα εἶναι πιὸ φοβερὴ ἡ σύγκρουση πρὸς αὐτὸν ποὺ ἀγαπᾶμε. Ἐπειδὴ ὅμως δὲν τὸν ἀγαπᾶμε, δὲ γνωρίζομε τὸ μέγεθος αὐτῆς τῆς κόλασης. Καὶ αὐτὸ εἶναι γιὰ τὸ ὁποῖο πρὸ πάντων ὀδύρομαι καὶ θρηνῶ.

Καὶ ὅμως τί δὲν ἔκαμε ὁ Θεὸς γιὰ νὰ τὸν ἀγαπήσομε; τί δὲν ἐπινόησε; τί εἶναι ἐκεῖνο ποὺ παρέλειψε; Τὸν περιφρονήσαμε, ἂν καὶ ὄχι μόνο δὲ μᾶς ἀδίκησε καθόλου, ἀλλὰ καὶ μᾶς εὐεργέτησε μὲ ἄπειρα καὶ ἀνέκφραστα ἀγαθά, τὸν ἀποστραφήκαμε, μολονότι μᾶς καλοῦσε καὶ ἀπὸ παντοῦ μᾶς τραβοῦσε πρὸς τὸ μέρος του, καὶ οὔτε ἔτσι μᾶς τιμώρησε, ἀλλ' ἔτρεξε αὐτὸς καὶ μᾶς συγκράτησε καθὼς φεύγαμε, καὶ τὸν ἀπορρίψαμε καὶ πήγαμε μὲ τὸ μέρος τοῦ διαβόλου. Καὶ οὔτε ἔτσι ἀπομακρύνθηκε, ἀλλ' ἔστειλε πάρα πολλοὺς νὰ μᾶς παρακαλέσουν πάλι, προφῆτες, ἀγγέλους, πατριάρχες. Ἐμεῖς ὅμως ὄχι μόνο δὲ δεχθήκαμε τὴν πρεσβεία, ἀλλὰ καὶ προσβάλαμε τοὺς ἀπεσταλμένους. Αὐτὸς ὅμως οὔτε γι' αὐτὰ μᾶς περιφρόνησε, ἀλλ' ὅπως ἀκριβῶς οἱ παράφοροι ἀπὸ τοὺς περιφρονημένους ἐραστές, ἔτσι καὶ αὐτὸς περιφερόταν γιὰ νὰ συναντήσει ὅλους, μὲ τὸν οὐρανό, μὲ τὴ γῆ, μὲ τὸν Ἰερεμία, μὲ τὸ Μιχαία, μὲ σκοπὸ ὄχι τὴν καταπίεση, ἀλλὰ γιὰ ν' ἀπολογηθεῖ γιὰ χάρη τῶν δικῶν του, καὶ μαζὶ μὲ τοὺς προφῆτες καὶ ὁ ἴδιος πλησίαζε ἐκείνους ποὺ τὸν ἀπο-

μένοις αὐτόν, εὐθύνας ἕτοιμος ὢν παρασχεῖν, καὶ εἰς τὸν λόγον ἀξιῶν καθεῖναι, καὶ πρὸς ἅπαντα κεκωφωμένους εἰς τὴν πρὸς αὐτὸν διάλεξιν ἕλκων. «Λαός γάρ μου», φησί, «τί ἐποίησά σοι; ἢ τί ἐλύπησά σε; ἀποκρίθητί μοι».

***Μετὰ** ταῦτα ἅπαντα ἀπεκτείναμεν τοὺς προφήτας, ἐλιθάσαμεν, μυρία ἕτερα εἰργασάμεθα κακά. **Τί** οὖν ἀντὶ τούτων; Οὐκέτι προφήτας, οὐκέτι ἀγγέλους, οὐκέτι πατριάρχας, ἀλλ' αὐτὸν ἔπεμψε τὸν Υἱόν. Ἀνηρέθη καὶ ὁ Υἱὸς ἐλθών, καὶ οὐδὲ οὕτως ἔσβεσε τὸν ἔρωτα, ἀλλ' ἀνῆψε μειζόνως, καὶ ἐπιμένει παρακαλῶν καὶ μετὰ τὸ τὸν Υἱὸν ἀναιρεθῆναι τὸν αὐτοῦ, καὶ δεόμενος, καὶ πάντα ποιῶν ὑπὲρ τοῦ πρὸς αὐτὸν ἐπιστρέψαι. **Καὶ** βοᾷ Παῦλος λέγων· «Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν· καταλλάγητε τῷ Θεῷ».*

*7. Ἀλλ' οὐδὲν τούτων ἡμᾶς κατήλλαξεν. Ὁ δὲ οὐδὲ οὕτως ἡμᾶς κατέλιπεν, ἀλλὰ μένει καὶ γέενναν ἀπειλῶν, καὶ βασιλείαν ἐπαγγελλόμενος, ἵνα κἂν οὕτως ἡμᾶς ἐφελκύσηται· ἡμεῖς δὲ ἀναλγήτως ἔτι διακείμεθα. **Τί** ταύτης τῆς θηριωδίας χεῖρον γένοιτ' ἄν; **Εἰ** γὰρ ἄνθρωπος ταῦτα ἐποίησεν, οὐκ ἂν αὐτοῦ πολλάκις ἐγενόμεθα δοῦλοι; τὸν δὲ Θεὸν ποιοῦντα ἀποστρεφόμεθα; Ὢ τῆς ῥαθυμίας, ὢ τῆς ἀγνωμοσύνης· οἱ διαπαντὸς μὲν ἐν ἁμαρτίαις καὶ πονηρίαις ζῶμεν, ἂν δέ ποτέ τι καὶ ποιήσωμεν μικρὸν ἀγαθόν, κατὰ τοὺς ἀγνώμονας τῶν οἰκετῶν μετὰ πολλῆς τῆς καπηλείας ἐξετάζομεν, καὶ ἀκριβολογούμεθα περὶ τῆς ἀντιδόσεως, εἴ γε ἔχει μισθόν τινα τὸ γινόμενον. **Καὶ** μὴν μείζων ὁ μισθός, ἐὰν μὴ ἐπ' ἐλπίδι μισθῶν ποιῇς· τὸ γὰρ ταῦτα λέγειν καὶ ἀκριβολογεῖσθαι, μισθωτοῦ μᾶλλον ῥήματά ἐστιν, ἢ εὐγνώμονος οἰκέτου. **Δεῖ** γὰρ πάντα διὰ τὸν Χριστὸν ποιεῖν, οὐ διὰ τὸν μισθόν· καὶ γὰρ καὶ γέενναν διὰ τοῦτο ἠπεί-*

------

11. Μιχ. 6, 3 12. Β' Κορ. 5, 20

στρέφονταν, ἕτοιμος νὰ λογοδοτήσει καὶ ἀξιώνοντας ν' ἀπευθύνει πρὸς αὐτοὺς τὸ λόγο του, προσελκύοντας στὴ διδασκαλία του ἐκείνους ποὺ ἦταν κουφοὶ σὲ ὅλα. Γιατὶ λέγει· «Λαέ μου, τί σοῦ ἔκανα; ἢ σὲ τί σὲ λύπησα; ἀπάντησέ μου»[11].

Ὕστερα ἀπ' ὅλα αὐτὰ θανατώσαμε τοὺς προφῆτες, τοὺς λιθοβολήσαμε, τοὺς προξενήσαμε ἄπειρα ἄλλα κακά. Τί λοιπὸν ἔκαμε γι' αὐτά; Δὲν ἔστειλε πιὰ προφῆτες, οὔτε ἀγγέλους, οὔτε πατριάρχες, ἀλλὰ τὸν ἴδιο τὸν Υἱό του. Καὶ ὁ Υἱός, ὅταν ἦρθε, θανατώθηκε καὶ οὔτε ἔτσι ἔσβησε τὴν ἀγάπη του, ἀλλὰ τὴν ἄναψε περισσότερο, καὶ ἐξακολουθεῖ νὰ προσκαλεῖ καὶ μετὰ τὴ θανάτωση τοῦ Υἱοῦ του καὶ νὰ παρακαλεῖ καὶ νὰ κάνει τὰ πάντα γιὰ νὰ ἐπιστρέψομε σ' αὐτόν. Καὶ φωνάζει ὁ Παῦλος λέγοντας· «Ἐνεργοῦμε λοιπὸν σὰν πρεσβευτὲς τοῦ Χριστοῦ, ἐπειδὴ ὁ Θεὸς παρακαλεῖ μὲ μᾶς. Συμφιλιωθεῖτε μὲ τὸ Θεό»[12].

7. Ἀλλὰ τίποτε ἀπ' αὐτὰ δὲ μᾶς συμφιλίωσε. Ὁ Θεὸς ὅμως οὔτε ἔτσι μᾶς ἐγκατέλειψε, ἀλλὰ ἐπιμένει καὶ μᾶς ἀπειλεῖ μὲ τὴ γέεννα καὶ μᾶς ὑπόσχεται τὴ βασιλεία τῶν οὐρανῶν, γιὰ νὰ μᾶς προσελκύσει τουλάχιστο ἔτσι. Ἐμεῖς ὅμως συμπεριφερόμαστε ἀκόμη μὲ ἀναισθησία. Τί θὰ μποροῦσε νὰ ὑπάρξει χειρότερο ἀπ' αὐτὴ τὴ θηριωδία; Γιατί, ἂν τὰ ἔκανε ἄνθρωπος αὐτά, δὲ θὰ γινόμαστε πολλὲς φορὲς δοῦλοι του; ἐνῶ τὸ Θεὸ ποὺ τὰ κάνει, τὸν ἀποστρεφόμαστε; Πώ, πὼ ἀδιαφορία! πώ, πώ, ἀχαριστία! Ζοῦμε πάντοτε μέσα στὶς ἁμαρτίες καὶ τὶς κακίες καὶ ἐὰν κάποτε συμβεῖ καὶ κάνομε κάποιο μικρὸ ἀγαθό, ὅπως οἱ ἀχάριστοι ὑπηρέτες, τὸ κρίνουμε μὲ πολλὴ ἐμπορικότητα καὶ ὑπολογίζομε μὲ ἀκρίβεια τὴν ἀνταπόδοση, ἐφόσον βέβαια αὐτὸ ποὺ ἔγινε ἔχει κάποια ἀμοιβή. Ἀλλ' ὅμως εἶναι μεγαλύτερη ἡ ἀμοιβή, ἐὰν ἐνεργεῖς χωρὶς νὰ ἐλπίζεις γιὰ ἀμοιβή. Γιατὶ τὰ λόγια αὐτὰ καὶ οἱ ὑπολογισμοί, εἶναι λόγια ἀνθρώπου ποὺ ἐργάζεται περισσότερο γιὰ ἀμοιβή, παρὰ λόγια εὐγνώμονα ὑπηρέτη. Πρέπει λοιπὸν νὰ τὰ κάνομε ὅλα γιὰ τὸ Χριστό, ὄχι γιὰ τὴν ἀμοιβή. Γιατὶ πραγματικὰ καὶ τὴ γέεννα γι' αὐτὸ τὴν ἀπείλησε καὶ τὴ βασιλεία τῶν

λησε, καὶ βασιλείαν ἐπηγγείλατο, ἵνα φιλῆται παρ' ἡμῶν.

Φιλήσωμεν τοίνυν αὐτόν, ὡς φιλεῖν χρή· τοῦτο γὰρ ὁ μέγας μισθός, τοῦτο βασιλεία καὶ ἡδονή, τοῦτο τρυφὴ καὶ δόξα καὶ τιμή, τοῦτο φῶς, τοῦτο ἡ μυριομακαριότης, ἣν οὐ λόγος παραστῆσαι δύναται, οὐ νοῦς καταλαβεῖν. Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς εἰς τούτους παρήχθην τοὺς λόγους, ἀνθρώποις μηδὲ ἀρχῆς καὶ δόξης καταφρονοῦσι τῆς παρούσης διὰ τὸν Χριστὸν βασιλείας κελεύων καταφρονεῖν· καίτοι γε οἱ μεγάλοι καὶ γενναῖοι ἄνδρες ἐκεῖνοι καὶ εἰς τοῦτο τὸ μέτρον τῆς ἀγάπης ἔφθασαν. Ἄκουσον γοῦν πῶς ὁ Πέτρος περὶ αὐτοῦ περικαίεται, καὶ ψυχῆς καὶ ζωῆς πάντων αὐτὸν προτιθείς· καὶ ἡνίκα δὲ αὐτὸν ἠρνήσατο, οὐ διὰ τὴν κόλασιν ἐπένθει, ἀλλ' ἐπειδὴ τὸν ποθούμενον ἠρνήσατο, ὃ πάσης κολάσεως αὐτῷ πικρότερον ἦν. Καὶ ταῦτα ἅπαντα πρὸ τῆς τοῦ Πνεύματος χάριτος ἐπεδείκνυτο, καὶ συνεχῶς ἐπέκειτο λέγων· «Ποῦ ὑπάγεις;» καὶ πρὸ τούτου, «Πρὸς τίνα ἐπελευσόμεθα;» καὶ πάλιν, «Ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ». Πάντα γὰρ αὐτὸς ἦν αὐτοῖς, καὶ οὔτε οὐρανὸν οὔτε βασιλείαν οὐρανῶν πρὸ τοῦ ποθουμένου ἦγον. Σὺ γάρ μοι πάντα ἐκεῖνα, φησί.

Καὶ τί θαυμάζεις, εἰ Πέτρος οὕτω διέκειτο; Καὶ γὰρ ὁ προφήτης ἄκουσον τί φησι· «Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ; καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐ τῶν ἄνω, οὐ τῶν κάτω οὐδενὸς ἐφίεμαι ἑτέρου, ἀλλ' ἢ σου μόνου. Τοῦτό ἐστιν ἔρως, τοῦτο φιλία· ἂν οὕτω φιλήσωμεν, οὐ τὰ παρόντα μόνον, ἀλλ' οὐδὲ τὰ μέλλοντα πρὸς τὸ φίλτρον ἐκεῖνο ἡγησόμεθά τι εἶναι, καὶ τὴν βασιλείαν ἐντεῦθεν καρπωσόμεθα, ἐντρυφῶντες αὐτοῦ τῇ ἀγάπῃ. Καὶ πῶς ἔσται τοῦτο, φησίν; Εἰ ἐννοήσομεν

---

13. Ἰω. 13, 36 — 14. Ἰω. 6, 68

15. Βλ. Λουκᾶ 22, 33 — 16. Ψαλμ. 72, 25

οὐρανῶν γι' αὐτὸ τὴν ὑποσχέθηκε, γιὰ νὰ ἀγαπιέται δηλαδὴ ἀπὸ μᾶς.

Ἄς τὸν ἀγαπήσουμε λοιπόν, ὅπως πρέπει νὰ τὸν ἀγαπᾶμε. Γιατὶ αὐτὸ εἶναι ἡ μεγάλη ἀμοιβή, αὐτὸ ἡ βασιλεία καὶ ἡ εὐχαρίστηση, αὐτὸ ἀπόλαυση καὶ δόξα καὶ τιμή, αὐτὸ φῶς, αὐτὸ ἄπειρη μακαριότητα, ποὺ οὔτε ὁ λόγος μπορεῖ νὰ παραστήσει, οὔτε ὁ νοῦς νὰ κατανοήσει. Ἀλλ' ὅμως δὲ γνωρίζω πῶς παρασύρθηκα σ' αὐτὰ τὰ λόγια, προτρέποντας ἀνθρώπους, ποὺ δὲν περιφρονοῦν οὔτε τὴν παροῦσα ἐξουσία καὶ δόξα, νὰ περιφρονοῦν γιὰ χάρη τοῦ Χριστοῦ τὴ βασιλεία, μολονότι βέβαια οἱ μεγάλοι καὶ γενναῖοι ἐκεῖνοι ἄνδρες ἔφθασαν καὶ σ' αὐτὸ τὸ μέτρο τῆς ἀγάπης. Ἄκουσε λοιπὸν πῶς ὁ Πέτρος φλέγεται ἀπὸ ἀγάπη πρὸς αὐτόν, προτιμώντας τὸ Χριστὸ καὶ ἀπὸ τὴν ψυχή του καὶ τὴ ζωή του καὶ ἀπ' ὅλα. Ἀλλὰ καὶ ὅταν τὸν ἀρνήθηκε, δὲν ἔκλαψε γιὰ τὴν κόλαση, ἀλλὰ γιατὶ ἀρνήθηκε ἐκεῖνον ποὺ ἀγαποῦσε πολύ, πράγμα ποὺ τοῦ ἦταν πιὸ πικρὸ ἀπὸ κάθε κόλαση. Καὶ ὅλα αὐτὰ τὰ ἔδειχνε πρὶν ἀπὸ τὴ χάρη τοῦ ἁγίου Πνεύματος καὶ συνέχεια ἐπέμενε νὰ ἐρωτᾶ, λέγοντας· «Ποῦ πηγαίνεις;»[13] καὶ πρὶν ἀπ' αὐτό, «Σὲ ποιὸν νὰ πᾶμε;»[14]· καὶ πάλι, «Θὰ σὲ ἀκολουθήσω ὅπου καὶ ἂν πᾶς»[15]. Γιατὶ αὐτὸς ἦταν τὰ πάντα γι' αὐτούς, καὶ δὲ λογάριαζαν οὔτε τὸν οὐρανό, οὔτε τὴ βασιλεία τῶν οὐρανῶν μπροστὰ σ' αὐτὸν ποὺ ἀγαποῦσαν. Γιατὶ ἐσὺ εἶσαι, λέγει, γιὰ μένα ὅλα αὐτά.

Καὶ γιατί θαυμάζεις, ἐὰν ὁ Πέτρος συμπεριφερόταν ἔτσι; Ἄκουσε λοιπὸν καὶ τὸν προφήτη τὶ λέγει· «Γιατί τί ὑπάρχει γιὰ μένα στὸν οὐρανό; καὶ τί ἄλλο θὰ ἐπιθυμοῦσα πάνω στὴ γῆ ἐκτὸς ἀπὸ σένα;»[16]. Ἐκεῖνο ποὺ ἐννοεῖ, εἶναι τὸ ἑξῆς· οὔτε ἀπὸ τὰ οὐράνια, οὔτε ἀπὸ τὰ ἐπίγεια ἐπιθυμῶ τίποτε ἄλλο, παρὰ μόνο ἐσένα. Αὐτὸ εἶναι ἔρωτας, αὐτὸ εἶναι ἀγάπη. Ἐὰν ἀγαπήσουμε ἔτσι, ὄχι μόνο τὰ παρόντα, ἀλλ' οὔτε καὶ τὰ μελλοντικὰ θὰ νομίσουμε πῶς εἶναι κάτι σὲ σύγκριση μὲ τὴν ἀγάπη αὐτή, καὶ τὴ βασιλεία τῶν οὐρανῶν ἀπὸ ἐδῶ θὰ τὴν κερδίσουμε, ἀπολαμβάνοντας τὴν ἀγάπη του. Καὶ πῶς, θὰ πεῖ κάποιος, θὰ

ποσάκις αὐτὸν ὑβρίζομεν μετὰ μυρία ἀγαθά, αὐτὸς δὲ ἕστηκε παρακαλῶν, ὁσάκις αὐτὸν παρατρέχομεν, αὐτὸς δὲ οὐ παρορᾷ, ἀλλ' ἐπιτρέχει καὶ ἐφέλκεται καὶ πρὸς ἑαυτὸν ἐπισπᾶται. Ἂν γὰρ ταῦτα καὶ τὰ τοιαῦτα λογισώμεθα, δυνησόμεθα τὸν πόθον ἀνάψαι τοῦτον.

Εἰ γὰρ ἄνθρωπος εὐτελὴς ἦν ὁ οὕτω φιλῶν, βασιλεὺς δὲ ὁ οὕτω φιλούμενος, οὐκ ἂν ᾐδέσθη τῷ τοῦ ἔρωτος μεγέθει; Σφόδρα μὲν οὖν. Ὅταν δὲ τοὐναντίον τι ᾖ, καὶ ἄφατον μὲν ἐκεῖνο τὸ κάλλος καὶ ἡ δόξα καὶ ὁ πλοῦτος τοῦ φιλοῦντος ἡμᾶς, ἡμῶν δὲ πολλὴ ἡ εὐτέλεια, πῶς οὐχὶ μυρίας ἐσμὲν κολάσεως ἄξιοι οἱ οὕτως εὐτελεῖς καὶ ἀπερριμμένοι, παρὰ τοιούτου μεγάλου καὶ θαυμαστοῦ φιλούμενοι μεθ' ὑπερβολῆς ἁπάσης, καὶ καταστρηνιῶντες αὐτοῦ τῆς ἀγάπης; Οὐδενὸς δεῖται ἐκεῖνος τῶν ἡμετέρων, καὶ οὐδε οὕτω παύεται ἡμῶν ἐρῶν· ἡμεῖς δὲ σφόδρα δεόμεθα τῶν αὐτοῦ, καὶ οὐδὲ οὕτως ἀντεχόμεθα αὐτοῦ τῆς ἀγάπης, ἀλλὰ χρήματα αὐτοῦ προτιμῶμεν, καὶ φιλίας ἀνθρώπων, καὶ σώματος ἄνεσιν, καὶ δυναστείαν καὶ δόξαν, τοῦ μηδὲν ἡμῶν προτιμῶντος; Ἕνα γὰρ εἶχεν Υἱὸν μονογενῆ καὶ γνήσιον, καὶ οὐδὲ τούτου ἐφείσατο δι' ἡμᾶς· ἡμεῖς δὲ αὐτοῦ πολλὰ προτιμῶμεν.

Ἆρ' οὖν οὐκ εἰκότως γέεννα καὶ κόλασις, εἰ καὶ διπλῆ καὶ τριπλῆ ἦν καὶ μυριάκις τοσαύτη; Τί γὰρ ἂν ἔχοιμεν εἰπεῖν, ὅταν τοῦ Σατανᾶ τὰ ἐπιτάγματα προτιμῶμεν τῶν τοῦ Χριστοῦ νόμων, καὶ τῆς σωτηρίας τῆς ἡμετέρας ἀφειδῶμεν, ἵνα προτιμήσωμεν τὰ τῆς πονηρίας ἔργα τοῦ πάντα ὑπὲρ ἡμῶν παθόντος; Καὶ ποίας συγγνώμης τὰ τοιαῦτα ἄξια; ποίας ἀπολογίας; Οὐδεμιᾶς.

γίνει αὐτό; Ἐὰν κατανοήσομε πόσες φορὲς τὸν περιφρονοῦμε ὕστερα ἀπὸ τὰ ἄπειρα ἀγαθά, ἐνῶ αὐτὸς ἐξακολουθεῖ νὰ μᾶς παρακαλεῖ, πόσες φορὲς τὸν παραβλέπομε, ἐνῶ αὐτὸς δὲ μᾶς παραβλέπει, ἀλλὰ τρέχει καὶ μᾶς προσελκύει καὶ μᾶς ὁδηγεῖ κοντά του. Ἐὰν λοιπὸν σκεφθοῦμε αὐτὰ καὶ τὰ παρόμοια, θὰ μπορέσουμε ν' ἀνάψομε τὸν πόθο αὐτόν.

Γιατὶ ἂν ἦταν ἄνθρωπος ἀσήμαντος ἐκεῖνος ποὺ ἀγαποῦσε ἔτσι, καὶ βασιλιὰς ἐκεῖνος ποὺ τόσο ἀγαπιόταν, δὲ θὰ σεβόταν τὸ μέγεθος τοῦ ἔρωτα; Πάρα πολὺ βέβαια. Ὅταν ὅμως συμβαίνει κάτι τὸ ἀντίθετο, καὶ εἶναι ἀνέκφραστη ἐκείνη ἡ ὀμορφιὰ καὶ ἡ δόξα καὶ ὁ πλοῦτος ἐκείνου ποὺ μᾶς ἀγαπᾶ, ἐνῶ εἶναι μεγάλη ἡ δική μας εὐτέλεια, πῶς δὲν εἴμαστε ἄξιοι γιὰ πάρα πολὺ μεγάλη κόλαση ἐμεῖς, ποὺ εἴμαστε τόσο τιποτένιοι καὶ παραπεταμένοι ὅταν ἀγαπιόμαστε μὲ ὅλη τὴ δύναμή του, ἀπὸ ἕνα τέτοιο μεγάλο καὶ θαυμαστό, καὶ ἀδιαφοροῦμε γιὰ τὴν ἀγάπη του; Ἐκεῖνος δὲν ἔχει καμιὰ ἀνάγκη ἀπὸ τὰ δικά μας, καὶ οὔτε ἔτσι σταματᾶ νὰ μᾶς ἀγαπάει. Ἐμεῖς ὅμως ἔχουμε μεγάλη ἀνάγκη ἀπὸ τὰ δικά του, καὶ οὔτε ἔτσι δεχόμαστε τὴν ἀγάπη του, ἀλλὰ προτιμοῦμε τὰ χρήματα ἀντὶ γι' αὐτόν, τὶς φιλίες τῶν ἀνθρώπων, τὴν ἄνεση τοῦ σώματος, τὴν ἐξουσία καὶ τὴ δόξα, ἐνῶ αὐτὸς δὲν προτιμάει τίποτε ἄλλο, παρὰ μόνο ἐμᾶς; Γιατὶ ἕναν Υἱὸ εἶχε μονογενὴ καὶ γνήσιο, καὶ οὔτε αὐτὸν λυπήθηκε γιὰ χάρη μας. Ἐμεῖς ὅμως προτιμοῦμε πολλὰ ἄλλα πράγματα, ἀντὶ νὰ προτιμοῦμε αὐτόν.

Ἄραγε λοιπὸν δὲν ὑπάρχει δικαιολογημένα γέεννα καὶ κόλαση, καὶ ἂν ἀκόμη ἦταν διπλὴ καὶ τριπλὴ καὶ ἄπειρες φορὲς τόσο μεγάλη; Γιατί τί θὰ μπορούσαμε νὰ ποῦμε, ὅταν προτιμοῦμε τὶς ἐντολὲς τοῦ Σατανᾶ ἀντὶ γιὰ τοὺς νόμους τοῦ Χριστοῦ, καὶ ὅταν ἀδιαφοροῦμε γιὰ τὴ σωτηρία μας, γιὰ νὰ προτιμήσουμε τὰ ἔργα τῆς κακίας ἀπὸ ἐκεῖνον ποὺ ἔπαθε τὰ πάντα γιὰ χάρη μας; Καὶ ποιὰ συγγνώμη ἀξίζουν αὐτά; ποιὰ δικαιολογία; Καμιά.

Στῶμεν οὖν λοιπὸν μὴ κατὰ κρημνῶν φερόμενοι, καὶ πάντα ἀναλογισάμενοι ταῦτα, δόξαν ἀναπέμψωμεν αὐτῷ διὰ τῶν ἔργων· οὐ γὰρ ἀρκεῖ διὰ τῶν ρημάτων· ἵνα καὶ τῆς δόξης ἀπολαύσωμεν τῆς παρ' αὐτοῦ, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

Ἄς σταματήσομε λοιπὸν στὸ ἑξῆς νὰ βαδίζομε πρὸς τοὺς γκρεμούς, καὶ ἂς συνέλθομε καί, ἀφοῦ ἀναλογισθοῦμε ὅλα αὐτά, ἂς ἀναπέμψομε δόξα σ' αὐτὸν μὲ τὰ ἔργα μας, γιατὶ δὲν εἶναι ἀρκετὴ ἡ δόξα μὲ τὰ λόγια, γιὰ ν' ἀπολαύσουμε καὶ τὴ δική του δόξα, τὴν ὁποία εὔχομαι νὰ ἐπιτύχουμε ὅλοι μας, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ζ΄
(Ρωμ. 2, 17 - 3, 8)

«Ἴδε, σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν Θεῷ, καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα, κατηχούμενος ἐκ τοῦ νόμου».

1. Εἰπών, ὅτι οὐδὲν λείπει τῷ Ἕλληνι πρὸς τὸ σωθῆναι, ἐὰν τοῦ νόμου ᾖ ποιητής, καὶ τὴν θαυμαστὴν σύγκρισιν ποιησάμενος ἐκείνην, τίθησι λοιπὸν καὶ τὰ σεμνὰ τῶν Ἰουδαίων, ἀφ' ὧν κατὰ τῶν Ἑλλήνων ἐφρόνουν. Καὶ πρῶτον αὐτὸ τὸ ὄνομα ὃ σφόδρα σεμνὸν ἦν, ὥσπερ νῦν ὁ χριστιανισμός· καὶ γὰρ ἀπὸ τῆς προσηγορίας πολλὴ ἦν ἡ διαφορὰ καὶ τότε· διὸ καὶ ἐντεῦθεν ἄρχεται. Καὶ ὅρα πῶς αὐτὸ καθαιρεῖ. Οὐ γὰρ εἶπε, σὺ Ἰουδαῖος εἶ, ἀλλ', «Ἐπονομάζῃ, καὶ καυχᾶσαι ἐν Θεῷ»· τουτέστιν, ὡς φιληθεὶς παρ' αὐτοῦ, καὶ προτιμηθεὶς τῶν ἄλλων ἀνθρώπων. Ἐνταῦθα δέ μοι ἠρέμα δοκεῖ εἰς ἀπόνοιάν τε αὐτοὺς σκώπτειν, καὶ εἰς πολλὴν τὴν δοξομανίαν, ὅτι τῷ δώρῳ τούτῳ οὐκ εἰς τὴν σωτηρίαν τὴν ἑαυτῶν, ἀλλ' εἰς τὸ τῶν ἄλλων κατεξανίστασθαι καὶ ὑπερορᾶν κατεκέχρηντο.

Καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα». Καὶ μὴν καὶ τοῦτο ἐλάττωμα χωρὶς ἔργου· ἀλλ' ὅμως ἐδόκει πλεονέκτημα εἶναι· διὸ καὶ μετὰ ἀκριβείας αὐτὸ τίθησιν. Οὐ γὰρ εἶπε, πράττεις, ἀλλὰ «Γινώσκεις καὶ δοκιμάζεις», οὐ μετέρχῃ καὶ ποιεῖς.

ΟΜΙΛΙΑ Ζ'
(Ρωμ. 2, 17 - 3, 8)

«Νά, ἐσύ ὀνομάζεσαι Ἰουδαῖος, στηρίζεσαι στό νόμο καί καυχιέσαι στό Θεό, γνωρίζεις τό θέλημά του καί ξεχωρίζεις τίς διαφορές, γιατί διδάσκεσαι ἀπό τό νόμο».

1. Ἀφοῦ εἶπε, ὅτι τίποτε δέ λείπει στόν Ἕλληνα γιά τή σωτηρία του, ἐάν ἐκτελεῖ τό νόμο, καί ἀφοῦ ἔκανε ἐκείνη τή θαυμαστή σύγκριση, ἀναφέρει στή συνέχεια καί τά σεμνά τῶν Ἰουδαίων, τά ὁποῖα τούς ἔκαναν νά σκέπτονται ἐναντίον τῶν Ἑλλήνων. Καί πρῶτα τό ἴδιο τό ὄνομα, πού ἦταν πάρα πολύ σπουδαῖο, ὅπως ἀκριβῶς τώρα ὁ χριστιανισμός. Γιατί πραγματικά ἦταν μεγάλη ἡ διαφορά ἀπό τήν ὀνομασία καί τότε. Γι' αὐτό καί ἀπό ἐδῶ ἀρχίζει. Καί πρόσεχε πῶς τό καταργεῖ αὐτό. Γιατί δέν εἶπε, ἐσύ εἶσαι Ἰουδαῖος, ἀλλά, «Ὀνομάζεσαι καί καυσιέσαι στό Θεό». Δηλαδή ἐπειδή ἀγαπήθηκες ἀπ' αὐτόν καί προτιμήθηκες ἀπό τούς ἄλλους ἀνθρώπους. Ἐδῶ ὅμως μοῦ φαίνεται πώς τούς περιπαίζει ἤρεμα γιά τήν παραφροσύνη καί τή μεγάλη τους φιλοδοξία, ἐπειδή εἶχαν χρησιμοποιήσει τό δῶρο αὐτό ὄχι γιά τή δική τους σωτηρία, ἀλλά στό νά ξεσηκώνονται ἐναντίον τῶν ἄλλων καί νά τούς περιφρονοῦν.

«Καί γνωρίζεις τό θέλημα τοῦ Θεοῦ καί ξεχωρίζεις τίς διαφορές». Βέβαια καί αὐτό εἶναι ἐλάττωμα χωρίς ἔργο, ἀλλ' ὅμως φαινόταν πώς εἶναι πλεονέκτημα. Γι' αὐτό καί τό ἀναφέρει μέ ἀκρίβεια. Γιατί δέν εἶπε, πράττεις, ἀλλά «Γνωρίζεις καί ξεχωρίζεις», καί ὄχι ἐνεργεῖς καί

«Πέπονθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν». Πάλιν ἐνταῦθα οὐκ εἶπεν, ὅτι εἶ ὁδηγὸς τυφλῶν, ἀλλά, «Πέπονθας», οὕτω κομπάζεις, φησί· πολλὴ γὰρ ἦν ἡ ἀπόνοια τῶν Ἰουδαίων. Διὸ καὶ σχεδὸν αὐτὰ φθέγγεται τὰ ῥήματα, ἅπερ ἐκεῖνοι κομπάζοντες ἔλεγον. Ὅρα γοῦν ἐν τοῖς Εὐαγγελίοις τί λέγουσιν «Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς;» καὶ μέγα ἐφρόνουν κατὰ πάντων. Ὅπερ ἐλέγχων ὁ Παῦλος ἐπέμενε, τούτους μὲν ἐπαίρων, ἐκείνους δὲ καθαιρῶν, ἵνα οὕτω μᾶλλον αὐτῶν καθάψηται, καὶ βαρυτέραν ποιήσῃ τὴν κατηγορίαν.

Διὸ καὶ πρόεισιν αὔξων τὸ τοιοῦτο, καὶ πλεονάζων τῷ διαφόρως ἀπαγγέλλειν. «Πέπονθας γὰρ σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ». Οὐκ εἶπε πάλιν, ἐν τῷ συνειδότι καὶ ἐν ταῖς πράξεσι καὶ ἐν τοῖς κατορθώμασιν, ἀλλ', «Ἐν τῷ νόμῳ». Καὶ ταῦτα εἰπών, ὅπερ καὶ ἐπὶ τῶν ἐθνικῶν ἐποίησε, τοῦτο καὶ ἐνταῦθα. Ὥσπερ γὰρ ἐκεῖ φησιν, «Ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις» οὕτω καὶ ἐνταῦθα λέγει, «Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;». Ἀλλ' ἐκεῖ μὲν ἀποτομώτερον, ἐνταῦθα δὲ ἡμερώτερον κέχρηται τῷ λόγῳ. Οὐ γὰρ εἶπε, καὶ μὴν διὰ τοῦτο μείζονος εἶ κολάσεως ἄξιος, ὅτι τοσαῦτα ἐγχειρισθείς, οὐδενὶ τούτων εἰς δέον κέχρησαι· ἀλλὰ κατ' ἐρώτησιν προάγει τὸν λόγον, ἐντρέπων καὶ λέγων· «Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;».

Σκόπει δέ μοι καὶ ἑτέρωθεν τοῦ Παύλου τὴν σύνεσιν. Τὰ γὰρ πλεονεκτήματα τίθησι τῶν Ἰουδαίων ταῦτα, ἅπερ οὐ τῆς αὐτῶν σπουδῆς ἦν, ἀλλὰ τῆς ἄνωθεν δωρεᾶς, καὶ δείκνυσιν, οὐ μόνον περιττὰ ὄντα

------

1. Ἰω. 9, 34
2. Ρωμ. 2, 1

κάνεις. «Καὶ ἔχεις γιὰ τὸν ἑαυτό σου τὴν πεποίθηση, πὼς εἶσαι ὁδηγὸς τυφλῶν». Πάλι ἐδῶ δὲν εἶπε, πὼς εἶσαι ὁδηγὸς τυφλῶν, ἀλλά, «Ἔχεις τὴν πεποίθηση»· ἔτσι καυχιέσαι, λέγει. Γιατὶ ἦταν μεγάλη ἡ παραφροσύνη τῶν Ἰουδαίων. Γι᾿ αὐτὸ καὶ λέγει σχεδὸν τὰ ἴδια λόγια, ποὺ μὲ ὑπερηφάνεια ἔλεγαν ἐκεῖνοι. Πρόσεχε λοιπὸν στὰ εὐαγγέλια τί λέγουν· «Ἐσὺ γεννήθηκες ὁλόκληρος βουτηγμένος στὴν ἁμαρτία, καὶ ἐσὺ διδάσκεις ἐμᾶς;»[1] καὶ ὑπερηφανεύονταν ἐναντίον ὅλων. Αὐτὸ ἀκριβῶς ἐπέμενε νὰ ἐλέγχει ὁ Παῦλος, ἐξυψώνοντας αὐτοὺς καὶ μειώνοντας ἐκείνους, ὥστε ἔτσι νὰ τοὺς ψέξει περισσότερο καὶ νὰ κάμει βαρύτερη τὴν κατηγορία.

Γι᾿ αὐτὸ καὶ προχωρώντας τὸ αὐξάνει αὐτὸ καὶ τὸ μεγαλώνει μὲ τὸ νὰ τὸ πεῖ διαφορετικά. Ἔχεις τὴν πεποίθηση λοιπὸν γιὰ τὸν ἑαυτό σου, πὼς εἶσαι ὁδηγὸς τυφλῶν, φῶς ἐκείνων ποὺ βρίσκονται στὸ σκοτάδι, παιδαγωγὸς τῶν ἀνόητων, διδάσκαλος τῶν νηπίων, ἔχοντας τὴν ἀκριβὴ γνώση καὶ τὴν ἀλήθεια ποὺ βρίσκεται μέσα στὸ νόμο». Δὲν εἶπε πάλι, στὴ συνείδηση καὶ στὶς πράξεις καὶ στὰ κατορθώματα, ἀλλά, «Στὸ νόμο». Καὶ ἀφοῦ εἶπε αὐτά, ἐκεῖνο ποὺ ἔκαμε καὶ στὴν περίπτωση τῶν ἐθνικῶν, τὸ ἔκαμε καὶ ἐδῶ. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖ λέγει, «Γιατί μ᾿ αὐτὸ ποὺ κρίνεις τὸν ἄλλο, καταδικάζεις τὸν ἑαυτό σου»[2], ἔτσι καὶ ἐδῶ λέγει, «Ἐσὺ λοιπὸν ποὺ διδάσκεις τὸν ἄλλο, δὲ διδάσκεις τὸν ἑαυτό σου;». Ἐκεῖ ὅμως χρησιμοποιεῖ πιὸ ἀπότομα τὸ λόγο, ἐνῶ ἐδῶ πιὸ ἥμερα. Γιατὶ δὲν εἶπε, βέβαια γι᾿ αὐτὸ ἀξίζεις μεγαλύτερη κόλαση, ἐπειδή, μολονότι σοῦ ἐμπιστεύτηκαν τόσα πολλά, τίποτε ἀπ᾿ αὐτὰ δὲ χρησιμοποίησες ὅπως ἔπρεπε, ἀλλὰ μὲ ἐρώτηση συνεχίζει τὸ λόγο, ἐλέγχοντας καὶ λέγοντας· «Ἐσὺ λοιπὸν ποὺ διδάσκεις τὸν ἄλλο, δὲ διδάσκεις τὸν ἑαυτό σου;».

Πρόσεχε ὅμως, παρακαλῶ, καὶ ἀπὸ ἄλλο μέρος τὴ σύνεση τοῦ Παύλου. Γιατὶ ἀναφέρει ἐκεῖνα τὰ πλεονεκτήματα τῶν Ἰουδαίων, ποὺ δὲν ἦταν ἔργο τῆς δικῆς τους φροντίδας, ἀλλὰ τῆς θείας χάρης, καὶ δείχνει πὼς ὄχι

ἀμελοῦσιν αὐτοῖς, ἀλλὰ καὶ προσθήκην κολάσεως φέροντα. Οὐ γὰρ τὸ Ἰουδαῖον καλεῖσθαι, αὐτῶν κατόρθωμα, οὐδὲ τὸ νόμον λαβεῖν, οὐδὲ τὰ ἄλλα, ἅπερ ἀπηριθμήσατο νῦν, ἀλλὰ τῆς ἄνωθεν χάριτος. Καὶ παρὰ μὲν τὴν ἀρχὴν ἔλεγεν, ὅτι οὐδὲν ὠφελεῖ ἡ ἀκρόασις τοῦ νόμου, ἐὰν μὴ ἡ πρᾶξις προσῇ· «Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου», φησί, «δίκαιοι παρὰ τῷ Θεῷ»· νῦν δὲ πολλῷ μᾶλλον δείκνυσιν, ὅτι οὐ μόνον ἡ ἀκρόασις, ἀλλὰ καί, ὃ πλέον τῆς ἀκροάσεως ἦν, ἡ διδασκαλία οὐδὲ αὐτὴ δυνήσεται προσθῆναι τοῦ διδάσκοντος μὴ πράσσοντος ἅπερ, φησί, διδάσκει· καὶ οὐ μόνον οὐ προστήσεται, ἀλλὰ καὶ κολάσει μειζόνως.

Καλῶς δὲ καὶ ταῖς λέξεσι κέχρηται· οὐ γὰρ εἶπεν, ἔλαβες νόμον, ἀλλ', «Ἐπαναπαύῃ νόμῳ»· καὶ γὰρ οὐκ ἔκαμνεν ὁ Ἰουδαῖος περιιὼν καὶ ζητῶν τὰ πρακτέα, ἀλλ' ἐξ εὐκολίας εἶχε τὸν νόμον δεικνύντα τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδόν. Εἰ γὰρ καὶ τὰ ἔθνη ἔχει τὸν τῆς φύσεως λογισμόν, ὅθεν αὐτῶν πλεονεκτεῖ, χωρὶς ἀκροάσεως ὡς ποιοῦντα ἅπαντα, ἀλλ' ὅμως ἐκεῖ μείζων ἡ εὐκολία ἦν. Εἰ δὲ λέγεις, ὅτι οὐκ ἀκούω μόνον, ἀλλὰ καὶ διδάσκω· καὶ τοῦτο αὐτὸ προσθήκη τιμωρίας. Ἐπειδὴ γὰρ τούτῳ μέγα ἐφρόνουν, ἐντεῦθεν μάλιστα αὐτοὺς δείκνυσιν ὄντας καταγελάστους. Ὅταν δὲ λέγῃ, «Ὁδηγὸν τυφλῶν, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων», τὸν ἐκείνων λέγει τῦφον· σφόδρα γὰρ ἀπεκέχρηντο τοῖς προσηλύτοις, καὶ ἀπὸ τούτων ἐκάλουν τῶν ὀνομάτων αὐτούς. Διὸ καὶ ἐπιδαψιλεύεται τοῖς δοκοῦσιν αὐτῶν εἶναι ἐγκωμίοις, εἰδώς, ὅτι μείζονος κατηγορίας ὑπόθεσις τὰ λεγόμενα.

2. «Ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ». Ὥσπερ ἂν εἴ τις τὴν βασιλικὴν εἰκόνα ἔχων, μηδὲν πρὸς ἐκείνην γράφοι· οἱ δὲ

------

3. Ρωμ. 2, 13

μόνο ἦταν ἄχρηστα, ἀφοῦ τὰ παραμελοῦσαν, ἀλλὰ καὶ πὼς ἔφεραν πρόσθετη τιμωρία. Γιατὶ οὔτε τὸ ὅτι ὀνομάζεται Ἰουδαῖος, εἶναι δικό τους κατόρθωμα, οὔτε τὸ ὅτι ἔλαβε τὸ νόμο, οὔτε τὰ ἄλλα, ποὺ ἀπαρίθμησε τώρα, ἀλλὰ τῆς θείας χάρης. Καὶ στὴν ἀρχὴ ἔλεγε, ὅτι δὲν ὠφελεῖ καθόλου ἡ ἀκρόαση τοῦ νόμου, ἐὰν δὲν προστεθεῖ ἡ πράξη· «Γιατὶ δίκαιοι ἐνώπιον τοῦ Θεοῦ δὲν εἶναι οἱ ἀκροατὲς τοῦ νόμου»[3], λέγει. Τώρα ὅμως πολὺ περισσότερο δείχνει, πὼς ὄχι μόνο ἡ ἀκρόαση, ἀλλὰ καί, πράγμα ποὺ ἦταν σπουδαιότερο ἀπὸ τὴν ἀκρόαση, ἡ διδασκαλία οὔτε αὐτὴ θὰ μπορέσει νὰ βοηθήσει τὸ διδάσκαλο ὅταν δὲν κάνει ἐκεῖνα, λέγει, ποὺ διδάσκει. Καὶ ὄχι μόνο δὲ θὰ τὸν βοηθήσει, ἀλλὰ καὶ θὰ τὸν τιμωρήσει περισσότερο.

Καλὰ βέβαια χρησιμοποιεῖ καὶ τὶς λέξεις· γιατὶ δὲν εἶπε, ἔλαβες νόμο, ἀλλά, «Στηρίζεσαι στὸ νόμο». Καθόσον δὲν κουραζόταν ὁ Ἰουδαῖος νὰ πηγαίνει ἐδῶ καὶ ἐκεῖ καὶ νὰ ζητάει αὐτὰ ποὺ πρέπει νὰ κάνει, ἀλλ' εἶχε τὸ νόμο ποὺ μὲ εὐκολία ἔδειχνε τὸ δρόμο, ὁ ὁποῖος ὁδηγοῦσε στὴν ἀρετή. Ἂν καὶ βέβαια καὶ οἱ ἐθνικοὶ ἔχουν τὸ λογισμὸ τῆς φύσης, ἐξ αἰτίας τοῦ ὁποίου καὶ βρίσκονται σὲ καλύτερη κατάσταση ἀπ' αὐτούς, ἐπειδὴ κάνουν τὰ πάντα χωρὶς ἀκρόαση, ἀλλ' ὅμως ἐκεῖ ἡ εὐκολία ἦταν μεγαλύτερη. Ἐὰν ὅμως λέγεις, ὅτι δὲν ἀκούω μόνο, ἀλλὰ καὶ διδάσκω, καὶ αὐτὸ μεγαλώνει τὴν τιμωρία. Ἐπειδὴ λοιπὸν ὑπερηφανεύονταν πολὺ γι' αὐτό, ἀπὸ ἐδῶ πρὸ πάντων τοὺς δείχνει πὼς εἶναι καταγέλαστοι. Ὅταν ὅμως λέγει, «Ὁδηγὸ τῶν τυφλῶν, παιδαγωγὸ τῶν ἀνόητων, διδάσκαλο τῶν νηπίων», ἐννοεῖ τὴν ἀλαζονεία τους, γιατὶ ἐκμεταλλεύονταν ὑπερβολικὰ τοὺς προσηλύτους καὶ τοὺς ὀνόμαζαν μὲ αὐτὰ τὰ ὀνόματα. Γι' αὐτὸ καὶ ἐξηγεῖ αὐτὰ ποὺ φαίνονταν πὼς εἶναι ἐγκώμια, γνωρίζοντας ὅτι τὰ λόγια αὐτὰ εἶναι ἀφορμὴ γιὰ μεγαλύτερη κατηγορία.

2. «Ἔχοντας τὴν ἀκριβὴ γνώση καὶ τὴν ἀλήθεια ποὺ βρίσκεται μέσα στὸ νόμο». Ὅπως ἀκριβῶς ἂν κάποιος, ἔχοντας τὴ βασιλικὴ εἰκόνα, δὲ ζωγράφιζε καθόλου σύμ-

μὴ πιστευθέντες αὐτήν, καὶ χωρὶς τοῦ πρωτοτύπου μετὰ ἀκριβείας αὐτὴν μιμοῖντο. Εἶτα εἰπὼν τὰ πλεονεκτήματα, ἅπερ ἔσχον παρὰ τοῦ Θεοῦ, λέγει αὐτῶν τὰ ἐλαττώματα, ἅπερ οἱ προφῆται κατηγόρουν, ταῦτα εἰς μέσον φέρων. «Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις; ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς;». Καὶ γὰρ σφόδρα ἦν ἀπηγορευμένον τῶν ἐν τοῖς εἰδωλείοις ἅπτεσθαι χρημάτων διὰ τὸ βδελυρόν· ἡ δὲ τῆς φιλοχρηματίας τυραννίς, φησί, καὶ τοῦτον ὑμᾶς ἔπεισε καταπατῆσαι τὸν νόμον.

Εἶτα τὸ πολὺ βαρύτερον ὕστερον ἐπάγει, λέγων· «Ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις;». Δύο τέθεικεν ἐγκλήματα, μᾶλλον δὲ τρία· ὅτι τε ἀτιμάζουσι, καὶ ὅτι δι' ὧν ἐτιμήθησαν, καὶ ὅτι τὸν τιμήσαντα ἀτιμάζουσιν, ὅπερ ἦν ἐσχάτης ἀγνωμοσύνης ὑπερβολή. Εἶτα ἵνα μὴ δόξῃ κατηγορεῖν οἴκοθεν, τὸν προφήτην ἐπήγαγεν αὐτῶν κατήγορον, νῦν μὲν ἐν βραχεῖ καὶ συντόμως καὶ ὡς ἐν κεφαλαίῳ, ὕστερον δὲ καὶ κατὰ μέρος, καὶ νῦν μὲν τὸν Ἠσαΐαν, μετὰ δὲ ταῦτα τὸν Δαυίδ, ὅτε καὶ πλείονας ἐπεδείξατο τοὺς ἐλέγχους. Ὅτι γάρ, φησίν, οὐκ ἐγὼ λοιδορούμενος ὑμῖν ταῦτα λέγω, ἄκουσον τί φησιν ὁ Ἠσαΐας, ὅτι «Τὸ ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν». Ἰδοὺ καὶ ἑτέρα διπλῆ κατηγορία πάλιν. Οὐ γὰρ μόνον αὐτοί, φησίν, ὑβρίζουσιν, ἀλλὰ καὶ ἑτέρους εἰς τοῦτο παρασκευάζουσι.

Τί τοίνυν τῆς διδασκαλίας ὄφελος, ὅταν ἑαυτοὺς μὴ διδάσκητε. Ἀλλ' ἀνωτέρω μὲν τοῦτο εἶπε μόνον. ἐνταῦθα δὲ καὶ εἰς τὸ ἐναντίον περιέτρεψεν».

4. Ἠσ. 52, 5

φωνα μ' αὐτήν, ἐνῶ ἐκεῖνοι ποὺ δὲν τοὺς τὴν ἐμπιστεύθηκαν, καὶ χωρὶς τὸ πρωτότυπο τὴν παριστάνουν μὲ ἀκρίβεια. Στὴ συνέχεια, ἀφοῦ ἀνέφερε τὰ πλεονεκτήματα ποὺ ἔλαβαν ἀπὸ τὸ Θεό, λέγει, τὰ ἐλαττώματά τους, γιὰ τὰ ὁποῖα τοὺς κατηγοροῦσαν οἱ προφῆτες, φέροντας αὐτὰ ἐνώπιόν τους. «Ἐσὺ λοιπὸν ποὺ διδάσκεις τὸν ἄλλο, δὲ διδάσκεις τὸν ἑαυτό σου; ἐσὺ ποὺ κηρύττεις νὰ μὴν κλέβουν, κλέβεις; ἐσὺ ποὺ λέγεις νὰ μὴ μοιχεύουν οἱ ἄλλοι, μοιχεύεις; ἐσὺ ποὺ ἀπεχθάνεσαι τὰ εἴδωλα, γίνεσαι ἱερόσυλος;». Γιατὶ πραγματικὰ ἦταν πάρα πολὺ ἀπαγορευμένο νὰ πιάνουν τὰ χρήματα ποὺ βρίσκονταν στοὺς εἰδωλολατρικοὺς ναούς, γιατὶ τὸ πράγμα ἦταν βδελυρό. Ἡ τυραννίδα ὅμως τῆς φιλοχρηματίας, λέγει, σᾶς ἔπεισε νὰ καταπατήσετε καὶ αὐτὸν τὸ νόμο.

Ἔπειτα τὸ πολὺ βαρύτερο τὸ προσθέτει τελευταῖο, λέγοντας· «Ἐσὺ ποὺ καυχιέσαι γιὰ τὸ νόμο, μὲ τὴν παράβαση τοῦ νόμου ἀτιμάζεις τὸ Θεό;». Ἀνέφερε δύο κατηγορίες ἐναντίον τους, ἢ καλύτερα τρεῖς· καὶ ὅτι ἀτιμάζουν, καὶ ὅτι ἀτιμάζουν μ' ἐκεῖνα ποὺ τιμήθηκαν, καὶ ὅτι ἀτιμάζουν αὐτὸν ποὺ τοὺς τίμησε, πράγμα ποὺ ἦταν ἡ χειρότερη μορφὴ ἀχαριστίας. Στὴ συνέχεια, γιὰ νὰ μὴ φανεῖ πὼς τοὺς κατηγορεῖ μὲ βάση τὴ δική του κρίση, πρόσθεσε καὶ τὸν προφήτη σὰν κατήγορό τους, πρῶτα μὲ λίγα λόγια καὶ σύντομα καὶ περιληπτικά, ὕστερα ὅμως καὶ μὲ λεπτομέρειες, καὶ πρῶτα τὸν Ἠσαΐα, ὕστερα ὅμως καὶ τὸ Δαυΐδ, ὁπότε καὶ φανέρωσε περισσότερους τοὺς ἐλέγχους. Ὅτι λοιπόν, λέγει, δὲν τὰ λέγω αὐτὰ μὲ σκοπὸ νὰ σᾶς κατηγορήσω, ἄκουσε τί λέγει ὁ Ἠσαΐας· «Τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖται ἐξ αἰτίας σας ἀνάμεσα στοὺς ἐθνικούς»[4]. Νὰ καὶ ἄλλη διπλὴ κατηγορία πάλι. Γιατὶ ὄχι μόνο αὐτοί, λέγει, ἀτιμάζουν, ἀλλὰ καὶ ἄλλους προετοιμάζουν γι' αὐτό.

Ποιό λοιπὸν εἶναι τὸ ὄφελος τῆς διδασκαλίας, ὅταν δὲ διδάσκετε τοὺς ἑαυτούς σας; Ἀλλὰ παραπάνω βέβαια αὐτὸ εἶπε μόνο, ἐνῶ ἐδῶ ἔστρεψε τὸ λόγο καὶ στὸ ἀντί-

Οὐδὲ γὰρ μόνον ἑαυτούς, ἀλλ' οὐδὲ ἑτέρους διδάσκετε τὰ πρακτέα· καὶ τὸ πολλῷ χαλεπώτερον, ὅτι οὐ μόνον οὐ διδάσκετε τὰ τοῦ νόμου, ἀλλὰ καὶ τὰ ἐναντία διδάσκετε, βλασφημεῖν τὸν Θεόν, ὅπερ ἐναντίον ἐστὶ τῷ νόμῳ. Ἀλλ' ἡ περιτομὴ μέγα, φησίν. Ὁμολογῶ κἀγώ, ἀλλὰ τότε, ὅταν ἔχῃ τὴν ἔνδον περιτομήν. Καὶ σκόπει σύνεσιν, πῶς εὐκαίρως τὸν περὶ αὐτῆς εἰσήγαγε λόγον. Οὐ γὰρ εὐθέως ἀπ' αὐτῆς ἤρξατο, ἐπειδὴ πολλὴ ἦν αὐτῆς ἡ ὑπόληψις· ἀλλ' ἡνίκα ἔδειξεν αὐτοὺς ἀπὸ τοῦ μείζονος προσκεκρουκότας, καὶ τῆς εἰς τὸν Θεὸν βλασφημίας αἰτίους, τότε λοιπὸν λαβὼν τὸν ἀκροατὴν κατεγνωκότα αὐτῶν, καὶ γυμνώσας τῆς προεδρείας, εἰσάγει τὸν περὶ τῆς περιτομῆς λόγον, θαρρῶν, ὅτι οὐδεὶς αὐτῇ ψηφιεῖται λοιπόν, καί φησι· «Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς».

Καίτοι γε ἐνῆν ἄλλως αὐτὴν ἐκβαλεῖν, καὶ εἰπεῖν, τί γάρ ἐστιν ἡ περιτομή; μὴ γὰρ κατόρθωμά ἐστι τοῦ ἔχοντος; μὴ γὰρ προαιρέσεως ἀγαθῆς ἐπίδειξις; Καὶ γὰρ ἐν ἀώρῳ γίνεται ἡλικίᾳ, καὶ οἱ ἐν τῇ ἐρήμῳ δὲ πάντες ἔμειναν ἀπερίτμητοι χρόνον πολύν· καὶ ἑτέρωθεν δὲ πολλαχόθεν ἴδοι τις ἂν αὐτὴν οὐ σφόδρα ἀναγκαίαν οὖσαν. Ἀλλ' ὅμως οὐκ ἐντεῦθεν αὐτὴν ἐκβάλλει, ἀλλ' ὅθεν μάλιστα ἐχρῆν, ἀπὸ τοῦ Ἀβραάμ. Ἡ γὰρ ὑπερβολὴ τῆς νίκης αὕτη, δεῖξαι ἐντεῦθεν αὐτὴν οὖσαν εὐκαταφρόνητον, ὅθεν αὐτοῖς αἰδέσιμος ἦν. Καίτοι γε ἠδύνατο λέγειν, ὅτι καὶ οἱ προφῆται ἀπεριτμήτους καλοῦσιν Ἰουδαίους· ἀλλ' οὔπω τοῦτο τῆς περιτομῆς ἐστιν ἐλάττωμα, ἀλλὰ τῶν κακῶς αὐτὴν μετιόντων. Τὸ δὲ ζητούμενον, δεῖξαι ὅτι καὶ ἐν

θετο. Γιατὶ ὄχι μόνο στοὺς ἑαυτούς σας, ἀλλ' οὔτε καὶ στοὺς ἄλλους διδάσκετε αὐτὰ ποὺ πρέπει νὰ κάνουν. Καὶ τὸ πολὺ φοβερότερο, ὄχι μόνο δὲ διδάσκετε τὶς ἐντολὲς τοῦ νόμου, ἀλλὰ καὶ τὰ ἀντίθετα διδάσκετε, νὰ βλασφημοῦν δηλαδὴ τὸ Θεό, πράγμα ποὺ εἶναι ἀντίθετο στὸ νόμο. Ἡ περιτομὴ ὅμως, λέγει, εἶναι μεγάλο πράγμα. Τὸ παραδέχομαι καὶ ἐγώ, ἀλλὰ τότε, ὅταν ἔχει κανεὶς τὴν ἐσωτερικὴ περιτομή. Καὶ πρόσεχε σύνεση, πῶς στὴν κατάλληλη στιγμὴ ἔφερε τὸ λόγο γι' αὐτήν. Γιατὶ δὲν ἄρχισε ἀμέσως απ' αὐτήν, ἐπειδὴ ἦταν μεγάλη ἡ ὑπόληψή της, ἀλλ' ὅταν ἔδειξε πὼς αὐτοὶ ἀπὸ τὸ μεγαλύτερο ἔχουν ἔρθει σὲ σύγκρουση καὶ πὼς εἶναι ὑπεύθυνοι γιὰ τὴ βλασφημία τοῦ Θεοῦ, τότε λοιπόν, ἀφοῦ βρῆκε πὼς ὁ ἀκροατὴς τοὺς ἔχει κατηγορήσει καὶ ἀφοῦ τοὺς στέρησε τὴν πρώτη θέση, ἀναφέρει τὸ λόγο γιὰ τὴν περιτομή, ἐλπίζοντας πὼς κανεὶς δὲ θὰ τὴν ἐπιδοκιμάζει στὴ συνέχεια, καὶ λέγει· «Γιατὶ ἡ περιτομὴ ὠφελεῖ βέβαια, ἐὰν ἐκτελεῖς τὸ νόμο».

Ἂν καὶ βέβαια ἦταν δυνατὸ νὰ τὴν ἀπορρίψει διαφορετικὰ καὶ νὰ πεῖ· τί λοιπὸν εἶναι ἡ περιτομή; μήπως εἶναι κατόρθωμα αὐτοῦ ποὺ τὴν ἔχει; μήπως τάχα εἶναι ἀπόδειξη ἀγαθῆς προαίρεσης; Γιατὶ πραγματικὰ γίνεται σὲ πολὺ μικρὴ ἡλικία καὶ αὐτοὶ ποὺ βρίσκονταν στὴν ἔρημο ἔμειναν ἀπερίτμητοι ὅλοι γιὰ πολὺ χρόνο. Καὶ ἀπὸ πολλὰ ὅμως ἄλλα σημεῖα θὰ μποροῦσε νὰ δεῖ κανεὶς πὼς δὲν εἶναι τόσο πολὺ ἀναγκαία. Ἀλλ' ὅμως δὲν τὴν ἀπορρίπτει ἔτσι, ἀλλ' ἀπὸ ἐκεῖ ποὺ κυρίως ἔπρεπε, δηλαδὴ ἀπὸ τὸν Ἀβραάμ. Γιατὶ ἡ μεγάλη δύναμη τῆς νίκης εἶναι αὐτή, νὰ δείξει δηλαδὴ ὅτι αὐτὴ εἶναι περιφρονημένη ἀπὸ ἐκεῖ, ἀπ' ὅπου τοὺς ἦταν σεβαστή. Ἂν καὶ βέβαια μποροῦσε νὰ πεῖ, ὅτι καὶ οἱ προφῆτες ὀνομάζουν ἀπερίτμητους τοὺς Ἰουδαίους. Αὐτὸ ὅμως μὲ κανένα τρόπο δὲν εἶναι ἐλάττωμα τῆς περιτομῆς, ἀλλ' ἐκείνων ποὺ κακῶς τὴν ἐπιδιώκουν. Τὸ ζητούμενο ὅμως εἶναι, νὰ δείξει πὼς

ἀρίστῳ βίῳ οὐδεμίαν ἰσχὺν ἔχει· τοῦτο δὴ κατασκευάζει λοιπόν.

Καὶ ἐνταῦθα μὲν οὐ παράγει τὸν πατριάρχην, ἀλλὰ πρότερον ἑτέρωθεν αὐτὴν προκαταβαλών, ὕστερον ἐκεῖνον τηρεῖ, ὅταν τὸν περὶ τῆς πίστεως εἰσαγάγῃ λόγον, οὕτω λέγων· «Πῶς οὖν ἐλογίσθη ἡ πίστις τῷ Ἀβραάμ; ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ;». Ἕως μὲν γὰρ ἂν πρὸς τὸν ἐθνικὸν αὕτη καὶ τὸν ἀκρόβυστον ἀγωνίζηται, οὐδὲν βούλεται τούτων εἰπεῖν, ἵνα μὴ σφόδρα φορτικὸς ᾖ, ὅταν δὲ πρὸς τὴν πίστιν ἀπομάχηται, τότε μειζόνως πρὸς αὐτὴν ἀποδύεται. Τέως μέντοι πρὸς τὴν ἀκροβυστίαν ἡ μάχη· διὸ καὶ ὑφειμένως προάγει τὸν λόγον, καί φησι· «Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν πράσσῃς τὸν νόμον· ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονε».

Δύο γὰρ ἐνταῦθα ἀκροβυστίας καὶ δύο περιτομάς φησιν, ὥσπερ καὶ δύο νόμους. Ἔστι γὰρ νόμος ὁ φυσικός, καὶ ἔστιν ὁ γραπτός· ἀλλὰ καὶ μέσος τούτων ὁ διὰ τῶν ἔργων. Καὶ σκόπει πῶς τοὺς τρεῖς τούτους δείκνυσι, καὶ εἰς μέσον ἄγει. «Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα», φησί. Ποῖον δὴ νόμον, εἰπέ μοι; Τὸν γραπτόν. «Φύσει τὰ τοῦ νόμου ποιῇ». Ποίου; Τοῦ διὰ τῶν ἔργων. «Οὗτοι νόμον μὴ ἔχοντες». Ποῖον; Τὸν γραπτόν. «Ἑαυτοῖς εἰσι νόμος». Πῶς; Τῷ φυσικῷ κεχρημένοι. «Οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου». Ποίου; Τοῦ διὰ τῶν πράξεων. Ἐκεῖνος μὲν γὰρ ἔξω κεῖται ὁ διὰ τῶν γραμμάτων, οὗτος δὲ ἔνδον ὁ διὰ τῆς φύσεως, ὁ δὲ ἐν ταῖς πράξεσι· καὶ τὸν μὲν τὰ γράμματα ὑπαγορεύει, τὸν δὲ ἡ φύσις, τὸν δὲ αἱ πράξεις.

Τούτου δὴ τοῦ τρίτου χρεία, δι' ὃν καὶ ἐκεῖνοι οἱ δύο, ὅ τε ἀπὸ τῆς φύσεως, ὅ τε ἀπὸ τῶν γραμμάτων· κἂν οὗτος μὴ παρῇ, οὐδὲν ὄφελος ἐκείνων, ἀλ-

------

6. Ρωμ. 2. 14 5. Ρωμ. 4. 10

καὶ στὴν ἄριστη ζωὴ δὲν ἔχει καμία δύναμη. Αὐτὸ ἀκριβῶς ἀποδείχνει στὴ συνέχεια.

Καὶ ἐδῶ βέβαια δὲν παρουσιάζει τὸν πατριάρχη, ἀλλ', ἀφοῦ πρῶτα τὴν ἀχρήστεψε ἀπὸ ἀλλοῦ, τελευταῖα προβάλλει αὐτόν, ὅταν ἀναφέρει τὸ λόγο γιὰ τὴν πίστη, λέγοντας τὰ ἑξῆς· «Πῶς λοιπὸν λογαριάστηκε ἡ πίστη στὸν Ἀβραάμ; ὅταν εἶχε περιτμηθεῖ ἢ ὅταν ἦταν ἀπερίτμητος;»[5]. Γιατὶ ὅσο αὐτὴ μάχεται πρὸς τὸν ἐθνικὸ καὶ τὸν ἀπερίτμητο, δὲ θέλει νὰ πεῖ τίποτε ἀπὸ αὐτά, γιὰ νὰ μὴν εἶναι ὑπερβολικὰ ἐνοχλητικός. Ὅταν ὅμως μάχεται πρὸς τὴν πίστη, τότε ἀναλαμβάνει μεγαλύτερο ἀγώνα πρὸς αὐτή. Πρῶτα ὅμως ἡ μάχη εἶναι πρὸς τὴν ἀκροβυστία. Γι' αὐτὸ καὶ μὲ ἤπιο τρόπο συνεχίζει τὸ λόγο καὶ λέγει· «Γιατὶ ἡ περιτομὴ ὠφελεῖ βέβαια, ἐὰν ἐκτελεῖς τὸ νόμο. Ἐὰν ὅμως εἶσαι παραβάτης τοῦ νόμου, ἡ περιτομή σου ἔγινε σὰν τὴν ἀκροβυστία».

Ἐδῶ λοιπὸν ἐννοεῖ δύο ἀκροβυστίες καὶ δύο περιτομές, ὅπως καὶ δύο νόμους. Γιατὶ ὑπάρχει ὁ νόμος ὁ φυσικός, καὶ ὑπάρχει καὶ ὁ γραπτός· ὑπάρχει ὅμως καὶ ὁ ἐνδιάμεσός τους, ὁ νόμος μὲ τὰ ἔργα. Καὶ πρόσεχε πῶς ἀποδείχνει αὐτοὺς τοὺς τρεῖς καὶ τοὺς παρουσιάζει μπροστά τους. «Γιατὶ ὅταν ἐθνικοὶ ποὺ δὲν ἔχουν νόμο»[6], λέγει. Πές μου, ποιό νόμο; Τὸ γραπτό. «Ἀπὸ τὴ φύση ἐκτελοῦν τὶς ἐντολὲς τοῦ νόμου». Τίνος; Τοῦ νόμου μὲ τὰ ἔργα. «Αὐτοὶ χωρὶς νὰ ἔχουν νόμο». Ποιό νόμο; Τὸ γραπτό. «Νόμος εἶναι ὁ ἴδιος ὁ ἑαυτός τους». Πῶς; Χρησιμοποιώντας τὸ φυσικό. «Αὐτοὶ ἀποδείχνουν τὸ ἔργο τοῦ νόμου». Τίνος; Τοῦ νόμου μὲ τὶς πράξεις. Γιατὶ ἐκεῖνος, δηλαδὴ ὁ γραμμένος νόμος, βρίσκεται ἔξω ἀπὸ αὐτούς, ἐνῶ αὐτός, δηλαδὴ ὁ φυσικός, μέσα τους, καὶ ὁ ἄλλος στὶς πράξεις. Καὶ τὸν πρῶτο ὑπαγορεύουν τὰ γράμματα, τὸ δεύτερο ἡ φύση καὶ τὸν τρίτο οἱ πράξεις.

Αὐτοῦ λοιπὸν τοῦ τρίτου νόμου ὑπάρχει ἀνάγκη, γιὰ τὸν ὁποῖο ὑπάρχουν καὶ οἱ ἄλλοι δύο, καὶ ὁ νόμος ἀπὸ τὴ φύση, καὶ ὁ νόμος ἀπὸ τὰ γράμματα. Καὶ ἂν δὲν ὑ-

λὰ καὶ ϐλάϐος μέγιστον. Καὶ τοῦτο δείκνυσιν ἐπὶ τοῦ φυσικοῦ μὲν λέγων· «Ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις»· ἐπὶ δὲ τοῦ γραπτοῦ, «Ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις». Οὕτω καὶ ἀκροϐυστίαι δύο, μία μὲν ἡ φυσική, δευτέρα δὲ ἡ ἀπὸ πράξεως· καὶ περιτομὴ μία μὲν ἡ ἐν τῇ σαρκί, δευτέρα δὲ ἡ ἀπὸ προαιρέσεως. Οἷον τι λέγω· περιετμήθη τις ὀκταήμερος· αὕτη σαρκικὴ περιτομή· ἔπραξέ τις τὰ νόμιμα ἅπαντα· αὕτη διανοίας περιτομή, ἣν μάλιστα ὁ Παῦλος ζητεῖ, μᾶλλον δὲ καὶ ὁ νόμος.

3. Ὅρα τοίνυν πῶς συγχωρήσας αὐτὴν τῷ λόγῳ, καθεῖλε τῷ πράγματι. Οὐ γὰρ εἶπε, περιττὸν ἡ περιτομή, ἀνόητον ἡ περιτομή, ἄχρηστον, ἀλλὰ τί: «Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς». Κατεδέξατο αὐτὴν τέως λέγων, ὁμολογῶ καὶ οὐκ ἀντιλέγω, ὅτι καλὴ ἡ περιτομή· ἀλλὰ πότε; Ὅταν καὶ τὴν τοῦ νόμου φυλακὴν ἔχῃ. «Ἐὰν δὲ παραϐάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροϐυστία γέγονεν». Οὐκ εἶπεν, οὐκέτι ὠφελεῖ, ἵνα μὴ δόξῃ αὐτὴν ὑϐρίζειν· ἀλλὰ γυμνώσας αὐτῆς τὸν Ἰουδαῖον, τότε αὐτὸν ϐάλλει λοιπόν· ὅπερ οὐκέτι τῆς περιτομῆς ἦν ὕϐρις, ἀλλὰ τοῦ διὰ τῆς ῥᾳθυμίας αὐτὴν ἀπολέσαντος. Ὥσπερ οὖν τοὺς ἐν ἀξιώμασιν ὄντας, εἶτα ἁλισκομένους ἐπὶ μεγίστοις ἐγκλήμασιν, οἱ δικάζοντες ἀφελόμενοι τῆς τῶν ἀξιωμάτων τιμῆς, τότε κολάζουσιν· οὕτω καὶ Παῦλος ἐποίησεν. Εἰπὼν γάρ, «Ἐὰν δὲ παραϐάτης νόμου ᾖς», ἐπήγαγεν, «Ἡ περιτομή σου ἀκροϐυστία γέγονε»· καὶ δείξας ἀπερίτμητον, καταδικάζει λοιπὸν ἀδεῶς.

------

7. Ρωμ. 2, 1

πάρχει αὐτός, δὲν ὑπάρχει κανένα ὄφελος ἀπὸ ἐκείνους, ἀλλὰ καὶ πάρα πολὺ μεγάλη βλάβη. Καὶ ἀποδείχνει αὐτὸ λέγοντας γιὰ τὸ φυσικὸ νόμο, «Γιατὶ μὲ αὐτὸ ποὺ κρίνεις τὸν ἄλλο, καταδικάζεις τὸν ἑαυτό σου»[7], ἐνῶ γιὰ τὸ γραπτό, «Ἐσὺ ποὺ κηρύττεις νὰ μὴν κλέβουν οἱ ἄλλοι, κλέβεις». Ἔτσι ὑπάρχουν καὶ δύο ἀκροβυστίες, ἡ μία ἡ φυσικὴ καὶ ἡ δεύτερη ἀπὸ τὴν πράξη. Ἐπίσης ὑπάρχει καὶ περιτομὴ μία ποὺ ἀναφέρεται στὴ σάρκα, καὶ δεύτερη ἐκείνη ποὺ προέρχεται ἀπὸ τὴν προαίρεση. Τί θέλω νὰ πῶ· ἔκαμε κάποιος περιτομὴ μέσα σὲ ὀκτὼ ἡμέρες· αὐτὴ εἶναι ἡ σαρκικὴ περιτομή. Ἐκτέλεσε κάποιος ὅλες τὶς ἐντολὲς τοῦ νόμου· αὐτὴ εἶναι ἡ περιτομὴ τῆς ψυχῆς, ποὺ ὁ Παῦλος τὴ ζητάει ἰδιαίτερα, ἢ καλύτερα καὶ ὁ νόμος.

3. Πρόσεχε λοιπὸν πῶς, ἀφοῦ παραδέχθηκε τὴν περιτομὴ στὸ λόγο του, τὴν κατάργησε στὴν πράξη. Γιατὶ δὲν εἶπε, εἶναι περιττὸ πράγμα ἡ περιτομή, ἀνώφελο ἡ περιτομή, ἄχρηστο, ἀλλὰ τί εἶπε; «Γιατὶ ἡ περιτομὴ ὠφελεῖ βέβαια, ἐὰν ἐκτελεῖς τὸ νόμο». Ἀποδέχθηκε αὐτὴν πρῶτα λέγοντας, παραδέχομαι καὶ δὲν ἔχω ἀντίρρηση, πὼς ἡ περιττομὴ εἶναι καλή· ἀλλὰ πότε; Ὅταν ἔχει καὶ τὴν τήρηση τοῦ νόμου. «Ἐὰν ὅμως εἶσαι παραβάτης τοῦ νόμου, ἡ περιτομή σου ἔγινε σὰν τὴν ἀκροβυστία». Δὲν εἶπε, δὲν ὠφελεῖ πιά, γιὰ νὰ μὴ φανεῖ πὼς τὴν περιφρονεῖ. Ἀλλ', ἀφοῦ ἀπογύμνωσε τὸν Ἰουδαῖο ἀπ' αὐτή, τότε πλέον βάλλει ἐναντίον του, πράγμα ποὺ δὲν ἦταν πιὰ περιφρόνηση τῆς περιτομῆς, ἀλλ' ἐκείνου ποὺ μὲ τὴν ἀδιαφορία του τὴν ἔχασε. Ὅπως ἀκριβῶς λοιπὸν ἐκείνους, ποὺ ἔχουν ἀξιώματα καὶ ἔπειτα συλλαμβάνονται γιὰ πάρα πολὺ μεγάλα ἐγκλήματα, ἀφοῦ τοὺς ἀφαιρέσουν οἱ δικαστὲς τὴν τιμὴ τῶν ἀξιωμάτων τους, τότε τοὺς τιμωροῦν, ἔτσι ἔκαμε καὶ ὁ Παῦλος. Γιατί, ἀφοῦ εἶπε, «Ἐὰν ὅμως εἶσαι παραβάτης τοῦ νόμου», πρόσθεσε, «Ἡ περιτομή σου ἔγινε σὰν τὴν ἀκροβυστία», καὶ ἀφοῦ ἔδειξε πὼς εἶναι ἀπερίτμητος, τὸν καταδικάζει στὴ συνέχεια χωρὶς φόβο.

«Ὅταν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυλάττῃ, οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν περιτραπήσεται;». Ὅρα τί ποιεῖ· οὐ λέγει, ὅτι ἡ ἀκροβυστία τὴν περιτομὴν νικᾷ· τοῦτο γὰρ σφόδρα ἦν ἐπαχθὲς τοῖς τότε ἀκούουσιν· ἀλλ' ὅτι ἡ ἀκροβυστία περιτομὴ γέγονε. Καὶ ζητεῖ λοιπὸν τί ἐστι περιτομή, καὶ τί ἀκροβυστία· καὶ λέγει, ὅτι περιτομὴ πρᾶξίς ἐστιν ἀγαθή, καὶ ἡ ἀκροβυστία πρᾶξις πονηρά· καὶ πρότερον μεταστήσας εἰς τὴν περιτομὴν τὸν ἀκρόβυστον τὸν πράξεις ἔχοντα χρηστάς, καὶ τὸν ἐμπερίτομον τὸν ἐν διεφθαρμένῳ βίῳ εἰς τὴν ἀκροβυστίαν ἐξωθήσας, οὕτω τὴν νίκην δίδωσι τῷ ἀκροβύστῳ. Καὶ οὐ λέγει, τῷ ἀκροβύστῳ, ἀλλ' ἐπὶ τὸ πρᾶγμα μέτεισιν οὕτω λέγων· «Οὐχὶ ἡ ἀκροβυστία σου εἰς περιτομὴν μετατραπήσεται;». Καὶ οὐκ εἶπε, λογισθήσεται, ἀλλά, «Τραπήσεται», ὅπερ ἐμφαντικώτερον ἦν· ὥσπερ καὶ ἀνωτέρω οὐκ εἶπεν, ἡ περιτομή σου ἀκροβυστία λογίζεται, ἀλλά, «Γέγονε».

«Καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία». Ὁρᾷς, ὅτι δύο οἶδεν ἀκροβυστίας, τὴν μὲν ἐκ φύσεως, τὴν δὲ ἐκ προαιρέσεως; Ἐνταῦθα μέντοι τὴν ἐκ φύσεως λέγει, ἀλλ' οὐχ ἵσταται μέχρι τούτου, ἀλλ' ἐπάγει· «Τὸν νόμον τελοῦσά σε τὸν διὰ γράμματος καὶ περιτομῆς παραβάτην νόμου;». Ὅρα τὴν λεπτοτάτην αὐτοῦ σύνεσιν. Οὐκ εἶπεν, ὅτι ἡ ἐκ φύσεως ἀκροβυστία τὴν περιτομὴν κρινεῖ, ἀλλά, ἔνθα μὲν ἡ νίκη ἦν, τὴν ἀκροβυστίαν εἰσάγει, ἔνθα δὲ ἡ ἧττα ἦν, οὐκέτι τὴν περιτομὴν δείκνυσιν ἡττωμένην, ἀλλὰ τὸν αὐτὴν ἔχοντα Ἰουδαῖον, φειδόμενος διὰ τῶν ῥημάτων πλῆξαι τὸν ἀκροατήν. Καὶ οὐκ εἶπε, σὲ τὸν νόμον ἔχοντα καὶ περιτομήν, ἀλλ' ἔτι ἡμερώτερον, «Σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παραβάτην νόμου· τουτέστι, καὶ ἀμύνει τῇ περιτομῇ ἡ τοιαύτη ἀκροβυστία, ἠδίκηται γάρ· καὶ βοηθεῖ τῷ νόμῳ, ἐπηρέασται γάρ· καὶ περιφανὲς ἵστησι τρόπαιον. Ἡ γὰρ νίκη τότε ἐ-

«Όταν λοιπὸν ὁ απερίτμητος ἐθνικὸς τηρεῖ τὶς ἐντολὲς τοῦ νόμου, δὲ θὰ μετατραπεῖ ἡ ἀκροβυστία του σὲ περιτομή;». Πρόσεχε τί κάνει· δὲ λέγει, ὅτι ἡ ἀκροβυστία νικάει τὴν περιτομή, γιατὶ αὐτὸ ἦταν πάρα πολὺ δυσάρεστο στοὺς τότε ἀκροατές του, ἀλλ' ὅτι ἡ ἀκροβυστία ἔγινε σὰν τὴν περιτομή. Καὶ ἐξετάζει στὴ συνέχεια τί εἶναι περιτομὴ καὶ τί ἀκροβυστία· καὶ λέγει, ὅτι ἡ περιτομὴ εἶναι καλὴ πράξη καὶ ἡ ἀκροβυστία κακὴ πράξη. Καὶ πρῶτα, ἀφοῦ μετέθεσε στὴν περιτομὴ τὸν ἀπερίτμητο, ποὺ εἶχε καλὲς πράξεις, καὶ ἀφοῦ ἔσπρωξε στὴν ἀκροβυστία τὸν περιτμημένο, ποὺ ζοῦσε μέσα σὲ ἀνήθικη ζωή, ἔτσι δίνει τὴ νίκη στὸν ἀπερίτμητο. Καὶ δὲ λέγει στὸν ἀπερίτμητο, ἀλλὰ προχωρεῖ στὸ πράγμα, λέγοντας τὰ ἑξῆς· «Δὲ θὰ μετατραπεῖ ἡ ἀκροβυστία σου σὲ περιτομή;». Καὶ δὲν εἶπε, θὰ λογαριασθεῖ, ἀλλά, «Θὰ μετατραπεῖ», πράγμα ποὺ ἦταν πιὸ ἔντονο· ὅπως ἀκριβῶς καὶ παραπάνω δὲν εἶπε, ἡ περιτομή σου λογαριάζεται σὰν ἀκροβυστία, ἀλλ', «Έγινε».

«Καὶ θὰ σὲ καταδικάσει ἡ φυσικὴ ἀκροβυστία». Βλέπεις, πὼς γνωρίζει δύο ἀκροβυστίες, τὴ φυσικὴ καὶ τὴν προαιρετική; Ἐδῶ ὅμως ἐννοεῖ τὴ φυσική, ἀλλὰ δὲ σταματᾶ μέχρις αὐτό, ἀλλὰ προσθέτει· «Ἡ ὁποία ἐκτελεῖ τὸ νόμο, ἐσένα ποὺ μὲ τὸ γράμμα καὶ τὴν περιτομὴ εἶσαι παραβάτης τοῦ νόμου;». Πρόσεχε τὴν εὐγενέστατη σύνεσή του. Δὲν εἶπε, ὅτι ἡ φυσικὴ ἀκροβυστία θὰ καταδικάσει τὴν περιτομή, ἀλλά, όπου ἦταν ἡ νίκη, ἀναφέρει τὴν ἀκροβυστία, ὅπου ὅμως ἦταν ἡ ἥττα, δὲ δείχνει πιὰ πὼς νικιέται ἡ περιτομή, ἀλλὰ ὁ Ἰουδαῖος ποὺ τὴν ἔχει, ἀποφεύγοντας νὰ πλήξει μὲ τὰ λόγια τὸν ἀκροατή. Καὶ δὲν εἶπε, ἐσένα ποὺ ἔχεις νόμο καὶ περιτομή, ἀλλ' ἀκόμη πιὸ ἤπια, «Ἐσένα ποὺ μὲ τὸ γράμμα καὶ τὴν περιτομὴ εἶσαι παραβάτης τοῦ νόμου». Δηλαδή, καὶ ὑπερασπίζεται τὴν περιτομὴ αὐτὴ ἡ ἀκροβυστία, γιατὶ ἔχει ἀδικιθεῖ, καὶ βοηθάει τὸ νόμο, γιατὶ ἔχει ἐπηρεασθεῖ καὶ στήνει λαμπρὸ τρόπαιο. Γιατὶ ἡ νίκη τότε εἶναι λαμπρή, ὅταν ὁ Ἰουδαῖος

στὶ λαμπρά, ὅταν μὴ παρὰ Ἰουδαίου ὁ Ἰουδαῖος, ἀλλὰ παρὰ ἀκροβύστου κρίνηται· ὥσπερ ὅταν λέγῃ, «Ἄνδρες Νινευῖται ἐγερθήσονται, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην». Οὐκοῦν οὐ τὸν νόμον ἀτιμάζει· σφόδρα γὰρ αὐτὸν αἰδεῖται· ἀλλὰ τὸν εἰς τὸν νόμον ὑβρίζοντα.

Εἶτα ὅτε κατεσκεύασε ταῦτα σαφῶς, θαρρῶν λοιπὸν ὁρίζεται τί ποτέ ἐστιν ὁ Ἰουδαῖος, καὶ δείκνυσιν, ὅτι οὐχὶ τὸν Ἰουδαῖον οὐδὲ τὴν περιτομήν, ἀλλὰ τὸν οὐχὶ Ἰουδαῖον καὶ τὸν ἀπερίτμητον ἐκβάλλει. Καὶ δοκεῖ μὲν ἀμύνειν αὐτῇ, καταλύει δὲ αὐτῆς τὴν ὑπόληψιν, ἀπὸ τοῦ συμβαίνοντος ἔχων τὰς ψήφους. Δείκνυσι γὰρ οὐ μόνον οὐδὲν μέσον Ἰουδαίου καὶ ἀκροβύστου, ἀλλὰ καὶ ἀνώτερον ὄντα τὸν ἀκρόβυστον, ἐὰν ἑαυτῷ προσέχῃ, καὶ τοῦτον ὄντα ἀκριβῶς τὸν Ἰουδαῖον· διό φησι· «Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἐν τῷ φανερῷ, ἐν σαρκί, περιτομή». Ἐνταῦθα αὐτοὺς πλήττει, ὡς πρὸς ἐπίδειξιν ἅπαντα πράττοντας. «Ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι».

4. Τοῦτο δὲ εἰπών, ἐξέβαλε τὰ σωματικὰ ἅπαντα. Καὶ γὰρ ἡ περιτομὴ ἐν τῷ φανερῷ καὶ τὰ σάββατα καὶ αἱ θυσίαι καὶ οἱ καθαρισμοί· ἅπερ ἅπαντα δι' ἑνὸς ᾐνίξατο ῥήματος εἰπών, «Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν». Ἀλλ' ἐπειδὴ τῆς περιτομῆς πολὺς ἦν ὁ λόγος, ὅπου γε καὶ τὸ σάββατον αὐτῇ παρεχώρει, εἰκότως τὰ πλείονα πρὸς αὐτὴν ἀποτείνεται. Εἰπὼν δέ, «Ἐν πνεύματι», προοδοποιεῖ λοιπὸν τῇ τῆς Ἐκκλησίας πολιτείᾳ, καὶ τὴν πίστιν εἰσάγει· καὶ γὰρ αὕτη ἐν καρδίᾳ καὶ πνεύματι τὸν ἔπαινον ἀπὸ τοῦ Θεοῦ ἔχει. Καὶ διὰ τί μὴ ἔδειξεν, ὅτι ὁ κατορθῶν Ἕλλην Ἰουδαίου κατορθοῦντος οὐκ ἔστιν

8. Ματθ. 12, 41

δὲν καταδικάζεται ἀπὸ τὸν Ἰουδαῖο, ἀλλ' ἀπὸ ἀπερίτμητο ἐθνικό, ὅπως ἀκριβῶς ὅταν λέγει, «Ἄνδρες Νινευῖτες θ' ἀναστηθοῦν καὶ θὰ καταδικάσουν τὴ γενεὰ αὐτή»[8]. Ἑπομένως δὲν ἀτιμάζει τὸ νόμο, γιατὶ τὸν σέβεται πάρα πολύ, ἀλλ' ἐκεῖνον ποὺ περιφρονεῖ τὸ νόμο.

Στὴν συνέχεια, ὅταν ἀπέδειξε αὐτὰ μὲ σαφήνεια, μὲ θάρρος πλέον καθορίζει τί εἶναι ὁ Ἰουδαῖος καὶ δείχνει, πὼς δὲν ἀπορρίπτει τὸν Ἰουδαῖο, οὔτε τὴν περιτομή, ἀλλ' ἐκεῖνον ποὺ δὲν εἶναι Ἰουδαῖος καὶ τὸν ἀπερίτμητο. Καὶ φαίνεται βέβαια ὅτι τὴν ὑπερασπίζεται, στὴν πραγματικότητα ὅμως καταργεῖ τὴν ὑπόληψή της, ἐπειδὴ στηρίζεται σ' αὐτὸ ποὺ γίνεται. Γιατὶ δείχνει πὼς ὄχι μόνο δὲν ὑπάρχει καμιὰ διαφορὰ ἀνάμεσα στὸν Ἰουδαῖο καὶ τὸν ἀπερίτμητο, ἀλλὰ καὶ πὼς ὁ ἀπερίτμητος εἶναι ἀνώτερος, ἐὰν προσέχει τὸν ἑαυτό του, καὶ πὼς αὐτὸς ἀκριβῶς εἶναι ὁ Ἰουδαῖος. Γι' αὐτὸ λέγει· «Γιατὶ πραγματικὸς Ἰουδαῖος δὲν εἶναι ἐκεῖνος ποὺ φαίνεται, οὔτε ἡ περιτομή, ποὺ εἶναι φανερὴ στὴ σάρκα, εἶναι πραγματικὴ περιτομή». Ἐδῶ αὐτοὺς χτυπάει, ἐπειδὴ τὰ πάντα κάνουν γιὰ ἐπίδειξη. «Ἀλλ' ἐκεῖνος ποὺ εἶναι μέσα του Ἰουδαῖος, καὶ περιτομὴ εἶναι ἡ περιτομὴ τῆς καρδιᾶς ποὺ γίνεται μὲ τὸ ἅγιο Πνεῦμα, ὄχι μὲ τὸ γράμμα τοῦ νόμου».

4. Λέγοντας ὅμως αὐτό, ἀπέρριψε ὅλα τὰ σωματικά. Γιατὶ πραγματικὰ ἡ περιτομὴ γίνεται στὰ φανερά, ὅπως καὶ τὰ Σάββατα καὶ οἱ θυσίες καὶ οἱ καθαρισμοί. Αὐτὰ ἀκριβῶς ὅλα τὰ ὑπονόησε μὲ μιὰ λέξη λέγοντας, «Γιατὶ Ἰουδαῖος δὲν εἶναι ἐκεῖνος ποὺ φαίνεται». Ἀλλ' ἐπειδὴ ἦταν πολὺς ὁ λόγος γιὰ τὴν περιτομή, ἀφοῦ βέβαια καὶ τὸ Σάββατο ὑποχωροῦσε σ' αὐτή, δικαιολογημένα τὰ περισσότερα ἀπευθύνονται σ' αὐτή. Λέγοντας ὅμως, «Μὲ τὸ ἅγιο Πνεῦμα», προετοιμάζει στὴ συνέχεια τὸ δρόμο γιὰ τὴ ζωὴ τῆς Ἐκκλησίας καὶ παρουσιάζει τὴν πίστη. Γιατὶ καὶ αὐτὴ γίνεται μὲ τὴν καρδιὰ καὶ τὸ ἅγιο Πνεῦμα καὶ ἔχει τὸν ἔπαινο ποὺ προέρχεται ἀπὸ τὸ Θεό. Καὶ γιατὶ δὲν ἔδειξε, πὼς ὁ ἐθνικὸς ποὺ τηρεῖ τὸ νόμο δὲν εἶναι

ἐλάττων· ἀλλ' ὅτι κατορθῶν Ἕλλην Ἰουδαίου παραβαίνοντος κρείττων ἐστίν; Ἵν' ἀναμφίβολον ποιήσῃ τὴν νίκην. Τούτου γὰρ ὁμολογηθέντος, ἐξ ἀνάγκης ἡ περιτομὴ τῆς σαρκὸς ἐκβάλλεται, καὶ δείκνυται, ὅτι πανταχοῦ βίου χρεία. Ὅταν γὰρ ὁ μὲν Ἕλλην χωρὶς τούτων σώζηται, ὁ δὲ Ἰουδαῖος μετὰ τούτων κολάζηται, ἕστηκεν ἀργῶν ὁ ἰουδαϊσμός. Ἕλληνα δὲ πάλιν οὐ τὸν εἰδωλολάτρην, ἀλλὰ τὸν θεοσεβῆ καὶ ἐνάρετον καὶ τῶν νομικῶν παρατηρήσεων ἀπηλλαγμένον φησί.

«Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου;». Ἐπειδὴ πάντα ἐξέβαλε, τὴν ἀκρόασιν, τὴν διδασκαλίαν, τὸ ὄνομα τοῦ Ἰουδαίου, τὴν περιτομήν, τὰ ἄλλα πάντα, διὰ τοῦ λέγειν, ὅτι «Ὁ ἐν τῷ φανερῷ Ἰουδαῖος οὐκ ἔστιν, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ», ὁρᾷ λοιπὸν ἀντίθεσιν ἀνακύπτουσαν· καὶ πρὸς αὐτὴν ἵσταται. Τίς δέ ἐστιν ἡ ἀντίθεσις; Εἰ μηδέν, φησίν, ὠφελεῖ ταῦτα, τίνος ἕνεκεν καὶ ἐκλήθη τὸ ἔθνος, καὶ περιτομὴ ἐδόθη; Τί οὖν ποιεῖ, καὶ πῶς αὐτὴν λύει; Δι' ὧν ἔλυσε καὶ τὰ ἀνωτέρω. Ὥσπερ γὰρ ἐκεῖ οὐ τὰ ἐγκώμια αὐτῶν εἶπεν, ἀλλὰ τοῦ Θεοῦ τὰς εὐεργεσίας, οὐ τὰ αὐτῶν κατορθώματα· τὸ γὰρ Ἰουδαῖον ὀνομάζεσθαι, καὶ γινώσκειν τὸ θέλημα, καὶ δοκιμάζειν τὰ διαφέροντα, οὐκ αὐτῶν ἦν κατόρθωμα, ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτος· ὅπερ καὶ ὀνειδίζων αὐτοῖς ὁ προφήτης ἔλεγεν· «Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς»· καὶ ὁ Μωϋσῆς πάλιν, «Ἐρωτήσατε, εἰ γέγονε κατὰ τὸ ρῆμα τοῦτο», φησίν, «εἰ ἤκουσεν ἔθνος φωνὴν Θεοῦ ζῶντος ἐκ μέσου τοῦ πυρός, καὶ ἔζησε»· τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖ.

Ὥσπερ γάρ, ὅτε ἔλεγε περὶ τῆς περιτομῆς, οὐκ εἶπεν ὅτι· ἡ δὲ περιτομὴ οὐδὲν ὠφελεῖ χωρὶς βίου, ἀλλὰ περιτομὴ ὠφελεῖ μετὰ βίου, τὸ αὐτὸ μὲν δηλῶν,

9. Ψαλμ. 147, 9 10. Δευτ. 5, 26

κατώτερος ἀπὸ τὸν Ἰουδαῖο ποὺ τὸν τηρεῖ, ἀλλὰ πὼς ὁ ἐθνικὸς ποὺ τὸν τηρεῖ εἶναι ἀνώτερος ἀπὸ τὸν Ἰουδαῖο ποὺ τὸν παραβαίνει; Γιὰ νὰ κάμει ἀναμφισβήτητη τὴ νίκη. Ὅταν λοιπὸν γίνει δεκτὸ αὐτό, ἀναγκαστικὰ ἀπορρίπτεται ἡ περιτομὴ τῆς σάρκας, καὶ ἀποδεικνύεται πὼς παντοῦ χρειάζεται ὁ ὀρθὸς τρόπος ζωῆς. Γιατί, ὅταν ὁ ἐθνικὸς σώζεται χωρὶς αὐτά, ἐνῶ ὁ Ἰουδαῖος μαζὶ μ' αὐτὰ τιμωρεῖται, εἶναι ἄχρηστος ὁ Ἰουδαϊσμός. Ἐθνικὸ ὅμως πάλι δὲν ἐννοεῖ τὸν εἰδωλολάτρη, ἀλλὰ τὸν θεοσεβὴ καὶ ἐνάρετο καὶ ἀπαλλαγμένο ἀπὸ τὶς παρατηρήσεις τοῦ νόμου.

«Ποιό λοιπὸν εἶναι τὸ πλεονέκτημα τοῦ Ἰουδαίου;». Ἐπειδὴ δηλαδὴ τὰ ἀπέρριψε ὅλα, τὴν ἀκρόαση, τὴ διδασκαλία, τὸ ὄνομα τοῦ Ἰουδαίου, τὴν περιτομή, ὅλα τὰ ἄλλα, μὲ τὸ νὰ πεῖ, ὅτι «Ἐκεῖνος ποὺ ἀπὸ ἔξω φαίνεται δὲν εἶναι πραγματικὸς Ἰουδαῖος, ἀλλ' ἐκεῖνος ποὺ εἶναι μέσα του», βλέπει στὴ συνέχεια πὼς προκύπτει κάποια ἀντίθεση καὶ σταματᾶ σ' αὐτήν. Ποιά ὅμως εἶναι ἡ ἀντίθεση; Ἐὰν δὲν ὠφελοῦν, λέγει καθόλου αὐτά, γιὰ ποιό λόγο καὶ τὸ ἔθνος κλήθηκε καὶ ἡ περιτομὴ δόθηκε; Τί λοιπὸν κάνει καὶ πῶς λύνει τὴν ἀντίθεση αὐτή; Μὲ αὐτὰ ποὺ ἔλυσε καὶ τὰ παραπάνω. Ὅπως λοιπὸν ἐκεῖ δὲν εἶπε τὰ δικά τους ἐγκώμια, ἀλλὰ τὶς εὐεργεσίες τοῦ Θεοῦ, καὶ ὄχι τὰ κατορθώματά τους. Γιατὶ τὸ ὅτι ὀνομάζεται Ἰουδαῖος καὶ γνωρίζει τὸ θέλημα τοῦ Θεοῦ καὶ ξεχωρίζει τὶς διαφορές, δὲν ἦταν κατόρθωμα δικό τους, ἀλλὰ τῆς χάρης τοῦ Θεοῦ, πράγμα ποὺ καὶ ὁ προφήτης ἔλεγε κατηγορώντας αὐτούς· «Δὲν ἔκαμε τὸ ἴδιο γιὰ κάθε ἔθνος καὶ δὲ φανέρωσε σ' αὐτοὺς τὶς ἐντολές του»[9]· καὶ ὁ Μωυσῆς πάλι λέγει, «Ρωτῆστε, μήπως ἔγινε σύμφωνα μὲ τὸ λόγο αὐτό, ἂν κάποιο ἔθνος ἄκουσε τὴ φωνὴ τοῦ Θεοῦ ποὺ ζεῖ ἀνάμεσα ἀπὸ τὴ φωτιὰ καὶ ἔζησε»[10]. Αὐτὸ λοιπὸν κάνει καὶ ἐδῶ.

Ὅπως ἀκριβῶς λοιπόν, ὅταν μιλοῦσε γιὰ τὴν περιτομή, δὲν εἶπε ἡ περιτομὴ ὅμως δὲν ὠφελεῖ καθόλου χωρὶς ὀρθὸ τρόπο ζωῆς, ἀλλ' ἡ περιτομὴ ὠφελεῖ ὅταν συνο-

ἡμερώτερον δέ· καὶ πάλιν, «Ἐὰν δὲ παραβάτης νόμου ᾖς», οὐκ εἶπεν, οὐδὲν ὠφελῇ σὺ ὁ ἐμπερίτομος, ἀλλ' «Ἡ περιτομή σου ἀκροβυστία γέγονε»· καὶ μετ' ἐκεῖνο δὲ πάλιν, «Κρινεῖ», φησί, «ἡ ἀκροβυστία» οὐχὶ τὴν περιτομήν, ἀλλὰ «σὲ τὸν παραβάτην νόμου», τῶν μὲν νομίμων φειδόμενος, τοὺς δὲ ἀνθρώπους βάλλων· οὕτω καὶ ἐνταῦθα ποιεῖ. Ἀντιθεὶς γὰρ ἑαυτῷ τοῦτο, καὶ εἰπών, «Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου;» οὐκ εἶπεν, ὅτι οὐδέν, ἀλλὰ συνέδραμε τῷ λόγῳ, καὶ διὰ τῶν ἑξῆς πάλιν αὐτὸ ἀνεῖλε, καὶ ἔδειξε καὶ κολαζομένους ἀπὸ ταύτης τῆς προεδρείας. Καὶ πῶς; Ἐγὼ λέγω, τὴν ἀντίθεσιν εἰς μέσον ἀγαγών. «Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου», φησίν, «ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς. Πολὺ κατὰ πάντα τρόπον. Πρῶτον μέν, ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ.

Εἶδες, ὅπερ ἔφθην εἰπών, οὐδαμοῦ τὰ κατορθώματα αὐτῶν, ἀλλὰ τοῦ Θεοῦ τὰς εὐεργεσίας ἀριθμοῦντα; Τί δέ ἐστιν, «Ἐπιστεύθησαν»; Ὅτι αὐτοὶ ἐνεχειρίσθησαν τὸν νόμον, ὅτι τοσούτου ἀξίους εἶναι ἐνόμιζεν, ὡς πιστεῦσαι χρησμοὺς αὐτοῖς ἄνωθεν κατενεχθέντας. Καὶ οἶδα μέν, ὅτι τινὲς τό, «Ἐπιστεύθησαν», οὐκ ἐπὶ τῶν Ἰουδαίων λέγουσιν, ἀλλ' ἐπὶ τῶν λογίων, τουτέστιν, ὅτι ἐπιστεύθη ὁ νόμος· ἀλλὰ τὸ ἑξῆς οὐκ ἀφίησι τοῦτο νομίζεσθαι. Πρῶτον μὲν γὰρ κατηγορῶν αὐτῶν ταῦτα λέγει, καὶ δεικνὺς πολλῆς μὲν ἄνθεν ἀπολαύσαντας εὐεργεσίας, πολλὴν δὲ ἐπιδειξαμένους ἀγνωμοσύνην. Ἔπειτα δὲ καὶ τὰ ἑξῆς τοῦτο δηλοῖ· ἐπήγαγε γάρ· «Τί γάρ, εἰ ἠπίστησάν τινες;».

Εἰ δὲ ἠπίστησαν, πῶς, τινές φασιν, ὅτι ἐπιστεύθησαν τὰ λόγια; Τί οὖν φησιν; Ὅτι ὁ Θεὸς αὐτοῖς ταῦτα ἐπίστευσεν, οὐχ ὅτι αὐτοὶ τοῖς λόγοις ἐπίστευσαν· ἐπεὶ πῶς ἔχει λόγον τὸ ἑξῆς; καὶ γὰρ ἐπήγαγε· «Τί γάρ, εἰ ἠπίστησάν τινες;». Καὶ τὸ μετὰ τοῦτο δὲ τὸ αὐτὸ δηλοῖ· προσέθηκε γὰρ πάλιν λέγων· «Μὴ γὰρ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργή-

δεύεται καὶ μὲ τὸν τρόπο ζωῆς, φανερώνοντας βέβαια τὸ ἴδιο, ἀλλὰ πιὸ ἤπια· καὶ πάλι, «Ἐὰν ὅμως εἶσαι παραβάτης τοῦ νόμου», δὲν εἶπε, δὲν ὠφελεῖσαι καθόλου ἐσὺ ὁ περιτμημένος, ἀλλ' «Ἡ περιτομή σου ἔγινε σὰν τὴν ἀκροβυστία»· καὶ ὕστερα ἀπὸ ἐκεῖνο πάλι λέγει, «Θὰ κατακρίνει ἡ ἀκροβυστία», ὄχι τὴν περιτομὴ ἀλλὰ «σένα τὸν παραβάτη τοῦ νόμου», σεβόμενος τὶς ἐντολὲς τοῦ νόμου και στρεφόμενος ἐναντίον τῶν ἀνθρώπων, ἔτσι κάνει καὶ ἐδῶ. Γιατί, φέροντας αὐτὸ σ' ἀντίθεση πρὸς τὸν ἑαυτό του καὶ λέγοντας, «Ποιὸ λοιπὸν εἶναι τὸ πλεονέκτημα τοῦ Ἰουδαίου», λέγει, «ἢ ποιὰ εἶναι ἡ ὠφέλεια τῆς περιτομῆς; Τὸ πλεονέκτημα εἶναι μεγάλο ἀπὸ κάθε ἄποψη. Πρῶτα βέβαια, ὅτι ὁ Θεὸς τοὺς ἐμπιστεύτηκε τὶς ἐντολές του».

Εἶδες, αὐτὸ ποὺ εἶπα προηγουμένως, πὼς πουθενὰ δὲν ἀπαριθμεῖ τὰ δικά τους κατορθώματα, ἀλλὰ τὶς εὐεργεσίες τοῦ Θεοῦ; Καὶ τί σημαίνει, «Ἐπιστεύθησαν»; Ὅτι αὐτοὶ ἀνέλαβαν τὸ νόμο, ὅτι τοὺς θεωροῦσε τόσο ἄξιους, ὥστε νὰ ἐμπιστευθεῖ σ' αὐτοὺς τὶς ἐντολές που κατέβηκαν ἀπὸ τὸν οὐρανό. Καὶ ξέρω βέβαια, πὼς μερικοὶ τό, «Ἐπιστεὺθησαν», δὲν τὸ ἀναφέρουν στοὺς Ἰουδαίους, ἀλλὰ στὰ λόγια, δηλαδή, ὅτι ἐμπιστεὺθηκε ὁ νόμος. Ἡ συνέχεια ὅμως δὲν ἐπιτρέπει νὰ νομίζεται αὐτό. Γιατί πρῶτα τὰ λέγει αὐτὰ μὲ σκοπὸ νὰ τοὺς κατηγορήσει καὶ ν' ἀποδείξει πὼς ἀπόλαυσαν μεγάλη εὐεργεσία ἀπὸ τὸ Θεό, ἀλλ' ἔδειξαν μεγάλη ἀχαριστία. Στὴ συνέχεια ὅμως καὶ τὰ ἑπόμενα αὐτὸ φανερώνουν. Γιατὶ πρόσθεσε· «Τί λοιπόν, ἐὰν μερικοὶ ἔδειξαν ἀπιστία;».

Ἐὰν ὅμως ἔδειξαν ἀπιστία, πῶς ἰσχυρίζονται μερικοί, ὅτι πιστεύτηκαν τὰ λόγια; Τί λοιπὸν ἐννοεῖ; Ὅτι ὁ Θεὸς ἐμπιστεύτηκε αὐτὰ σ' αὐτούς, ὄχι ὅτι αὐτοὶ πίστεψαν στὰ λόγια. Γιατί πῶς δικαιολογεῖται τὸ ἑπόμενο; Γιατὶ βέβαια πρόσθεσε· «Τί σημαίνει λοιπόν, ἐὰν μερικοὶ ἔδειξαν ἀπιστία;». Καὶ τὸ λεγόμενο ὕστερα αὐτὸ τὸ ἴδιο φανερώνει, γιατὶ πάλι πρόσθεσε λέγοντας; «Μήπως λοιπὸν ἡ ἀπιστία τους θὰ καταργήσει τὴν ἀξιοπιστία τοῦ Θε-

σει; Μὴ γένοιτο». Τοῦτο τοίνυν, ὃ ἐπιστεύθησαν, τοῦ Θεοῦ τὴν δωρεὰν ἀνακηρύττει. Σὺ δέ μοι σκόπει καὶ ἐνταῦθα σύνεσιν. Τὴν γὰρ κατηγορίαν αὐτῶν οὐ παρ' ἑαυτοῦ πάλιν εἰσάγει, ἀλλ' ὡς ἐξ ἀντιθέσεως· ὡσανεὶ ἔλεγεν, ἀλλ' ἴσως ἐρεῖς, καὶ τί τὸ ὄφελος τῆς περιτομῆς ταύτης; οὐ γὰρ ἐχρήσαντο αὐτῇ εἰς δέον· ἐπιστεύθησαν γὰρ τὸν νόμον, καὶ ἠπίστησαν. Καὶ τέως οὐ σφοδρός ἐστι κατήγορος, ἀλλ' ὡς τὸν Θεὸν ἀπαλλάττων ἐγκλημάτων, οὕτω περιτρέπει εἰς αὐτοὺς τὴν κατηγορίαν ἅπασαν.

Τί γὰρ ἐγκαλεῖς, φησίν, ὅτι ἠπίστησαν; καὶ τί τοῦτο πρὸς τὸν Θεόν; μὴ γὰρ τὴν εὐεργεσίαν αὐτοῦ ἀνατρέπει τῶν εὐεργετηθέντων ἡ ἀγνωμοσύνη; ἢ τὴν τιμὴν ποιεῖ μὴ εἶναι τιμήν; Τοῦτο γάρ ἐστι τό, «Μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσει; Μὴ γένοιτο». Ὡς ἂν εἰ ἔλεγέ τις· ἐγὼ τὸν δεῖνα ἐτίμησα· εἰ δὲ μὴ προσήκατο τὴν τιμὴν ἐκεῖνος, τοῦτο ἐμοὶ κατηγορίαν οὐ φέρει, οὐδὲ λυμαίνεταί μου τὴν φιλανθρωπίαν, ἀλλ' ἐκείνου δείκνυσι τὴν ἀναισθησίαν. Ὁ δὲ Παῦλος οὐ τοῦτο μόνον λέγει, ἀλλὰ καὶ τὸ πολλῷ πλέον· ὅτι οὐ μόνον οὐ προστρίβεται ἔγκλημα τῷ Θεῷ ἡ ἀπιστία ἐκείνων, ἀλλὰ καὶ μείζονα δείκνυσιν αὐτοῦ τὴν τιμὴν καὶ τὴν φιλανθρωπίαν, ὅταν καὶ τὸν μέλλοντα αὐτὸν ἀτιμάζειν φαίνηται τιμῶν.

5. Εἶδες πῶς αὐτοὺς ἐποίησεν ὑπευθύνους ἐγκλημάτων, ἀφ' ὧν ἐκαλλωπίζοντο; εἴπερ ὁ μὲν Θεὸς τοσαύτῃ περὶ αὐτοὺς ἐχρήσατο τῇ τιμῇ, ὡς μηδὲ τὸ μέλλον προορῶν ἀποσχέσθαι τῆς περὶ αὐτοὺς εὐνοίας· αὐτοὶ δὲ τὸν τιμήσαντα, δι' ὧν ἐτιμήθησαν, ὕβρισαν. Εἶτα ἐπειδὴ εἶπε, «Τί γάρ, εἰ ἠπίστησάν τινες;» φαίνονται δὲ πάντες ἠπιστηκότες· ἵνα μὴ πάλιν κατὰ τὴν ἱστορίαν λέγων, δόξῃ σφοδρὸς αὐτῶν εἶναι

οὗ; Μακριὰ μιὰ τέτοια σκέψη». Αὐτό, λοιπόν, ποὺ τοὺς ἐμπιστεύτηκε, ἀνακηρύσσει τὴ δωρεὰ τοῦ Θεοῦ. Ἐσὺ ὅμως πρόσεχε, παρακαλῶ, καὶ ἐδῶ τὴ σύνεσή του. Γιατὶ τὴν κατηγορία τους δὲν τὴν παρουσιάζει πάλι ἀπὸ τὸν ἑαυτό του, ἀλλὰ ἔτσι ἀπὸ τὴν ἀντίθεση. Σὰν νὰ ἔλεγε, ἴσως ὅμως θὰ πεῖς, καὶ ποιό τὸ ὄφελος αὐτῆς τῆς περιτομῆς; γιατί δὲν τὴ χρησιμοποίησαν ὅπως ἔπρεπε· γιατί τοὺς ἐμπιστεύτηκε ὁ νόμος καὶ ἔδειξαν ἀπιστία. Καὶ στὴν ἀρχὴ δὲν εἶναι σφοδρὸς κατήγορος, ἀλλ', ἀπαλλάσσοντας το Θεὸ ἀπὸ τὶς κατηγορίες, στρέφει ἔτσι ὅλη τὴν κατηγορία σ' αὐτούς.

Γιατί λοιπὸν κατηγορεῖς, λέγει, ὅτι ἔδειξαν ἀπιστία; καὶ ποιὰ σχέση ἔχει αὐτὸ μὲ τό Θεό; μήπως λοιπὸν ἡ ἀχαριστία αὐτῶν ποὺ εὐεργετήθηκαν ἀνατρέπει τὴν εὐεργεσία τοῦ Θεοῦ; ἢ κάνει τὴν τιμὴ νὰ μὴν εἶναι τιμή; Γιατί αὐτὸ σημαίνει τό, «Μήπως ἡ ἀπιστία τους θὰ καταργήσει τὴν ἀξιοπιστία τοῦ Θεοῦ; Μακριὰ μιὰ τέτοια σκέψη». Σὰν νὰ ἔλεγε κάποιος· ἐγὼ τίμησα τὸν τάδε· ἐὰν ὅμως ἐκεῖνος δὲ δέχθηκε τὴν τιμή, αὐτὸ δὲν ἀποτελεῖ κατηγορία γιὰ μένα, οὔτε ἐξαφανίζει τὴ φιλανθρωπία μου, ἀλλ' ἀποδείχνει τὴν ἀναισθησία του. Ὁ Παῦλος ὅμως ὄχι μόνο αὐτὸ λέγει, ἀλλὰ καὶ τὸ πολὺ περισσότερο· ὅτι δηλαδὴ ἡ ἀπιστία τους ὄχι μόνο δὲν καταλογίζεται σὰν κατηγορία στὸ Θεό, ἀλλὰ δείχνει καὶ μεγαλύτερη τὴν τιμή του καὶ τὴ φιλανθρωπία του, ὅταν φαίνεται νὰ τιμάει καὶ ἐκεῖνον ποὺ πρόκειται νὰ τὸν ἀτιμάσει.

5. Εἶδες πῶς τοὺς ἔκαμε αὐτοὺς ὑπεύθυνους γιὰ κατηγορίες ἀπ' αὐτὰ ποὺ ὑπερηφανεύονταν; Ἂν καὶ ὁ Θεὸς μεταχειρίστηκε γι' αὐτοὺς τόσο μεγάλη τιμή, ὥστε νὰ μὴ σταματήσει τὴν εὔνοιά του γι' αὐτούς, ἐπειδὴ προβλέπει τὸ μέλλον, αὐτοὶ ὅμως περιφρόνησαν ἐκεῖνον ποὺ τοὺς τίμησε, μ' ἐκεῖνα τὰ ὁποῖα τιμήθηκαν. Ἔπειτα, ἐπειδὴ εἶπε, «Τί λοιπὸν ἐὰν μερικοὶ ἔδειξαν ἀπιστία;» φαίνονται πὼς ὅλοι ἔχουν δείξει ἀπιστία. Γιὰ νὰ μὴ φανεῖ πάλι, μιλώντας σύμφωνα μὲ τὴν πραγματικότητα, ὅτι εἶναι

κατήγορος, ὡς ἐχθρός, ἐν τάξει λογισμοῦ καὶ συλλογισμοῦ τίθησι τὸ ἐπὶ τῆς ἀληθείας γεγενημένον, οὕτω λέγων· «Γενέσθω δὲ ὁ Θεὸς ἀληθής, πᾶς δὲ ἄνθρωπος ψεύστης». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐ λέγω, φησίν, ὅτι τινὲς ἠπίστησαν, ἀλλ', εἰ βούλει, τίθει πάντας ἠπιστηκέναι· τὸ ἀληθὲς γεγενημένον κατὰ συνδρομὴν συγχωρῶν, ἵνα ἀνεπαχθὴς εἶναι δόξῃ καὶ ἀνύποπτος. Καὶ γὰρ οὕτω μᾶλλον δικαιοῦται, φησίν, ὁ Θεός.

Τί ἐστι, δικαιοῦται; Εἰ κρίσις γένοιτο καὶ ἐξέτασις τῶν ὑπηργμένων τοῖς Ἰουδαίοις παρ' αὐτοῦ, καὶ τῶν παρ' αὐτῶν εἰς αὐτὸν γεγενημένων, τὰ νικητήρια ἔσται παρὰ τῷ Θεῷ, καὶ τὰ δικαιώματα αὐτοῦ πάντα. Καὶ δείξας τοῦτο σαφῶς ἐκ τῶν ἔμπροσθεν εἰρημένων, τότε καὶ τὸν προφήτην εἰσήγαγε τούτοις ψηφιζόμενον καὶ λέγοντα· «Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε». Αὐτὸς μὲν γὰρ τὰ παρ' ἑαυτοῦ πάντα ἐποίησεν, ἐκεῖνοι δὲ οὐδὲ οὕτως ἐγένοντο βελτίους. Εἶτα ἐκ τούτου πάλιν ἀντίθεσιν ἑτέραν ἀνακύπτουσαν εἰς μέσον ἄγει, καί φησιν· «Εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην συνίστησι, τί ἐροῦμεν; μὴ ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν; κατὰ ἄνθρωπον λέγω. Μὴ γένοιτο». Ἄτοπον ἀτόπῳ λύει λοιπόν. Ἐπειδὴ δὲ τοῦτο ἀσαφές, ἀναγκαῖον αὐτὸ σαφέστερον εἰπεῖν.

Τί οὖν ἐστιν, ὅ φησιν; Ἐτίμησε τοὺς Ἰουδαίους ὁ Θεός, ὕβρισαν αὐτὸν ἐκεῖνοι. Τοῦτο αὐτὸν ποιεῖ νικῆσαι, καὶ πολλὴν αὐτοῦ δείκνυσι τὴν φιλανθρωπίαν, ὅτι καὶ τοιούτους ὄντας ἐτίμησεν. Οὐκοῦν ἐπειδή, ὅτι ὑβρίσαμεν, φησίν, ἡμεῖς καὶ ἠδικήσαμεν, διὰ τοῦτο ὁ Θεὸς ἐνίκησε καὶ ἡ δικαιοσύνη αὐτοῦ λαμπρὰ ἐφάνη, τίνος ἕνεκεν κολάζομαι, φησί, αἴτιος αὐτῷ τοῦ νικῆσαι γενόμενος δι' ὧν ὕβρισα; Πῶς οὖν αὐτὸ λύει; Ἑτέρῳ, ὅπερ ἔφην, ἀτόπῳ πάλιν. Εἰ γὰρ αἴτιος, φησί, σὺ τῆς νίκης ἐγένου, καὶ μετὰ ταῦτα

------

11. Ψαλμ. 50, 6

σφοδρός τους κατήγορος σὰν ἐχθρός, ἀναφέρει τὸ ἀληθινὸ γεγονὸς σὰν σκέψη καὶ συμπέρασμα, λέγοντας ἔτσι· «Ἂς γίνει ὅμως ὁ Θεὸς ἀληθινὸς καὶ κάθε ἄνθρωπος ψεύτης». Αὐτὸ ὅμως *ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· δὲν* ἐννοῶ, λέγει, ὅτι μερικοὶ ἔδειξαν *ἀπιστία*, ἀλλά, *ἐὰν θέλεις*, λογάριαζε πὼς ὅλοι ἔχουν δείξει ἀπιστία, ἀναφέροντας τὸ ἀληθινὸ γεγονὸς συμπερασματικά, γιὰ νὰ φανεῖ μαλακὸς καὶ ἀνυποψίαστος. Γιατὶ πραγματικὰ ἔτσι δικαιώνεται, λέγει, ὁ Θεός.

Τί σημαίνει, δικαιώνεται; Ἐὰν γίνει κρίση καὶ ἐξέταση ἐκείνων ποὺ ἔκαμε ὁ Θεὸς στοὺς Ἰουδαίους καὶ ἐκείνων ποὺ αὐτοὶ ἔκαμαν στὸ Θεό, ἡ *νίκη θὰ εἶναι μὲ τὸ* μέρος τοῦ Θεοῦ καὶ ἡ δικαίωση ὅλη δική του. *Καὶ ἀφοῦ* τὸ ἔδειξε καθαρὰ αὐτὸ ἀπ' ὅσα προηγουμένως ἀνέφερε, τότε παρουσίασε καὶ τὸν προφήτη ποὺ συμφωνεῖ μ' αὐτὰ καὶ λέγει· «Γιὰ νὰ δικαιωθεῖς στὰ λόγια σου, καὶ νὰ νικήσεις ὅταν σὲ κρίνουν οἱ ἄνθρωποι»[11]. Αὐτὸς δηλαδὴ ἔκαμε ὅλα τὰ δικά του, ἐκεῖνοι ὅμως οὔτε ἔγιναν καλύτεροι. Στὴ συνέχεια παρουσιάζει πάλι ἄλλη ἀντίθεση ποὺ προκύπτει ἀπ' αὐτό, καὶ λέγει· «Ἐὰν ὅμως ἡ δική μας ἀδικία ἀποδεικνύει τὴ δικαιοσύνη τοῦ Θεοῦ, τί θὰ ποῦμε; μήπως εἶναι ἄδικος ὁ Θεὸς ποὺ ὀργίζεται ἐναντίον μας; μιλάω σὰν ἄνθρωπος. Μακριὰ μιὰ τέτοια σκέψη». Στὴ συνέχεια λύνει τὸ ἄτοπο μὲ ἄτοπο. Ἐπειδὴ ὅμως αὐτὸ εἶναι ἀσαφές, εἶναι ἀνάγκη νὰ τὸ παρουσιάσω σαφέστερα.

Τί λοιπὸν σημαίνει αὐτὸ ποὺ λέγει; Ὁ Θεὸς τίμησε τοὺς Ἰουδαίους, αὐτοὶ τὸν περιφρόνησαν. Αὐτὸ τὸν κάνει νὰ νικήσει καὶ δείχνει τὴ μεγάλη φιλανθρωπία του, γιατὶ τοὺς τίμησε, μολονότι ἦταν τέτοιοι. Ἑπομένως, ἐπειδή, ἀφοῦ περιφρονήσαμε, λέγει, καὶ ἀδικήσαμε, γι' αὐτὸ ὁ Θεὸς νίκησε καὶ ἡ δικαιοσύνη του φάνηκε λαμπρή, γιὰ ποιὸ λόγο τιμωροῦμαι, λέγει, ἀφοῦ ἔγινα αἴτιος νὰ νικήσει μ' αὐτὰ ποὺ περιφρόνησα; Πῶς λοιπὸν τὸ λύνει αὐτό; Μὲ ἄλλο, ὅπως εἶπα, ἄτοπο πάλι. Ἐὰν λοιπόν, λέγει, ἔγινες ἐσὺ αἴτιος τῆς νίκης του, καὶ ὕστερα ἀπ' αὐτὰ τιμω-

κολάζῃ, ἀδικία τὸ γενόμενον· εἰ δὲ οὐκ ἄδικος, κολάζῃ δέ, οὐκέτι αἴτιος αὐτῷ τῆς νίκης γέγονας. Καὶ ὅρα τὴν εὐλάβειαν τὴν ἀποστολικήν. Εἰπὼν γάρ, «Μὴ ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν;» ἐπήγαγε, «Κατὰ ἄνθρωπον λέγω». Ὡς ἄν τις, φησί, κατὰ ἀνθρώπινον διαλεχθείη λογισμόν· πολὺ γὰρ καὶ τὰ παρ' ἡμῖν δοκοῦντα εἶναι δίκαια ὑπερβαίνει τοῦ Θεοῦ ἡ δικαιοκρισία, καὶ ἔχει τινὰς καὶ ἑτέρους ἀπορρήτους λόγους.

Εἶτα ἐπειδὴ ἀσαφὲς ἦν, καὶ ἐκ δευτέρου τὸ αὐτὸ λέγει πάλιν· «Εἰ γὰρ ἡ ἀλήθεια τοῦ Θεοῦ ἐν τῷ ἐμῷ ψεύδει ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι; Εἰ γὰρ ὁ Θεός, φησί, φιλάνθρωπος καὶ δίκαιος ἐφάνη καὶ ἀγαθός, ἐξ ὧν σὺ παρήκουσας, οὐ μόνον οὐκ ὀφείλεις κολάζεσθαι, ἀλλὰ καὶ εὐεργετεῖσθαι. Εἰ δὲ τοῦτο, εὑρεθήσεται τὸ ἄτοπον ἐκεῖνο, καὶ παρὰ πολλῶν περιφερόμενον, τὸ ἐκ τῶν κακῶν εἶναι τὰ καλά, καὶ αἴτια τῶν καλῶν τὰ κακά· καὶ ἀνάγκη δὲ δυσὶν θάτερον, ἢ κολάζοντα ἄδικον φαίνεσθαι, ἢ μὴ κολάζοντα ἀπὸ τῶν ἡμετέρων κακῶν ἔχειν τὰ νικητήρια· ἅπερ ἀμφότερα μεθ' ὑπερβολῆς ἄτοπα. Ὅπερ δεικνὺς καὶ αὐτός, τοὺς πατέρας τῶν τοιούτων ἐπεισήγαγε δογμάτων Ἕλληνας, ἀρκεῖν ἡγούμενος εἰς κατηγορίαν τῶν εἰρημένων, τὴν ποιότητα τῶν προσώπων τῶν ταῦτα λεγόντων.

Τότε γὰρ ἡμᾶς κωμῳδοῦντες ἔλεγον, ὅτι ποιήσωμεν τὰ κακά, ἵνα ἔλθῃ τὰ ἀγαθά· διὸ καὶ τέθεικεν αὐτὸ σαφῶς οὕτω λέγων· «Εἰ μὴ καθὼς βλασφημούμεθα, καὶ καθὼς φασί τινες ἡμᾶς λέγειν, ὅτι, ποιήσωμεν τὰ κακά, ἵνα ἔλθῃ τὰ ἀγαθά· ὧν τὸ κρίμα ἔνδικόν ἐστιν». Ἐπειδὴ γὰρ ἔλεγεν ὁ Παῦλος, «Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις», κωμῳ-

12. Ρωμ. 5, 20

ρεῖσαι, εἶναι ἀδικία αὐτὸ ποὺ γίνεται· ἐὰν ὅμως δὲν εἶναι ἄδικος ὁ Θεός, ἐνῶ ἐσὺ τιμωρεῖσαι, δὲν ἔγινες καθόλου αἴτιος τῆς νίκης του. Καὶ πρόσεχε τὴν εὐλάβεια τοῦ ἀποστόλου. Γιατί, ἀφοῦ εἶπε, «Μήπως εἶναι ἄδικος ὁ Θεὸς ποὺ ὀργίζεται ἐναντίον μας;» πρόσθεσε, «Σὰν ἄνθρωπος μιλάω». Σὰν νὰ ἔκαμε κάποιος, λέγει, μιὰ ἀνθρώπινη σκέψη. Γιατὶ ἡ δίκαια κρίση του Θεοῦ ξεπερνάει πολὺ καὶ ἐκεῖνα ποὺ μᾶς φαίνονται πὼς εἶναι δίκαια, καὶ ἔχει καὶ μερικοὺς ἄλλους ἀπόρρητους λόγους.

Στὴ συνέχεια, ἐπειδὴ ἦταν ἀσαφὲς αὐτό, λέγει τὸ ἴδιο γιὰ δεύτερη φορὰ πάλι· «Ἐὰν λοιπὸν ἡ ἀλήθεια τοῦ Θεοῦ μὲ τὸ δικό μου ψέμα ἔγινε περισσότερη γιὰ δική του δόξα, γιατὶ τότε καὶ ἐγὼ καταδικάζομαι σὰν ἁμαρτωλός;». Ἐὰν λοιπὸν ὁ Θεός, λέγει, φάνηκε φιλάνθρωπος καὶ δίκαιος καὶ ἀγαθός, ἀπὸ αὐτὰ ποὺ ἐσὺ δὲν πρόσεξες, ὄχι μόνο δὲν πρέπει νὰ τιμωρεῖσαι, ἀλλὰ καὶ νὰ εὐεργετεῖσαι. Ἐὰν ὅμως συμβαίνει αὐτό, θὰ βρεθεῖ τὸ ἄτοπο ἐκεῖνο, τὸ ὁποῖο λέγεται καὶ ἀπὸ πολλούς, ὅτι δηλαδὴ τὰ καλὰ προέρχονται ἀπὸ τὰ κακά, καὶ ὅτι τὰ κακὰ εἶναι αἴτια τῶν καλῶν· καὶ εἶναι ἀνάγκη νὰ γίνεται ἕνα ἀπὸ τὰ δύο, ἢ νὰ φαίνεται ἄδικος ὅταν τιμωρεῖ ἢ νὰ νικάει ἀπὸ τὰ δικά μας κακὰ ὅταν δὲν τιμωρεῖ. Αὐτὰ βέβαια εἶναι ὑπερβολικὰ ἄτοπα καὶ τὰ δύο. Ἀποδείχνοντας αὐτὸ καὶ ὁ ἴδιος, παρουσίασε καὶ τοὺς ἐφευρέτες αὐτῶν τῶν διδασκαλιῶν Ἕλληνες, θεωρώντας πὼς εἶναι ἀρκετὴ γιὰ τὴν κατηγορία αὐτῶν ποὺ εἰπώθηκαν ἡ ποιότητα τῶν προσώπων ἐκείνων ποὺ λέγουν αὐτά.

Τότε λοιπὸν χλευάζοντας ἐμᾶς ἔλεγαν, ἄς κάνομε τὰ κακά, γιὰ νὰ ἔρθουν τὰ καλά. Γι' αὐτὸ καὶ τὸ ἀνέφερε αὐτὸ καθαρὰ λέγοντας τὸ ἑξῆς· «Ἐκτὸς ἐάν, καθὼς μᾶς συκοφαντοῦν καὶ καθὼς ἰσχυρίζονται μερικοί, πὼς ἐμεῖς λέμε ὅτι, θὰ κάνομε τὰ κακά, γιὰ νὰ ἔρθουν τὰ ἀγαθά. Αὐτῶν τῶν ἀνθρώπων ἡ καταδίκη εἶναι δίκαια». Ἐπειδὴ λοιπὸν ἔλεγε ὁ Παῦλος, «Ὅπου πληθύνθηκε ἡ ἁμαρτία, δόθηκε πολὺ ἀφθονότερη ἡ χάρη»[12], χλευάζοντας αὐτὸν

δοῦντες αὐτὸν καὶ ἑτέρᾳ γνώμῃ διαστρέφοντες τὸ εἰρημένον, ἔλεγον, ὅτι δεῖ κακίας ἔχεσθαι, ἵνα ἀπολαύσωμεν ἀγαθῶν. Ὁ δὲ Παῦλος οὐχ οὕτως ἔλεγε· διορθούμενος γοῦν αὐτό φησι, «Τί οὖν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; Μὴ γένοιτο». Ὑπὲρ γὰρ τῶν παρελθόντων, φησί, εἴρηκα χρόνων, οὐχ ἵνα μελέτην τοῦτο ποιώμεθα. Ταύτης γοῦν ἀπάγων τῆς ὑπονοίας, ἔφησεν αὐτὸ καὶ ἀδύνατον εἶναι λοιπόν. «Οἵτινες γάρ», φησίν, «ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ;».

6. Τῶν μὲν οὖν Ἑλλήνων εὐκόλως κατέδραμεν· ὁ γὰρ βίος αὐτῶν σφόδρα διέφθαρτο· τῶν δὲ Ἰουδαίων εἰ καὶ ὁ βίος ἐδόκει παρημελῆσθαι, ἀλλ' ἦν προκαλύμματα τούτων μεγάλα, νόμος καὶ περιτομή, καὶ τὸ τὸν Θεὸν αὐτοῖς ὡμιληκέναι, καὶ τὸ πάντων εἶναι διδασκάλους. Διὰ τοῦτο καὶ τούτων αὐτοὺς ἐγύμνωσε, καὶ μᾶλλον ἔδειξεν ἐκ τούτων κολαζομένους, εἰς ὃ καὶ ἐνταῦθα τὸν λόγον συνέκλεισεν. Εἰ γὰρ μὴ κολάζονται, φησί, τοιαῦτα ποιοῦντες, ἀνάγκη τὸν βλάσφημον ἐκεῖνον περιφέρεσθαι λόγον, τό, «Ποιήσωμεν τὰ κακά, ἵνα ἔλθῃ τὰ ἀγαθά». Εἰ δὲ τοῦτο ἀσεβές, καὶ οἱ λέγοντες αὐτὸ δίκην δώσουσι (τοῦτο γὰρ ἐδήλωσεν εἰπών, «Ὧν τὸ κρίμα ἔνδικόν ἐστιν»), εὔδηλον ὅτι κολάζονται. Εἰ γὰρ οἱ λέγοντες, τιμωρίας ἄξιοι, πολλῷ μᾶλλον οἱ πράσσοντες· εἰ δὲ ἄξιοι τιμωρίας, ὡς ἡμαρτηκότες ἄξιοι. Οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ κολάζων, ἵνα καί τις ὑποπτεύσῃ τὴν ψῆφον, ἀλλ' ὁ Θεὸς ὁ δικαίως πάντα ποιῶν. Εἰ δὲ δικαίως τιμωροῦνται, ἀδίκως ἐκεῖνα ἔλεγον, ἅπερ ἔλεγον οἱ κωμῳδοῦντες ἡμᾶς· πάντα γὰρ ὁ Θεὸς ἔπραξε καὶ πράττει, ὥστε τὴν πολιτείαν ἡμῶν διαλάμπειν καὶ ὀρθοῦσθαι πάντοθεν.

Μὴ τοίνυν ῥᾳθυμῶμεν· οὕτω γὰρ καὶ τοὺς Ἕλ-

---

13. Ρωμ. 6, 1 - 2.
14. Ρωμ. 6, 2

καὶ μὲ ἄλλη διάθεση διαστρέφοντας τὸ λόγο του, ἔλεγαν, ὅτι πρέπει νὰ ἐπιδιώκομε τὴν κακία, γιὰ ν' ἀπολαύσομε τὰ ἀγαθά. Ὁ Παῦλος ὅμως δὲν ἔλεγε αὐτό. Διορθώνοντας λοιπὸν αὐτὸ λέγει· «Τί λοιπὸν θὰ ποῦμε; θὰ ἐπιμείνομε στὴν ἁμαρτία, γιὰ νὰ πληθυνθεῖ ἡ χάρη; Μακριὰ μιὰ τέτοια σκέψη»[13]. Γιὰ τὰ περασμένα χρόνια, λέγει, τὸ ἔχω πεῖ αὐτό, ὄχι γιὰ νὰ τὸ κάνομε συνήθεια. Ἀπομακρύνοντας λοιπὸν αὐτὴ τὴν ὑπόνοια, εἶπε στὴ συνέχεια πὼς εἶναι καὶ ἀδύνατο αὐτό. «Γιατὶ ἐμεῖς», λέγει, «ποὺ πεθάναμε ὡς πρὸς τὴν ἁμαρτία, πῶς θὰ ζήσομε ἀκόμη μέσα σ' αὐτήν;»[14].

6. Τοὺς Ἕλληνες λοιπὸν εὔκολα τοὺς κατηγόρησε, γιατὶ ἡ ζωή τους εἶχε διαφθαρεῖ πάρα πολύ, ἐνῶ στοὺς Ἰουδαίους, ἂν καὶ ἡ ζωή τους φαινόταν πὼς ἦταν ἀδιάφορη, ὑπῆρχαν ὅμως σ' αὐτοὺς μεγάλα προσχήματα, δηλαδὴ ὁ νόμος καὶ ἡ περιτομή, καὶ τὸ ὅτι ἔχει μιλήσει σ' αὐτοὺς ὁ Θεός, καὶ τὸ ὅτι εἶναι διδάσκαλοι ὅλων. Γι' αὐτὸ καὶ τοὺς γύμνωσε ἀπ' αὐτά, καὶ μᾶλλον ἀπέδειξε πὼς τιμωροῦνται ἀπ' αὐτά, στὸ ὁποῖο καὶ τελείωσε ἐδῶ τὸ λόγο του. Γιατί, ἂν δὲν τιμωροῦνται, λέγει, ὅταν τὰ κάνουν αὐτά, εἶναι ἀνάγκη νὰ λέγεται ὁ βλάσφημος ἐκεῖνος λόγος, δηλαδή, τὸ «Ἂς κάνομε τὰ κακά, γιὰ νὰ ἔρθουν τὰ ἀγαθά». Ἐὰν ὅμως αὐτὸ εἶναι ἀσεβές, καὶ ὅσοι τὸ λέγουν θὰ τιμωρηθοῦν (γιατὶ αὐτὸ φανέρωσε λέγοντας, «Αὐτῶν ἡ καταδίκη εἶναι δίκαια»), εἶναι ὁλοφάνερο ὅτι τιμωροῦνται. Ἐὰν λοιπὸν ὅσοι τὸ λέγουν εἶναι ἄξιοι τιμωρίας, πολὺ περισσότερο εἶναι ὅσοι τὸ κάνουν· ἐὰν ὅμως εἶναι ἄξιοι τιμωρίας, εἶναι ἄξιοι ἐπειδὴ ἔχουν ἁμαρτήσει. Γιατὶ δὲν εἶναι ἄνθρωπος αὐτὸς ποὺ τιμωρεῖ, γιὰ νὰ θεωρήσει ὕποπτη τὴν ἀπόφαση, ἀλλ' ὁ Θεὸς ποὺ τὰ πάντα κάνει δίκαια. Ἐὰν ὅμως δίκαια τιμωροῦνται, ἄδικα ἔλεγαν ἐκεῖνα, τὰ ὁποῖα ἔλεγαν αὐτοὶ ποὺ μᾶς χλεύαζαν. Γιατὶ ὁ Θεὸς τὰ πάντα ἔκαμε καὶ κάνει, γιὰ νὰ λάμπει ἡ συμπεριφορά μας καὶ νὰ διορθώνεται ἀπὸ παντοῦ.

Ἂς μὴν ἀδιαφοροῦμε λοιπόν, γιατὶ ἔτσι θὰ μπορέσου-

ληνας ἀποστῆσαι δυνησόμεθα τῆς πλάνης. Ὅταν δὲ ἐν μὲν ῥήμασι φιλοσοφῶμεν, ἐν δὲ ἔργοις ἀσχημονῶμεν, ποίοις ὀφθαλμοῖς αὐτοὺς ὀψόμεθα; ποίοις στόμασι διαλεξόμεθα περὶ δογμάτων; Ἐρεῖ γὰρ πρὸς ἕκαστον ἡμῶν· ὁ τὸ ἔλαττον μὴ κατωρθωκώς, πῶς ἀξιοῖς περὶ τοῦ μείζονος διδάσκειν; ὁ μηδέπω μαθών. ὅτι πλεονεξία κακόν, πῶς περὶ τῶν ἐν τοῖς οὐρανοῖς πραγμάτων φιλοσοφεῖς; Ἀλλ' οἶδας, ὅτι κακόν; Οὐκοῦν μεῖζον τὸ ἔγκλημα, ὅτι καὶ εἰδὼς πλημμελεῖς. Καὶ τί λέγω τὸν Ἕλληνα; Οὐδὲ γὰρ οἱ παρ' ἡμῖν νόμοι συγχωροῦσιν ἡμῖν ταύτης ἀπολαύειν τῆς παρρησίας, ὅταν ὁ βίος ἡμῶν διεφθαρμένος ᾖ. «Τῷ γὰρ ἁμαρτωλῷ», φησίν, «εἶπεν ὁ Θεός· Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου;». Ἀπηνέχθησάν ποτε αἰχμάλωτοι Ἰουδαῖοι, καὶ τῶν Περσῶν ἐπικειμένων καὶ ἀξιούντων ᾄδειν αὐτοῖς τὰς θείας ᾠδὰς ἐκείνας, ἔλεγον· «Πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ τῆς ἀλλοτρίας;».

Εἰ δὲ ἐν βαρβάρῳ γῇ τὰ λόγια τοῦ Θεοῦ θέμις οὐκ ἦν ᾄδειν, πολλῷ μᾶλλον τὴν βάρβαρον ψυχήν· βάρβαρος γάρ ἐστιν ἡ ἀνηλεὴς ψυχή. Εἰ γὰρ τοὺς αἰχμαλώτους ὄντας, καὶ δούλους ἀνθρώπων ἐν ἀλλοτρίᾳ γῇ γενομένους ὁ νόμος ἐκάθισεν ἐν σιγῇ, πολλῷ μᾶλλον τοὺς δούλους ὄντας τῆς ἁμαρτίας καὶ ἐν ἀλλοτρίᾳ πολιτεία γενομένους ἐπιστομίζεσθαι δίκαιον. Καίτοι καὶ τὰ ὄργανα εἶχον τότε ἐκεῖνοι· «Ἐν γὰρ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς», φησίν, «ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν»· ἀλλ' οὐδὲ οὕτως ἐξῆν. Οὐκοῦν οὐδὲ ἡμῖν, κἂν στόμα ἔχωμεν καὶ γλῶτταν, ἅπερ ἐστὶν ὄργανα τοῦ λόγου, θέμις παρρησιάζεσθαι, ἕως ἂν τῇ πάντων βαρβάρων τυραννικωτέρᾳ δουλεύωμεν ἁμαρτίᾳ. Εἰπὲ γάρ μοι, τί πρὸς τὸν Ἕλληνα ἐρεῖς ἁρπά-

------

15. Ψαλμ. 49, 16
16. Ψαλμ. 136, 4
17. Ψαλμ. 136, 2

με νὰ ἀπομακρύνομε καὶ τοὺς Ἕλληνες ἀπὸ τὴν πλάνη. Ὅταν ὅμως μὲ τὰ λόγια εἴμαστε εὐσεβεῖς, ἐνῶ μὲ τὰ ἔργα ἀσχημονοῦμε, μὲ ποιὰ μάτια θὰ τοὺς δοῦμε; μὲ ποιὰ στόματα θὰ τοὺς μιλήσομε γιὰ τὰ δόγματα; Γιατὶ θὰ πεῖ στὸν καθένα μας· ἐσὺ ποὺ δὲν ἔχεις κατορθώσει τὸ μικρότερο, πῶς ἔχεις τὴν ἀξίωση νὰ διδάσκεις γιὰ τὸ μεγαλύτερο; ἐσὺ ποὺ δὲν ἔμαθες ἀκόμη, ὅτι ἡ πλεονεξία εἶναι κακό, πῶς διδάσκεις γιὰ τὰ πράγματα ποὺ βρίσκονται στοὺς οὐρανούς; Ἀλλὰ γνωρίζεις, ὅτι εἶναι κακό; Ἐπομένως εἶναι μεγαλύτερο τὸ ἔγκλημα, γιατί, ἂν καὶ γνωρίζεις, ἁμαρτάνεις. Καὶ γιατί λέγω τὸν Ἕλληνα; Γιατὶ οὔτε οἱ δικοί μας νόμοι μᾶς ἐπιτρέπουν ν' ἀπολαμβάνουμε αὐτὴ τὴν παρρησία, ὅταν ἡ ζωή μας εἶναι διεφθαρμένη. «Γιατί στὸν ἁμαρτωλό», λέγει, «εἶπε ὁ Θεός· Γιατί ἐσὺ διηγεῖσαι τὶς ἐντολές μου;»[15]. Ὁδηγήθηκαν κάποτε αἰχμάλωτοι οἱ Ἰουδαῖοι, καὶ ὅταν οἱ Πέρσες τοὺς πίεζαν καὶ ἀξίωναν νὰ τοὺς ψάλλουν τὶς θεῖες ἐκεῖνες ᾠδές, ἔλεγαν· «Πῶς θὰ ψάλουμε τὴν ᾠδὴ τοῦ Κυρίου σὲ ξένη χώρα;»[16].

Ἐὰν λοιπὸν σὲ βαρβαρικὴ χώρα δὲν εἶχαν τὴ διάθεση νὰ ψάλλουν τὰ λόγια τοῦ Θεοῦ, πολὺ περισσότερο δὲν ἐπιτρέπεται νὰ τὰ ψάλλει ἡ βάρβαρη ψυχή· γιατὶ βάρβαρη εἶναι ἡ ἄσπλαχνη ψυχή. Ἐὰν λοιπὸν ὁ νόμος ἔκαμε νὰ σιγήσουν ἐκείνους ποὺ ἦταν αἰχμάλωτοι καὶ ἔγιναν δοῦλοι ἀνθρώπων σὲ βαρβαρικὴ χώρα, πολὺ περισσότερο εἶναι δίκαιο νὰ κλείνουν τὸ στόμα τους ἐκεῖνοι ποὺ εἶναι δοῦλοι τῆς ἁμαρτίας καὶ βρέθηκαν σὲ ξένο τρόπο ζωῆς. Μολονότι βέβαια εἶχαν καὶ τὰ ὄργανα τότε ἐκεῖνοι· «Γιατί στὶς ἰτιές ποὺ ὑπῆρχαν στὴ χώρα», λέγει, «κρεμάσαμε τὰ ὄργανά μας»[17]· ἀλλ' οὔτε ἔτσι μποροῦσαν νὰ τὸ κάνουν αὐτό. Ἐπομένως οὔτε σ' ἐμᾶς, ἔστω καὶ ἂν ἔχουμε στόμα καὶ γλώσσα, ποὺ εἶναι τὰ ὄργανα τοῦ λόγου, ἐπιτρέπεται νὰ μιλοῦμε μὲ παρρησία, ὅσο θὰ εἴμαστε δοῦλοι στὴν ἁμαρτία, ἡ ὁποία εἶναι πιὸ τυραννικὴ ἀπ' ὅλους τοὺς βαρβάρους. Γιατί, πές μου, τί θὰ πεῖς στὸν Ἕλληνα, ὅταν εἶ-

ζων καὶ πλεονεκτῶν ἀπόστηθι τῆς εἰδωλολατρίας· ἐπίγνωθι τὸν Θεόν, μηδὲ ἀργύρῳ καὶ χρυσῷ πρόσιθι; Ἆρ' οὖν οὐ γελάσεται καὶ ἐρεῖ· σαυτῷ ταῦτα διαλέγου πρότερον; οὐ γάρ ἐστιν ἴσον Ἕλληνα ὄντα εἰδωλολατρεῖν, καὶ Χριστιανὸν ὄντα τὸ αὐτὸ τοῦτο πλημμελεῖν.

Πῶς γὰρ δυνησόμεθα ἑτέρους ἀπάγειν τῆς εἰδωλολατρίας ἐκείνης, ἑαυτοὺς ταύτης οὐκ ἀπάγοντες; τοῦ γὰρ πλησίον ἡμεῖς ἐγγύτεροι ἑαυτοῖς. Ὅταν οὖν ἑαυτοὺς μὴ πείθωμεν, πῶς ἑτέρους πείσομεν; Εἰ γὰρ ὁ τῆς οἰκίας τῆς ἑαυτοῦ μὴ προεστὼς καλῶς, οὐδὲ Ἐκκλησίας ἐπιμελήσεται· πῶς ὁ μηδὲ τῆς ἑαυτοῦ ψυχῆς προεστώς, ἑτέρους διορθῶσαι δυνήσεται; Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι οὐ προσκυνεῖς εἴδωλον χρυσοῦν· ἀλλ' ἐκεῖνό μοι δεῖξον, ὅτι μὴ ποιεῖς ταῦτα, ἅπερ ὁ χρυσὸς κελεύει. Καὶ γὰρ διάφοροι εἰδωλατρίας τρόποι· καὶ ὁ μὲν τὸν μαμμωνᾶν ἡγεῖται κύριον, ὁ δὲ τὴν κοιλίαν θεόν, ὁ δὲ ἑτέραν ἐπιθυμίαν χαλεπωτάτην. Ἀλλ' οὐ καταθύεις αὐτοῖς βόας, καθάπερ οἱ Ἕλληνες; Ἀλλὰ τὸ πολλῷ χαλεπώτερον τὴν σαυτοῦ κατασφάζεις ψυχήν. Ἀλλ' οὐ κάμπτεις τὰ γόνατα καὶ προσκυνεῖς; Ἀλλὰ μετὰ πλείονος ὑπακοῆς ποιεῖς πάντα, ἅπερ ἂν ἐπιτάξωσι καὶ ἡ γαστὴρ καὶ τὸ χρυσίον καὶ ἡ τῆς ἐπιθυμίας τυραννίς· ἐπεὶ καὶ οἱ Ἕλληνες διὰ τοῦτό εἰσι βδελυκτοί, ὅτι τὰ πάθη ἐθεοποίουν, τὴν μὲν ἐπιθυμίαν Ἀφροδίτην, τὸν δὲ θυμὸν Ἄρην, τὴν δὲ μέθην Διόνυσον προσειπόντες. Εἰ δὲ οὐ γλείφεις εἴδωλα σύ, καθάπερ ἐκεῖνοι, ἀλλὰ μετὰ πολλῆς τῆς προθυμίας τοῖς αὐτοῖς ὑποκύπτεις πάθεσι, τὰ μέλη τοῦ Χριστοῦ μέλη πόρνης ποιῶν, καὶ ταῖς ἄλλαις σεαυτὸν πλύνων παρανομίαις.

------

18. Ἀφροδίτη· θεὰ τῆς ὀμορφιᾶς καὶ τοῦ ἔρωτα. Σὰν προσηγορικὸ σήμαινε τὸ σαρκικὸ ἔρωτα, τὴν ἡδονή, τὴν ἐπιθυμία.
Ἄρης· θεὸς τοῦ πολέμου καὶ τῶν σφαγῶν. Σὰν προσηγορικὸ σήμαινε τὸν πόλεμο, τὴ μάχη, τὴ διαφωνία, τὸ θυμό, τὴ σφαγή, τὸ φόνο.

σαι ἅρπαγας καὶ πλεονέκτης· φύγε μακριὰ ἀπὸ τὴν εἰδωλολατρία, γνώρισε καλὰ τὸ Θεό, νὰ μὴν πλησιάζεις οὔτε τὸ ἀσήμι οὔτε τὸ χρυσάφι; Ἄραγε λοιπὸν δὲ θὰ γελάσει καὶ δὲ θὰ πεῖ· πές τα αὐτὰ πρῶτα στὸν ἑαυτό σου; Γιατί δὲν εἶναι τὸ ἴδιο νὰ λατρεύει τὰ εἴδωλα ὁ Ἕλληνας καὶ νὰ κάνει τὸ ἴδιο ἁμάρτημα ὁ Χριστιανός.

Πῶς λοιπὸν θὰ μπορέσομε ν' ἀπομακρύνομε τοὺς ἄλλους ἀπὸ τὴν εἰδωλολατρία ἐκείνη, χωρὶς ν' ἀπομακρύνομε τοὺς ἑαυτούς μας ἀπ' αὐτή; γιατὶ ἐμεῖς εἴμαστε πιὸ κοντὰ στὸν ἑαυτό μας ἀπὸ τὸν πλησίον. Ὅταν λοιπὸν δὲν πείθομε τὸν ἑαυτό μας, πῶς θὰ πείσομε τοὺς ἄλλους; Γιατί ἐκεῖνος ποὺ δὲ διοικεῖ καλὰ τὸ δικό του σπίτι, οὔτε γιὰ τὴν ἐκκλησία θὰ φροντίσει. Πῶς θὰ μπορέσει νὰ διορθώσει ἄλλους ἐκεῖνος, ποὺ δὲ φροντίζει οὔτε γιὰ τὴ δική του ψυχή; Γιατί μὴ μοῦ πεῖς αὐτό, ὅτι δηλαδὴ δὲν προσκυνεῖς χρυσὸ εἴδωλο, ἀλλὰ δεῖξε μου ἐκεῖνο, ὅτι δηλαδὴ δὲν κάνεις αὐτά, ποὺ προστάζει ὁ χρυσός. Γιατί πραγματικὰ ὑπάρχουν διάφοροι τρόποι εἰδωλολατρίας· ἄλλος θεωρεῖ κύριο τὸν πλοῦτο, ἄλλος θεωρεῖ θεὸ τὴν κοιλιά, ἐνῶ ἄλλος κάποια ἄλλη ἐπιθυμία πιὸ φοβερή. Ἀλλὰ δὲ θυσιάζεις σ' αὐτὰ βόδια, ὅπως οἱ Ἕλληνες; Κατασφάζεις ὅμως τὴ δική σου ψυχή, ποὺ εἶναι πράγμα πολὺ πιὸ φοβερό. Ἀλλὰ δὲ γονατίζεις καὶ δὲν προσκυνεῖς; Μὲ μεγαλύτερη ὅμως ὑπακοὴ κάνεις ὅλα, ποὺ θὰ προστάξουν καὶ ἡ κοιλιά σου καὶ ὁ πλοῦτος καὶ ἡ τυραννία τῆς ἐπιθυμίας, ἀφοῦ καὶ οἱ Ἕλληνες γι' αὐτὸ εἶναι ἄξιοι ἀποστροφῆς, γιατὶ ἔκαναν θεοὺς τὰ πάθη, ὀνομάζοντας τὴν ἐπιθυμία Ἀφροδίτη, τὸ θυμὸ Ἄρη καὶ τὴ μέθη Διόνυσο[18]. Ἀλλ' ἐὰν δὲν κατασκευάζεις εἴδωλα ἐσύ, ὅπως ἀκριβῶς ἐκεῖνοι, ὑποκύπτεις ὅμως μὲ πολλὴ προθυμία στὰ ἴδια πάθη, κάνοντας τὰ μέλη τοῦ Χριστοῦ μέλη πόρνης καὶ βυθίζοντας τὸν ἑαυτό σου στὶς ἄλλες παρανομίες.

Διόνυσος· θεὸς τῆς ἀμπελουργίας καὶ τοῦ κρασιοῦ, τὸ σύμβολο τῆς γενετικῆς καὶ παραγωγικῆς δύναμης τῆς φύσης. Σὰν προσηγορικὸ σήμαινε τὸ κρασί, τὴ μέθη.

Διὸ παρακαλῶ τῆς ἀτοπίας τὴν ὑπερβολὴν ἐννοήσαντας φεύγειν τὴν εἰδωλολατρίαν· οὕτω γὰρ ὁ Παῦλος καλεῖ τὴν πλεονεξίαν· φεύγειν δὲ μὴ τὴν ἐν χρήμασι πλεονεξίαν μόνον, ἀλλὰ καὶ τὴν ἐν ἐπιθυμίᾳ πονηρᾷ καὶ τὴν ἐν ἱματίοις καὶ τὴν ἐν τραπέζῃ καὶ τὴν ἐν τοῖς ἄλλοις ἅπασι. Καὶ γὰρ πολλῷ χαλεπωτέραν δώσομεν δίκην ἡμεῖς μὴ πειθόμενοι τοῖς τοῦ Κυρίου νόμοις. «Ὁ γὰρ δοῦλος», φησίν «ὁ εἰδὼς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ καὶ μὴ ποιήσας, δαρήσεται πολλά». Ἵν' οὖν καὶ τὴν κόλασιν ταύτην διαφύγωμεν, καὶ ἑτέροις καὶ ἑαυτοῖς γενώμεθα χρήσιμοι, πᾶσαν κακίαν ἀπὸ τῆς ψυχῆς ἐκβαλόντες, ἑλώμεθα τὴν ἀρετήν. Οὕτω γὰρ καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, τιμή, κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

------

20. Λουκᾶ 12, 47
19. Βλ. Κολ. 3, 5.

Γι' αὐτὸ παρακαλῶ, ἀφοῦ κατανοήσατε τὸ μέγεθος τῆς ἁμαρτίας, νὰ ἀποφεύγετε τὴν εἰδωλολατρία, γιατὶ ἔτσι ὀνομάζει ὁ Παῦλος τὴν πλεονεξία[19]. Νὰ ἀποφεύγετε ὅμως ὄχι μόνο τὴν πλεονεξία τῶν χρημάτων, ἀλλὰ καὶ τὴν πλεονεξία τῆς πονηρῆς ἐπιθυμίας καὶ τῶν ἐνδυμάτων καὶ τῶν φαγητῶν καὶ ὅλων τῶν ἄλλων. Γιατὶ θὰ τιμωρηθοῦμε πολὺ χειρότερα ἐμεῖς, ἐὰν δὲν ὑπακούομε στοὺς νόμους τοῦ Κυρίου. «Γιατὶ ὁ δοῦλος», λέγει, «ποὺ γνωρίζει τὸ θέλημα τοῦ Κυρίου του καὶ δὲν τὸ ἔκαμε, θὰ τιμωρηθεῖ μὲ πολλὲς μαστιγώσεις»[20]. Γιὰ ν' ἀποφύγομε λοιπὸν καὶ τὴν τιμωρία αὐτή, καὶ γιὰ νὰ γίνομε χρήσιμοι σ' ἄλλους καὶ στοὺς ἑαυτούς μας, ἀφοῦ ξερριζώσουμε κάθε κακία ἀπὸ τὴν ψυχή μας, ἂς προτιμήσομε τὴν ἀρετή. Γιατὶ ἔτσι θὰ ἐπιτύχομε καὶ τὰ μελλοντικὰ ἀγαθά, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ τὰ ἐπιτύχομε, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ τιμή, καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε, καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Η΄
(Ρωμ. 3, 9 - 31)

«Τί οὖν; προεχόμεθα; Οὐ πάντως· προῃτιασάμεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας πάντας ὑφ' ἁμαρτίαν εἶναι· καθὼς γέγραπται· Οὐκ ἔστι δίκαιος οὐδὲ εἷς, οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν· ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει, ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα· σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν· οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν».

1. Κατηγόρησεν Ἑλλήνων, κατηγόρησεν Ἰουδαίων· ἀκόλουθον ἦν εἰπεῖν τὴν δικαιοσύνην λοιπὸν διὰ τῆς πίστεως. Εἰ γὰρ μήτε ὁ τῆς φύσεως ὤνησε νόμος, μήτε ὁ γραπτὸς ἐποίησέ τι πλέον, ἀλλ' ἀμφότεροι τοὺς οὐκ εἰς δέον αὐτοῖς χρησαμένους ἐβάρησαν, καὶ μείζονος ἔδειξαν κολάσεως ὄντας ἀξίους, ἀναγκαία λοιπὸν ἡ διὰ τῆς χάριτος σωτηρία. Εἰπὲ τοί-

------

1. Βλ. Ψαλμ. 13, 3· 52, 3· 5, 9· 139, 3· 9, 7· Παροιμ. 1, 16· Ἡσ. 59, 7· Ψαλμ. 35, 1.

ΟΜΙΛΙΑ Η΄
(Ρωμ. 3, 9 - 31)

«Τί λοιπόν; ὑπερτεροῦμε ἐμεῖς οἱ Ἰουδαῖοι; Καθόλου. Γιατὶ κατηγορήσαμε προηγουμένως καὶ τοὺς Ἰουδαίους καὶ τοὺς Ἕλληνες, πῶς ὅλοι εἶναι κάτω ἀπὸ τὴν ἁμαρτία, καθὼς ἔχει γραφεῖ[1]. Δὲν ὑπάρχει δίκαιος οὔτε ἕνας, δὲν ὑπάρχει συνετός, δὲν ὑπάρχει κανεὶς ποὺ νὰ ζητάει μὲ πόθο τὸ Θεό. Ὅλοι ἐκτράπηκαν καὶ συγχρόνως ἐξαχρειώθηκαν. Δὲν ὑπάρχει κανεὶς ποὺ νὰ κάνει τὸ ἀγαθό, δὲν ὑπάρχει οὔτε ἕνας. Τάφος ἀνοιχτὸς εἶναι ὁ λάρυγγας τῶν ἀνθρώπων αὐτῶν, μὲ τὶς γλῶσσες τους μιλοῦσαν δόλια, δηλητήριο φαρμακερῶν φιδιῶν εἶναι κάτω ἀπὸ τὰ χείλη τους. Αὐτῶν τῶν ἀνθρώπων τὸ στόμα εἶναι γεμάτο ἀπὸ κατάρες καὶ πικρίες, τὰ πόδια τους τρέχουν γρήγορα γιὰ νὰ χύσουν αἷμα. Στοὺς δρόμους σπείρουν συντρίμμια καὶ δυστυχίες καὶ δὲ γνώρισαν ζωὴ εἰρήνης. Δὲν ὑπάρχει φόβος Θεοῦ μπροστὰ στὰ μάτια τους».

1. Κατηγόρησε τοὺς Ἕλληνες, κατηγόρησε τοὺς Ἰουδαίους· ἦταν ἑπόμενο νὰ μιλήσει στὴ συνέχεια γιὰ τὴ δικαίωση ἀπὸ τὴν πίστη. Ἀφοῦ λοιπὸν οὔτε ὁ νόμος τῆς φύσης δὲν ὠφέλησε, οὔτε ὁ γραπτὸς νόμος ἔκαμε κάτι περισσότερο, ἀλλὰ καὶ οἱ δύο ἔβλαψαν ἐκείνους ποὺ δὲν τοὺς χρησιμοποίησαν ὅπως ἔπρεπε καὶ ἀπέδειξαν πῶς εἶναι ἄξιοι γιὰ μεγαλύτερη τιμωρία, εἶναι ἀναγκαία πλέον ἡ σωτηρία ποὺ εἶναι ἀποτέλεσμα τῆς χάρης. Πές λοιπὸν

νυν αὐτήν, ὦ Παῦλε, καὶ δεῖξον. Ἀλλ' οὐδέπω θαρρεῖ, τὸ ἰταμὸν τῶν Ἰουδαίων ὑφορώμενος, ἀλλ' ἐπὶ τὴν κατηγορίαν αὐτῶν πάλιν ἄγει τὸν λόγον, καὶ πρότερον εἰσάγει κατήγορον τὸν Δαυῒδ ταῦτα λέγοντα διὰ πολλῶν, ἅπερ ἐν βραχεῖ πάντα εἶπεν Ἡσαΐας, ἰσχυρὸν κατασκευάζων αὐτοῖς χαλινόν, ὥστε μὴ ἀποπηδῆσαι μηδὲ τῶν περὶ τῆς πίστεως γυμναζομένων λόγων λοιπὸν ἀποσκιρτῆσαί τινα τῶν ἀκουόντων, ἱκανῶς ταῖς τῶν προφητῶν προκατειλημμένον κατηγορίαις. Καὶ γὰρ τρεῖς τίθησιν ὑπερβολὰς ὁ προφήτης, ὅτι τε πάντες ὁμοῦ τὰ κακὰ ἔπραττον, λέγων, καὶ ὅτι οὐκ ἀνέμιξαν τὰ καλὰ τοῖς κακοῖς, ἀλλὰ τὴν πονηρίαν μόνην μετήεσαν, καὶ ὅτι μετ' ἐπιτάσεως ταύτην ἁπάσης.

Εἶτα ἵνα μὴ λέγωσι, τί οὖν, εἰ πρὸς ἑτέρους ταῦτα εἴρηται; ἐπήγαγεν· «Οἴδωμεν δέ, ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ». Διά τοι τοῦτο μετὰ τὸν Ἡσαΐαν τὸν ὡμολογημένως πρὸς αὐτοὺς ἀποτεινόμενον, ἐπεισήγαγε τὸν Δαυῒδ, ἵνα δείξῃ καὶ ταῦτα τῆς αὐτῆς ὄντα ἀκολουθίας. Ποία γὰρ ἦν ἀνάγκη, φησίν, ἑτέρων κατηγορεῖν τὸν εἰς τὴν ὑμετέραν διόρθωσιν ἀποσταλέντα προφήτην; οὐδὲ γὰρ ὁ νόμος ἑτέροις ἐδόθη, ἀλλ' ὑμῖν. Τίνος δὲ ἕνεκεν οὐκ εἶπεν, οἴδαμεν, ὅτι ὅσα ὁ προφήτης λέγει, ἀλλ', «Ὅσα ὁ νόμος λαλεῖ;». Ὅτι τὴν Παλαιὰν πᾶσαν νόμον καλεῖν εἴωθεν ὁ Παῦλος. Καὶ γὰρ ἀλλαχοῦ φησι· «Τὸν νόμον οὐκ ἀκούετε, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχε;». Καὶ ἐνταῦθα τοὺς ψαλμοὺς νόμον ἐκάλεσεν, εἰπὼν «Οἴδαμεν, ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ».

Εἶτα δείκνυσιν οὐδὲ ἁπλῶς ταῦτα λεγόμενα κατηγορίας ἕνεκεν, ἀλλ' ἵνα τῇ πίστει προοδοποιήσῃ πάλιν ὁ νόμος. Τοσαύτη τῆς Παλαιᾶς πρὸς τὴν Και-

------

2. Γαλ. 4, 21. 22

αὐτήν, Παῦλε, καὶ δεῖξε την. Ὅμως δὲ ριψοκινδυνεύει ἀκόμη, ἐπειδὴ ὑποψιαζόταν τὸ θράσος τῶν Ἰουδαίων, ἀλλὰ φέρει πάλι τὸ λόγο στὴν κατηγορία ἐναντίον τους, καὶ πρῶτα παρουσιάζει κατήγορο τὸ Δαυῒδ ποὺ λέγει μὲ πολλὰ λόγια αὐτά, τὰ ὁποῖα σύντομα τὰ εἶπε ὅλα ὁ Ἡσαΐας, ἐπινοώντας γι' αὐτοὺς δυνατὸ χαλινάρι, ὥστε λοιπὸν νὰ μὴν ἀπομακρυνθεῖ κανεὶς ἀπὸ τοὺς ἀκροατές, οὔτε ν' ἀποσκιρτήσει ἀπὸ τοὺς λόγους ποὺ ἀσκοῦν στὴν ἀρετή, ἀφοῦ θὰ ἔχει προσβληθεῖ ἀρκετὰ μὲ τὶς κατηγορίες τῶν προφητῶν. Γιατὶ πραγματικὰ τρεῖς κατηγορίες ἀναφέρει ὁ προφήτης λέγοντας, καὶ ὅτι ὅλοι μαζὶ ἔκαναν τὰ κακά, καὶ ὅτι δὲν ἀνέμιξαν τὰ καλὰ μὲ τὰ κακά, ἀλλὰ καταγίνονταν μόνο μὲ τὴν κακία, καὶ ὅτι τὸ ἔκαναν αὐτὸ μὲ κάθε ὑπερβολή.

Ἔπειτα, γιὰ νὰ μὴ λέγουν, τί λοιπόν, ἂν λέγονται αὐτὰ γιὰ ἄλλους; πρόσθεσε· «Γνωρίζουμε ὅμως, ὅτι ὅσα λέγει ὁ νόμος, τὰ λέγει σ' ἐκείνους ποὺ βρίσκονταν κάτω ἀπὸ τὶς ἐντολὲς τοῦ νόμου». Γι' αὐτὸ ἀκριβῶς μετὰ ἀπὸ τὸν Ἡσαΐα, ποὺ κατὰ κοινὴ ὁμολογία ἀπευθύνεται σ' αὐτούς, πρόσθεσε καὶ τὸ Δαυῒδ, γιὰ ν' ἀποδείξει ὅτι καὶ αὐτὰ συμφωνοῦν τὸ ἴδιο. Γιατὶ ποιὰ ἀνάγκη ὑπῆρχε, λέγει, νὰ κατηγορεῖ ἄλλους ὁ προφήτης ποὺ στάλθηκε γιὰ τὴ δική μας διόρθωση; γιατί οὔτε ὁ νόμος δόθηκε σὲ ἄλλους, ἀλλὰ σὲ σᾶς. Γιὰ ποιὸ λόγο ὅμως δὲν εἶπε, γνωρίζουμε, ὅτι ὅσα ὁ προφήτης λέγει, ἀλλά, «Ὅσα ὁ νόμος λέγει»; Γιατὶ ὅλη τὴν Παλαιὰ Διαθήκη συνηθίζει ὁ Παῦλος νὰ τὴν ὀνομάζει νόμο. Γιατί καὶ ἀλλοῦ λέγει· «Δὲν ἀκοῦτε τὸ νόμο, πῶς ὁ Ἀβραὰμ εἶχε δύο υἱούς;»[2], καὶ ἐδῶ τοὺς ψαλμοὺς ὀνόμασε νόμο, λέγοντας· «Γνωρίζουμε, ὅτι ὅσα λέγει ὁ νόμος, τὰ λέγει σ' ἐκείνους ποὺ βρίσκονται κάτω ἀπὸ τὶς ἐντολὲς του νόμου».

Στὴ συνέχεια δείχνει πὼς αὐτὰ δὲν λέγονται ἁπλὰ γιὰ κατηγορία, ἀλλὰ γιὰ νὰ προετοιμάσει πάλι ὁ νόμος τὸ δρόμο γιὰ τὴν πίστη. Τόσο μεγάλη εἶναι ἡ συμφωνία

νὴν ἡ συμφωνία, ὅτι καὶ αἱ κατηγορίαι καὶ οἱ ἔλεγχοι διὰ τοῦτο πάντως ἐγένοντο, ἵνα λαμπρὰ παρὰ τοῖς ἀκούουσιν ἀνοιγῇ τῆς πίστεως ἡ θύρα. Ἐπειδὴ γὰρ τοῦτο μάλιστα Ἰουδαίους ἀπώλεσε τὸ μέγα φρονεῖν ἐφ' ἑαυτοῖς· ὅπερ οὖν καὶ προϊὼν ἔλεγεν, ὅτι «Ἀγνοοῦντες τοῦ Θεοῦ τὴν δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐκ ὑπετάγησαν»· προλαβὼν καὶ ὁ νόμος καὶ ὁ προφήτης προκατέβαλον αὐτῶν τὰ φρονήματα, καὶ κατέστειλαν αὐτῶν τὸ φύσημα, ἵνα εἰς ἔννοιαν τῶν οἰκείων ἐλθόντες ἁμαρτημάτων, καὶ τὴν ἀπόνοιαν πᾶσαν κατακενώσαντες, καὶ ἰδόντες ἑαυτοὺς περὶ τῶν ἐσχάτων κινδυνεύοντας, μετὰ πολλῆς τῆς προθυμίας προσδράμωσι τῷ τὴν ἄφεσιν αὐτοῖς τῶν ἁμαρτημάτων παρέχοντι, καὶ τὴν χάριν διὰ τῆς πίστεως καταδέξωνται. Τοῦτο γοῦν καὶ ἐνταῦθα αἰνιττόμενος ὁ Παῦλος ἔλεγεν· «Οἴδαμεν, ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· ἵνα πᾶν στόμα φραγῇ, καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ».

Ἐνταῦθα γὰρ δείκνυσιν αὐτοὺς τῆς μὲν ἀπὸ τῶν ἔργων παρρησίας ἐρήμους ὄντας, ἐν δὲ τοῖς ῥήμασιν ἀλαζονευομένους μόνον καὶ ἀναισχυντοῦντας. Διὸ καὶ κυρίως ἐχρήσατο τῇ λέξει, εἰπών, «Ἵνα πᾶν στόμα φραγῇ», τὴν ἀναίσχυντον αὐτῶν καὶ δυσκάθεκτον μεγαληγορίαν δηλῶν, καὶ τὴν μετὰ ἀκριβείας ἐπιστομιζομένην αὐτῶν γλῶτταν· καθάπερ γὰρ ῥεῦμα ἀφόρητον, οὕτως αὕτη ἐφέρετο, ἀλλ' ἐνέφραξεν αὐτὴν ὁ προφήτης. Ὅταν δὲ λέγῃ Παῦλος, «Ἵνα πᾶν στόμα φραγῇ», οὐ τοῦτό φησιν, ὅτι διὰ τοῦτο ἥμαρτον, ἵνα φραγῇ αὐτῶν τὸ στόμα, ἀλλὰ διὰ τοῦτο ἠλέγχοντο, ἵνα μὴ ἀγνοοῦσιν ἁμαρτάνοντες τοῦτο αὐτό. «Καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ» Οὐκ εἶπεν, ὁ Ἰουδαῖος, ἀλλά, πᾶσα ἡ φύσις. Τὸ μὲν

---

3. Ρωμ. 10, 3

τῆς Παλαιᾶς πρός τήν Καινή Διαθήκη, ἀφοῦ καί οἱ κατηγορίες καί οἱ ἔλεγχοι γι' αὐτό βέβαια ἔγιναν, γιά ν' ἀνοιχθεῖ μέ λαμπρότητα ἡ πόρτα της πίστης σ' αὐτούς πού τόν ἀκοῦν. Ἐπειδή λοιπόν αὐτό κατέστρεψε ἰδιαίτερα τούς Ἰουδαίους, τό ὅτι εἶχαν μεγάλη ἰδέα γιά τόν ἑαυτό τους, πράγμα λοιπόν πού ἔλεγε καί παρακάτω, ὅτι «Ἀγνοώντας τή δικαίωση τοῦ Θεοῦ, καί ζητώντας νά στήσουν τή δική τους δικαίωση, δέν ὑπέταξαν τόν ἑαυτό τους στή δικαίωση τοῦ Θεοῦ»[3], προκαταβολικά καί ὁ νόμος καί ὁ προφήτης σταμάτησαν τά φρονήματά τους καί συγκράτησαν τήν ἀλαζονεία τους, ὥστε, ἀφοῦ ἀντιληφθοῦν τά δικά τους ἁμαρτήματα καί ἐγκαταλείψουν κάθε ἀνοησία τους καί δοῦν πώς κινδυνεύουν πάρα πολύ, νά τρέξουν μέ μεγάλη προθυμία σ' ἐκεῖνον πού χορηγεῖ σ' αὐτούς συγχώρηση τῶν ἁμαρτημάτων καί νά δεχθοῦν τή χάρη μέ τήν πίστη τους. Αὐτό λοιπόν ὑπονοώντας καί ἐδῶ ὁ Παῦλος ἔλεγε· «Γνωρίζουμε, ὅτι ὅσα λέγει ὁ νόμος, τά λέγει σ' ἐκείνους πού βρίσκονταν κάτω ἀπό τίς ἐντολές τοῦ νόμου, γιά νά κλείσει κάθε στόμα καί νά γίνει ὅλος ὁ κόσμος ὑπόλογος στό Θεό».

Ἐδῶ λοιπόν ἀποδεικνύει πώς εἶναι γυμνοί ἀπό τήν παρρησία τῶν ἔργων, καί πώς μόνο μέ τά λόγια ἀλαζονεύονται κατά τρόπο ἀδιάντροπο. Γι' αὐτό καί μέ κυριολεξία χρησιμοποίησε τή λέξη, λέγοντας, «Γιά νά κλείσει κάθε στόμα», φανερώνοντας τήν ἀδιάντροπη καί ἀσυγκράτητη καυχησιολογία τους καί τή γλώσσα τους πού ἀποστομώνεται μέ ἀκρίβεια. Γιατί ἡ γλώσσα τους ἔτρεχε ὅπως ἀκριβῶς ἕννα ὁρμητικό ποτάμι, ἀλλά τήν ἔφραξε ὁ προφήτης. Ὅταν ὅμως ὁ Παῦλος λέγει, «Γιά νά κλείσει κάθε στόμα», δέν ἐννοεῖ αὐτό, ὅτι γι' αὐτό ἁμάρτησαν, γιά νά κλείσει τό στόμα τους, ἀλλά γι' αὐτό ἐλέγχονταν, γιά νά μήν ἀγνοοῦν διαπράττοντας αὐτήν ἀκριβῶς τήν ἁμαρτία. «Καί γιά νά γίνει ὅλος ὁ κόσμος ὑπόλογος στό Θεό». Δέν εἶπε, ὁ Ἰουδαῖος, ἀλλά, ὅλος ὁ κόσμος. Γιατί

γάρ, «Ἵνα πᾶν στόμα φραγῇ», ἐκείνους ἐστὶν αἰνιττόμενον, εἰ καὶ μὴ φανερῶς αὐτὸ τέθειται, ὥστε μὴ τραχύτερον γενέσθαι τὸν λόγον· τὸ δέ, «Ἵνα ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ», ὁμοῦ καὶ περὶ Ἰουδαίων καὶ Ἑλλήνων εἴρηται.

Οὐ μικρὸν δὲ τοῦτο εἰς τὸ καταστεῖλαι τὴν ἐκείνων ἀπόνοιαν, ὅταν καὶ ἐνταῦθα μηδὲν ἔχωσι πλέον τῶν Ἑλλήνων, ἀλλ' ὁμοίως ὦσι προδεδομένοι κατὰ τὸν τῆς σωτηρίας λόγον. Ὁ γὰρ ὑπόδικος κυρίως ἂν ἐκεῖνος λέγοιτο, ὁ μὴ δυνάμενος ἀρκεῖν ἑαυτῷ πρὸς ἀπολογίαν, ἀλλὰ τῆς ἑτέρου δεόμενος βοηθείας· οἷα ἦν καὶ τὰ ἡμέτερα πάντα, ἀπολωλεκότων ἡμῶν τὰ πρὸς σωτηρίαν συντείνοντα. «Διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας». Πάλιν ἐφήλατο τῷ νόμῳ, μετὰ φειδοῦς μέν· οὐ γὰρ αὐτοῦ κατηγορία τὸ εἰρημένον, ἀλλὰ τῆς τῶν Ἰουδαίων ῥαθυμίας· πλὴν ἀλλ' ὅμως ἐσπούδακεν ἐνταῦθα, ἐπειδὴ μέλλει τὸν περὶ τῆς πίστεως εἰσάγειν λόγον, δεῖξαι αὐτὸν σφόδρα ἠσθενηκότα. Εἰ γὰρ αὐχεῖς ἐπὶ τῷ νόμῳ, φησίν, αὐτός σε μᾶλλον καταισχύνει· αὐτός σου τὰς ἁμαρτίας ἐκπομπεύει. Ἀλλ' οὐκ εἶπεν οὕτω τραχέως, ἀλλ' ὑφειμένως πάλιν· «Διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας». Οὐκοῦν καὶ ἡ κόλασις μείζων, ἀλλὰ παρὰ τῶν Ἰουδαίων. Ὁ μὲν γὰρ νόμος ἤνυε τὸ φανεράν σοι ποιῆσαι τὴν ἁμαρτίαν, σὸν δὲ ἦν λοιπὸν τὸ φυγεῖν· μὴ φυγὼν τοίνυν, μᾶλλον ἐπεσπάσω τὴν κόλασιν, καὶ τὸ τοῦ νόμου κατόρθωμα γέγονέ σοι μείζονος ἐφόδιον τιμωρίας.

2. Ὅτε τοίνυν τὸν φόβον ηὔξησε, τότε λοιπὸν ἐπάγει τὰ τῆς χάριτος, ἐν πολλῇ καταστήσας ἐπιθυμίᾳ τῆς τῶν ἁμαρτιῶν ἀφέσεως, καί φησι· «Νῦν δὲ χωρὶς νόμου δικαιοσύνη Θεοῦ πεφανέρωται». Μέγα

τό, «Γιὰ νὰ κλείσει κάθε στόμα», ἐκείνους ὑπονοεῖ, ἂν καὶ δὲν λέχθηκε φανερά, γιὰ νὰ μὴ γίνει σκληρότερος ὁ λόγος, ἐνῶ τό, «Γιὰ νὰ γίνει ὅλος ὁ κόσμος ὑπόλογος στὸ Θεό», ἔχει λεχθεῖ μαζὶ καὶ γιὰ τοὺς Ἰουδαίους καὶ γιὰ τοὺς Ἕλληνες.

Δὲν εἶναι ὅμως μικρὸ αὐτὸ γιὰ τὴν καταστολὴ τῆς ἀλαζονείας τους, ὅταν καὶ στὴν περίπτωση αὐτὴ δὲν ἔχουν τίποτε περισσότερο ἀπὸ τοὺς Ἕλληνες, ἀλλὰ στὸ θέμα τῆς σωτηρίας ἔχουν προπληρωθεῖ κατὰ τὸν ἴδιο τρόπο. Γιατὶ ἰδίως ὑπόλογος θὰ μποροῦσε νὰ λεχθεῖ κυρίως ἐκεῖνος ποὺ δὲν μπορεῖ νὰ στηρίζεται στὶς δικές τους δυνάμεις γι' ἀπολογία, ἀλλὰ χρειάζεται τὴ βοήθεια ἄλλου, ὅπως ἦταν καὶ ὅλα τὰ δικά μας, ἀφοῦ ἔχουμε χάσει ἐκεῖνα ποὺ συντελοῦν στὴ σωτηρία μας. «Γιατὶ μὲ τὸ νόμο γνωρίζει κανεὶς καλὰ τὴν ἁμαρτία». Πάλι ἐπιτέθηκε ἐναντίον τοῦ νόμου, μὲ μέτρο ὅμως. Γιατὶ ὁ λόγος δὲν ἦταν κατηγορία τοῦ νόμου, ἀλλὰ τῆς ἀδιαφορίας τῶν Ἰουδαίων. Ἀλλ' ὅμως προσπάθησε ἐδῶ, ἐπειδὴ πρόκειται ν' ἀναφέρει τὸ λόγο γιὰ τὴν πίστη, νὰ δείξει πὼς εἶναι πάρα πολὺ ἀδύνατος. Ἐὰν λοιπὸν καυχιέσαι γιὰ τὸ νόμο, λέγει, αὐτὸς σὲ ντροπιάζει περισσότερο· αὐτὸς διασύρει τὶς ἁμαρτίες σου. Ὅμως δὲν μίλησε τόσο σκληρά, ἀλλὰ μὲ χαμηλὸ τόνο πάλι· «Γιατὶ μὲ τὸ νόμο γνωρίζει κανεὶς καλὰ τὴν ἁμαρτία». Ἐπομένως καὶ ἡ τιμωρία εἶναι μεγαλύτερη, ἀλλὰ στοὺς Ἰουδαίους. Γιατὶ ὁ νόμος βέβαια κατόρθωνε νὰ σοῦ φανερώσει τὴν ἁμαρτία, ἐνῶ ἦταν στὸ χέρι σου στὴ συνέχεια νὰ τὴν ἀποφύγεις. Ἀφοῦ λοιπὸν δὲν τὴν ἀπέφυγες, προκάλεσε περισσότερο τὴν τιμωρία καὶ τὸ κατόρθωμα τοῦ νόμου ἔγινε γιὰ σένα ἀφορμὴ μεγαλύτερης τιμωρίας.

2. Ὅταν λοιπὸν μεγάλωσε τὸ φόβο, τότε πλέον προσθέτει τὰ σχετικὰ μὲ τὴ χάρη, ἀφοῦ ἔκαμε πολὺ ἐπιθυμητὴ τὴ συγχώρηση τῶν ἁμαρτιῶν, καὶ λέγει· «Τώρα ὅμως χωρὶς τὸ νόμο ἔχει φανερωθεῖ ἡ δικαίωση τοῦ Θεοῦ». Ἐδῶ

ἐνταῦθα ἐφθέγξατο, καὶ πολλῆς δεόμενον τῆς κατασκευῆς. Εἰ γὰρ οἱ ἐν νόμῳ ζῶντες οὐ μόνον οὐκ ἔφυγον κόλασιν, ἀλλὰ καὶ πλέον ἐβαρύνθησαν, πῶς ἐστι χωρὶς νόμου μὴ μόνον τιμωρίαν φυγεῖν, ἀλλὰ καὶ δικαιωθῆναι; Δύο γὰρ ἄκρα ἐνταῦθα τέθεικε, καὶ τὸ δικαιοῦσθαι, καὶ τὸ χωρὶς νόμου τούτων τυγχάνειν τῶν ἀγαθῶν. Διὰ τοῦτο οὐχ ἁπλῶς εἶπε, δικαιοσύνη, ἀλλά, «Δικαιοσύνη Θεοῦ», ἀπὸ τῆς ἀξίας τοῦ προσώπου καὶ μείζονα δείξας τὴν δωρεὰν καὶ δυνατὴν τὴν ὑπόσχεσιν· πάντα γὰρ αὐτῷ δυνατά. Καὶ οὐκ εἶπεν, ἐδόθη, ἀλλά, «Πεφανέρωται», τὸ τῆς καινοτομίας ὑποτεμνόμενος ἔγκλημα· τὸ γὰρ πεφανερωμένον ὡς παλαιὸν καὶ κρυπτόμενον φανεροῦται.

Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὰ ἑξῆς δείκνυσιν οὐ πρόσφατον ὂν τοῦτο· εἰπὼν γάρ, «Πεφανέρωται», ἐπήγαγε, «Μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν». Μὴ γάρ, ἐπειδὴ νῦν ἐδόθη, θορυβηθῇς, φησί, μηδὲ ὡς πρὸς καινὸν καὶ ξένον πρᾶγμα ταραχθῇς· ἄνωθεν γὰρ αὐτὸ καὶ ὁ νόμος καὶ οἱ προφῆται προέλεγον. Καὶ τὰ μὲν ἔδειξε διὰ τῆς κατασκευῆς ταύτης τὰ δὲ μέλλει, ἐν μὲν τοῖς ἔμπροσθεν παραγαγὼν τὸν Ἀββακοὺμ λέγοντα· «Ὁ δίκαιος ἐκ πίστεως ζήσεται»· ἐν δὲ τοῖς μετὰ ταῦτα τὸν Ἀβραάμ, τὸν Δαυίδ. καὶ αὐτοὺς περὶ τούτων διαλεγομένους ἡμῖν. Καὶ γὰρ πολὺς τῶν προσώπων τούτων ὁ λόγος ἦν παρ' αὐτοῖς· ὁ μὲν γὰρ ἦν πατριάρχης καὶ προφήτης, ὁ δὲ βασιλεὺς καὶ προφήτης· καὶ αἱ ἐπαγγελίαι δὲ αἱ περὶ τούτων πρὸς ἀμφοτέρους τούτους ἦσαν γεγενημέναι.

Διὸ καὶ ὁ Ματθαῖος ἀρχόμενος τοῦ Εὐαγγελίου, ἀμφοτέρων τούτων μέμνηται πρῶτον, καὶ τότε κατ' ἀκολουθίαν παράγει τοὺς προγόνους. Εἰπὼν γάρ, «Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ», οὐκ ἀνέμεινεν εἰπὼν μετὰ τὸν Ἀβραάμ, καὶ τὸν Ἰσαὰκ καὶ τὸν Ἰα-

---

4. Ρωμ. 1, 17
5. Ματθ. 1, 1

εἶπε μεγάλο λόγο καὶ χρειάζεται πολλὴ ἀπόδειξη. Ἐὰν λοιπὸν ἐκεῖνοι, ποὺ ζοῦσαν κάτω ἀπὸ τὶς ἐντολὲς τοῦ νόμου, ὄχι μόνο δὲν ἀπέφυγαν τὴν τιμωρία, ἀλλὰ καὶ ὑπέφεραν περισσότερο, πῶς εἶναι δυνατὸ χωρὶς νόμο ὄχι μόνο ν' ἀποφύγει κανεὶς τὴν τιμωρία, ἀλλὰ καὶ νὰ δικαιωθεῖ; Γιατὶ ἐδῶ ἀνέφερε δύο ἄκρα, καὶ τὴ δικαίωση καὶ τὴν ἐπιτυχία τῶν ἀγαθῶν αὐτῶν χωρὶς νόμο. Γι' αὐτὸ δὲν εἶπε ἁπλά, δικαίωση, ἀλλά, «Δικαίωση τοῦ Θεοῦ», δείχνοντας ἀπὸ τὴν ἀξία τοῦ προσώπου καὶ τὴ δωρεὰ μεγαλύτερη καὶ τὴν ὑπόσχεση δυνατή, γιατὶ τὰ πάντα εἶναι δυνατὰ στὸ Θεό. Καὶ δὲν εἶπε, δόθηκε, ἀλλά, «Ἔχει φανερωθεῖ», ἀφαιρώντας τὴν κατηγορία τῆς καινοτομίας, γιατὶ ἐκεῖνο ποὺ ἔχει φανερωθεῖ, φανερώνεται σὰν παλιὸ καὶ κρυμμένο.

Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ τὰ ἑπόμενα δείχνουν πῶς δὲν εἶναι νέο αὐτό. Γιατί, ἀφοῦ εἶπε, «Ἔχει φανερωθεῖ», πρόσθεσε, «Ποὺ μαρτυρεῖται ἀπὸ τὸ νόμο καὶ τοὺς προφῆτες». Μὴ λοιπόν, ἐπειδὴ δόθηκε τώρα, θορυβηθεῖς, λέγει, οὔτε νὰ ταραχθεῖς σὰν νὰ εἶναι νέο καὶ παράξενο πράγμα, γιατὶ καὶ ὁ νόμος καὶ οἱ προφῆτες προφήτευσαν πῶς αὐτὸ προέρχεται ἀπὸ τὸ Θεό. Καὶ τὰ πάντα βέβαια ἔδειξε μὲ τὴν ἀπόδειξη αὐτή, ἐνῶ τὰ ἄλλα πρόκειται νὰ τὰ δείξει, ἀφοῦ γιὰ τὰ προηγούμενα παρουσίασε τὸν Ἀββακοὺμ ποὺ λέγει· «Ὁ δίκαιος θὰ σωθεῖ ἀπὸ τὴν πίστη του»[4], ἐνῶ γιὰ τὰ ἑπόμενα τὸν Ἀβραάμ, τὸ Δαυΐδ, ποὺ καὶ αὐτοὶ μᾶς μιλοῦν γι' αὐτά. Γιατὶ πραγματικὰ ἦταν πολὺς ὁ λόγος τῶν προσώπων αὐτῶν στοὺς Ἰουδαίους, γιατὶ ὁ πρῶτος ἦταν πατριάρχης καὶ προφήτης, ἐνῶ ὁ ἄλλος βασιλιὰς καὶ προφήτης· καὶ οἱ ὑποσχέσεις γι' αὐτὰ εἶχαν δοθεῖ καὶ στοὺς δύο αὐτούς.

Γι' αὐτὸ καὶ ὁ Ματθαῖος, ἀρχίζοντας τὸ Εὐαγγέλιο, ἀναφέρει πρῶτα αὐτοὺς τοὺς δύο καὶ ὕστερα στὴ συνέχεια παραθέτει τοὺς προγόνους. Γιατὶ ἀφοῦ εἶπε, «Κατάλογος γενεαλογικὸς τοῦ Ἰησοῦ Χριστοῦ»[5], δὲν περίμενε ν' ἀναφέρει μετὰ τὸν Ἀβραάμ, καὶ τὸν Ἰσαάκ, καὶ τὸν

κώβ, ἀλλὰ μετὰ τοῦ Ἀβραὰμ καὶ τοῦ Δαυὶδ ἐμνημόνευσε· καὶ τὸ δὴ θαυμαστόν, ὅτι καὶ πρὸ τοῦ Ἀβραὰμ τὸν Δαυὶδ τέθεικεν, οὕτω λέγων, «Υἱοῦ Δαυίδ, υἱοῦ Ἀβραάμ», καὶ τότε ἤρξατο καταλέγειν τὸν Ἰσαὰκ καὶ τὸν Ἰακὼβ καὶ τοὺς ἑξῆς ἅπαντας. Διὸ καὶ ὁ ἀπόστολος ἐνταῦθα αὐτοὺς περιστρέφει συνεχῶς, καί φησι· «Δικαιοσύνη δὲ Θεοῦ μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν». Ἵνα δὲ μή τις εἴπῃ, καὶ πῶς αὐτοὶ μηδὲν συντελοῦντες εἰς τὸ προκείμενον, σωζόμεθα; δείκνυσι καὶ ἡμᾶς εἰσφέροντας οὐ μικρὸν εἰς τοῦτο, τὴν πίστιν λέγω. Εἰπὼν γοῦν, «Δικαιοσύνη Θεοῦ», ἐπήγαγε, «Διὰ τῆς πίστεως, εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας».

Πάλιν ἐνταῦθα θορυβεῖται ὁ Ἰουδαῖος, οὐδὲν ἐξαίρετον παρὰ τοὺς λοιποὺς ἔχων, μετὰ τῆς οἰκουμένης ἀριθμούμενος ἁπάσης. Ἵν' οὖν μὴ τοῦτο πάθῃ, συστέλλει πάλιν αὐτὸν τῷ φόβῳ, ἐπάγων· «Οὐ γάρ ἐστι διαστολή· πάντες γὰρ ἥμαρτον». Μὴ γάρ μοι εἴπῃς, ὅτι ὁ δεῖνα ὁ Ἕλλην, ὁ δεῖνα ὁ Σκύθης, ὁ δεῖνα ὁ Θρᾷξ· ἐν γὰρ τοῖς αὐτοῖς ἅπαντες. Εἰ γὰρ καὶ νόμον ἔλαβες, ἓν μόνον ἔμαθες ἀπὸ τοῦ νόμου, τὸ εἰδέναι τὴν ἁμαρτίαν, οὐ τὸ φεύγειν αὐτήν. Εἶτα, ἵνα μὴ λέγωσιν, ὅτι εἰ καὶ ἡμάρτομεν, ἀλλ' οὐχ οὕτως ὡς ἐκεῖνοι, ἐπήγαγε· «Καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ». Ὥστ' εἰ καὶ μὴ τὰ αὐτὰ τοῖς ἄλλοις ἥμαρτες, ἀλλὰ τῆς δόξης ὁμοίως ἀποστερῇ· τῶν γὰρ προσκεκρουκότων εἶ· ὁ δὲ προσκεκρουκὼς οὐ τῶν δοξαζομένων, ἀλλὰ τῶν κατῃσχυμμένων. Ἀλλὰ μὴ φοβηθῇς· διὰ γὰρ τοῦτο ταῦτα εἶπον, οὐχ ἵνα σε εἰς ἀπόγνωσιν ἐμβάλω, ἀλλ' ἵνα δείξω τοῦ Δεσπότου τὴν φιλανθρωπίαν. Διὸ καὶ ἐπήγαγε· «Δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ τῆς ἀπολυτρώσεως τῆς

Ἰακώβ, ἀλλὰ μαζὶ μὲ τὸν Ἀβραὰμ ἀνέφερε τὸ Δαυΐδ. Καὶ τὸ σπουδαῖο μάλιστα εἶναι, ὅτι ἔβαλε τὸ Δαυΐδ καὶ μπροστὰ ἀπὸ τὸν Ἀβραάμ, λέγοντας ἔτσι· «Ὁ ὁποῖος εἶναι ἀπόγονος τοῦ Δαυΐδ, ἀπόγονος τοῦ Ἀβραάμ», καὶ ὕστερα ἄρχισε ν' ἀναφέρει τὸν Ἰσαὰκ καὶ τὸν Ἰακὼβ καὶ ὅλους τοὺς ἑπόμενους. Γι' αὐτὸ καὶ ὁ ἀπόστολος ἐδῶ αὐτοὺς ἀναφέρει συνέχεια καὶ λέγει· «Ἡ δικαίωση ὅμως τοῦ Θεοῦ μαρτυρεῖται ἀπὸ τὸ νόμο καὶ τοὺς προφῆτες». Γιὰ νὰ μὴν πεῖ ὅμως κανείς, καὶ πῶς σωζόμαστε χωρὶς αὐτοὶ νὰ βοηθοῦν στὸ θέμα αὐτό; δείχνει ὅτι καὶ ἐμεῖς εἰσφέρουμε πολὺ σ' αὐτό, δηλαδὴ τὴν πίστη. Ἀφοῦ εἶπε λοιπόν, «Δικαίωση τοῦ Θεοῦ» πρόσθεσε, «Μὲ τὴ βοήθεια τῆς πίστης, καὶ δίνεται σὲ ὅλους καὶ σὲ ὅλους ποὺ πιστεύουν».

Πάλι ἐδῶ θορυβεῖται ὁ Ἰουδαῖος, ἐπειδὴ τίποτε τὸ ἐξαιρετικὸ δὲν ἔχει σὲ σχέση μὲ τοὺς ἄλλους, ἀφοῦ συγκαταλέγεται μαζὶ μὲ ὅλο τὸν κόσμο. Γιὰ νὰ μὴν πάθει λοιπὸν αὐτό, τὸν συμμαζεύει πάλι μὲ τὸ φόβο, προσθέτοντας· «Γιατὶ δὲν ὑπάρχει διάκριση, ἐπειδὴ ὅλοι ἁμάρτησαν». Μὴ μοῦ πεῖς λοιπόν, ὅτι ὁ τάδε εἶναι Ἕλληνας, ὁ τάδε Σκύθης, ὁ τάδε Θρακιώτης, γιατὶ ὅλοι βρίσκονται στὰ ἴδια ἁμαρτήματα. Γιατί, μολονότι ἔλαβες τὸ νόμο, ἕνα μόνο ἔμαθες ἀπὸ τὸ νόμο, τὸ νὰ γνωρίσεις τὴν ἁμαρτία, ὄχι τὸ νὰ τὴν ἀποφύγεις. Ἔπειτα, γιὰ νὰ μὴ λέγουν, ὅτι μολονότι βέβαια ἁμαρτήσαμε, ὄχι ὅμως τόσο ὅσο ἐκεῖνοι, πρόσθεσε· «Καὶ στεροῦνται τὴ δόξα τοῦ Θεοῦ». Ἑπομένως, ἂν καὶ δὲν ἁμάρτησες ὅπως οἱ ἄλλοι, ὅμως στερεῖσαι κατὰ τὸν ἴδιο τρόπο τὴ δόξα, γιατὶ εἶσαι ἕνας ἀπ' αὐτοὺς ποὺ ἔχουν ἀντιταχθεῖ στὸ Θεό. Ἐκεῖνος ὅμως ποὺ ἔχει ἀντιταχθεῖ, δὲν εἶναι ἀνάμεσα σ' ἐκείνους ποὺ δοξάζονται, ἀλλὰ σ' ἐκείνους ποὺ εἶναι ἀτιμασμένοι. Ἀλλὰ νὰ μὴ φοβηθεῖς. Γιατὶ γι' αὐτὸ τὰ εἶπα αὐτά, ὄχι γιὰ νὰ σὲ ὁδηγήσω σὲ ἀπόγνωση, ἀλλὰ γιὰ νὰ δείξω τὴ φιλανθρωπία τοῦ Κυρίου. Γι' αὐτὸ καὶ πρόσθεσε· «Ὅλοι δικαιώνονται δωρεὰν μὲ τὴ χάρη του, μὲ τὴν ἀπολύτρωση ποὺ ἔκα-

ἐν Χριστῷ Ἰησοῦ, ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ».

Ὅρα διὰ πόσων κατασκευάζει τὸ εἰρημένον. Πρῶτον ἀπὸ τῆς ἀξίας τοῦ προσώπου· οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ ἐργαζόμενος ταῦτα, ἵνα ἀπονήσῃ, ἀλλ' ὁ Θεὸς ὁ πάντα δυνάμενος· Θεοῦ γάρ ἐστιν ἡ δικαιοσύνη, φησί. Δεύτερον ἀπὸ τοῦ νόμου καὶ τῶν προφητῶν· μὴ γάρ, ἐπειδὴ «Χωρὶς νόμου» ἤκουσας, φοβηθῇς· καὶ γὰρ αὐτῷ τῷ νόμῳ τοῦτο δοκεῖ. Τρίτον ἀπὸ τῶν θυσιῶν τῶν ἐν τῇ Παλαιᾷ· διὰ γὰρ τοῦτο εἶπεν, «Ἐν τῷ αὐτοῦ αἵματι», ἀναμιμνήσκων αὐτοὺς τῶν προβάτων ἐκείνων καὶ τῶν μόσχων. Εἰ γὰρ ἀλόγων σφαγαί, φησίν, ἁμαρτίας ἔλυον, πολλῷ μᾶλλον τὸ αἷμα τοῦτο. Καὶ οὐχ ἁπλῶς εἶπε, λυτρώσεως, ἀλλ' «Ἀπολυτρώσεως», ὡς μηκέτι ἡμᾶς ἐπανελθεῖν πάλιν ἐπὶ τὴν αὐτὴν δουλείαν. Καὶ ἱλαστήριον δι' αὐτὸ τοῦτο καλεῖ, δεικνύς, ὅτι εἰ ὁ τύπος τοσαύτην εἶχεν ἰσχύν, πολλῷ μᾶλλον ἡ ἀλήθεια τὸ αὐτὸ ἐπιδείξεται.

Δηλῶν δὲ πάλιν οὐ νεώτερον τοῦτο ὄν, οὐδὲ καινόν, φησί, «Προέθετο». Καὶ εἰπών, «Προέθετο ὁ Θεός», καὶ δείξας τοῦ Πατρὸς τὸ κατόρθωμα, τὸ αὐτὸ δείκνυσι καὶ τοῦ Υἱοῦ ὄν· ὁ μὲν γὰρ Πατὴρ προέθετο, ὁ δὲ Χριστὸς ἐν τῷ αὐτοῦ αἵματι τὸ πᾶν κατώρθωσεν. «Εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ». Τί ἐστιν, «Ἔνδειξις τῆς δικαιοσύνης»; Ὥσπερ ἔνδειξις πλούτου, τὸ μὴ μόνον αὐτὸν εἶναι πλούσιον, ἀλλὰ καὶ ἑτέρους πλουσίους ποιεῖν· καὶ ζωῆς, τὸ μὴ μόνον αὐτὸν εἶναι ζῶντα, ἀλλὰ καὶ νεκροὺς ζωοποιεῖν· καὶ

νε μέσο ἐξιλασμοῦ διὰ μέσου τῆς πίστης μὲ τὸ αἷμα του, γιὰ νὰ φανερωθεῖ καὶ ἡ δικαιοσύνη τοῦ Θεοῦ».

Πρόσεχε μὲ πόσα ἀποδεικνύει αὐτὸ ποὺ ἔχει εἰπωθεῖ. Πρῶτα ἀπὸ τὴν ἀξία τοῦ προσώπου. Γιατὶ δὲν εἶναι ἄνθρωπος αὐτὸς ποὺ κάνει αὐτά, ὥστε νὰ χάσει τὴ δύναμή του, ἀλλ' ὁ Θεὸς ποὺ μπορεῖ τὰ πάντα, γιατὶ ἡ δικαιοσύνη, λέγει, εἶναι τοῦ Θεοῦ. Δεύτερο, ἀπὸ τὸ νόμο καὶ τὴς προφῆτες. Νὰ μὴ φοβηθεῖς λοιπόν, ἐπειδὴ ἄκουσες «Χωρὶς νόμο», γιατὶ καὶ στὸν ἴδιο τὸ νόμο αὐτὸ φαίνεται. Τρίτο, ἀπὸ τὶς θυσίες ποὺ γίνονταν στὴν Παλαιὰ Διαθήκη. Γιατὶ γι' αὐτὸ εἶπε, «Μὲ τὸ δικό του αἷμα», θυμίζοντας σ' αὐτοὺς ἐκεῖνα τὰ πρόβατα καὶ τὰ μοσχάρια. Ἐὰν λοιπὸν οἱ θυσίες τῶν ζώων, λέγει, παρεῖχαν συγχώρηση στὶς ἁμαρτίες, πολὺ περισσότερο θὰ παρέχει τὸ αἷμα αὐτό. Καὶ δὲν εἶπε ἁπλά, μὲ τὴ λύτρωση, ἀλλὰ «Μὲ τὴν ἀπολύτρωση», σὰν νὰ μὴ πρόκειται πιὰ νὰ ἐπανέλθουμε πάλι στὴν ἴδια δουλεία. Καὶ γι' αὐτὸ τὸ ὀνομάζει αὐτὸ μέσο ἐξιλασμοῦ, γιὰ νὰ δείξει, πώς, ἂν ὁ τύπος εἶχε τόσο μεγάλη δύναμη, πολὺ περισσότερο θὰ δείξει ἡ αλήθεια τὸ ἴδιο.

Φανερώνοντας ὅμως πάλι ὅτι δὲν εἶναι αὐτὸ πιὸ νέο, οὔτε πρωτάκουστο, λέγει, «Προόρισε». Καὶ λέγοντας, «Προόρισε ὁ Θεός», καὶ δείχνοντας πὼς τὸ κατόρθωμα ἀνήκει στὸν Πατέρα, τὸ ἴδιο δείχνει πὼς εἶναι καὶ τοῦ Υἱοῦ. Γιατὶ βέβαια ὁ Πατέρας προόρισε, ἐνῶ ὁ Χριστὸς κατόρθωσε τὰ πάντα μὲ τὸ δικό του αἷμα. «Γιὰ νὰ φανερωθεῖ ἡ δικαιοσύνη του». Τί σημαίνει, «Φανέρωση τῆς δικαιοσύνης»; Ὅπως ἀκριβῶς φανέρωση τοῦ πλούτου εἶναι, τὸ νὰ μὴν εἶναι μόνο αὐτὸς πλούσιος, ἀλλὰ καὶ ἄλλους νὰ κάνει πλούσιους, καὶ ὅπως φανέρωση ζωῆς εἶναι, τὸ νὰ μὴν ἔχει αὐτὸς μόνο ζωή, ἀλλὰ καὶ ν' ἀνασταίνει τοὺς νεκρούς, καὶ ὅπως φανέρωση τῆς δύναμης εἶναι, τὸ νὰ μὴν εἶναι αὐτὸς μόνο δυνατός, ἀλλὰ νὰ κάνει δυνατοὺς

δυνάμεως, τὸ μὴ μόνον αὐτὸν εἶναι δυνατόν, ἀλλὰ καὶ τοὺς ἀσθενεῖς δυναμοῦν· οὕτω καὶ δικαιοσύνης ἔνδειξις, τὸ μὴ μόνον αὐτὸν εἶναι δίκαιον, ἀλλὰ καὶ τὸ ἑτέρους ἐν ἁμαρτίαις κατασαπέντας ἐξαίφνης δικαίους ποιεῖν. Τοῦτο οὖν καὶ αὐτὸς ἑρμηνεύων ἐπήγαγε, τίς ἐστιν ἔνδειξις· «Εἰς τὸ εἶναι αὐτὸν δίκαιον, καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦν».

3. Μὴ τοίνυν ἀμφίβαλλε· οὐ γὰρ ἐξ ἔργων, ἀλλ' ἀπὸ πίστεως· μηδὲ φεῦγε τὴν τοῦ Θεοῦ δικαιοσύνην· διπλοῦν γὰρ αὐτῆς τὸ ἀγαθόν, ὅτι καὶ κοῦφόν ἐστι, καὶ πᾶσι προκείμενον· μηδὲ αἰσχύνου καὶ ἐρυθρία· εἰ γὰρ αὐτὸς ἐνδείκνυται τοῦτο ποιῶν, καὶ ὡς ἂν εἴποι τις, ἐναβρύνεται καὶ ἐγκαλλωπίζεται, πῶς σὺ καταδύῃ καὶ ἐγκαλύπτῃ, ἐφ' ᾧ ὁ Δεσπότης σου δοξάζεται; Ἐπάρας τοίνυν τὸν ἀκροατὴν διὰ τοῦ εἰπεῖν, ὅτι ἔνδειξις τῆς τοῦ Θεοῦ δικαιοσύνης ἐστὶ τὰ γινόμενα, πάλιν τῷ φόβῳ ὠθεῖ τὸν ὀκνοῦντα καὶ ἀναδυόμενον προσελθεῖν, οὕτω λέγων· «Διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων». Ὁρᾷς πῶς συνεχῶς ἀναμιμνήσκει τῶν πλημμελημάτων αὐτούς; ἀνωτέρω μὲν λέγων, «Διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας», μετὰ ταῦτα δέ, ὅτι «Πάντες ἥμαρτον», ἐνταῦθα δὲ σφοδρότερον. Οὐδὲ γὰρ εἶπε, διὰ τὰ ἁμαρτήματα, ἀλλά, «Διὰ τὴν πάρεσιν», τουτέστι, τὴν νέκρωσιν. Οὐκέτι γὰρ ὑγιείας ἐλπὶς ἦν, ἀλλ' ὥσπερ σῶμα παραλυθὲν τῆς ἄνωθεν ἐδεῖτο χειρός· οὕτω καὶ ἡ ψυχὴ νεκρωθεῖσα.

Καὶ τὸ δὴ χαλεπώτερον, ὅπερ ἐν τάξει θεὶς αἰτίας, δείκνυσι μεῖζον ὂν κατηγόρημα. Τί δὲ τοῦτό ἐστι; Τὸ ἐν τῇ ἀνοχῇ τοῦ Θεοῦ τὴν πάρεσιν γεγενῆσθαι. Οὐδὲ γὰρ ἂν ἔχοιτε εἰπεῖν, φησίν, ὅτι οὐκ ἀπελαύσατε πολλῆς ἀνοχῆς καὶ χρηστότητος. Τὸ δέ,

καὶ τοὺς ἀδύνατους, ἔτσι καὶ φανέρωση τῆς δικαιοσύνης εἶναι, τὸ νὰ μὴν εἶναι αὐτὸς μόνο δίκαιος, ἀλλὰ νὰ κάνει ξαφνικὰ καὶ ἄλλους δίκαιους ποὺ εἶχαν κατασαπίσει στὶς ἁμαρτίες. Ἑρμηνεύοντας λοιπὸν καὶ ὁ ἴδιος αὐτὸ πρόσθεσε, ποιὰ εἶναι ἡ φανέρωση· «Γιὰ νὰ εἶναι αὐτὸς δίκαιος καὶ νὰ κάνει δίκαιο ἐκεῖνον ποὺ θὰ πιστεύει στὸν Ἰησοῦ».

3. Μὴ λοιπὸν ἀμφιβάλλεις, γιατὶ ἡ δικαίωση δὲν προέρχεται ἀπὸ τὰ ἔργα, ἀλλὰ ἀπὸ τὴν πίστη. Οὔτε ν' ἀποφεύγεις τὴ δικαιοσύνη τοῦ Θεοῦ, ἀφοῦ εἶναι διπλὸ τὸ καλό της, γιατὶ καὶ εὔκολο εἶναι, καὶ σὲ ὅλους προσιτό. Οὔτε νὰ ντρέπεσαι καὶ νὰ κοκκινίζεις. Γιατὶ ἂν αὐτὸς ἐπιδεικνύεται κάνοντας αὐτό, καί, ὅπως θὰ μποροῦσε νὰ πεῖ κανείς, καμαρώνει καὶ ὑπερηφανεύεται, πῶς ἐσὺ κρύβεσαι καὶ σκεπάζεις τὸ πρόσωπό σου γι' αὐτὸ ποὺ ὁ Κύριός σου δοξάζεται; Ἀφοῦ ἐξύψωσε λοιπὸν τὸν ἀκροατὴ μὲ τὸ νὰ πεῖ, πὼς αὐτὰ ποὺ γίνονται εἶναι φανέρωση τῆς δικαιοσύνης τοῦ Θεοῦ, πάλι μὲ τὸ φόβο παρακινεῖ ἐκεῖνον ποὺ διστάζει καὶ ἀποφεύγει νὰ πλησιάσει, λέγοντας τὰ ἑξῆς· «Ἐξ αἰτίας τῆς παράλυσης τῶν προηγούμενων ἁμαρτημάτων». Βλέπεις πῶς τοὺς θυμίζει συνέχεια τὰ ἁμαρτήματα; μὲ τὸ νὰ πεῖ παραπάνω, «Γιατί μὲ τὸ νόμο γνωρίζει καλὰ ὁ ἄνθρωπος τὶς ἁμαρτίες του», καὶ ὕστερα ἀπὸ αὐτά, ὅτι «Ὅλοι ἁμάρτησαν», ἐνῶ ἐδῶ πιὸ ἔντονα. Γιατὶ δὲν εἶπε, ἐξ αἰτίας τῶν ἁμαρτημάτων, ἀλλά, «Ἐξ αἰτίας τῆς παράλυσης», δηλαδή, τῆς νέκρωσης. Γιατὶ δὲν ὑπῆρχε πιὰ ἐλπίδα ὑγείας, ἀλλ' σὰν ἀκριβῶς σῶμα παράλυτο χρειαζόταν τὴ βοήθεια τοῦ Θεοῦ, ἔτσι καὶ ἡ ψυχὴ ποὺ νεκρώθηκε.

Καὶ τὸ πιὸ φοβερό, ποὺ ἀφοῦ τὸ ἀνέφερε σὰν αἰτία, δείχνει πὼς ἡ κατηγορία εἶναι μεγαλύτερη. Καὶ ποιὸ εἶναι αὐτό; Τὸ ὅτι ἡ παράλυση ἔχει γίνει μὲ τὴν ἀνοχὴ τοῦ Θεοῦ. Γιατὶ δὲν μπορεῖτε νὰ ἰσχυριστεῖτε, λέγει, ὅτι δὲν ἀπολαύσατε πολλὴ ἀνοχὴ καὶ ἀγαθότητα. Τὸ «Στὸν πα-

«Ἐν τῷ νῦν καιρῷ», τὴν πολλὴν δεικνύντος ἐστὶν ἀνοχὴν καὶ φιλανθρωπίαν. Ὅτε γὰρ ἀπεγνώσθημεν, φησί, καὶ καιρὸς ἀποφάσεως ἦν, καὶ ηὐξήθη τὰ κακά, καὶ ἐπληρώθησαν αἱ ἁμαρτίαι, τότε τὴν ἑαυτοῦ δύναμιν ἐπεδείξατο, ἵνα μάθῃς πόση παρ' αὐτῷ τῆς δικαιοσύνης ἡ περιουσία. Οὐδὲ γὰρ ἐν ἀρχῇ γενόμενον τοῦτο οὕτω θαυμαστὸν ἂν ἐφάνη καὶ παράδοξον, ὡς νῦν, ὅτε πάσης ἰατρείας ἐξηλέγχθη τρόπος. «Ποῦ οὖν ἡ καύχησις; Ἐξεκλείσθη», φησί. «Διὰ ποίου νόμου; τῶν ἔργων; Οὐχί, ἀλλὰ διὰ νόμου πίστεως». Πολὺς ὁ ἀγὼν τῷ Παύλῳ δεῖξαι, ὅτι τοσοῦτον ἡ πίστις ἴσχυσεν, ὅσον οὐδὲ ἐφαντάσθη ποτὲ ὁ νόμος.

Ἐπειδὴ γὰρ εἶπεν, ὅτι δικαιοῖ ὁ Θεὸς τὸν ἄνθρωπον ἀπὸ τῆς πίστεως, ἐπιλαμβάνεται τοῦ νόμου πάλιν. Καὶ οὐ λέγει, ποῦ οὖν τὰ κατορθώματα τῶν Ἰουδαίων; ποῦ ἡ δικαιοπραγία; ἀλλά, «Ποῦ ἡ καύχησις;» πανταχοῦ δεικνὺς μεγαληγοροῦντας μόνον ὡς πλέον τι τῶν ἄλλων ἔχοντας, καὶ μηδὲν ἐπιδεικνυμένους ἔργον. Καὶ εἰπών, «Ποῦ οὖν ἡ καύχησις;», οὐκ εἶπεν, ἠφανίσθη καὶ ἀπώλετο, ἀλλ' «Ἐξεκλείσθη», ὅπερ ἀκαιρίας μᾶλλόν ἐστιν· οὐκέτι γὰρ ἔχει καιρόν. Ὥσπερ γὰρ τῆς κρίσεως ἐπιστάσης, οὐκέτι καιρὸν ἔχουσιν οἱ μετανοῆσαι βουλόμενοι· οὕτω καὶ τῆς ἀποφάσεως ἐξενεχθείσης λοιπόν, καὶ πάντων μελλόντων ἀπόλλυσθαι, καὶ παραγενομένου τοῦ ταῦτα χάριτι λύοντος τὰ δεινά, οὐκέτι καιρὸν εἶχον ἐκεῖνοι προβαλέσθαι τὴν ἀπὸ τοῦ νόμου διόρθωσιν.

Εἰ γὰρ ἐχρῆν ἰσχυρίζεσθαι τούτοις, πρὸ της παρουσίας ἐχρῆν· ἐλθόντος δὲ τοῦ διὰ τῆς πίστεως σώζοντος, ἀνῄρητο λοιπὸν ὁ τῶν ἀγώνων καιρός· ὡς γὰρ ἐληλεγμένων ἁπάντων, οὕτω τῇ χάριτι σώζει. Διὸ καὶ νῦν ἦλθεν, ἵνα μὴ λέγωσιν· ἐν ἀρχῇ παρα-

ρόντα καιρὸ» πάλι, δείχνει τὴν πολλὴ ἀνοχὴ καὶ φιλανθρωπία του. Γιατί, ὅταν ἀπελπιστήκαμε, λέγει, καὶ ἦταν ὁ καιρὸς τῆς κρίσης, καὶ πλήθαιναν τὰ κακά, καὶ συμπληρώθηκαν οἱ ἁμαρτίες, τότε φανέρωσε τὴ δική του δύναμη, γιὰ νὰ μάθεις πόση εἶναι ἡ ἀφθονία τῆς δικαιοσύνης του. Γιατὶ δὲ θὰ φαινόταν αὐτὸ τόσο θαυμαστὸ καὶ παράξενο, ἂν γινόταν στὴν ἀρχή, ὅσο τώρα ποὺ ἐξακριβώθηκε τὸ μέσο κάθε θεραπείας. «Ποῦ εἶναι λοιπὸν ἡ καύχηση; Ἀποκλείστηκε ἐντελῶς», λέγει. «Μὲ ποιὸ νόμο; Μὲ τὸ νόμο τῶν ἔργων; Ὄχι, ἀλλὰ μὲ τὸ νόμο τῆς πίστης». Εἶναι μεγάλος ὁ ἀγώνας τοῦ Παύλου νὰ δείξει, ὅτι τόσα πολλὰ κατόρθωσε ἡ πίστη, ὅσα δὲ φαντάστηκε ποτὲ ὁ νόμος.

Ἀφοῦ λοιπὸν εἶπε, ὅτι ὁ Θεὸς δικαιώνει τὸν ἄνθρωπο ἀπὸ τὴν πίστη του, καταπιάνεται μὲ τὸ νόμο πάλι, καὶ δὲ λέγει, ποῦ εἶναι λοιπὸν τὰ κατορθώματα τῶν Ἰουδαίων; ποῦ εἶναι οἱ δίκαιες πράξεις τους; ἀλλά, «Ποῦ εἶναι ἡ καύχηση;» ἀποδείχνοντας παντοῦ ὅτι ὑπερηφανεύονται μόνο σὰν νὰ ἔχουν κάτι περισσότερο ἀπὸ τοὺς ἄλλους καὶ δὲν παρουσιάζουν κανένα ἔργο. Καὶ ἀφοῦ εἶπε, «Ποῦ εἶναι λοιπὸν ἡ καύχηση;» δὲν εἶπε, ἐξαφανίστηκε καὶ χάθηκε, ἀλλά, «Ἀποκλείστηκε», πράγμα ποὺ δείχνει τὴν ἀκαταλληλότητα τοῦ καιροῦ, γιατὶ δὲν ἔχει πιὰ καιρό. Γιατί, ὅπως ἀκριβῶς ὅταν ἔρθει ἡ κρίση, δὲν ἔχουν πιὰ καιρὸ ἐκεῖνοι ποὺ θέλουν νὰ μετανοήσουν, ἔτσι καὶ ὅταν βγεῖ ἡ ἀπόφαση στὴ συνέχεια, καὶ ὅταν πρόκειται νὰ καταστραφοῦν ὅλοι καὶ ἔρθει αὐτὸς ποὺ μὲ τὴ χάρη του διαλύει αὐτὰ τὰ φοβερά, δὲν εἶχαν πιὰ ἐκεῖνοι καιρὸ νὰ προβάλουν σὰν δικαιολογία τὴ διόρθωση ἀπὸ τὸ νόμο.

Ἐὰν λοιπὸν ἔπρεπε νὰ ἰσχυρίζονται αὐτά, ἔπρεπε νὰ τὰ ἰσχυρίζονται πρὶν ἀπὸ τὴν παρουσία τοῦ Χριστοῦ. Ὅταν ὅμως ἦρθε ἐκεῖνος ποὺ σώζει μὲ τὴν πίστη, ἐξαφανίστηκε στὴ συνέχεια ὁ καιρὸς τῶν ἀγώνων. Γιατί, ἐπειδὴ εἶναι καταδικασμένοι ὅλοι, γι' αὐτὸ τοὺς σώζει μὲ τὴ χάρη. Καὶ γι' αὐτὸ ἦρθε τώρα, γιὰ νὰ μὴ λέγουν, ὅτι ἦταν δυνα-

γενομένου, ὅτι δυνατὸν ἦν διὰ νόμου σωθῆναι, καὶ πόνοις οἰκείοις καὶ κατορθώμασι. Ταύτην οὖν ἐπιστομίζων αὐτῶν τὴν ἀναισχυντίαν, ἔμεινε χρόνον πολύν, ὥστε μετὰ τὸ διὰ πάντων ἐλεγχθῆναι σαφῶς οὐκ ἀρκοῦντας ἑαυτοῖς, τότε σῶσαι διὰ τῆς αὐτοῦ χάριτος. Διὸ καὶ ἀνωτέρω λέγων, «Εἰς ἔνδειξιν τῆς δικαιοσύνης», ἐπήγαγεν, «Ἐν τῷ νῦν καιρῷ». Εἰ δὲ ἀντιλέγοιέν τινες, ταὐτὸν ποιοῦσιν, ὥσπερ ἂν εἴ τις μεγάλα ἡμαρτηκὼς καὶ μὴ δυνηθεὶς ἀπολογήσασθαι ἐν δικαστηρίῳ, ἀλλὰ κατακριθεὶς καὶ κολάζεσθαι μέλλων, εἶτα ἀπὸ δωρεᾶς βασιλικῆς ἀφεθείς, ἀναισχυντοίη μετὰ τὴν ἄφεσιν καυχώμενος, καὶ λέγων μηδὲν ἡμαρτηκέναι.

Πρὶν ἢ γὰρ ἐλθεῖν τὴν δωρεάν, ἀποδεῖξαι ἔδει, ἐλθούσης δέ, οὐκ ἂν ἔχοι καιρὸν καυχᾶσθαι λοιπόν. Ὃ δὴ καὶ ἐπὶ τῶν Ἰουδαίων γέγονεν. Ἐπειδὴ γὰρ οἴκοθεν ἦσαν προδεδομένοι, διὰ τοῦτο παραγέγονεν, αὐτῷ τῷ παραγενέσθαι τὴν καύχησιν ἀναιρῶν. Ὁ γὰρ λέγων διδάσκαλος εἶναι νηπίων, καὶ ἐν τῷ νόμῳ καυχώμενος, καὶ παιδευτὴν ἀφρόνων ἑαυτὸν ὀνομάζων, ὁμοίως ἐκείνοις δεηθεὶς τοῦ διδάξαντος καὶ σώσαντος, οὐκ ἂν ἔχοι τοῦ καυχᾶσθαι πρόφασιν. Εἰ γὰρ καὶ πρὸ τούτου ἡ περιτομὴ ἀκροβυστία ἐγένετο, πολλῷ μᾶλλον νῦν· καὶ γὰρ ἐξ ἑκατέρων ἐκβέβληται τῶν καιρῶν. Εἰπὼν δέ, ὅτι «Ἐξεκλείσθη» δείκνυσι καὶ πῶς. Πῶς οὖν ἐξεκλείσθη, φησί; «Διὰ ποίου νόμου; τῶν ἔργων; Οὐχί, ἀλλὰ διὰ νόμου πίστεως».

4. Ἰδοὺ καὶ τὴν πίστιν νόμον ἐκάλεσεν, ἐμφιλοχωρῶν τοῖς ὀνόμασιν, ὥστε παραμυθεῖσθαι τὴν δοκοῦσαν εἶναι καινοτομίαν. Τίς δὲ ὁ τῆς πίστεως νό-

τό, ἂν ἐρχόταν στὴν ἀρχή, νὰ σωθοῦν μὲ τὸ νόμο καὶ μὲ δικούς τους κόπους καὶ κατορθώματα. Ἀποστομώνοντας λοιπὸν αὐτὴ τὴν ἀδιαντροπιά τους, παρέμεινε πολὺ χρόνο, ὥστε, ἀφοῦ μὲ ὅλα ἀποδειχθοῦν καθαρὰ ὅτι δὲν μποροῦν νὰ βοηθήσουν τὸν ἑαυτό τους, τότε νὰ τοὺς σώσει μὲ τὴ δική του χάρη. Γι' αὐτό, ἀφοῦ εἶπε καὶ παραπάνω, «Γιὰ νὰ φανερωθεῖ ἡ δικαιοσύνη του», πρόσθεσε, «Στὸν παρόντα καιρό». Ἐὰν ὅμως ἀντιλέγουν μερικοί, τὸ ἴδιο κάνουν, ὅπως ἀκριβῶς κάποιος ποὺ ἔχει πέσει σὲ πολλὰ παραπτώματα καὶ δὲν μπόρεσε νὰ δικαιολογηθεῖ στὸ δικαστήριο, ἀλλ', ἀφοῦ καταδικάστηκε καὶ πρόκειται νὰ τιμωρηθεῖ, ἔπειτα, ἀφοῦ ἀφέθηκε ἐλεύθερος ἀπὸ βασιλικὴ χάρη, θὰ εἶναι ἀδιάντροπος μετὰ τὴ συγχώρησή του, ἐὰν καυχιέται καὶ λέγει πὼς δὲν ἔχει κάνει κανένα παράπτωμα.

Προτοῦ λοιπὸν νὰ ἔρθει ἡ χάρη, ἔπρεπε ν' ἀποδείξει αὐτό, ἀφοῦ ὅμως ἦρθε, δὲ θὰ ἔχει καιρὸ στὸ ἑξῆς νὰ καυχιέται. Αὐτὸ ἀκριβῶς ἔχει γίνει καὶ στὴν περίπτωση τῶν Ἰουδαίων. Ἐπειδὴ δηλαδὴ μόνοι τους ἦταν καταδικασμένοι, γι' αὐτὸ ἦρθε, γιὰ νὰ ἐξαφανίσει μὲ τὴν παρουσία του τὴν καύχησή τους. Γιατὶ ἐκεῖνος ποὺ λέγει ὅτι εἶναι διδάσκαλος τῶν νηπίων, καὶ καυχιέται γιὰ τὸ νόμο, καὶ ὀνομάζει τὸν ἑαυτό του παιδαγωγὸ τῶν ἀνόητων, ἐπειδή, ὅπως ἐκεῖνοι, εἶχε ἀνάγκη ἀπὸ διδάσκαλο καὶ σωτήρα, δὲ θὰ ἔχει δικαιολογία γιὰ νὰ καυχιέται. Ἀφοῦ λοιπὸν καὶ πρὶν ἀπ' αὐτὸν ἡ περιτομὴ ἔγινε ἀκροβυστία, πολὺ περισσότερο τώρα, γιατὶ ἔχει ἐκδιωχθεῖ καὶ ἀπὸ τοὺς δύο καιρούς. Ἀφοῦ εἶπε, ὅτι «Ἀποκλείστηκε», δείχνει καὶ μὲ ποιὸ τρόπο. Πῶς λοιπὸν ἀποκλείστηκε, λέγει; «Μὲ ποιὸ νόμο; Μὲ τὸ νόμο τῶν ἔργων; Ὄχι, ἀλλὰ μὲ τὸ νόμο τῆς πίστης».

4. Νά, καὶ τὴν πίστη ὀνόμασε νόμο, ἀσχολούμενος μὲ εὐχαρίστηση μὲ τὰ ὀνόματα, γιὰ νὰ τοὺς παρηγορήσει γιὰ τὴ φαινομενικὴ καινοτομία. Ποιὸς ὅμως εἶναι ὁ νόμος

μος; Διὰ χάριτος σώζεσθαι. Ἐνταῦθα τὸ δυνατὸν δείκνυσι τοῦ Θεοῦ, ὅτι οὐ μόνον ἔσωσεν, ἀλλὰ καὶ ἐδικαίωσε καὶ εἰς καύχησιν ἤγαγε, καὶ οὐδὲ ἔργων δεηθείς, ἀλλὰ πίστιν ζητήσας μόνον. Ταῦτα δὲ λέγει, καὶ τὸν πιστεύσαντα Ἰουδαῖον μετριάζειν παρασκευάζων, καὶ τὸν μὴ πιστεύσαντα καταστέλλων, ὥστε αὐτὸν ἐφελκύσασθαι. Ὁ μὲν γὰρ σωθείς, ἂν μέγα φρονῇ τῷ νόμῳ προσέχων, ἀκούσεται ὅτι αὐτὸς αὐτοῦ τὸ στόμα ἐνέφραξεν, αὐτὸς αὐτοῦ κατηγόρησεν, αὐτὸς αὐτοῦ τὴν σωτηρίαν ἀπηγόρευσε, καὶ τὸ καύχημα ἐξέκλεισεν· ὁ δὲ μὴ πιστεύσας πάλιν διὰ τῶν αὐτῶν τούτων ταπεινωθείς, προσαχθῆναι τῇ πίστει δυνήσεται.

Εἶδες πόση τῆς πίστεως ἡ περιουσία; πῶς ἀπέστησε τῶν προτέρων, μηδὲ καυχᾶσθαι ἐπ' αὐτοῖς ἀφεῖσα; «Λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου». Ὅτε ἔδειξεν ἀνωτέρους ὄντας ἀπὸ τῆς πίστεως τῶν Ἰουδαίων, τότε λοιπὸν μετὰ πολλῆς τῆς παρρησίας καὶ περὶ αὐτῆς διαλέγεται, καὶ τὸ δοκοῦν ἐνταῦθα θορυβεῖν, πάλιν ἰᾶται. Καὶ γὰρ δύο ταῦτα τὰ ταράττοντα ἦν Ἰουδαίους, ἓν μέν, εἰ τοὺς μετ' ἔργων μὴ σωθέντας δυνατὸν χωρὶς ἔργων σωθῆναι· ἕτερον δέ, εἰ τοὺς ἀκροβύστους δίκαιον τῶν αὐτῶν ἀπολαῦσαι τοῖς ἐν τοσούτῳ χρόνῳ συντραφεῖσι τῷ νόμῳ· ὃ πολλῷ τοῦ προτέρου μᾶλλον αὐτοὺς ἐξετάραττε. Διὰ τοῦτο ἐκεῖνο κατασκευάσας, ἐπὶ τοῦτο λοιπὸν ἔξεισιν· ὅπερ οὕτως ἐθορύβει τοὺς Ἰουδαίους, ὡς καὶ Πέτρῳ μετὰ τὴν πίστιν ταύτης ἕνεκεν ἐγκαλέσαι τῆς ὑποθέσεως, Κορνηλίου καὶ τῶν κατ' αὐτὸν ἕνεκεν πραγμάτων.

Τί οὖν φησι; «Λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου». Οὐκ εἶπεν Ἰουδαῖ-

------

6. Γιὰ τὴν ἐπιστροφὴ τοῦ Κορνηλίου καὶ τὴ σχετικὴ διήγηση τοῦ Πέτρου βλ. Πράξ. 10, 1 - 11, 18.

τῆς πίστης; Τὸ νὰ σώζεται κανεὶς μὲ τὴ χάρη. Ἐδῶ δείχνει τὴ δύναμη τοῦ Θεοῦ, γιατὶ ὄχι μόνο ἔσωσε, ἀλλὰ καὶ δικαίωσε καὶ ὁδήγησε σὲ καύχηση, χωρὶς νὰ ἔχει ἀνάγκη ἀπὸ ἔργα, ἀλλὰ ζητώντας μόνο πίστη. Αὐτὰ ὅμως τὰ λέγει, γιὰ νὰ προετοιμάσει καὶ τὸν Ἰουδαῖο ποὺ πίστεψε νὰ εἶναι μετριόφρονας καὶ γιὰ νὰ συγκρατήσει ἐκεῖνον ποὺ δὲν πίστεψε, μὲ σκοπὸ νὰ προσελκύσει καὶ αὐτόν. Γιατὶ ἐκεῖνος ποὺ σώθηκε, ἂν ὑπερηφανεύεται ἀποβλέποντας στὸ νόμο, θ' ἀκούσει ὅτι αὐτὸς τοῦ ἔκλεισε τὸ στόμα, αὐτὸς τὸν κατηγόρησε, αὐτὸς τοῦ ἀπαγόρευσε τὴ σωτηρία του καὶ ἀπέκλεισε τὴν καύχησή του. Ἐκεῖνος ὅμως ποὺ δὲν πίστεψε, ἀφοῦ ταπεινωθεῖ μὲ τὰ ἴδια ἀκριβῶς, θὰ μπορέσει νὰ ὁδηγηθεῖ στὴν πίστη.

Εἶδες πόσο πλούσια εἶναι ἡ πίστη; πῶς τοὺς ἀπομάκρυνε ἀπὸ τὰ προηγούμενα, μὴ ἐπιτρέποντας τους νὰ καυχιένται γι' αὐτά; «Συμπεραίνουμε λοιπὸν ὅτι ὁ ἄνθρωπος δικαιώνεται ἀπὸ τὴν πίστη χωρὶς τὰ ἔργα τοῦ νόμου». Ὅταν ἔδειξε πὼς ἀπὸ τὴν πίστη εἶναι ἀνώτεροι ἀπὸ τοὺς Ἰουδαίους, τότε στὴ συνέχεια μὲ πολλὴ παρρησία μιλάει καὶ γι' αὐτὴν καὶ ἐκεῖνο ποὺ φαίνεται πὼς θορυβεῖ ἐδῶ, τὸ θεραπεύει πάλι. Γιατὶ πραγματικὰ δύο ἦταν αὐτὰ ποὺ τάραζαν τοὺς Ἰουδαίους, τὸ ἕνα, ἂν εἶναι δυνατὸ νὰ σωθοῦν χωρὶς τὰ ἔργα, ἀφοῦ δὲ σώθηκαν ἐκεῖνοι ποὺ εἶχαν ἔργα, καὶ τὸ ἄλλο, ἂν εἶναι δίκαιο οἱ ἀπερίτμητοι ν' ἀπολαύσουν τὰ ἴδια μ' αὐτοὺς ποὺ τόσο χρόνο ἔζησαν μαζὶ μὲ τὸ νόμο, πράγμα ποὺ τοὺς συγκλόνιζε πολὺ περισσότερο ἀπὸ τὸ πρῶτο. Γι' αὐτό, ἀφοῦ ἀπέδειξε ἐκεῖνο, ἔρχεται στὴ συνέχεια σ' αὐτό, ποὺ τόσο θορυβοῦσε τοὺς Ἰουδαίους, ὥστε ὕστερα ἀπὸ τὴν πίστη να κατηγορήσουν καὶ τὸν Πέτρο ἐξ αἰτίας τῆς ὑπόθεσης αὐτῆς, δηλαδὴ ἐξ αἰτίας τοῦ Κορνηλίου καὶ τοῦ σχετικοῦ μ' αὐτὸν ἐπεισοδίου[6].

Τί λοιπὸν λέγει; «Συμπεραίνουμε λοιπὸν ὅτι ὁ ἄνθρωπος δικαιώνεται ἀπὸ τὴν πίστη χωρὶς τὰ ἔργα τοῦ νόμου».

ον, ἢ τὸν ὑπὸ τὸν νόμον ὄντα, ἀλλ' ἐξαγαγὼν τὸν λόγον εἰς εὐρυχωρίαν, καὶ τῇ οἰκουμένῃ τὰς θύρας ἀνοίξας τῆς σωτηρίας, φησίν, «Ἄνθρωπον», τὸ κοινὸν τῆς φύσεως ὄνομα θείς. Εἶτα ἀπὸ τούτου λαβὼν ἀφορμήν, μὴ τεθεῖσαν ἀντίθεσιν λύει. Ἐπειδὴ γὰρ εἰκὸς ἦν Ἰουδαίους ἀκούσαντας, ὅτι πάντα ἄνθρωπον ἡ πίστις δικαιοῖ, δυσχεραίνειν καὶ σκανδαλίζεσθαι, ἐπήγαγεν· «Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον;»· ὡς ἂν εἰ ἔλεγε, διὰ τί γάρ σοι τοῦτο ἄτοπον εἶναι δοκεῖ, τὸ πάντα ἄνθρωπον σώζεσθαι; μὴ γὰρ μερικός ἐστιν ὁ Θεός; ἐκ τούτου δεικνύς, ὅτι βουλόμενοι τοῖς ἔθνεσιν ἐπηρεάζειν, τοῦ Θεοῦ τὴν δόξαν λυμαίνονται μᾶλλον, εἴ γε μὴ συγχωροῖεν αὐτὸν πάντων εἶναι Θεόν. Εἰ δὲ πάντων ἐστί, καὶ προνοεῖται πάντων· εἰ δὲ προνοεῖται πάντων, πάντας ὁμοίως σώζει διὰ τῆς πίστεως. Διὰ τοῦτό φησιν· «Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον, οὐχὶ δὲ καὶ ἐθνῶν; Ναὶ καὶ ἐθνῶν». Οὐ γάρ ἐστι μερικός, οἷοι οἱ Ἑλλήνων μῦθοι, ἀλλὰ κοινὸς ἁπάντων καὶ εἷς· διό καὶ ἐπάγει· «Ἐπείπερ εἷς ὁ Θεός». Τουτέστιν, ὁ αὐτὸς καὶ τούτων κἀκείνων Δεσπότης.

Εἰ δὲ τὰ παλαιά μοι λέγεις, καὶ τότε κοινὰ τὰ τῆς προνοίας ἦν, εἰ καὶ διαφόρως· καὶ γάρ σοι νόμος ἐδόθη γραπτός, κἀκείνοις νόμος φυσικός, καὶ οὐδὲν ἔλαττον εἶχον, εἴ γε ἐβούλοντο, ἀλλὰ καὶ νικᾶν ἠδύναντο· διὸ καὶ ἐπήγαγε, τοῦτο αὐτὸ αἰνιττόμενος· «Ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως»· τῶν ἔμπροσθεν περὶ ἀκροβυστίας καὶ περιτομῆς εἰρημένων αὐτοὺς ἀναμνήσας,

Δὲν εἶπε ὁ Ἰουδαῖος ἢ αὐτὸς ποὺ βρίσκεται κάτω ἀπὸ τὶς ἐντολὲς τοῦ νόμου, ἀλλὰ κάνοντας εὐρύτερο τὸ λόγο καὶ ἀνοίγοντας στὸν κόσμο ὁλόκληρο τὶς πόρτες τῆς σωτηρίας, λέγει «Ὁ ἄνθρωπος», ἀναφέροντας τὸ κοινὸ ὄνομα τῆς φύσης. Στὴ συνέχεια, παίρνοντας ἀφορμὴ ἀπὸ αὐτό, διαλύει τὴν ἀντίθεση ποὺ δὲν ἀναφέρθηκε. Ἐπειδὴ δηλαδὴ ἦταν φυσικό, οἱ Ἰουδαῖοι ποὺ ἄκουσαν, ὅτι ἡ πίστη δικαιώνει κάθε ἄνθρωπο, νὰ δυσαναςχετοῦν καὶ νὰ σκανδαλίζονται, πρόσθεσε· «Μήπως ὁ Θεὸς εἶναι Θεὸς τῶν Ἰουδαίων μόνο;»· σὰν νὰ ἔλεγε, γιατὶ λοιπὸν σοῦ φαίνεται ἄτοπο αὐτό, τὸ ὅτι δηλαδὴ κάθε ἄνθρωπος σώζεται; μήπως λοιπὸν ὁ Θεὸς εἶναι γιὰ μερικούς; δείχνοντας μ' αὐτό, ὅτι, θέλοντας νὰ προσβάλλουν τοὺς ἐθνικούς, καταστρέφουν περισσότερο τὴ δόξα τοῦ Θεοῦ, ἀφοῦ βέβαια δὲν ἐπιτρέπουν σ' αὐτὸν νὰ εἶναι Θεὸς ὅλων. Ἐὰν ὅμως εἶναι Θεὸς ὅλων, φροντίζει καὶ γιὰ ὅλους. Καὶ ἐὰν φροντίζει γιὰ ὅλους, μὲ ὅμοιο τρόπο τοὺς σώζει ὅλους ἀπὸ τὴν πίστη τους. Γι' αὐτὸ λέγει· «Μήπως ὁ Θεὸς εἶναι Θεὸς τῶν Ἰουδαίων μόνο, καὶ ὄχι καὶ τῶν ἐθνικῶν; Ναί, εἶναι καὶ τῶν ἐθνικῶν». Δὲν ἀνήκει σὲ μερικούς, ὅπως οἱ μῦθοι τῶν Ἑλλήνων, ἀλλ' εἶναι κοινὸς γιὰ ὅλους καὶ ἕνας. Γι' αὐτὸ καὶ προσθέτει· «Ἐπειδὴ ἀκριβῶς ἕνας εἶναι ὁ Θεός». Δηλαδή, ὁ ἴδιος Κύριος καὶ γι' αὐτοὺς καὶ γιὰ ἐκείνους.

Ἐὰν ὅμως μοῦ λέγεις τὰ παλαιά, καὶ τότε ἡ πρόνοια ἦταν κοινή, ἂν καὶ βέβαια μὲ διαφορετικὸ τρόπο. Γιατὶ καὶ σὲ σένα δόθηκε ὁ γραπτὸς νόμος, καὶ σ' ἐκείνους ὁ φυσικὸς νόμος, καὶ δὲν εἶχαν τίποτε λιγότερο, ἂν βέβαια ἤθελαν, ἀλλὰ μποροῦσαν νὰ γίνουν καὶ ἀνώτεροι. Γι' αὐτὸ καὶ πρόσθεσε, ὑπονοώντας αὐτὸ ἀκριβῶς· «Ὁ ὁποῖος θὰ δώσει τὴ δικαίωση σ' αὐτοὺς ποὺ ἔχουν τὴν περιτομὴ ἀπὸ τὴν πίστη καὶ σ' ἐκείνους ποὺ εἶναι ἀπερίτμητοι ἀπὸ τὴν πίστη», θυμίζοντας σ' αὐτοὺς ἐκεῖνα ποὺ εἶπε πιὸ μπροστὰ γιὰ τὴν ἀκροβυστία καὶ τὴν περιτομή, μὲ τὰ

δι' ὧν ἔδειξεν οὐδεμίαν οὖσαν διαφοράν. Εἰ δὲ τότε οὐδεμία ἦν διαφορά, πολλῷ μᾶλλον νῦν· ὅπερ καὶ σαφέστερον κατασκευάζων νῦν, ἀπέδειξεν ὁμοίως ἑκάτερον τῆς πίστεως δεόμενον. «Νόμον οὖν καταργοῦμεν», φησί, «διὰ τῆς πίστεως; Μὴ γένοιτο· ἀλλὰ νόμον ἱστῶμεν». Εἶδες σύνεσιν ποικίλην καὶ ἄφατον; Αὐτῷ γὰρ τῷ εἰπεῖν, «Ἱστῶμεν», ἔδειξεν οὐχ ἑστῶτα, ἀλλὰ καταλελυμένον.

Καὶ ὅρα τῆς Παύλου δυνάμεως τὴν ὑπερβολήν, καὶ μεθ' ὅσης κατασκευάζει περιουσίας ἃ βούλεται. Δείκνυσι γὰρ ἐνταῦθα οὐ μόνον οὐ λυμαινομένην τῷ νόμῳ τὴν πίστιν, ἀλλὰ καὶ βοηθοῦσαν αὐτῷ, ὥσπερ οὖν καὶ αὐτὸν τῇ πίστει προοδοποιοῦντα. Καθάπερ γὰρ αὐτὸς προλαβὼν αὐτῇ ἐμαρτύρησε· «Μαρτυρουμένη γὰρ ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν», φησίν· οὕτω καὶ αὐτὴ αὐτὸν ἀτονοῦντα ἔστησε. Καὶ πῶς ἔστησε, φησί; τί ἦν τοῦ νόμου τὸ ἔργον, καὶ τίνος ἕνεκεν ἅπαντα ἔπραττεν; Ὥστε δίκαιον ποιῆσαι τὸν ἄνθρωπον. Ἀλλ' ἐκεῖνος μὲν τοῦτο οὐκ ἴσχυσε· «Πάντες γάρ», φησίν, «ἥμαρτον»· ἡ πίστις δὲ ἐλθοῦσα αὐτὸ κατώρθωσεν· ὁμοῦ γάρ τις ἐπίστευσε καὶ ἐδικαιώθη. Οὐκοῦν ἔστησε τοῦ νόμου τὸ θέλημα, καὶ δι' ὃ πάντα ἔπραττεν ἐκεῖνος, τοῦτο αὕτη εἰς τέλος ἤγαγεν. Οὐκ ἄρα αὐτὸν κατήργησεν, ἀλλ' ἀπήρτισε.

Τρία τοίνυν ἐνταῦθα ἀπέδειξε, καὶ ὅτι χωρὶς νόμου δυνατὸν δικαιωθῆναι, καὶ ὅτι τοῦτο οὐκ ἴσχυσεν ὁ νόμος καὶ ὅτι ἡ πίστις αὐτῷ οὐ μάχεται. Ἐπειδὴ γὰρ τοῦτο μάλιστα τοὺς Ἰουδαίους ἐθορύβει, τὸ δοκεῖν ἀπεναντίας αὐτῷ τὴν πίστιν εἶναι, δείκνυσι πλέον οὗ βούλεται ὁ Ἰουδαῖος, οὐ μόνον οὐκ οὖσαν ἐναντίαν, ἀλλὰ καὶ σφόδρα σύμμαχόν τε καὶ συνεργὸν οὖσαν· ὃ μάλιστα ἐπόθουν ἀκοῦσαι.

ὁποῖα ἀπέδειξε πὼς δὲν ὑπάρχει καμιὰ διαφορά. Ἐὰν ὅμως τότε δὲν ὑπῆρχε καμιὰ διαφορά, πολὺ περισσότερο τώρα, πράγμα ποὺ ἀπέδειξε πιὸ καθαρὰ τώρα καὶ ἔδειξε πὼς ὁ καθένας ἔχει τὸ ἴδιο ἀνάγκη ἀπὸ τὴν πίστη. «Καταργοῦμε λοιπὸν τὸ νόμο», λέγει, «μὲ τὴν πίστη; Μακριὰ μιὰ τέτοια σκέψη. Ἀντίθετα στηρίζουμε τὸ νόμο». Εἶδες σύνεση ποικίλη καὶ ἀπερίγραπτη; Γιατὶ μ' αὐτὸ ποὺ εἶπε, δηλαδὴ «Στηρίζουμε», ἔδειξε πὼς ὁ νόμος δὲν ἰσχύει, ἀλλ' ἔχει καταργηθεῖ.

Καὶ πρόσεχε τὸ μέγεθος τῆς δύναμης τοῦ Παύλου καὶ μὲ πόση εὐκολία ἀποδεικνύει αὐτὰ ποὺ θέλει. Γιατὶ δείχνει ἐδῶ πὼς ὄχι μόνο δὲν καταργεῖ ἡ πίστη τὸ νόμο, ἀλλὰ καὶ πὼς τὸν βοηθάει, ὅπως ἀκριβῶς βέβαια καὶ αὐτὸς προετοιμάζει τὸ δρόμο τῆς πίστης. Γιατὶ ὅπως ἀκριβῶς ὁ νόμος ἐπιβεβαίωσε προηγουμένως τὴν πίστη, «Γιατὶ βεβαιώνεται», λέγει, «ἀπὸ τὸ νόμο καὶ τοὺς προφῆτες». ἔτσι καὶ αὐτὴ τὸν στήριξε τώρα ποὺ ἔκανε τὴ δύναμή του. Καὶ πῶς τὸν στήριξε, λέγει; ποιό ἦταν τὸ ἔργο τοῦ νόμου καὶ γιὰ ποιὸ λόγο τὰ ἔκανε ὅλα; Γιὰ νὰ κάμει δίκαιο τὸν ἄνθρωπο. Ἀλλ' ἐκεῖνος βέβαια δὲν τὸ κατόρθωσε αὐτό, «Γιατὶ ὅλοι», λέγει, «ἁμάρτησαν», ἐνῶ, ὅταν ἦρθε ἡ πίστη, τὸ κατόρθωσε. Γιατὶ πίστευε κανεὶς καὶ δικαιωνόταν μαζί. Ἑπομένως στήριξε τὸ θέλημα τοῦ νόμου, καὶ γιὰ τὸ λόγο ποὺ τὰ ἔκανε ὅλα ἐκεῖνος, τὸν πραγματοποίησε αὐτή. Συνεπῶς δὲν τὸν κατάργησε, ἀλλὰ τὸν συμπλήρωσε.

Τρία πράγματα λοιπὸν ἀπέδειξε ἐδῶ· καὶ ὅτι εἶναι δυνατὸ νὰ δικαιωθεῖ κανεὶς χωρὶς τὸ νόμο, καὶ ὅτι δὲν τὸ κατόρθωσε αὐτὸ ὁ νόμος, καὶ ὅτι ἡ πίστη δὲν τὸν πολεμάει. Ἐπειδὴ λοιπὸν αὐτὸ θορυβοῦσε ἰδιαίτερα τοὺς Ἰουδαίους, ἡ γνώμη δηλαδὴ πὼς ἡ πίστη εἶναι ἀντίθετη στὸ νόμο, δείχνει περισσότερο ἀπ' ὅ,τι θέλει ὁ Ἰουδαῖος, ὅτι ὄχι μόνο δὲν εἶναι ἀντίθετη, ἀλλ' ὅτι εἶναι ὑπερβολικὰ καὶ σύμμαχος καὶ βοηθός του, πράγμα ποὺ ἰδιαίτερα ποθοῦσαν ν' ἀκούσουν.

5. *Ἀλλ' ἐπειδὴ μετὰ τὴν χάριν ταύτην, δι' ἧς ἐδικαιώθημεν, καὶ πολιτείας χρεία, ἀξίαν ἐπιδειξώμεθα τῆς δωρεᾶς τὴν σπουδήν· ἐπιδειξόμεθα δέ, ἂν τὴν μητέρα τῶν ἀγαθῶν τὴν ἀγάπην μετὰ πολλῆς φυλάττωμεν τῆς σπουδῆς. Ἀγάπη δέ ἐστιν, οὐ ψιλὰ ῥήματα οὐδὲ προσρήσεις ἁπλῶς, ἀλλὰ προστασία καὶ δι' ἔργων ἐπίδειξις· οἷον, τὸ πενίαν λύειν, τὸ νοσοῦσι συναμύνειν, τὸ κινδύνων ἀπαλλάττειν, τὸ ἐν περιστάσεσιν οὖσι παρίστασθαι, τὸ κλαίειν μετὰ κλαιόντων, τὸ χαίρειν μετὰ χαιρόντων· καὶ γὰρ καὶ τοῦτο ἀγάπης· καίτοι δοκεῖ μικρὸν εἶναι τοῦτο, τὸ χαίρειν μετὰ χαιρόντων· σφόδρα μέντοι μέγα ἐστὶ καὶ φιλοσόφου δεόμενον γνώμης· καὶ πολλοὺς ἂν εὕροιμεν τὸ μὲν πικρότερον ἀνίοντας, πρὸς τοῦτο δὲ ἀτονοῦντας· πολλοὶ γὰρ κλαίουσι μὲν μετὰ κλαιόντων, οὐκέτι δὲ καὶ μετὰ χαιρόντων χαίρουσιν, ἀλλὰ δακρύουσιν ἑτέρων χαιρόντων, ὅπερ ἐστὶ βασκανία καὶ φθόνος.*

Οὐ τοίνυν μικρὸν κατόρθωμα, τοῦ ἀδελφοῦ χαίροντος χαίρειν, ἀλλὰ καὶ θατέρου μεῖζον· τάχα δὲ οὐ τοῦ κλαίειν μόνον μετὰ κλαιόντων, ἀλλὰ καὶ τοῦ παραστῆναι ἐν κινδύνοις μεῖζον. Πολλοὶ γοῦν κινδυνεύουσι μὲν συνεκινδύνευσαν, εὐδοκιμούντων δὲ ἐδήχθησαν· τοιαύτη ἡ τῆς βασκανίας τυραννίς. Καίτοι τὸ μὲν πόνων ἐστὶ καὶ ἱδρώτων, τοῦτο δὲ προαιρέσεως καὶ γνώμης μόνον· ἀλλ' ὅμως τὸ χαλεπώτερον ὑπομείναντες πολλοί, τὸ εὐκολώτερον τούτου οὐκ ἤνυσαν, ἀλλὰ τήκονται καὶ ἀπόλλυνται, ὅταν ἑτέρους εὐδοκιμοῦντας ἴδωσιν, ὅταν Ἐκκλησίαν ὠφελουμένην ὁλόκληρον, ἢ λόγῳ ἢ καὶ ἑτέρῳ τινὶ τρόπῳ· οὐ

5. Ἐπειδὴ ὅμως μετὰ τὴ χάρη αὐτή, μὲ τὴν ὁποία δικαιωθήκαμε, χρειάζεται καὶ κατάλληλος τρόπος ζωῆς, ἂς δείξουμε προσπάθεια ὅπως ἀξίζει στὴ δωρεά. Καὶ θὰ δείξουμε, ἂν μὲ πολλὴ προσπάθεια τηροῦμε τὴ μητέρα τῶν ἀγαθῶν, τὴν ἀγάπη. Ἀγάπη ὅμως σημαίνει, ὄχι μόνο λόγια, οὔτε ἁπλὲς προσφωνήσεις, ἀλλὰ βοήθεια σὲ κάποιον καὶ ἀπόδειξη μὲ ἔργα· ὅπως, τὸ νὰ ἀνακουφίζει κανεὶς τὴ φτώχεια, τὸ νὰ βοηθάει τοὺς ἀρρώστους, τὸ νὰ ἀπομακρύνει τοὺς κινδύνους, τὸ νὰ συμπαραστέκεται ἐκείνους ποὺ βρίσκονται σὲ δύσκολη θέση, τὸ νὰ κλαίει μ' αὐτοὺς ποὺ κλαῖνε, τὸ νὰ χαίρεται μ' αὐτοὺς ποὺ χαίρονται, γιατὶ καὶ αὐτὸ εἶναι χαρακτηριστικὸ τῆς ἀγάπης. Μολονότι βέβαια φαίνεται πὼς εἶναι μικρὸ αὐτό, δηλαδὴ τὸ νὰ χαίρεται κανεὶς μαζὶ μ' αὐτοὺς ποὺ χαίρονται, εἶναι ὅμως ὑπερβολικὰ μεγάλο καὶ χρειάζεται φιλοσοφικὴ σκέψη. Καὶ πολλοὺς εἶναι δυνατὸ νὰ βροῦμε νὰ κατορθώνουν τὸ πικρότερο, ἀλλὰ νὰ ἀδυνατοῦν σ' αὐτό. Γιατὶ πολλοὶ κλαῖνε μαζὶ μ' αὐτοὺς ποὺ κλαῖνε, δὲ χαίρονται ὅμως μαζὶ μ' αὐτοὺς ποὺ χαίρονται, ἀλλὰ χύνουν δάκρυα ὅταν ἄλλοι χαίρονται, πράγμα ποὺ εἶναι βασκανία καὶ φθόνος.

Δὲν εἶναι λοιπὸν μικρὸ τὸ κατόρθωμα, τὸ νὰ χαίρεται κανείς, ὅταν χαίρεται ὁ ἀδελφός του, ἀλλὰ καὶ μεγαλύτερο ἀπὸ τὸ ἄλλο. Ἴσως ὅμως εἶναι μεγαλύτερο ὄχι μόνο ἀπὸ τὸ νὰ κλαίει μαζὶ μ' αὐτοὺς ποὺ κλαῖνε, ἀλλὰ καὶ ἀπὸ τὸ νὰ συμπαραστέκεται στοὺς κινδύνους. Πολλοὶ λοιπὸν κινδύνευσαν μαζὶ μ' ἐκείνους ποὺ κινδυνεύουν, ὅταν ὅμως εὐδοκιμοῦσαν στενοχωρήθηκαν. Τόση εἶναι ἡ τυραννία τοῦ φθόνου. Μολονότι τὸ πρῶτο εἶναι ἀποτέλεσμα κόπων καὶ ἱδρώτων, ἐνῶ τὸ δεύτερο ἀποτέλεσμα προαίρεσης καὶ ἀπόφασης μόνο, ἀλλ' ὅμως τὸ δυσκολότερο ὑπομένοντας οἱ πολλοί, δὲν κατόρθωσαν τὸ πιὸ εὔκολο ἀπ' αὐτό, ἀλλὰ μαραίνονται καὶ ἐνοχλοῦνται πάρα πολύ, ὅταν δοῦν νὰ εὐδοκιμοῦν ἄλλοι, ὅταν δοῦν νὰ ὠφελεῖται ὁλόκληρη Ἐκκλησία, ἢ μὲ λόγο ἢ καὶ μὲ κά-

τί χεῖρον γένοιτ' ἄν; Οὐδὲ γὰρ τῷ ἀδελφῷ λοιπόν, ἀλλὰ καὶ τῷ θελήματι τοῦ Θεοῦ ὁ τοιοῦτος μάχεται. Τοῦτο οὖν ἐννοήσας, παῦσαι τῆς νόσου, καὶ εἰ μὴ τὸν πλησίον βούλει, σαυτὸν γοῦν ἀπάλλαξον τῶν μυρίων κακῶν.

Τί πόλεμον ἐπεισάγεις σου τοῖς λογισμοῖς; τί θορύβου τὴν ψυχὴν πληροῖς; τί χειμῶνα ἐργάζῃ; τί τὰ ἄνω κάτω ποιεῖς; πῶς δυνήσῃ διακείμενος οὕτως, ἁμαρτιῶν ἄφεσιν αἰτῆσαι; Εἰ γὰρ τοῖς τὰ εἰς αὐτοὺς μὴ συγχωροῦσιν οὐδὲ αὐτὸς ἀφίησι τὰ ἁμαρτήματα, τοῖς τοὺς οὐδὲν ἠδικηκότας ἀδικεῖν ἐπιχειροῦσι ποίαν ἄφεσιν δώσει; Ἐσχάτης γὰρ τοῦτο πονηρίας ἀπόδειξις· οἱ τοιοῦτοι μετὰ τοῦ διαβόλου πολεμοῦσι τὴν Ἐκκλησίαν· τάχα δὲ καὶ πολλῷ χεῖρον· τὸν μὲν γὰρ καὶ φυλάττεσθαι δυνατόν, οὗτοι δὲ προσωπεῖον φιλίας ὑποδύντες, λάθρα τὴν πυρὰν ἀνάπτουσιν, ἑαυτοὺς προτέρους εἰς τὴν κάμινον ἐμβάλλοντες, καὶ νοσοῦντες νόσον οὐ μόνον ἐλεηθῆναι μὴ δυναμένην, ἀλλὰ καὶ πολὺν τὸν γέλωτα ἔχουσαν. Τί γὰρ ὠχριᾷς, εἰπέ μοι, καὶ τρέμεις καὶ περιδεὴς ἕστηκας; τί γέγονε δεινόν; ὅτι λαμπρὸς ὁ ἀδελφὸς καὶ περιφανὴς καὶ εὐδόκιμος; Οὐκοῦν στεφανοῦσθαί σε δεῖ καὶ χαίρειν καὶ τὸν Θεὸν δοξάζειν, ὅτι τὸ μέλος τὸ σὸν λαμπρὸν καὶ περιφανές· ἀλλὰ ἀλγεῖς, ὅτι ὁ Θεὸς δοξάζεται.

Ὁρᾷς ποῦ τείνει ὁ πόλεμος; Ἀλλ' οὐχ ὅτι ὁ Θεός, φησίν, ἀλλ' ὅτι ὁ ἀδελφὸς δοξάζεται. Ἀλλὰ διὰ τούτου πρὸς τὸν Θεὸν ἀναβαίνει ἡ δόξα· οὐκοῦν καὶ ὁ παρὰ σοῦ πόλεμος. Ἀλλ' οὐ τοῦτό με λυπεῖ, φησίν, ἀλλὰ δι' ἐμοῦ τὸν Θεὸν ἐβουλόμην δοξάζεσθαι. Οὐκοῦν χαῖρε εὐδοκιμοῦντος τοῦ ἀδελφοῦ, καὶ δοξάζε-

ποιον ἄλλο τρόπο. Τί θὰ μποροῦσε νὰ ὑπάρξει χειρότερο ἀπ' αὐτό; Γιατὶ ἕνας τέτοιος ἄνθρωπος δὲ μάχεται πιὰ τὸν ἀδελφό του μόνο, ἀλλὰ καὶ τὸ θέλημα τοῦ Θεοῦ. Κατανοώντας λοιπὸν αὐτό, σταμάτησε τὴν ἀσθένεια, καὶ ἂν δὲ θέλεις τόν πλησίον, τουλάχιστο τόν ἑαυτό σου ἀπάλλαξε ἀπὸ τὰ ἄπειρα κακά.

Γιατί εἰσάγεις πόλεμο στὶς σκέψεις σου; γιατί γεμίζεις τὴν ψυχή σου ἀπό θόρυβο; γιατί δημιουργεῖς συμφορά; γιατί τὰ κάνεις ἄνω κάτω; πῶς θὰ μπορέσεις νά ζητήσεις συγχώρηση ἁμαρτιῶν, ἀφοῦ συμπεριφέρεσαι ἔτσι; Ἐὰν λοιπόν αὐτός δέ συγχωρεῖ τά ἁμαρτήματα σ' ἐκείνους ποὺ δέ συγχωροῦν τὰ ἁμαρτήματα ποὺ ἔγιναν σ' αὐτούς, σ' ἐκείνους ποὺ προσπαθοῦν ν' ἀδικήσουν αὐτοὺς ποὺ δέν τοὺς ἀδίκησαν καθόλου, ποιὰ συγχώρηση θὰ δώσει; Γιατὶ αὐτό εἶναι ἀπόδειξη τῆς χειρότερης κακίας· αὐτοὶ μαζὶ μὲ τό διάβολο πολεμοῦν τὴν Ἐκκλησία· ἴσως ὅμως καὶ πολὺ χειρότερα. Γιατὶ ἀπ' αὐτὸν εἶναι δυνατὸ νὰ προφυλαγόμαστε, αὐτοὶ ὅμως, φορώντας τό προσωπεῖο τῆς φιλίας, ἀνάβουν κρυφὰ τὴ φωτιά, ρίχνοντας τοὺς ἑαυτούς τους πρῶτα στό καμίνι καὶ ὑποφέροντας ἀπό ἀσθένεια, ἡ ὁποία ὄχι μόνο δέν μπορεῖ νὰ προκαλέσει συμπάθεια, ἀλλά προξενεῖ πολὺ γέλιο. Πές μου λοιπόν, γιατί κιτρινίζεις καὶ τρέμεις καὶ στέκεσαι φοβισμένος; τί κακό ἔγινε; ἐπειδή ὁ ἀδελφός σου εἶναι διάσημος καὶ ἔνδοξος καὶ ἐπιτυχημένος; Συνεπῶς πρέπει νὰ στεφανώνεσαι καὶ νὰ χαίρεσαι καὶ νὰ δοξάζεις τὸ Θεό, γιατὶ τὸ δικό σου μέλος εἶναι διάσημο καὶ ἔνδοξο, ἐνῶ σὺ πονᾶς, γιατὶ δοξάζεται ὁ Θεός.

Βλέπεις ποῦ ὁδηγεῖ ὁ πόλεμος; Ὅμως δέν πονῶ, λέγει, γιατὶ δοξάζεται ὁ Θεός, ἀλλὰ γιατὶ δοξάζεται ὁ ἀδελφός. Ἀλλὰ μέσα ἀπ' αὐτὸν ἡ δόξα ἀνεβαίνει πρὸς τὸ Θεό· ἑπομένως καὶ ὁ δικός σου πόλεμος. Ὅμως δὲ μὲ στενοχωρεῖ αὐτό, λέγει, ἀλλά ἤθελα μέσα ἀπὸ τὸν ἑαυτό μου νὰ δοξάζεται ὁ Θεός. Ἑπομένως νὰ χαίρεσαι ὅταν εὐδοκιμεῖ ὁ ἀδελφός σου, καὶ δοξάζεται καὶ μέσα ἀπὸ τὸν ἑαυτό σου

ται καὶ διὰ σοῦ πάλιν ὁ Θεός, καὶ πάντες ἐροῦσιν, εὐλογητὸς ὁ Θεὸς ὁ τοιούτους ἔχων οἰκέτας, φθόνου παντὸς ἀπηλλαγμένους, τοῖς ἀλλήλων συνηδομένους καλοῖς. Καὶ τί λέγω τὸν ἀδελφόν; Εἰ γὰρ καὶ πολέμιος ἦν καὶ ἐχθρός, ὁ δὲ Θεὸς δι' αὐτοῦ ἐδοξάζετο, φίλον ἔδει ποιήσασθαι διὰ τοῦτο· σὺ δὲ τὸν φίλον ἐχθρὸν ποιεῖς, ἐπειδὴ ὁ Θεὸς δοξάζεται διὰ τῆς εὐδοκιμήσεως ἐκείνου. Κἂν μὲν τὸ σῶμά τις θεραπεύσῃ τὸ σὸν κακῶς ἔχον, κἂν ἐχθρὸς ᾖ, τῶν πρώτων αὐτὸν ἡγήσῃ φίλων εἶναι λοιπόν· τὸν δὲ τοῦ Χριστοῦ τὸ σῶμα καλλωπίζοντα, τουτέστι, τὴν 'Εκκλησίαν, καὶ φίλον ὄντα, ἐχθρὸν ἡγῇ; Καὶ πῶς ἂν ἑτέρως τὸν πρὸς τὸν Χριστὸν ἐπιδείξω πόλεμον; Διὰ τοῦτο κἂν σημεῖά τις ποιῇ, κἂν παρθενίαν, κἂν νηστείαν, κἂν χαμευνίαν ἐπιδείξηται, καὶ πρὸς τοὺς ἀγγέλους διὰ ταύτης τῆς ἀρετῆς φθάσῃ, πάντων ἔσται ἐναγέστερος, τοῦτο ἔχων τὸ ἐλάττωμα, καὶ μοιχοῦ καὶ πόρνου καὶ λῃστοῦ καὶ τυμβωρύχου παρανομώτερος.

6. *Καὶ ἵνα μή τις ὑπερβολὴν καταγνῷ τοῦ λόγου, ἐκεῖνο ἂν ἡδέως ἐροίμην ὑμᾶς· εἰ πῦρ καὶ δίκελλάν τις λαβών, τοῦτον καθῄρει καὶ ἐνεπίμπρα τὸν οἶκον καὶ τουτὶ κατέσκαπτε τὸ θυσιαστήριον, οὐκ ἂν λίθοις ἕκαστος αὐτὸν ἔβαλλε τῶν παρόντων ὡς ἐναγῆ καὶ παράνομον; Τί οὖν, ἂν τοῦ πυρὸς τούτου δαπανητικωτέραν τις φέρῃ φλόγα, τὴν βασκανίαν λέγω, οὐχὶ λίθων οἰκοδομὰς καθαιροῦσαν οὐδὲ χρυσοῦν θυσιαστήριον κατασκάπτουσαν, ἀλλὰ τὸ πολὺ καὶ τῶν τοίχων καὶ τοῦ θυσιαστηρίου τιμιώτερον τῶν διδασκάλων τὴν οἰκοδομὴν ἀνατρέπουσαν καὶ λυμαινομένην, ποίας ἂν εἴη συγγνώμης ἄξιος; Μὴ γάρ μοι λεγέτω τις, ὅτι πολλάκις ἐπιχειρήσας οὐκ ἴσχυσεν· ἀπὸ*

πάλι ὁ Θεός, καὶ ὅλοι θὰ ποῦν, εὐλογητὸς ὁ Θεὸς ποὺ ἔχει τέτοιους ὑπηρέτες, οἱ ὁποῖοι εἶναι ἀπαλλαγμένοι ἀπὸ κάθε φθόνο καὶ εὐχαριστοῦνται μὲ τὰ μεταξύ τους καλά. Καὶ γιατὶ λέγω τὸν ἀδελφό; Γιατὶ καὶ ἂν ἦταν ἀντίπαλος καὶ ἐχθρός, ἐνῶ ὁ Θεὸς δοξαζόταν μέσα ἀπ' αὐτόν, ἔπρεπε νὰ τὸν κάνεις φίλο γι' αὐτό. Ἐσὺ ὅμως τὸ φίλο κάνεις ἐχθρό, ἐπειδὴ ὁ Θεὸς δοξάζεται μὲ τὴν προκοπὴ ἐκείνου. Καὶ ἂν ἀκόμη θεραπεύσει κάποιος τὸ δικό σου σῶμα ποὺ ὑποφέρει, καὶ ἂν ἀκόμη εἶναι ἐχθρός, θὰ τὸν θεωρήσεις στὴ συνέχεια πὼς εἶναι ἀπὸ τοὺς πρώτους φίλους, ἐνῶ αὐτὸν ποὺ στολίζει τὸ σῶμα τοῦ Χριστοῦ, δηλαδὴ τὴν Ἐκκλησία, καὶ εἶναι φίλος, τὸν θεωρεῖς ἐχθρό; Καὶ πῶς θὰ ἔδειχνες μὲ ἄλλο τρόπο τὸν πόλεμο πρὸς τὸ Χριστό; Γι' αὐτό, καὶ ἂν ἀκόμη κάνει θαύματα κανείς, καὶ ἂν ἀκόμη ἐπιδείξει παρθενία ἢ νηστεία ἢ ὕπνο καταγῆς, καὶ φθάσει μὲ τὴν ἀρετή του αὐτὴ στοὺς ἀγγέλους, θὰ εἶναι ἀπ' ὅλους πιὸ μολυσμένος, ἔχοντας τὸ ἐλάττωμα αὐτό, καὶ πιὸ παράνομος ἀπὸ τὸ μοιχὸ καὶ τὸν πόρνο καὶ τὸ ληστὴ καὶ τὸν τυμβωρύχο.

6. Καὶ γιὰ νὰ μὴν κατηγορήσει κανεὶς γιὰ ὑπερβολὴ τὸ λόγο, μὲ εὐχαρίστηση θὰ σᾶς ἐρωτήσω αὐτό· ἂν κάποιος, παίρνοντας φωτιὰ καὶ δικέλλι, γκρέμιζε καὶ ἔκαιγε αὐτὸν τὸ ναὸ καὶ κατέστρεφε αὐτὸ ἐδῶ τὸ θυσιαστήριο, δὲ θὰ τὸν κτυποῦσε ὁ καθένας ἀπὸ τοὺς παρόντες μὲ πέτρες σὰν μολυσμένο καὶ παράνομο; Τί λοιπόν, ἂν φέρει κανεὶς φλόγα πιὸ καταστρεπτικὴ ἀπὸ τὴ φωτιὰ αὐτή, δηλαδὴ τὸ φθόνο, ποὺ δὲν γκρεμίζει πέτρινες οἰκοδομές, οὔτε καταστρέφει χρυσὸ θυσιαστήριο, ἀλλὰ ποὺ γκρεμίζει τὸ πολὺ πιὸ πολύτιμο καὶ ἀπὸ τοὺς τοίχους καὶ ἀπὸ τὸ θυσιαστήριο καὶ καταστρέφει τὴν οἰκοδομὴ τῶν διδασκάλων, ποιὰ συγγνώμη μπορεῖ νὰ ἐπιτύχει; Γιατὶ ἂς μὴ μοῦ πεῖ κανείς, ὅτι πολλὲς φορὲς προσπάθησε καὶ δὲν τὸ κατόρθωσε, γιατὶ τὰ πράγματα κρίνονται ἀπὸ τὴ διάθεση.

γὰρ τῆς γνώμης τὰ πράγματα κρίνεται· ἐπεὶ καὶ ὁ Σαοὺλ ἀπέκτεινε τὸν Δαυίδ, εἰ καὶ μὴ ἐπέτυχεν.

Οὐκ ἐννοεῖς, εἰπέ μοι, ὅτι τοῖς προβάτοις ἐπιβουλεύεις τοῦ Χριστοῦ, τῷ ποιμένι πολεμῶν, καὶ τοῖς προβάτοις, ὑπὲρ ὧν καὶ τὸ αἷμα ἐξέχεεν ὁ Χριστός, καὶ πάντα καὶ ποιεῖν καὶ πάσχειν ἡμᾶς ἐκέλευσεν; οὐκ ἀναμιμνήσκεις σαυτόν, ὅτι ὁ μὲν Δεσπότης σου τὴν δόξαν τὴν σὴν ἐζήτησε, καὶ οὐχὶ τὴν ἑαυτοῦ, σὺ δὲ οὐ τὴν τοῦ Δεσπότου ζητεῖς, ἀλλὰ τὴν ἑαυτοῦ; Καίτοι εἰ τὴν ἐκείνου ἐζήτεις, τότε ἂν καὶ τῆς σῆς ἐπέτυχες· τὴν δὲ σὴν ζητῶν ἀπὸ τῆς ἐκείνου, οὐδὲ ταύτης ἀπολαύσῃ ποτέ. Τίς οὖν ἔσται θεραπεία τούτου; Κοινῇ πάντες εὐξώμεθα, καὶ μίαν ὑπὲρ αὐτῶν ἀνενέγκωμεν φωνήν, ὡς ὑπὲρ τῶν ἐνεργουμένων. Καὶ γὰρ οὗτοι ἀθλιώτερον διάκεινται ἐκείνων, ὅσῳ καὶ προαιρέσεώς ἐστιν ἡ μανία. Εὐχῆς γὰρ δεῖται τὸ νόσημα τοῦτο καὶ πολλῆς τῆς δεήσεως. Εἰ γὰρ ὁ μὴ φιλῶν τὸν ἀδελφόν, ἐὰν χρήματα κενώσῃ, κἂν ἐν μαρτυρίῳ διαλάμψῃ, οὐδὲν ἀνύει πλέον· ὁ καὶ πολεμῶν τῷ μηδὲν ἠδικηκότι ἐννόησον πόσης ἂν εἴη τιμωρίας ἄξιος. Οὗτος καὶ Ἑλλήνων χείρων.

Εἰ γὰρ τὸ φιλεῖν τοὺς φιλοῦντας οὐδὲν πλέον ἡμᾶς ἀφίησιν ἐκείνων ἔχειν, ὁ τοῖς φιλοῦσι βασκαίνων ποῦ στήσεται, εἰπέ μοι; Καὶ γὰρ τοῦ πολεμεῖν χεῖρόν ἐστι τὸ βασκαίνειν. Ὁ μὲν γὰρ πολεμῶν, τῆς αἰτίας λυθείσης δι' ἣν ὁ πόλεμος, καὶ τὴν ἔχθραν κατέλυσεν· ὁ δὲ βάσκανος οὐδέποτε ἂν γένοιτο φίλος. Καὶ ὁ μὲν τὴν μάχην φανερὰν ἐπιδείκνυται, ὁ δὲ συνεσκιασμένην· καὶ ὁ μὲν αἰτίαν πολλάκις ἔχει εἰπεῖν εὔλογον τοῦ πολέμου, ὁ δὲ οὐδὲν ἕτερον ἢ μα-

Γιατὶ καὶ ὁ Σαοὺλ θανάτωσε τὸ Δαυΐδ, μολονότι δὲν τὸ κατόρθωσε.

Πές μου, δὲν καταλαβαίνεις ὅτι ἐπιβουλεύεσαι τὰ πρόβατα τοῦ Χριστοῦ, πολεμώντας τὸν ποιμένα, καὶ τὰ πρόβατα γιὰ τὰ ὁποῖα ὁ Χριστὸς ἔχυσε καὶ τὸ αἷμα του καὶ γιὰ τὰ ὁποῖα μᾶς πρόσταξε νὰ κάνουμε καὶ νὰ ὑποφέρουμε τὰ πάντα; δὲ θυμᾶσαι, ὅτι ὁ Κύριός σου ζήτησε τὴ δική σου δόξα καὶ ὄχι τὴ δική του, ἐνῶ ἐσὺ δὲ ζητᾶς τὴ δόξα τοῦ Κυρίου, ἀλλὰ τὴ δική σου; Μολονότι ἂν ζητοῦσες τὴ δική του, τότε θὰ κατόρθωνες καὶ τὴ δική σου. Ζητώντας ὅμως τὴ δική σου πρὶν ἀπὸ τὴ δική του, οὔτε αὐτὴ θὰ ἀπολαύσεις ποτέ. Ποιὰ λοιπὸν θὰ εἶναι ἡ θεραπεία τούτου; Ἂς προσευχηθοῦμε ὅλοι μαζὶ καὶ ἂς ὑψώσομε γι' αὐτοὺς μία φωνή, ὅπως γιὰ τοὺς μολυσμένους. Γιατὶ πραγματικὰ αὐτοὶ συμπεριφέρονται πιὸ ἄθλια ἀπὸ ἐκείνους, ὅσο εἶναι καὶ ἡ μανία ἀπὸ τὴν προαίρεση. Γιατὶ τὸ νόσημα αὐτὸ χρειάζεται προσευχὴ καὶ πολλὴ παράκληση. Ἀφοῦ λοιπὸν ἐκεῖνος ποὺ δὲν ἀγαπάει τὸν ἀδελφό του, ἂν ξοδέψει χρήματα, καὶ ἂν ἀκόμη διακριθεῖ στὸ μαρτύριο, δὲν κατορθώνει τίποτε περισσότερο, σκέψου πόση τιμωρία μπορεῖ ν' ἀξίζει αὐτὸς ποὺ πολεμάει ἐκεῖνον ποὺ δὲν τὸν ἔχει ἀδικήσει καθόλου. Αὐτὸς εἶναι χειρότερος καὶ ἀπὸ τοὺς Ἕλληνες.

Ἐὰν λοιπὸν τὸ νὰ ἀγαποῦμε ἐκείνους ποὺ μᾶς ἀγαποῦν δὲ μᾶς ἐπιτρέπει νὰ ἔχουμε τίποτε περισσότερο ἀπὸ ἐκείνους, πές μου, ποῦ θὰ σταθεῖ ἐκεῖνος ποὺ φθονεῖ αὐτοὺς ποὺ τὸν ἀγαποῦν; Γιατὶ ὁ φθόνος εἶναι πραγματικὰ χειρότερος ἀπὸ τὸν πόλεμο. Γιατὶ ἐκεῖνος ποὺ πολεμάει, ὅταν διαλυθεῖ ἡ αἰτία γιὰ τὴν ὁποία ἔγινε ὁ πόλεμος, σταμάτησε καὶ τὴν ἔχθρα, ἐνῶ ὁ φθονερὸς δὲν μπορεῖ νὰ γίνει φίλος. Καὶ ὁ πρῶτος φανερώνει τὴ μάχη, ἐνῶ ὁ ἄλλος τὴν καλύπτει· καὶ ὁ πρῶτος πολλὲς φορὲς μπορεῖ ν' ἀναφέρει δικαιολογημένη αἰτία τοῦ πολέμου, ἐνῶ ὁ δεύτερος τίποτε ἄλλο παρὰ παραφροσύνη καὶ σατανικὴ

νίαν καὶ γνώμην σατανικήν. Τίνι οὖν ἄν τις τὴν τοιαύτην παραβάλοι ψυχήν; ποίᾳ ἐχίδνῃ; ποίᾳ ἀσπίδι; ποίῳ σκώληκι; τίνι κανθάρῳ; Οὔτε γὰρ ἐναγέστερον, οὔτε πονηρότερόν τι τῆς τοιαύτης ψυχῆς. Τοῦτο γάρ, τοῦτο τὰς Ἐκκλησίας ἀνέτρεψε, τοῦτο τὰς αἱρέσεις ἔτεκε, τοῦτο ἀδελφικὴν ὥπλισε χεῖρα, καὶ αἵματι δικαίου δεξιὰν βαπτισθῆναι ἐποίησε, καὶ νόμους ἀνέσπασε φύσεως, καὶ τῷ θανάτῳ τὰς θύρας ἀνέῳξε, καὶ τὴν ἀρὰν ἐκείνην εἰς ἔργον ἤγαγε, καὶ οὔτε ὠδίνων οὔτε γονέων οὔτε ἄλλου τινὸς ἀναμνησθῆναι τὸν ἄθλιον εἴασεν ἐκεῖνον, ἀλλ' οὕτως αὐτὸν ἐξεβάκχευσε καὶ εἰς τοσοῦτον ἤγαγεν οἶστρον, ὡς καὶ τοῦ Θεοῦ παρακαλοῦντος καὶ λέγοντος, «Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ», μηδὲ οὕτως ἐνδοῦναι. Καίτοι γε καὶ τοῦ ἐγκλήματος αὐτὸν ἀφῆκε, καὶ τὸν ἀδελφὸν ὑπέταξεν· ἀλλ' ὅμως οὕτως ἀνίατον τὸ νόσημα τοῦτο, ὡς καὶ μυρίων φαρμάκων ἐπικειμένων, τὴν οἰκείαν ἀναβλύζειν σηπεδόνα.

Τίνος γὰρ ἕνεκεν ἀλγεῖς, ὦ πάντων ἀθλιώτερε σύ; ὅτι ἐτιμήθη ὁ Θεός; Ἀλλὰ τοῦτο γνώμης σατανικῆς. Ἀλλ' ὅτι παρευδοκίμησεν ὁ ἀδελφός; Ἀλλ' ἔξεστι καί σοι πάλιν αὐτὸν παραδραμεῖν. Ὥστε εἰ βούλει νικῆσαι, μὴ σφάξῃς μηδὲ ἀνέλῃς, ἀλλ' ἄφες μένειν ἵνα τηρῆται τῶν παλαισμάτων ἡ ὑπόθεσις, καὶ νίκησον ζῶντα· οὕτω γάρ σοι λαμπρὸς ὁ στέφανος ἔμελλεν ἔσεσθαι· νυνὶ δὲ ἀνελών, μείζονα κατὰ σαυτοῦ τῆς ἥττης τὴν ψῆφον ἐκφέρεις. Ἀλλ' οὐδὲν τούτων ἡ βασκανία οἶδε. Τίνος δὲ ἕνεκεν καὶ δόξης ὁρᾷς ἐν ἐρημίᾳ τοσαύτῃ; οὗτοι γὰρ μόνοι τότε τὴν γῆν ᾤκουν. Ἀλλ' οὐδὲ τοῦτο αὐτὸν ἐπέσχεν, ἀλλὰ πάντα ἀπὸ τῆς ψυχῆς ῥίψας, ἵστατο μετὰ τοῦ διαβόλου

7. Γεν. 4, 7

διάθεση. Μὲ ποιὸ λοιπὸν πράγμα μπορεῖ νὰ συγκρίνει κανεὶς αὐτὴ τὴν ψυχή; μὲ ποιὰ ὀχιά; μὲ ποιὰ ἀσπίδα; μὲ ποιὸ σκουλήκι; μὲ ποιὸ σκαθάρι; Γιατὶ δὲν ὑπάρχει κάτι πιὸ σιχαμερό, οὔτε πιὸ κακὸ ἀπὸ τὴν ψυχὴ αὐτή. Γιατὶ αὐτό, πραγματικὰ αὐτὸ ἀνέτρεψε τὶς Ἐκκλησίες, αὐτὸ γέννησε τὶς αἱρέσεις, αὐτὸ ὅπλισε τὸ ἀδελφικὸ χέρι καὶ ἔκαμε νὰ ποτισθεῖ τὸ δεξὶ χέρι μὲ τὸ αἷμα τοῦ δικαίου, κατέστρεψε τοὺς νόμους τῆς φύσης, ἄνοιξε τὶς πόρτες στὸ θάνατο, ἔκαμε ἔργο τὴν κατάρα ἐκείνη, καὶ δὲν ἄφησε τὸν ἄθλιο ἐκεῖνο νὰ θυμηθεῖ οὔτε τοὺς πόνους τοῦ τοκετοῦ οὔτε τοὺς γονεῖς οὔτε τίποτε ἄλλο, ἀλλὰ τὸν ἔκανε τόσο παράφρονα καὶ τὸν ὁδήγησε σὲ τόση τρέλλα, ὥστε, μολονότι καὶ ὁ Θεὸς παρακαλοῦσε καὶ ἔλεγε, «Αὐτὸς εἶναι ἀφοσιωμένος σὲ σένα, καὶ ἐσὺ θὰ τὸν ἐξουσιάζεις»[7], οὔτε ἔτσι νὰ ὑποχωρήσει. Καὶ πραγματικὰ τὸν ἀπάλλαξε ἀπὸ τὴν κατηγορία καὶ ὑπέταξε σ' αὐτὸν τὸν ἀδελφό. Ἀλλ' ὅμως τὸ νόσημα αὐτὸ εἶναι τόσο ἀθεράπευτο, ὥστε, ἂν καὶ χρησιμοποιοῦνται πάρα πολλὰ φάρμακα, ἀναβλύζει τὴ δική του σαπίλα.

Γιὰ ποιὸ λόγο λοιπὸν πονᾶς ἐσὺ ποὺ εἶσαι ὁ πιὸ ἄθλιος ἀπ' ὅλους; ἐπειδὴ τιμήθηκε ὁ Θεός; Αὐτὸ εἶναι δεῖγμα σατανικῆς διάθεσης. Μήπως ἐπειδὴ ἔγινε ἀνώτερος ὁ ἀδελφός σου; Μπορεῖς ὅμως καὶ ἐσὺ νὰ τὸν ξεπεράσεις πάλι. Ἑπομένως, ἐὰν θέλεις νὰ νικήσεις, νὰ μὴ σφάξεις οὔτε νὰ σκοτώσεις, ἀλλὰ ν' ἀφήσεις νὰ μένει, γιὰ νὰ παραμένει ἡ ἀφορμὴ ἀγώνων, καὶ νίκησέ τον ζωντανό, γιατὶ ἔτσι ἐπρόκειτο νὰ εἶναι λαμπρὸ τὸ στεφάνι σου. Τώρα ὅμως ποὺ τὸν σκότωσες, βγάζεις ἐναντίον σου μεγαλύτερη τὴν ἀπόφαση τῆς ἧττας. Ἀλλὰ τίποτε ἀπ' αὐτὰ δὲ γνωρίζει ὁ φθόνος. Καὶ γιὰ ποιὸ λόγο ἀγαπᾶς τόσο πολὺ τὴ δόξα σὲ τόση ἐρημιά; γιατὶ αὐτοὶ μόνο κατοικοῦσαν τότε στὴ γῆ. Ἀλλ' οὔτε αὐτὸ τὸν συγκράτησε, ἀλλ', ἀφοῦ τὰ πέταξε ὅλα ἀπὸ τὴν ψυχή του, στεκόταν

καὶ παρετάττετο· καὶ γὰρ ἐκεῖνος ἦν ὁ στρατηγῶν τότε μετὰ τοῦ Κάιν.

Ἐπειδὴ γὰρ οὐκ ἤρκεσεν αὐτῷ τὸ γενέσθαι θνητὸν τὸν ἄνθρωπον, καὶ τῷ τρόπῳ τοῦ θανάτου μείζονα τὴν τραγῳδίαν ἐπεχείρει ποιῆσαι, καὶ ἀνέπειθεν ἀδελφοκτόνον γενέσθαι· ἠπείγετο γὰρ καὶ ὤδινεν ἰδεῖν τὴν ἀπόφασιν εἰς ἔργον ἐκφερομένην ὁ μηδέποτε ἐκ τῶν ἡμετέρων κορεννύμενος κακῶν. Ὥσπερ ἂν εἴ τις δεσμώτην ἔχων ἐχθρόν, ἀπόφασιν δεξάμενον ἰδών, πρὶν ἢ τὴν πόλιν ἐξελθεῖν, ἐπείγοιτο καὶ ἔνδον σφαττόμενον ἰδεῖν, καὶ μηδὲ τὸν προσήκοντα ἀναμένοι καιρόν, οὕτω δὴ καὶ ὁ διάβολος τότε. Καίτοι γε ἀκούσας, ὅτι εἰς γῆν ἀπελεύσεται ὁ ἄνθρωπος, ὤδινέ τι πλέον ἰδεῖν, υἱὸν πρὸ πατρὸς τελευτῶντα, καὶ ἀδελφὸν ἀναιροῦντα, καὶ ἄωρον καὶ βιαίαν σφαγήν.

7. Εἶδες πρὸς πόσα ὑπηρέτησεν ὁ φθόνος; πῶς τὴν ἀκόρεστον τοῦ διαβόλου γνώμην ἐνέπλησε, καὶ τοσαύτην αὐτῷ παρέθηκε τράπεζαν, ὅσην ἰδεῖν ἐπεθύμησεν ἐκεῖνος; Φεύγωμεν τοίνυν τὸ νόσημα. Οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸ πῦρ ἐκεῖνο διαφυγεῖν τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, μὴ ταύτης ἀπαλλαγέντας τῆς ἀρρωστίας· ἀπαλλαγησόμεθα δέ, ἂν ἐννοήσωμεν πῶς τε ἡμᾶς ἠγάπησε, καὶ ἀλλήλους ἐκέλευσεν ἀγαπᾶν ὁ Χριστός. Πῶς οὖν ἡμᾶς ἠγάπησε; Τὸ αἷμα τὸ τίμιον ἔδωκεν ὑπὲρ ἡμῶν ἐχθρῶν ὄντων καὶ τὰ μέγιστα ἠδικηκότων. Τοῦτο καὶ σὺ ποίησον ἐπὶ τοῦ ἀδελφοῦ· διὰ γὰρ τοῦτο, φησίν, «Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα οὕτως ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς». Μᾶλλον δὲ οὐδὲ οὕτω τὸ μέτρον ἵσταται· αὐτὸς γὰρ ὑπὲρ τῶν ἐχθρῶν τοῦτο ἐποίησεν.

Ἀλλ' οὐ βούλει τὸ αἷμα δοῦναι τὸ σαυτοῦ ὑπὲρ

------

8. Γιὰ τὸ ἐπεισόδιο Κάϊν - Ἄβελ βλ. Γεν. 4, 1 - 17.
9. Ἰω. 13, 34

μαζὶ μὲ τὸ διάβολο καὶ ἔπαιρνε θέση. Γιατὶ πραγματικὰ ὁ διάβολος ἦταν τότε ὁ στρατηγὸς μαζὶ μὲ τὸν Κάιν[8].

Ἐπειδὴ λοιπὸν δὲν ἦταν ἀρκετὸ γι' αὐτὸν τὸ ὅτι ὁ ἄνθρωπος ἔγινε θνητός, προσπαθοῦσε νὰ κάμει μεγαλύτερη τὴν τραγωδία καὶ μὲ τὸν τρόπο τοῦ θανάτου καὶ τὸν ἔπειθε νὰ γίνει ἀδελφοκτόνος. Γιατὶ βιαζόταν καὶ ἀγωνιοῦσε νὰ δεῖ νὰ πραγματοποιεῖται ἡ ἀπόφαση, αὐτὸς ποὺ δὲ χορταίνει ποτὲ ἀπὸ τὰ δικά μας κακά. Ὅπως ἀκριβῶς, ἐὰν κάποιος εἶχε ἐχθρὸ φυλακισμένο καὶ ἔβλεπε νὰ δέχεται ἀπόφαση σφαγῆς, θὰ βιαζόταν νὰ τὸν δεῖ νὰ σφάζεται μέσα στὴν πόλη προτοῦ νὰ βγεῖ ἀπ' αὐτήν, καὶ οὔτε θὰ περιμένει τὸν κατάλληλο καιρό, ἔτσι καὶ ὁ διάβολος ἔκαμε τότε. Ἂν καὶ βέβαια ἄκουσε ὅτι ὁ ἄνθρωπος θὰ ἐπιστρέψει στὴ γῆ, ἀγωνιοῦσε νὰ δεῖ κάτι περισσότερο, νὰ πεθαίνει ὁ υἱὸς πρὶν ἀπὸ τὸν πατέρα, καὶ ὁ ἀδελφὸς νὰ σκοτώνει τὸν ἀδελφό, καὶ μάλιστα μὲ ἄσχημη καὶ βίαιη σφαγή.

7. Εἶδες σὲ πόσα ἐξυπηρέτησε ὁ φθόνος; πῶς γέμισε τὴν ἀχόρταγη διάθεση τοῦ διαβόλου καὶ τοῦ παρέθεσε τόσο μεγάλο τραπέζι, ὅσο ἐπιθύμησε νὰ δεῖ ἐκεῖνος; Ἂς ἀποφεύγουμε λοιπὸν τὸ νόημα αὐτό. Γιατὶ δὲν εἶναι δυνατό, πραγματικὰ δὲν εἶναι δυνατὸ νὰ ἀποφύγουμε τὴ φωτιὰ ἐκείνη ποὺ ἔχει ἑτοιμασθεῖ γιὰ τὸ διάβολο, χωρὶς νὰ ἀπαλλαγοῦμε ἀπὸ τὴν ἀρρώστια αὐτή. Θὰ ἀπαλλαγοῦμε ὅμως, ἂν καταλάβομε καὶ πῶς ὁ Χριστὸς μᾶς ἀγάπησε καὶ ἔδωσε ἐντολὴ νὰ ἀγαποῦμε ὁ ἕνας τὸν ἄλλο. Πῶς λοιπὸν μᾶς ἀγάπησε; Ἔδωσε τὸ τίμιο αἷμα του γιὰ τὴ σωτηρία μας, ἂν καὶ ἤμασταν ἐχθροὶ καὶ εἴχαμε κάνει πολλὲς ἀδικίες. Τὸ ἴδιο κάνε καὶ ἐσὺ στὴν περίπτωση τοῦ ἀδελφοῦ σου, γιατὶ γι' αὐτὸ λέγει· «Σᾶς δίνω ἐντολὴ νέα, γιὰ νὰ ἀγαπᾶτε ἔτσι ὁ ἕνας τὸν ἄλλο, ὅπως ἐγὼ σᾶς ἀγάπησα»[9]. Ἢ καλύτερα, οὔτε ἔτσι στέκεται τὸ μέτρο, γιατὶ ὁ Χριστὸς ἔκαμε αὐτὸ γιὰ χάρη τῶν ἐχθρῶν του.

Ἀλλὰ δὲ θέλεις νὰ δώσεις τὸ αἷμα σου γιὰ χάρη τοῦ

τοῦ ἀδελφοῦ; Τί οὖν καὶ τὸ ἐκείνου ἐκχέεις, ἐκ διαμέτρου παρακούων τῆς ἐντολῆς; Καίτοι αὐτὸς μὲν ὅπερ ἐποίησεν, οὐκ ἐξ ὀφειλῆς· σὺ δέ, ἂν ποιῇς, ὀφειλὴν λοιπὸν πληροῖς· ἐπεὶ καὶ ἐκεῖνος ὁ τὰ μύρια τάλαντα λαβών, καὶ τὰ ἑκατὸν δηνάρια ἀπαιτῶν, οὐ διὰ τοῦτο ἐκολάζετο μόνον, ὅτι ἀπῄτει, ἀλλ' ὅτι οὐδὲ τῇ εὐεργεσίᾳ γέγονε βελτίων, οὐδὲ ἄρξαντος τοῦ δεσπότου κατηκολούθησε, καὶ τὸ χρέος ἀπέδωκε· καὶ γὰρ χρέος ἦν λοιπὸν τὸ παρὰ τοῦ δούλου γενόμενον, εἴ γε ἐγένετο. Καὶ γὰρ ἅπαντα ἅπερ ποιοῦμεν, ὀφειλὴν πληροῦντες ποιοῦμεν. Διὸ καὶ αὐτὸς ἔλεγεν, «Ὅταν πάντα ποιήσητε, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· ἃ γὰρ ὠφείλομεν ποιῆσαι, ἐποιήσαμεν». Κἂν ἀγάπην τοίνυν ἐπιδειξώμεθα, κἂν χρήματα δῶμεν τοῖς δεομένοις, ὀφειλὴν πληροῦμεν· οὐχ ὅτι κατῆρξεν αὐτὸς εὐεργεσιῶν μόνον, ἀλλ' ὅτι καὶ τὰ αὐτοῦ διανέμομεν, ἄν ποτε δῶμεν.

Τί τοίνυν ἀποστερεῖς σεαυτὸν ὧν αὐτός σε βούλεται κύριον εἶναι; Διὰ τοῦτο γάρ σοι ἐκέλευσεν αὐτὰ δοῦναι ἑτέρῳ, ἵνα σὺ αὐτὰ ἔχῃς. Ἕως μὲν γὰρ μόνος κατέχεις, οὐδὲ αὐτὸς ἔχεις· ὅταν δὲ ἑτέρῳ δῷς, τότε καὶ αὐτὸς ἔλαβες. Ἆρα τί τούτου τοῦ φίλτρου γένοιτ' ἂν ἴσον; Αὐτὸς ἐξέχεε τὸ αἷμα ὑπὲρ τῶν ἐχθρῶν, ἡμεῖς δὲ οὐδὲ χρήματα ὑπὲρ τοῦ εὐεργέτου· αὐτὸς τὸ αἷμα τὸ ἑαυτοῦ, ἡμεῖς δὲ οὐδὲ χρήματα τὰ οὐχ ἡμῶν· αὐτὸς πρὸ ἡμῶν, ἡμεῖς δὲ οὐδὲ μετ' αὐτόν· αὐτὸς ὑπὲρ τῆς ἡμετέρας σωτηρίας, ἡμεῖς δὲ οὐδὲ ὑπὲρ τῆς ἡμετέρας ὠφελείας· οὐδὲ γὰρ αὐτῷ τι γίνεται πλέον ἐκ τῆς ἡμετέρας φιλανθρωπίας, ἀλλὰ τὸ πᾶν εἰς ἡμᾶς περιίσταται κέρδος. Διὰ

------

10. Βλ. Ματθ. 18, 23 - 35
11. Λουκᾶ 17, 10

ἀδελφοῦ σου; Γιατί λοιπὸν χύνεις καὶ τὸ δικό του, παρακούοντας πέρα γιὰ πέρα τὴν ἐντολή; Ἂν καὶ βέβαια αὐτὸς ὅ,τι ἔκαμε, τὸ ἔκαμε ὄχι ἀπὸ χρέος· ἐσὺ ὅμως, ἐὰν τὸ κάνεις, ξεπληρώνεις στὴ συνέχεια τὸ χρέος σου. Ἐπειδὴ καὶ ἐκεῖνος ποὺ ἔλαβε τὰ δέκα χιλιάδες τάλαντα καὶ ἀπαιτοῦσε τὰ ἑκατὸ δηνάρια, δὲν τιμωροῦνταν μόνο γι' αὐτό, δηλαδὴ γιατί ἀπαιτοῦσε, ἀλλὰ γιατί δὲν ἔγινε καλύτερος οὔτε μὲ τὴν εὐεργεσία, οὔτε ὅταν ἔκαμε τὴν ἀρχὴ ὁ κύριός του αὐτὸς τὸν ἀκολούθησε καὶ οὔτε ἀνταπέδωσε τὸ χρέος. Γιατί χρέος ἦταν στὴ συνέχεια αὐτὸ ποὺ ἔγινε ἀπὸ τὸ δοῦλο, ἂν βέβαια ἔγινε[10]. Γιατί πραγματικὰ ὅλα ὅσα κάνομε, τὰ κάνομε ξεπληρώνοντας κάποιο χρέος. Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε, «Ὅταν τὰ κάνετε ὅλα, νὰ λέγετε, ὅτι εἴμαστε δοῦλοι ἄχρηστοι, γιατί κάναμε αὐτὰ ποὺ εἴχαμε χρέος νὰ κάνομε»[11]. Καὶ ἂν ἀκόμη λοιπὸν ἐπιδείξουμε ἀγάπη, καὶ ἂν ἀκόμη δώσουμε χρήματα σ' αὐτοὺς ποὺ ἔχουν ἀνάγκη, ξεπληρώνομε χρέος. Ὄχι γιατί αὐτὸς ἄρχισε τὶς εὐεργεσίες μόνο, ἀλλὰ καὶ γιατί μοιράζομε τὰ δικά του, ἂν κάποτε δώσομε.

Γιατί λοιπὸν στερεῖς τὸν ἑαυτό σου ἀπὸ ἐκεῖνα ποὺ αὐτὸς σὲ θέλει νὰ εἶσαι κύριος; Ἀφοῦ γι' αὐτὸ σὲ διέταξε νὰ δώσεις αὐτὰ σὲ ἄλλον, γιὰ νὰ τὰ ἔχεις ἐσύ. Γιατί ὅσο τὰ κατέχεις μόνος σου, οὔτε ἐσὺ τὰ κατέχεις· ὅταν ὅμως δώσεις σὲ ἄλλον, τότε καὶ ὁ ἴδιος ἔλαβες. Ἄραγε τί θὰ μποροῦσε νὰ ὑπάρξει ἴσο μὲ τὴν ἀγάπη αὐτή; Αὐτὸς ἔχυσε τὸ αἷμα γιὰ χάρη τῶν ἐχθρῶν, ἐνῶ ἐμεῖς οὔτε χρήματα δίνομε γιὰ χάρη τοῦ εὐεργέτη μας· αὐτὸς ἔχυσε τὸ αἷμα τὸ δικό του, ἐνῶ ἐμεῖς δὲν δίνομε οὔτε τὰ χρήματα ποὺ δὲν εἶναι δικά μας· αὐτὸς πρὶν ἀπὸ μᾶς, ἐνῶ ἐμεῖς οὔτε ὕστερα ἀπ' αὐτόν· αὐτὸς γιὰ τὴ δική μας σωτηρία, ἐνῶ ἐμεῖς οὔτε γιὰ τὴ δική μας ὠφέλεια. Γιατί οὔτε σ' αὐτὸν γίνεται κάτι περισσότερο ἀπὸ τὴ δική μας φιλανθρωπία, ἀλλ' ὅλο τὸ κέρδος καταλήγει σ' ἐμᾶς. Γι'

γὰρ τοῦτο καὶ κελευόμεθα αὐτὰ δοῦναι, ἵνα μὴ αὐτῶν ἐκπέσωμεν ἡμεῖς.

Ὥσπερ γὰρ εἰ παιδίῳ τις ἀργύριον δῴη μικρῷ, κελεύει κατέχειν σφοδρῶς, ἢ καὶ τῷ οἰκέτῃ δοῦναι φυλάττειν, ὥστε μὴ ἐξεῖναι ἁρπάσαι τῷ βουλομένῳ, οὕτω δὴ καὶ ὁ Θεὸς ποιεῖ. Δὸς γὰρ τῷ δεομένῳ, φησίν, ἵνα μὴ ἁρπάσῃ τις αὐτὰ ἀπὸ σοῦ, οἷον ἢ συκοφάντης, ἢ διάβολος, ἢ κλέπτης, ἢ μετὰ πάντας ὁ θάνατος. Ἕως μὲν γὰρ ἂν αὐτὸς αὐτὰ κατέχῃς, οὐκ ἀσφαλῶς κατέχεις· ἐὰν δὲ ἐμοὶ αὐτὰ δῷς διὰ τῶν πενήτων, ἐγώ σοι φυλάττω μετὰ ἀκριβείας ἅπαντα, καὶ ἐν καιρῷ τῷ προσήκοντι μετὰ πολλῆς αὐτὰ ἀποκαταστήσω τῆς περιουσίας. Οὐ γὰρ ἵνα ἀφέλωμαι λαμβάνω, ἀλλ' ἵνα πλείονα ποιήσω, ἵνα ἀκριβέστερον φυλάξω, ἵνα κατ' ἐκεῖνόν σοι αὐτὰ τηρήσω τὸν χρόνον, καθ' ὃν οὐδεὶς ὁ δανείζων οὐδὲ ὁ ἐλεῶν ἐστι.

Τί οὖν γένοιτ' ἂν ἡμῶν ὠμότερον μετὰ τοιαύτας ὑποσχέσεις μὴ ἀνεχομένων αὐτῷ δανείζειν; Τοιγάρτοι διὰ τοῦτο ἔρημοι καὶ γυμνοὶ καὶ πένητες πρὸς αὐτὸν ἀπερχόμεθα, τὰ πιστευθέντα οὐκ ἔχοντες, ὅτι μὴ τῷ πάντων αὐτὰ ἀκριβέστερον φυλάττοντι παρακατατιθέμεθα. Διὸ καὶ τὴν ἐσχάτην δώσομεν δίκην. Τί γὰρ καὶ ἐγκαλούμενοι δυνησόμεθα εἰπεῖν ὑπὲρ τῆς ἀπωλείας ἑαυτῶν; ποίαν πρόφασιν προβαλέσθαι; τίνα ἀπολογίαν; Τίνος γὰρ ἕνεκεν οὐκ ἔδωκας; ἀπιστεῖς, ὅτι λήψῃ πάλιν; Καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; ὁ γὰρ τῷ μὴ δεδωκότι δούς, πῶς οὐ πολλῷ μᾶλλον μετὰ τὸ λαβεῖν δώσει; Ἀλλὰ τέρπει σε αὐτῶν ἡ ὄψις; Οὐκοῦν πολλῷ μᾶλλον διὰ τοῦτο δός, ἵνα

αὐτὸ λοιπὸν καὶ ἔχομε τὴν ἐντολὴ νὰ δώσομε αὐτά, γιὰ νὰ μὴν χάσομε ἐμεῖς αὐτά.

Γιατὶ ὅπως ἀκριβῶς, ἂν δώσει κάποιος σὲ μικρὸ παιδὶ χρήματα, τὸ προστάζει νὰ τὰ κρατάει καλά, ἢ καὶ ὅταν τὰ δώσει στὸν ὑπηρέτη γιὰ νὰ τὰ φυλάγει, ὥστε νὰ μὴν εἶναι δυνατὸ νὰ τὰ ἁρπάξει ἐκεῖνος ποὺ τὰ θέλει, ἔτσι ἀκριβῶς κάνει καὶ ὁ Θεός. Δῶσε λοιπὸν σ' αὐτὸν ποὺ ἔχει ἀνάγκη, λέγει, γιὰ νὰ μὴν τὰ ἁρπάξει αὐτὰ κάποιος ἀπὸ σένα, ὅπως ἢ ὁ συκοφάντης ἢ ὁ διάβολος ἢ ὁ κλέφτης ἢ ὕστερα ἀπὸ ὅλους ὁ θάνατος. Γιατὶ ὅσο τὰ κρατᾶς αὐτὰ ὁ ἴδιος, δὲν τὰ κρατᾶς μὲ ἀσφάλεια. Ἐὰν ὅμως τὰ δώσεις αὐτὰ σ' ἐμένα μέσω τῶν φτωχῶν, ἐγὼ σοῦ τὰ φυλάγω ὅλα μὲ ἀσφάλεια, καὶ στὸν κατάλληλο καιρὸ θὰ σοῦ τὰ ἐπιστρέψω μὲ πολλὴ ἀφθονία. Γιατὶ δὲν τὰ παίρνω γιὰ νὰ τὰ ἀφαιρέσω, ἀλλὰ γιὰ νὰ τὰ κάμω περισσότερα, γιὰ νὰ τὰ φυλάξω μὲ περισσότερη ἀσφάλεια, γιὰ νὰ σοῦ τὰ κρατήσω γιὰ ἐκεῖνο τὸ χρόνο, κατὰ τὸν ὁποῖο δὲν θὰ ὑπάρχει κανένας ποὺ νὰ δανείζει οὔτε νὰ δίνει ἐλεημοσύνη.

Τί λοιπὸν θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ σκληρὸ ἀπὸ μᾶς, ὅταν ὕστερα ἀπὸ τέτοιες ὑποσχέσεις δὲ δεχόμαστε νὰ δίνομε δανεικὰ σ' αὐτόν; Ἑπομένως γι' αὐτὸ πηγαίνομε πρὸς αὐτὸν ἔρημοι καὶ γυμνοὶ καὶ φτωχοί, χωρὶς νὰ ἔχομε αὐτὰ ποὺ μᾶς ἐμπιστεύτηκε, γιατὶ δὲν τὰ καταθέσαμε σ' ἐκεῖνον ποὺ τὰ φυλάγει αὐτὰ μὲ περισσότερη ἀσφάλεια ἀπ' ὅλους. Γι' αὐτὸ καὶ θὰ τιμωρηθοῦμε μὲ τὴ χειρότερη τιμωρία. Τί λοιπὸν θὰ μπορέσομε νὰ ποῦμε, ὅταν θὰ κατηγορούμαστε γιὰ τὴ δική μας καταστροφή; ποιὰ ἀπόφαση θὰ προβάλομε; ποιὰ δικαιολογία; Γιὰ ποιὸ λοιπὸν λόγο δὲν ἔδωσες; δὲν πιστεύεις, πὼς θὰ τὰ πάρεις πάλι; Καὶ πῶς μπορεῖ νὰ ἔχει δικαιολογία αὐτό; Γιατὶ ἐκεῖνος ποὺ ἔδωσε σ' αὐτὸν ποὺ δὲν ἔδωσε, πῶς δὲ θὰ δώσει πολὺ περισσότερο ὕστερα ἀπὸ αὐτὸ ποὺ ἔλαβε; Μήπως σ' εὐχαριστεῖ βλέποντας αὐτά; Ἑπομένως πολὺ περισσότερο γι' αὐτὸ δῶσε, γιὰ νὰ σ' εὐχαριστήσουν πε-

ἐκεῖσε τέρψῃ μειζόνως, ὅτε οὐδεὶς αὐτὰ ἀφαιρήσεται· ὡς νῦν γε κατέχων καὶ μυρία πείσῃ δεινά. Καθάπερ γὰρ κύων, οὕτως ἐνάλλεται τοῖς πλουτοῦσιν ὁ διάβολος, ὥσπερ ψωμὸν ἢ πλακοῦντα παιδίου κατέχοντος ἀποσπάσαι θέλων.

Δῶμεν τοίνυν αὐτὰ τῷ πατρί. Κἂν ἴδῃ τοῦτο ὁ διάβολος γενόμενον, ἀναχωρήσει πάντως· ἀναχωρήσαντος δὲ ἐκείνου, τότε σοι μετὰ ἀσφαλείας αὐτὰ ὁ πατὴρ δώσει πάντα, ὅταν μὴ δύνηται ἐνοχλεῖν ἐκεῖνος κατὰ τὸν αἰῶνα τὸν μέλλοντα. Ὡς νῦν γε τῶν μικρῶν παιδίων τῶν ὑπὸ κυνιδίων ἐνοχλουμένων οὐδὲν διαφέρουσιν οἱ πλουτοῦντες, πάντων ὑλακτούντων περὶ αὐτούς, σπαραττόντων, ἑλκόντων οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ παθῶν ἀνελευθέρων, γαστριμαργίας, μέθης, κολακείας, ἀσελγείας ἁπάσης. Κἂν μὲν δανείζειν δέῃ, τοὺς πολὺ διδόντας περιεργαζόμεθα, καὶ τοὺς εὐγνώμονας περισκοποῦμεν· ἐνταῦθα δὲ τοὐναντίον ποιοῦμεν· τὸν μὲν εὐγνωμονοῦντα Θεὸν καὶ οὐχὶ ἑκατοστήν, ἀλλὰ ἑκατονταπλασίονα παρέχοντα ἀφίεμεν, τοὺς δὲ οὐκ ἀποδώσοντας ἡμῖν οὐδὲ τὸ κεφάλαιον, τούτους ἐπιζητοῦμεν.

8. Τί γὰρ ἡμῖν ἡ γαστὴρ ἀποδώσει τὰ πλείονα καταναλίσκουσα; Κόπρον καὶ φθοράν. Τί δὲ ἡ κενοδοξία; Φθόνον καὶ βασκανίαν. Τί δὲ ἡ φειδωλία; Φροντίδα καὶ μέριμναν. Τί δὲ ἡ ἀσέλγεια; Γέενναν καὶ σκώληκα ἰοβόλον. Οὗτοι γὰρ τῶν πλουτούντων οἱ χρεῶσται, τούτους τοῦ κεφαλαίου τοὺς τόκους καταβάλλοντες, τὰ ἐνταῦθα κακὰ καὶ τὰ προσδοκώμενα δεινά. Τούτοις οὖν, εἰπέ μοι, δανείσομεν ἐπὶ τοσαύτῃ κολάσει, καὶ οὐ πιστεύσομεν αὐτὰ τῷ Χριστῷ τῷ τὸν οὐρανὸν προτείνοντι, τὴν ζωὴν τὴν ἀθάνατον, τὰ ἀπόρρητα ἀγαθά; καὶ ποίαν ἕξομεν ἀπολογίαν; Τίνος γὰρ ἕνεκεν οὐ δίδως τῷ καὶ δώσοντι πάντως καὶ πλείονα δώσοντι; Τάχα, ὅτι διὰ πολλοῦ δίδωσι

ρισσότερο στὴν ἄλλη ζωή, ὅταν κανεὶς δὲ θὰ τὰ ἀφαιρέσει· ὅπως βέβαια τώρα ἂν τὰ κρατᾶς, θὰ πάθεις καὶ πάρα πολλὰ κακά. Γιατὶ ὅπως ἀκριβῶς ὁ σκύλος, ἔτσι κάνει ἔφοδο στοὺς πλούσιους ὁ διάβολος, σὰν νὰ θέλει ν' ἁρπάξει τὸ ψωμὶ ἢ τὴν πίττα καθὼς τὴν κρατάει στὸ χέρι του τὸ παιδί.

Ἂς δώσουμε λοιπὸν αὐτὰ στὸν Πατέρα. Καὶ ἂν δεῖ ὁ διάβολος νὰ γίνει αὐτό, θ' ἀναχωρήσει ὁπωσδήποτε. Ὅταν ὅμως ἀναχωρήσει αὐτός, τότε ὁ Πατέρας θὰ σοῦ δώσει μὲ ἀσφάλεια ὅλα αὐτά, ὅταν δὲν μπορεῖ νὰ ἐνοχλεῖ αὐτὸς στὴ μέλλουσα ζωή. Διότι τώρα οἱ πλούσιοι δὲ διαφέρουν καθόλου ἀπὸ τὰ μικρὰ παιδιὰ ποὺ ἐνοχλοῦνται ἀπὸ τοὺς μικροὺς σκύλους, ὅταν ὅλοι γαυγίζουν γύρω τους ποὺ σπαράζουν, τοὺς σύρουν βίαια ὄχι ἄνθρωποι μόνο, ἀλλὰ καὶ τὰ δουλικὰ πάθη, τῆς γαστριμαργίας, τῆς μέθης, τῆς κολακείας, κάθε ἀσέλγειας. Καὶ ὅταν χρειασθεῖ νὰ δανείζομε, περιεργαζόμαστε ἐκείνους ποὺ ἔδωσαν πολὺ καὶ ἐξετάζομε καλὰ τοὺς εὐγνώμονες. Ἐδῶ ὅμως κάνομε τὸ ἀντίθετο. Τὸ Θεὸ ποὺ εὐγνωμονεῖ καὶ δίνει ὄχι ἑκατὸ ἀλλὰ ἑκατὸ φορὲς περισσότερα, τὸν ἐγκαταλείπομε· ἐπιζητοῦμε ὅμως αὐτούς, ποὺ δὲ θὰ μᾶς ἐπιστρέψουν οὔτε τὸ κεφάλαιο.

8. Γιατὶ τί θὰ μᾶς ἐπιστρέψει ἡ κοιλιά, ἀφοῦ καταναλώνει τὰ περισσότερα; Κοπριὰ καὶ φθορά. Καὶ τί ἡ ματαιοδοξία; Μίσος καὶ φθόνο. Καὶ τί ἡ φιλαργυρία; Φροντίδα καὶ μέριμνα. Καὶ τί ἡ ἀσέλγεια; Γέεννα καὶ σκουλήκι φαρμακερό. Γιατὶ αὐτοὶ εἶναι οἱ ὀφειλέτες τῶν πλουσίων, πληρώνοντας αὐτοὺς τοὺς τόκους τοῦ κεφαλαίου, δηλαδὴ τὰ ἐδῶ κακὰ καὶ τὶς ἀναμενόμενες συμφορές. Σ' αὐτοὺς λοιπόν, πές μου, θὰ δανείσουμε μὲ κέρδος τόσες τιμωρίες, καὶ δὲ θὰ ἐμπιστευθοῦμε αὐτὰ στὸ Χριστὸ ποὺ προτείνει τὸν οὐρανό, τὴ ζωὴ τὴν ἀθάνατη, τὰ ἀπερίγραπτα ἀγαθά; καὶ ποιὰ δικαιολογία θὰ ἔχουμε; Γιὰ ποιὸ λοιπὸν λόγο δὲ δίνεις σ' αὐτὸν ποὺ ὁπωσδήποτε θὰ σοῦ δώσει,

χρόνου. Καίτοι γε καὶ ἐνταῦθα δίδωσιν· ἀψευδὴς γάρ ἐστιν ὁ λέγων, «Ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Εἶδες φιλοτιμίας ὑπερβολήν; Ἐκεῖνά σοι, φησί, τετήρηνται καὶ οὐ μειοῦνται, ταῦτα δὲ τὰ ἐνταῦθα ἐν τάξει προσθήκης καὶ περιουσίας δίδωμι.

Χωρὶς δὲ τούτων καὶ τὸ διὰ μακροῦ λαβεῖν τοῦ χρόνου πλεονάζει σοι τὸν πλοῦτον· ὁ γὰρ τόκος γίνεται πλείων. Καὶ γὰρ ἐπὶ τῶν δανειζομένων τοῦτο ὁρῶμεν τοὺς δανειστὰς ποιοῦντας, προθυμότερον τοῖς μετὰ πολὺν καταβάλλουσι χρόνον δανείζοντας. Ὁ μὲν γὰρ εὐθέως τὸ πᾶν ἀπαδοὺς ἐνέκοψε τοῦ τόκου τὸν δρόμον, ὁ δὲ ἐπὶ πλείονα κατασχὼν χρόνον, καὶ τὴν ἐργασίαν πλείω πεποίηκεν. Εἶτα ἐπὶ ἀνθρώπων μὲν οὐ δυσχεραίνομεν τὴν ἀναβολήν, ἀλλὰ καὶ σοφιζόμεθα αὐτὴν πλείω γενέσθαι, ἐπὶ Θεοῦ δὲ οὕτω μικροψύχως διακείμεθα, ὡς διὰ τοῦτο ὀκνεῖν καὶ ἀναδύεσθαι; καίτοι γε, ὅπερ ἔφην, καὶ ἐνταῦθα δίδωσι, καὶ μετὰ τῆς εἰρημένης αἰτίας καὶ ἕτερόν τι μεῖζον οἰκονομῶν ἐκεῖ ταμιεύεται τὸ πᾶν. Τὸ γὰρ μέγεθος τῶν διδομένων, καὶ τὸ κάλλος τῆς δωρεᾶς ἐκείνης ὑπερβαίνει τῆς παρούσης ζωῆς τὴν εὐτέλειαν. Οὐδὲ γὰρ δυνατὸν ἐν σώματι φθαρτῷ καὶ ἐπικήρῳ τοὺς ἀμαράντους ἐκείνους δέξασθαι στεφάνους, οὐδὲ ἐν τῇ παρούσῃ διαγωγῇ, καὶ θορυβώδει καὶ ταραχῆς γεμούσῃ καὶ πολλὰς ἐχούσῃ τροπάς, τὴν ἀκίνητον ἐκείνην καὶ ἀτάρακτον λῆξιν καταλαβεῖν.

Σὺ δέ, εἰ μέν τίς σοι χρυσίον ὀφείλων ἐν ἀλλοτρίᾳ διατρίβοντι γῇ, καὶ οὔτε οἰκέτας ἔχοντι οὔτε δυναμένῳ εἰς τὴν οἰκίαν μετακομίσαι, δώσειν ἐπηγγέλλετο τὸ δάνεισμα, μυρία ἂν παρεκάλεσας, ὥστε μὴ

12. Ματθ. 6, 33

καὶ ποὺ θὰ σοῦ δώσει περισσότερα; Ἴσως, γιατὶ δίνει ὕστερα ἀπὸ πολὺ χρόνο. Ἂν καὶ βέβαια καὶ ἐδῶ δίνει, γιατί δὲν λέγει ψέματα αὐτὸς ποὺ λέγει, «Ζητᾶτε τὴ βασιλεία τῶν οὐρανῶν καὶ ὅλα αὐτὰ θὰ προστεθοῦν σ᾽ ἐσᾶς»[12]. Εἶδες ὑπερβολικὴ γενναιοδωρία; Ἐκεῖνα σοῦ ἔχουν φυλαχθεῖ, λέγει, καὶ δὲ μειώνονται, αὐτὰ ὅμως τὰ ἐπίγεια σοῦ τὰ δίνω συμπληρωματικὰ καὶ ἄφθονα.

Ἐκτὸς ὅμως ἀπ᾽ αὐτὰ καὶ τὸ ὅτι θὰ πάρεις ὕστερα ἀπὸ πολὺ χρόνο κάνει περισσότερο τὸν πλοῦτο σου, γιατὶ ὁ τόκος γίνεται μεγαλύτερος. Γιατὶ πραγματικὰ σ᾽ ἐκείνους ποὺ δανείζονται βλέπομε αὐτὸ νὰ κάνουν οἱ δανειστές, ἀφοῦ δανείζουν πιὸ πρόθυμα σ᾽ ἐκείνους ποὺ πληρώνουν ὕστερα ἀπὸ πολὺ χρόνο. Γιατὶ ἐκεῖνος ποὺ ἐπιστρέφει ἀμέσως ὅλο τὸ ποσό, ἔκοψε τὸ δρόμο τοῦ τόκου, ἐνῶ αὐτὸς ποὺ κράτησε γιὰ περισσότερο χρόνο τὸ ποσό, ἔχει κάνει καὶ τὴν ἐργασία περισσότερη. Ἔπειτα, στὴν περίπτωση τῶν ἀνθρώπων δὲ δυσανασχετοῦμε γιὰ τὴν ἀναβολή, ἀλλὰ καὶ σοφιζόμαστε τρόπους γιὰ νὰ γίνει περισσότερη αὐτή, στὴν περίπτωση ὅμως τοῦ Θεοῦ θὰ συμπεριφερθοῦμε τόσο μικρόψυχα, ὥστε γι᾽ αὐτὸ νὰ διστάκαὶ νὰ δειλιάζουμε; Ἂν καὶ βέβαια, ὅπως προανέφερα, καὶ ἐδῶ δίνει, καὶ μαζὶ μὲ τὴν αἰτία ποὺ ἀναφέρθηκε καὶ ἀποταμιεύοντας κάτι ἄλλο μεγαλύτερο, ἀποθηκεύει ἐκεῖ τὰ πάντα. Γιατὶ τὸ μέγεθος ἐκείνων ποὺ δίνει καὶ ἡ ὀμορφιὰ τῆς δωρεᾶς ἐκείνης ξεπερνάει τὴν εὐτέλεια τῆς παρούσας ζωῆς. Οὔτε βέβαια εἶναι δυνατὸ νὰ δεχθοῦμε σὲ σῶμα φθαρτὸ καὶ θνητὸ τὰ ἀμάραντα ἐκεῖνα στεφάνια, οὔτε στὴν παροῦσα ζωή, ποὺ εἶναι γεμάτη ἀπὸ θορύβους καὶ ἀταξία καὶ ἔχει πολλὲς ἀλλαγές, νὰ δεχθοῦμε τὴν ἀμετακίνητη ἐκείνη καὶ σταθερὴ κληρονομιά.

Ἐσὺ ὅμως, ἐὰν κάποιος σοῦ χρεωστοῦσε χρήματα καὶ ὑποσχόταν νὰ ἐπιστρέψει τὸ δάνειο, ὅταν ζοῦσες σὲ ξένη χώρα καὶ δὲν εἶχες οὔτε ὑπηρέτες οὔτε μποροῦσες νὰ τὰ μεταφέρεις στὸ σπίτι, θὰ παρακαλοῦσες πάρα πολύ,

ἐπὶ τῆς ξένης, ἀλλ' οἴκοι μᾶλλον αὐτὰ καταβαλεῖν· τὰ δὲ πνευματικὰ ἐκεῖνα καὶ ἀπόρρητα ἐνταῦθα ἀξιοῖς λαβεῖν; καὶ πόσης ταῦτα ἀνοίας; Ἂν μὲν γὰρ ἐνταῦθα λάβῃς, φθαρτὰ λήψῃ πάντως· ἂν δὲ ἐκεῖνον τὸν καιρὸν ἀναμείνῃς, ἄφθαρτα ἀποδώσει σοι καὶ ἀκήρατα· ἂν ἐνταῦθα λάβῃς, μόλιβδον ἔλαβες· ἂν δὲ ἐκεῖ, χρυσὸν δόκιμον. Πλὴν οὐδὲ τῶν ἐνταῦθά σε ἀπεστέρησε. Μετὰ γὰρ ἐκείνης τῆς ὑποσχέσεως καὶ ἑτέραν τέθεικεν οὕτω λέγων, ὅτι πᾶς ὁ τῶν ἐκεῖ πραγμάτων ἐρῶν ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον κληρονομήσει.

Εἰ δὲ οὐ λαμβάνομεν ἑκατονταπλασίονα, ἡμεῖς αἴτιοι μὴ δανείζοντες τῷ δυναμένῳ τοσοῦτον δοῦναι· ἐπεὶ οἵ τε δόντες ἅπαντες τοιαῦτα ἔλαβον, καίτοι γε ὀλίγα δόντες. Τί γὰρ μέγα ἔδωκεν ὁ Πέτρος, εἰπέ μοι; οὐχὶ δίκτυον διερρωγὸς καὶ κάλαμον καὶ ἄγκιστρον μόνον; Ἀλλ' ὅμως αὐτῷ τὰς οἰκίας τῆς οἰκουμένης ἀνέῳξεν ὁ Θεός, καὶ γῆν καὶ θάλαττον ἥπλωσε, καὶ πάντες αὐτὸν εἰς τὰ αὐτῶν ἐκάλουν· μᾶλλον δὲ τὰ αὐτῶν πωλοῦντες πρὸς τοὺς ἐκείνου ἔφερον πόδας, οὐδὲ εἰς χεῖρας ἐμβάλλοντες (οὐ γὰρ ἐτόλμων), τοσαύτην μετὰ τῆς δαψιλείας καὶ τὴν τιμὴν αὐτῷ ἀπονέμοντες. Ἀλλ' ἐκεῖνος Πέτρος ἦν, φησί. Καὶ τί τοῦτο, ἄνθρωπε; οὐδὲ γὰρ Πέτρῳ ἐπηγγείλατο ταῦτα μόνον, οὐδὲ εἶπε, σὺ δέ, ὦ Πέτρε, ἑκατονταπλασίονα λήψῃ μόνος, ἀλλά, «Πᾶς ὅστις ἀφῆκεν οἰκίαν ἢ ἀδελφούς, ἑκατονταπλασίονα λήψεται». Οὐδὲ γὰρ προσώπων οἶδε διαφοράν, ἀλλὰ πραγμάτων κατορθώματα.

Ἀλλὰ παιδίων με χορὸς περιέστηκε, φησί, καὶ ἐπιθυμῶ πλουτοῦντας αὐτοὺς καταλιπεῖν. Τίνος οὖν ἕνεκεν πένητας αὐτοὺς ποιοῦμεν; Ἂν μὲν γὰρ αὐτοῖς τὰ πάντα ἀφῇς, πάλιν ἐπισφαλεῖ φυλακῇ τὰ σὰ

------

13. Ματθ. 19, 29

νὰ μὴ σοῦ τὰ πληρώσει στὴν ξένη χώρα, ἀλλὰ καλύτερα στὴν πατρίδα, ἐνῶ τὰ πνευματικὰ ἐκεῖνα καὶ ἀπόρρητα ἀγαθὰ ἀξιώνεις νὰ τὰ λάβεις ἐδῶ; καὶ πόσης ἀνοησίας ἀπόδειξη εἶναι αὐτά; Γιατὶ ἂν βέβαια τὰ λάβεις ἐδῶ, θὰ τὰ λάβεις ὁπωσδήποτε φθαρτά, ἐνῶ ἂν περιμένεις ἐκεῖνον τὸν καιρό, θὰ σοῦ τὰ ἀποδώσει ἄφθαρτα καὶ ἀκέραια· ἂν λάβεις ἐδῶ, ἔλαβες μόλυβδο, ἂν ὅμως λάβεις ἐκεῖ, ἔλαβες καθαρὸ χρυσάφι. Ὅμως δὲ σοῦ στέρησε οὔτε τὰ ἐπίγεια. Γιατὶ μαζὶ μὲ τὴν ὑπόσχεση ἐκείνη ἔβαλε καὶ ἄλλη λέγοντας ἔτσι, ὅτι καθένας ποὺ ποθεῖ τὰ ἐκεῖ πράγματα θὰ λάβει ἑκατὸ φορὲς περισσότερα στὴ ζωὴ αὐτὴ καὶ θὰ κληρονομήσει ζωὴ αἰώνια.

Ἐὰν ὅμως δὲ λαμβάνομε ἑκατὸ φορὲς περισσότερα, ἐμεῖς εἴμαστε αἴτιοι γιατὶ δὲ δανείζομε σ' αὐτὸν ποὺ μπορεῖ νὰ δώσει τόσα πολλά· ἐπειδὴ καὶ ἐκεῖνοι ποὺ ἔδωσαν ὅλοι ἔλαβαν τόσα πολλά, ἂν καὶ βέβαια ἔδωσαν λίγα. Γιατί, πές μου, τί μεγάλο ἔδωσε ὁ Πέτρος, δὲν ἔδωσε σχισμένο δίχτυ καὶ καλάμι καὶ ἀγκίστρι μόνο; Ἀλλ' ὅμως ὁ Θεὸς τοῦ ἄνοιξε τὰ σπίτια τῆς οἰκουμένης καὶ ἅπλωσε τὴ γῆ καὶ τὴ θάλασσα καὶ ὅλοι τὸν καλοῦσαν στὰ δικά τους. Ἢ καλύτερα, ἀφοῦ πουλοῦσαν τὰ δικά τους πράγματα τὰ ἔφερναν στὰ πόδια του, χωρὶς νὰ τὰ βάζουν στὰ χέρια του (γιατὶ δὲν τολμοῦσαν), ἀποδίδοντας μαζὶ μὲ τὴ γενναιοδωρία καὶ τὴν τιμὴ σ' αὐτόν. Ἐκεῖνος ὅμως ἦταν ὁ Πέτρος, θὰ πεῖ κάποιος. Καὶ τί σημαίνει αὐτό, ἄνθρωπε; γιατὶ οὔτε στὸν Πέτρο τὰ ὑποσχέθηκε μόνο αὐτά, οὔτε εἶπε, ἐσὺ ὅμως, Πέτρε, θὰ λάβεις μόνο ἑκατὸ φορὲς περισσότερα, ἀλλά, «Καθένας ποὺ ἄφησε σπίτια ἢ ἀδελφούς, θὰ λάβει ἑκατὸ φορὲς περισσότερα»[12]. Γιατὶ δὲ γνωρίζει διαφορὰ προσώπων, ἀλλὰ κατορθώματα πραγμάτων.

Ἀλλὰ μὲ περιστοιχίζουν πολλὰ παιδιά, θὰ πεῖ κάποιος, καὶ ἐπιθυμῶ νὰ τὰ ἀφήσω πλούσια. Γιὰ ποιὸ λοιπὸν λόγο τὰ κάνουμε αὐτὰ φτωχά; Γιατί, ἂν ἀφήσεις σ' αὐτὰ τὰ πάντα, πάλι παρέδωσες ὅλα τὰ δικά σου σὲ ἀβέβαιη φύ-

πάντα ἐπέτρεψας· ἂν δὲ τὸν Θεὸν αὐτοῖς καταλίπῃς συγκληρονόμον καὶ ἐπίτροπον, θησαυροὺς μυρίους κατέλιπες. Ὥσπερ γὰρ ὅταν ἑαυτοὺς ἐκδικῶμεν, ὁ Θεὸς ἡμῖν οὐκ ἀμύνει, ὅταν δὲ αὐτῷ παραχωρῶμεν, πλεῖον ἢ προσδοκῶμεν γίνεται· οὕτω καὶ ἐπὶ τῶν χρημάτων, ἂν ἡμεῖς αὐτὰ μεριμνῶμεν, ἐκεῖνος ἀποστήσεται τῆς ὑπὲρ αὐτῶν προνοίας, ἂν δὲ αὐτῷ τὸ πᾶν ἐπιρρίψωμεν, καὶ αὐτὰ καὶ τοὺς παῖδας ἐν πάσῃ καταστήσει τῇ ἀσφαλείᾳ. Καὶ τί θαυμάζεις, εἰ ἐπὶ Θεοῦ τοῦτο γίνεται; καὶ γὰρ ἐπὶ ἀνθρώπων τοῦτο συμβαῖνον ἴδοι τις ἄν. Ἂν μὲν γὰρ μηδένα παρακαλέσῃς τῶν προσηκόντων τελευτῶν ἐπὶ τὴν τῶν παίδων πρόνοιαν, αἰσχύνεται καὶ ἐρυθριᾷ πολλάκις καὶ ὁ σφόδρα βουλόμενος αὐτομάτως ἐπιπηδῆσαι τούτῳ· ἂν δὲ ρίψῃς ἐπ' αὐτὸν τὴν φροντίδα, ἅτε τιμηθεὶς μεγίστῃ τιμῇ, μεγίστην καὶ αὐτὸς ἀποδώσει τὴν ἀμοιβήν.

9. Εἰ τοίνυν βούλει καταλιπεῖν πλοῦτον τοῖς παιδίοις σου πολύν, κατάλιπε τοῦ Θεοῦ τὴν πρόνοιαν. Ὁ γάρ, μηδέν σου ποιήσαντος, καὶ ψυχὴν δοὺς καὶ σῶμα διαπλάσας καὶ ζωὴν χαρισάμενος ὅταν ἴδῃ τοσαύτην ἐπιδεικνύμενον φιλοτιμίαν, καὶ τὰ ἐκείνων αὐτῷ διανέμοντα μετ' ἐκείνων, πῶς οὐ πάντα αὐτοῖς ἀνοίξει πλοῦτον; Εἰ γὰρ Ἠλίας ὀλίγῳ τραφεὶς ἀλεύρῳ, ἐπειδὴ εἶδε τὴν γυναῖκα ἐκείνην τῶν παιδίων αὐτὸν προτιμήσασαν, ἅλωνας καὶ ληνοὺς ἐπὶ τοῦ δωματίου τῆς χήρας ἔδειξεν· ἐννόησον ὁ τοῦ Ἠλία Δεσπότης πόσην ἐπιδείξεται φιλοφροσύνην. Μὴ τοίνυν τοῦτο σκοπῶμεν, ὅπως πλουσίους καταλίπωμεν τοὺς παῖδας, ἀλλ' ὅπως ἐναρέτους. Ἂν μὲν γὰρ τῷ πλούτῳ θαρρῶσιν, οὐδενὸς ἐπιμελήσονται ἄλλου, ὡς ἔχοντες συσκιάσαι τὴν τῶν τρόπων κακίαν ἀπὸ τῆς τῶν χρημάτων περιουσίας· ἂν δὲ ἴδωσιν ἑαυτοὺς

---

14. Γιὰ τὸ σχετικὸ θαῦμα βλ. Γ΄ Βασ. 17, 7-16

λαξη. Ἐὰν ὅμως ἀφήσεις συγκληρονόμο καὶ ἐπίτροπο τὸ Θεὸ σ' αὐτά, ἄφησες ἄπειρους θησαυρούς. Γιατί, ὅπως ὅταν μὲ ἐκδικήσεις ὑπερασπιζόμαστε τὸν ἑαυτό μας, ὁ Θεὸς δὲ μᾶς βοηθάει, ὅταν ὅμως παραχωροῦμε σ' αὐτὸν τὴν ἐκδίκηση, γίνονται περισσότερα ἀπ' ὅσα περιμένομε, ἔτσι συμβαίνει καὶ μὲ τὰ χρήματα, ἂν ἐμεῖς φροντίζομε γι' αὐτά, ἐκεῖνος θ' ἀποτραβηχθεῖ ἀπὸ τὴ φροντίδα γι' αὐτά, ἂν ὅμως ἀναθέσουμε τὸ κάθετι σ' αὐτόν, καὶ αὐτὰ καὶ τὰ παιδιὰ θὰ τὰ φυλάξει μὲ κάθε ἀσφάλεια. Καὶ γιατὶ θαυμάζεις, ἐὰν αὐτὸ γίνεται στὴν περίπτωση τοῦ Θεοῦ; καθόσον καὶ στοὺς ἀνθρώπους μπορεῖ νὰ δεῖ κανεὶς πὼς συμβαίνει αὐτό. Γιατί, ἐὰν τὴ στιγμὴ τοῦ θανάτου σου δὲν παρακαλέσεις κανένα ἀπὸ τοὺς συγγενεῖς σου γιὰ τὴ φροντίδα τῶν παιδιῶν σου, ντρέπεται καὶ διστάζει πολλὲς φορὲς καὶ ἐκεῖνος ποὺ θέλει πάρα πολὺ ἀπὸ μόνος του ν' ἀναλάβει αὐτὸ τὸ ἔργο, ἂν ὅμως ἀναθέσεις σ' αὐτὸν τὴ φροντίδα, ἐπειδὴ τὸν τίμησες μὲ τὴν πιὸ μεγάλη τιμή, θ' ἀποδώσει καὶ αὐτὸς πάρα πολὺ μεγάλη τὴν ἀμοιβή.

9. Ἐὰν λοιπὸν θέλεις ν' ἀφήσεις πολὺ πλοῦτο στὰ παιδιά σου, ἄφησε τὴ φροντίδα τοῦ Θεοῦ. Γιατὶ ἐκεῖνος, χωρὶς ἐσὺ νὰ κάνεις τίποτε, ποὺ καὶ ψυχὴ ἔδωσε καὶ σῶμα ἔπλασε καὶ ζωὴ χάρισε, ὅταν δεῖ νὰ δείχνεις τόση γενναιοδωρία, καὶ νὰ μοιράζεις σ' αὐτὸν ἐκεῖνα ποὺ ἀνήκουν σ' αὐτὰ μαζὶ μὲ τὰ ἴδια, πῶς δὲ θ' ἀνοίξει ὅλο τὸν πλοῦτο σ' αὐτά; Ἀφοῦ λοιπὸν ὁ Ἠλίας ποὺ τράφηκε μὲ λίγο ἀλεύρι, ἐπειδὴ εἶδε πὼς ἡ γυναίκα ἐκείνη προτίμησε αὐτὸν ἀπὸ τὰ παιδιά της, φανέρωσε στὸ δωμάτιο τῆς χήρας ἀλώνια καὶ βαρέλια[14], σκέψου πόση φιλοφροσύνη θὰ δείξει ὁ Κύριος τοῦ Ἠλία. Ἂς μὴν προσέχομε λοιπὸν αὐτό, πῶς ν' ἀφήσομε πλούσια τὰ παιδιά μας, ἀλλὰ πὼς νὰ τὰ ἀφήσομε ἐνάρετα. Γιατί, ἂν ἔχουν ἐμπιστοσύνη στὸν πλοῦτο, δὲ θὰ φροντίζουν γιὰ τίποτε ἄλλο, ἐπειδὴ θὰ μποροῦν νὰ καλύψουν τὴν κακία τοῦ χαρακτήρα τους ἀπὸ τὴν ἀφθονία τῶν χρημάτων τους. Ἂν ὅμως δοῦν τὸν ἑαυτό

τῆς ἐκεῖθεν παραμυθίας ὄντας ἐρήμους, πάντα ἐργάσονται ὥστε διὰ τῆς ἀρετῆς πολλὴν τῇ πενίᾳ τὴν παραμυθίαν εὑρέσθαι.

Μὴ τοίνυν καταλίπῃς πλοῦτον, ἵνα καταλίπῃς ἀρετήν. Καὶ γὰρ ἐσχάτης ἀλογίας ζῶντας μὲν μὴ ποιεῖν κυρίους αὐτοὺς ἁπάντων τῶν ὄντων, τελευτήσαντας δὲ πολλὴν τῇ τῆς νεότητος εὐκολίᾳ παρέχειν τὴν ἄδειαν. Καίτοι γε ζῶντες μὲν δυνησόμεθα καὶ εὐθύνας ἀπαιτεῖν, καὶ κακῶς τοῖς οὖσι κεχρημένους σωφρονίζειν καὶ χαλινοῦν· τελευτήσαντες δὲ ἂν μετὰ τῆς ἡμετέρας ἐρημίας καὶ τῆς νεότητος καὶ τὴν ἀπὸ τοῦ πλούτου παράσχωμεν ἐξουσίαν, εἰς μυρίους ὠθήσομεν κρημνοὺς τοὺς ἀθλίους καὶ ταλαιπώρους ἐκείνους, πῦρ ἐπεμβάλλοντες πυρί, καὶ ἔλαιον ἐπιστάζοντες καμίνῳ χαλεπῇ. Ὥστε, εἰ βούλει μετὰ ἀσφαλείας καταλιπεῖν πλουσίους, κατάλιπε τὸν Θεὸν ὀφειλέτην αὐτοῖς, καὶ αὐτῷ ἐγχείρισον τὸ γραμματεῖον αὐτῶν. Αὐτοὶ μὲν γὰρ τὰ χρήματα ἂν λάβωσιν, οὐδὲ ὅτῳ δώσουσιν ἴσασιν, ἀλλὰ πολλοῖς περιτεύξονται καὶ συκοφάνταις καὶ ἀγνώμοσιν· ἂν δὲ σὺ προλαβὼν αὐτὰ τῷ Θεῷ δανείσῃς, ἄσυλος μένει λοιπὸν ὁ θησαυρός, καὶ μετὰ πολλῆς ἔσται τῆς εὐκολίας ἡ ἀπόδοσις. Καὶ γὰρ χάριν ἔχει καὶ ὃ ὀφείλει καταβάλλων ἡμῖν ὁ Θεός, καὶ τοὺς δανειστὰς τοὺς αὐτοῦ καὶ τῶν οὐ δεδανεικότων ἥδιον ὁρᾷ, καὶ οἷς μάλιστα ὀφείλει, τούτους μάλιστα φιλεῖ.

Ὥστε εἰ βούλει φίλον αὐτὸν ἔχειν διηνεκῶς, πολλῶν αὐτὸν κατάστησον χρεώστην. Οὐδὲ γὰρ οὕτω χαίρει δανειστὴς ὀφειλέτας ἔχων, ὡς ὁ Χριστὸς εὐφραίνεται δανειστὰς ἔχων· καὶ οἷς μὲν μηδὲν ὀφείλει, τούτους καὶ ἀποφεύγει, οἷς δὲ ὀφείλει, τούτοις καὶ ἐπιτρέχει. Πάντα τοίνυν ποιῶμεν, ὥστε αὐτὸν

τους νὰ μὴν ἔχει παρηγοριά ἀπὸ ἐκεῖ, τὰ πάντα θὰ τὰ κάμουν γιὰ νὰ βροῦν μὲ τὴν ἀρετὴ πολλὴ παρηγορία στὴ φτώχεια.

Νὰ μὴν ἀφήσεις λοιπὸν πλοῦτο, γιὰ ν' ἀφήσεις ἀρετή. Γιατὶ πραγματικὰ εἶναι ἀπόδειξη τῆς χειρότερης ἀνοησίας, ὅταν ζοῦμε νὰ μὴ δίνουμε στὰ παιδιὰ τὴν ἐξουσία ὅλων τῶν ὑπαρχόντων, ἐνῶ ὅταν πεθάνομε νὰ παρέχομε στὴ διάθεση τῶν νέων πολλὴ ἐλευθερία. Μολονότι βέβαια ὅσο ζοῦμε, θὰ μπορέσουμε νὰ ζητᾶμε καὶ εὐθύνες καὶ νὰ σωφρονίζουμε καὶ νά συγκρατοῦμε τὰ παιδιά, ὅταν κάνουν κακὴ διαχείριση τῶν ὑπαρχόντων· ὅταν ὅμως πεθάνουμε, ἂν μαζὶ μὲ τὴ δική μας ἀπουσία καὶ τὴ νεότητα δώσουμε καὶ τὴν ἐξουσία ποὺ προέρχεται ἀπὸ τὸν πλοῦτο, θὰ ὠθήσουμε τὰ δυστυχισμένα καὶ ταλαίπωρα αὐτὰ παιδιὰ σὲ ἄπειρους γκρεμούς, βάζοντας φωτιὰ ἐπάνω στὴ φωτιὰ καὶ ρίχνοντας λάδι ἐπάνω στὸ φοβερὸ καμίνι. Ἐπομένως, ἐὰν θέλεις νά τὰ ἀφήσεις μὲ ἀσφάλεια πλούσια, ἄφησε τὸ Θεὸ ὀφειλέτη σ' αὐτά, καὶ σ' αὐτὸν παράδωσε τὸ γραμμάτιό τους. Γιατὶ ἂν πάρουν αὐτὰ τὰ χρήματα, δὲ γνωρίζουν σὲ ποιὸν νά τὰ δώσουν, ἀλλὰ θὰ πέσουν σὲ πολλοὺς καὶ συκοφάντες καὶ ἀχάριστους. Ἐὰν ὅμως τὰ δανείσεις ἐσὺ προηγουμένως στὸ Θεό, παραμένει στὴ συνέχεια ἀσύλητος ὁ θησαυρὸς καὶ ἡ ἐπιστροφή του θὰ γίνει μὲ πολλὴ εὐκολία. Γιατὶ πραγματικὰ ὁ Θεὸς αἰσθάνεται χαρά καὶ ὅταν πληρώνει αὐτὸ ποὺ μᾶς ὀφείλει, καὶ βλέπει τοὺς δανειστές του μὲ μεγαλύτερη εὐχαρίστηση ἀπὸ ἐκείνους ποὺ δὲν τοῦ ἔχουν δανείσει, καὶ αὐτοὺς ποὺ ὀφείλει μάλιστα, αὐτοὺς ἀγαπάει ἰδιαίτερα.

Ἐπομένως ἐὰν θέλεις νά τὸν ἔχεις πάντοτε φίλο, νὰ τὸν κάμεις γιὰ πολλὰ χρεώστη. Γιατὶ δὲ χαίρεται ἔτσι ὁ δανειστὴς ὅταν ἔχει ὀφειλέτες, ὅπως εὐχαριστιέται ὁ Χριστός, ὅταν ἔχει δανειστές· καὶ αὐτοὺς ποὺ δὲν ὀφείλει τίποτε, αὐτοὺς μάλιστα ἀποφεύγει, ἐνῶ σ' αὐτοὺς ποὺ ὀφείλει, σ' αὐτοὺς κυρίως τρέχει. Ἂς κάνουμε λοιπὸν

χρεώστην ἔχειν· ὁ γὰρ καιρὸς οὗτός ἐστιν ὁ τῶν δανεισμάτων, καὶ νῦν ἐν χρείᾳ καθέστηκεν. Ἂν τοίνυν μὴ δῷς αὐτῷ νῦν, οὐ δεήσεταί σου μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. Ἐνταῦθα γὰρ διψῇ, ἐνταῦθα πεινᾷ· διψῇ δέ, ἐπειδὴ τὴν σὴν διψῇ σωτηρίαν· διὰ τοῦτο γὰρ καὶ προσαιτεῖ, διὰ τοῦτο καὶ γυμνὸς περιέρχεται, πραγματευόμενός σοι ζωὴν ἀθάνατον. Μὴ τοίνυν αὐτὸν περιίδῃς· οὐ γὰρ τραφῆναι βούλεται, ἀλλὰ θρέψαι, οὐκ ἐνδυθῆναι, ἀλλ' ἐνδῦσαι καὶ τὸ ἱμάτιον ἐκεῖνό σοι κατασκευάσαι τὸ χρυσοῦν, τὴν στολὴν τὴν βασιλικήν.

Οὐχ ὁρᾷς καὶ τῶν ἰατρῶν τοὺς κηδεμονεστέρους, ὅταν τοὺς κάμνοντας λούωσιν, ὅτι καὶ αὐτοὶ λούονται, καίτοι μὴ δεόμενοι; Οὕτω καὶ αὐτὸς διὰ σὲ τὸν κάμνοντα πάντα ποιεῖ. Διὰ τοῦτό σε οὐδὲ μετὰ βίας ἀπαιτεῖ, ἵνα πολλήν σοι δῷ τὴν ἀμοιβήν· ἵνα μάθῃς, ὅτι οὐ χρείαν ἔχων ἀπαιτεῖ, ἀλλὰ τὴν σὴν διορθούμενος χρείαν. Διὰ τοῦτο καὶ ἐν εὐτελεῖ σχήματί σοι προσέρχεται, καὶ τὴν δεξιὰν ἐκτείνων· κἂν ὀβολὸν δῷς, οὐκ ἀποστρέφεται, κἂν ἀτιμάσῃς, οὐκ ἀφίσταται, ἀλλὰ πάλιν σοι πρόεισιν· ἐρᾷ γὰρ σφόδρα, ἐρᾷ τῆς σωτηρίας τῆς ἡμετέρας. Καταφρονήσωμεν τοίνυν τῶν χρημάτων, ἵνα μὴ καταφρονηθῶμεν ὑπὸ τοῦ Χριστοῦ· καταφρονήσωμεν τῶν χρημάτων, ἵνα καὶ αὐτῶν ἐπιτύχωμεν τῶν χρημάτων. Ἂν μὲν γὰρ αὐτὰ φυλάσσωμεν ἐνταῦθα, ἀπολοῦμεν αὐτὰ πάντως καὶ ἐνταῦθα καὶ ἐκεῖ· ἂν δὲ διανείμωμεν αὐτὰ μετὰ δαψιλείας πολλῆς, ἐν ἑκατέρᾳ τῇ ζωῇ πολλῆς ἀπολαυσόμεθα τῆς εὐπορίας.

Ὁ τοίνυν βουλόμενος γενέσθαι πλούσιος, γενέσθω πένης, ἵνα γένηται πλούσιος· ἀναλισκέτω, ἵνα συλλέξῃ· σκορπιζέτω, ἵνα συναγάγῃ. Εἰ δὲ καινὰ ταῦτα καὶ παράδοξα, τὸν σπείροντα σκόπει, καὶ λογίζου ὅτι οὐδὲ ἐκεῖνος δυνήσεται ἑτέρως πλείω συναγαγεῖν, ἂν μὴ τὰ ὄντα σκορπίσῃ καὶ τὰ ἕτοιμα πρό-

τὰ πάντα, γιὰ νὰ τὸν ἔχουμε χρεώστη· γιατὶ ὁ καιρὸς αὐτὸς εἶναι ὁ καιρὸς γιὰ τὰ δάνεια, καὶ τώρα βρίσκεται σὲ ἀνάγκη. Ἂν λοιπὸν δὲν τοῦ δώσεις τώρα, δὲ θὰ σ' ἔχει ἀνάγκη μετὰ τὸ θάνατό σου. Γιατί ἐδῶ διψάει, ἐδῶ πεινάει καὶ διψάει, ἐπειδὴ διψάει γιὰ τὴ δική σου σωτηρία. Γι' αὐτὸ βέβαια γίνεται καὶ ἐπαίτης, γι' αὐτὸ καὶ γυρίζει γυμνός, ἑτοιμάζοντας γιὰ σένα ζωὴ ἀθάνατη. Νὰ μὴν τὸν περιφρονήσεις λοιπὸν αὐτόν, γιατὶ δὲ θέλει νὰ τραφεῖ, ἀλλὰ νὰ θρέψει, ὄχι νὰ ντυθεῖ, ἀλλὰ νὰ ντύσει καὶ νὰ κάμει γιὰ σένα τὸ ἱμάτιο ἐκεῖνο τὸ χρυσό, τὴ στολὴ τὴ βασιλική.

Δὲ βλέπεις καὶ τοὺς ἰατροὺς τοὺς πιὸ ἐπιμελεῖς, ὅταν λούζουν τοὺς ἀρρώστους, πὼς καὶ οἱ ἴδιοι λούζονται, ἂν καὶ δὲν τοὺς χρειάζεται; Ἔτσι καὶ ὁ Χριστὸς γιὰ σένα τὸν ἄρρωστο κάνει τὰ πάντα. Γι' αὐτὸ δὲ σοῦ ζητάει μὲ τὴ βία, γιὰ νὰ σοῦ δώσει μεγάλη ἀμοιβή· γιὰ νὰ μάθεις, ὅτι δὲ ζητάει ἐπειδὴ ἔχει ἀνάγκη, ἀλλὰ γιὰ νὰ διορθώσει τὴ δική σου ἀνάγκη. Γι' αὐτὸ καὶ μὲ ἀσήμαντο σχῆμα ἔρχεται σὲ σένα, ἁπλώνοντας καὶ τὸ δεξί του χέρι. Καὶ ἂν ἀκόμη τοῦ δώσεις ἕναν ὀβολό, δὲ σὲ ἀποστρέφεται, καὶ ἂν ἀκόμη τὸν περιφρονήσεις, δὲν ἀπομακρύνεται, ἀλλὰ πάλι σὲ πλησιάζει. Γιατὶ ὑπερβολικὰ ποθεῖ, ποθεῖ τὴ δική μας σωτηρία. Ἂς περιφρονήσομε λοιπὸν τὰ χρήματα, γιὰ νὰ μὴ μᾶς περιφρονήσει ὁ Χριστός. Ἂς περιφρονήσομε τὰ χρήματα, γιὰ νὰ ἐπιτύχομε καὶ αὐτὰ τὰ χρήματα. Γιατὶ ἂν τὰ φυλάγομε αὐτὰ ἐδῶ, θὰ τὰ χάσομε ὁπωσδήποτε αὐτὰ καὶ ἐδῶ καὶ ἐκεῖ. Ἂν ὅμως τὰ μοιράσομε μὲ πολλὴ γενναιοδωρία, καὶ στὴν ἐδῶ καὶ στὴν ἐκεῖ ζωὴ θ' ἀπολαύσομε πολὺ πλοῦτο.

Αὐτὸς λοιπὸν ποὺ θέλει νὰ γίνει πλούσιος, ἂς γίνει φτωχός, γιὰ νὰ γίνει πλούσιος. Ἂς ξοδεύει, γιὰ νὰ μαζέψει· ἂς σκορπίζει, γιὰ νὰ συγκεντρώσει. Ἂν ὅμως αὐτὰ εἶναι πράγματα καινούρια καὶ παράξενα, πρόσεχε τὸ γεωργὸ ποὺ σπέρνει καὶ σκέψου πὼς καὶ ἐκεῖνος δὲ θὰ μπορέσει νὰ μαζέψει περισσότερα μὲ ἄλλο τρόπο, ἂν δὲ σκορ-

ηται. Σπείρωμεν τοίνυν καὶ ἡμεῖς, καὶ γεωργήσωμεν τὸν οὐρανόν, ἵνα μετὰ πολλῆς ἀμήσωμεν τῆς δαψιλείας, καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

πίσει αὐτά ποὺ ἔχει καί ἄν δέν πετάξει τά ἕτοιμα. Ἄς σπείρομε λοιπόν καί ἐμεῖς, καί ἄς καλλιεργήσομε τόν οὐρανό, γιά νά θερίσομε μέ πολλή ἀφθονία καί νά ἐπιτύχομε τά αἰώνια ἀγαθά, μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζί μέ τόν ὁποῖο στόν Πατέρα καί συγχρόνως στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καί ἡ τιμή, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Θ'

(Ρωμ. 4,1 – 22)

«Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα; Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν».

1. Εἰπών, ὅτι ὑπόδικος ἐγένετο ὁ κόσμος τῷ Θεῷ καὶ ὅτι πάντα ἥμαρτον καὶ ὅτι οὐκ ἔνι σωθῆναι ἑτέρως, ἀλλ' ἢ διὰ πίστεως, σπουδάζει δεῖξαι λοιπόν, ὅτι οὐδὲ αἰσχύνης ἡ σωτηρία αὕτη, ἀλλὰ καὶ δόξης λαμπρᾶς αἰτία, καὶ μείζονος τῆς διὰ τῶν ἔργων. Ἐπειδὴ γὰρ τὸ μετ' αἰσχύνης σώζεσθαι εἶχέ τινα καὶ ἀμαθίαν, καὶ ταύτην ἀναιρεῖ τὴν ὑποψίαν λοιπόν· καίτοι γε καὶ ἤδη αὐτὸ ᾐνίξατο, οὐ σωτηρίαν μόνον, ἀλλὰ καὶ δικαιοσύνην καλέσας· «δικαιοσύνη γὰρ Θεοῦ», φησίν, «ἐν αὐτῷ ἀποκαλύπτεται»· ὁ γὰρ οὕτω σωζόμενος, ὡς δίκαιος μετὰ παρρησίας σώζεται. Καὶ οὐ δικαιοσύνην μόνον, ἀλλὰ καὶ ἔνδειξιν Θεοῦ· Θεὸς δὲ ἐν τοῖς ἐνδόξοις ἐνδείκνυται καὶ λαμπροῖς καὶ μεγάλοις. Πλη ` ν ἀλλὰ καὶ ἐκ τῶν προκειμένων αὐτὸ κατασκευάζει, κατὰ ἐρώτησιν προάγων τὸν λόγον, ὅπερ ἀεὶ ποιεῖν εἴωθε σαφηνείας τε ἕνεκεν καὶ τοῦ θερρεῖν τοῖς λεγομένοις. Καὶ γὰρ καὶ ἀνωτέρω τοῦτο πεποίηκε, «τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου;» λέγων, καὶ «τί οὖν προκατέχομεν περισσόν;», καὶ πάλιν, «ποῦ ἡ καύχησις; Ἐξεκλείσθη». Καὶ ἐνταῦθα· «τί οὖν ἐροῦμεν Ἀβραὰμ πατέρα ἡμῶν;».

---

1. Ρωμ. 1,17. 2. Ρωμ. 3,1· 9· 27.

ΟΜΙΛΙΑ Θ΄

(Ρωμ. 4,1 – 22)

«Τί θά ποῦμε λοιπόν, ὅτι ἐπέτυχε ὁ πατέρας μας Ἀβραάμ μέ τίς φυσικές του δυνάμεις; Γιατί, ἄν ὁ Ἀβραάμ δικαιώθηκε ἀπό τά ἔργα του, μπορεῖ νά καυχιέται, ὄχι ὅμως καί ἐνώπιον τοῦ Θεοῦ».

1. Ἀφοῦ εἶπε ὅτι ὁ κόσμος ἔγινε ὑπόδικος στό Θεό, ὅτι ὅλοι ἁμάρτησαν, καί ὅτι δέν εἶναι δυνατό νά σωθοῦμε διαφορετικά παρά μόνο μέ τήν πίστη, προσπαθεῖ στή συνέχεια νά δείξει, πώς ἡ σωτηρία αὐτή δέν εἶναι αἰτία ντροπῆς, ἀλλ' ἀντιθέτως αἰτία δόξας λαμπρῆς, καί μεγαλύτερης ἀπό τή δόξα πού προέρχεται ἀπό τά ἔργα. Ἐπειδή λοιπόν ἡ σωτηρία μέ ντροπή εἶχε καί κάποια λιποψυχία, ἀναιρεῖ στή συνέχεια καί τήν ὑποψία αὐτή. Ἄν καί βέβαια ὑπαινίχθηκε ἤδη αὐτό, μιλώντας ὄχι μόνο γιά σωτηρία, ἀλλά καί γιά δικαιοσύνη· «Γιατί ἡ δικαιοσύνη τοῦ Θεοῦ», λέγει, «φανερώνεται σ' αὐτόν»[1]. Γιατί αὐτός πού σώζεται ἔτσι, σώζεται σάν δίκαιος μέ παρρησία. Καί ὄχι μόνο κάλεσε αὐτήν δικαιοσύνη, ἀλλά καί φανέρωση τοῦ Θεοῦ. Ὁ Θεός ὅμως φανερώνεται στούς ἔνδοξους καί λαμπρούς καί μεγάλους. Ἀλλ' ὅμως καί ἀπό τούς παρόντες τό ἀποδεικνύει αὐτό, συνεχίζοντας μέ ἐρωτήσεις τό λόγο, πράγμα πού πάντοτε συνηθίζει νά κάνει ἐξ αἰτίας τῆς σαφήνειας καί τῆς τόλμης στά λόγια του. Γιατί πραγματικά καί παραπάνω ἔτσι ἔχει κάνει λέγοντας, «Ποιό λοιπόν εἶναι τό πλεονέκτημα τοῦ Ἰουδαίου;», καί, «Τί λοιπόν ἔχουμε περισσότερο;», καί πάλι, «Ποῦ εἶναι ἡ καύχηση; ἀποκλείστηκε ἐντελῶς»[2]· καί ἐδῶ, «Τί λοιπόν θά ποῦμε, πώς ὁ Ἀβραάμ ὁ πατέρας μας;»

Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τοῦτο ἔστρεφον Ἰουδαῖοι, ὅτι ὁ πατριάρχης καὶ τῷ Θεῷ φίλος περιτομὴν ἐδέξατο πρῶτος, βόλεται δεῖξαι, ὅτι καὶ ἐκεῖνος ἐκ πίστεως ἐδικαιώθη, ὅπερ ἦν περιουσία νίκης πολλῆς. Τὸ μὲν γὰρ ἔργα μὴ ἔχοντα ἐκ πίστεως δικαιωθῆναί τινα, οὐδὲν ἀπεικός, τὸ δὲ κομῶντα ἐν κατορθώμασι μὴ ἐντεῦθεν, ἀλλ' ἀπὸ πίστεως γενέσθαι δίκαιον, τοῦτο ἦν τὸ θαυμαστὸν καὶ μάλιστα τῆς πίστεως τὴν ἰσχὺν ἐμφαῖνον. Διὸ δὴ τοὺς ἄλλους παραδραμὼν πάντας, ἐπὶ τοῦτον ἀνάγει τὸν λόγον. Πατέρα δὲ αὐτὸν κατὰ σάρκα ἐκάλεσεν, ἐκβάλλων αὐτοὺς τῆς πρὸς αὐτὸν γνησίας συγγενείας καὶ προοδοποιῶν τοῖς ἔθνεσι τὴν πρὸς αὐτὸν ἀγχιστείαν.

Εἶτά φησιν· «Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν». Εἰπὼν οὖν, ὅτι δικαιοῖ περιτομὴν ἐκ πίστεως ὁ Θεὸς καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως, καὶ κατασκευάσας αὐτὸ ἱκανῶς ἐν τοῖς ἔμπροσθεν, καὶ διὰ τοῦ Ἀβραὰμ μειζόνως αὐτὸ δείκνυσιν ἣ ἐπηγγείλατο, καὶ ποιεῖ τὴν μάχην τῇ πίστει πρὸς τὰ ἔργα, καὶ τὸν ἀγῶνα ὅλον περὶ τὸν δίκαιον ἵστησι· καὶ όχ ἁπλῶς. Διὸ καὶ σφόδρα σεμνύνει προπάτορα καλῶν, καὶ ἀνάγκην αὐτοῖς ἐπιτιθεὶς τοῦ πείθεσθαι ἐν πᾶσιν αὐτῷ. Μὴ γάρ μοι τὸν Ἰουδαῖον εἴπης, φησί, μηδὲ τὸν δεῖνα καὶ τὸν δεῖνα ἀγάγης εἰς μέσον, ἐγὼ γὰρ ἐπὶ τὴν κορυφὴν ἁπάντων, καὶ ὅθεν ἡ περιτομὴ τὴν ἀρχὴν ἔλαβεν, ἄνειμι. «Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη», φησίν, «ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν». Ἀσαφὲς τὸ εἰρημένον. Οὐκοῦν ἀναγκαῖον αὐτὸ ποιῆσαι σαφέστερον. Δύο γάρ ἐστι καυχήματα, τὸ μὲν ἀπὸ τῶν ἔργων,

Πράγματι, ἐπειδή οἱ Ἰουδαῖοι σκέπτονταν πάντοτε αὐτό, ὅτι δηλαδή ὁ πατριάρχης καί φίλος τοῦ Θεοῦ δέχθηκε πρῶτος τήν περιτομή, θέλει νά δείξει, πώς καί ἐκεῖνος δικαιώθηκε ἀπό τήν πίστη, πράγμα πού ἦταν κατάκτηση μεγάλης νί. Γιατί τό νά δικαιωθεῖ κάποιος ἀπό τήν πίστι χωρίς νά ἔχει ἔργα, δέν εἶναι καθόλου ἀφύσικο, τό νά δικαιωθεῖ ὅμως ἀπό τήν πίστη καί ὄχι ἀπό τά κατορθώματα ἄν ὑπερηφανεύεται γι' αὐτά, αὐτό ἦταν τό θαυμαστό καί πράγμα πού φανέρωνε ἰδιαίτερα τή δύναμη τῆς πίστης. Γι' αὐτό ἀκριβῶς, παραλείποντας ὅλους τούς ἄλλους, σ' αὐτόν μεταφέρει τό λόγο. Καί ὀνόμασε αὐτόν πατέρα κατά σάρκα, γιά νά τούς στερήσει τή γνήσια συγγένεια πρός αὐτόν καί νά προετοιμάσει γιά τούς ἐθνικούς τήν ἀγχιστεία πρός αὐτόν.

Ἔπειτα λέγει· «Γιατί, ἄν ὁ Ἀβραάμ δικαιώθηκε ἀπό τά ἔργα του, ἔχει λόγο νά καυχιέται, ὄχι ὅμως ἐνώπιον τοῦ Θεοῦ». Ἀφοῦ εἶπε λοιπόν, ὅτι ὁ Θεός δικαιώνει τόν Ἰουδαῖο ἀπό τήν πίστη καί τόν ἐθνικό μέσω τῆς πίστης, καί ἀφοῦ ἀπέδειξε ἱκανοποιητικά αὐτά μέ τά προηγούμενα, καί μέ τόν Ἀβραάμ δείχνει αὐτό σέ μεγαλύτερο βαθμό ἀπ' ὅ,τι ὑποσχέθηκε, καί μάχεται μέ τήν πίστη πρός τά ἔργα καί κάνει τόν ἀγώνα ὅλο γιά τό δίκαιο· καί ὄχι ἁπλά. Γι' αὐτό καί τόν ἐπαινεῖ πάρα πολύ ὀνομάζοντας αὐτόν προπάτορα καί ἀναγκάζοντας αὐτούς νά τόν ὑπακούουν σέ ὅλα. Μή δηλαδή μοῦ πεῖς τόν Ἰουδαῖο, λέγει, οὔτε νά μοῦ ἀναφέρεις τόν τάδε καί τόν τάδε, γιατί ἐγώ θ' ἀνεβῶ ἐπάνω στήν κορυφή ὅλων καί ἐκεῖ ἀπό ὅπου ἄρχισε ἡ περιτομή. «Γιατί, ἄν ὁ Ἀβραάμ δικαιώθηκε ἀπό τά ἔργα του», λέγει, «μπορεῖ νά καυχιέται, ὄχι ὅμως ἐνώπιον τοῦ Θεοῦ». Εἶναι ἀσαφής ὁ λόγος. Ἑπομένως ἦταν ἀνάγκη νά τόν ἐξηγήσω περισσότερο. Γιατί ὑπάρχουν δύο καυχήματα, τό ἕνα ἀπό τά ἔργα καί τό ἄλλο ἀπό τήν πίστη. Ἀφοῦ δηλαδή εἶπε, «Ἐάν δικαιώθηκε

τὸ δὲ ἀπὸ τῆς πίστεως. Εἰπὼν τοίνυν, «Εἰ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν», ἔδειξεν, ὅτι καὶ ἀπὸ πίστεως δύναιτ' ἂν ἔχειν καύχημα, καὶ πολλῷ μεῖζον.

Ἡ γὰρ πολλὴ τοῦ Παύλου δύναμις ἐν τούτῳ μάλιστα δείκνυται, ὅτι εἰς τοὐναντίον περιέτριψε τὸ προκείμενον, καὶ ὅπερ εἶχεν ἡ διὰ τῶν ἔργων σωτηρία, τὸ καυχᾶσθαι καὶ παρρησιάζεσθαι, τοῦτο ἔδειξε πολλῷ πλέον τῆς πίστεως ὄν. Ὁ μὲν γὰρ ἐν τοῖς ἔργοις καυχώμενος, τοὺς οἰκείους ἔχει προβάλλεσθαι πόνους, ὁ δὲ ἐπὶ τῷ πιστεῦσαι τῷ Θεῷ καλλωπιζόμενος, πολλῷ μείζονα καυχήσεως ἀφορμὴν ἐπιδείκνυται, ἅτε δοξάσας καὶ μεγαλύνας τὸν Κύριον. Ἃ γὰρ οὐχ ὑπηγόρευσεν ἡ φύσις τῶν ὁρωμένων, ταῦτα ἀπὸ τῆς πίστεως καταδεξάμενος τῆς εἰς αὐτόν, καὶ τὴν γνησίαν ἀγάπην τὴν περὶ αὐτὸν ἐπεδείξατο, καὶ τὴν δύναμιν αὐτοῦ λαμπρῶς ἀνεκήρυξε.

Τοῦτο δὲ γενναιοτάτης ψυχῆς καὶ φιλοσόφου γνώμης καὶ ὑψηλῆς διανοίας. Τὸ μὲν γὰρ μὴ κλέψαι μηδὲ φονεῦσαι, καὶ τῶν τυχόντων ἐστί, τὸ δὲ πιστεῦσαι, ὅτι τὰ ἀδύνατα δύναται Θεός, μεγαλοφυοῦς τινος δεῖται ψυχῆς καὶ σφόδρα περὶ αὐτὸν διακειμένης· καὶ γὰρ ἀγάπης γνησίας τοῦτο σημεῖόν ἐστι. Τιμᾷ μὲν γὰρ τὸν Θεὸν καὶ ὁ τὰς ἐντολὰς πληρῶν, πολλῷ δὲ μειζόνως οὗτος ὁ διὰ τῆς πίστεως φιλοσοφῶν· ἐκεῖνος μὲν γὰρ ὑπήκουσεν αὐτῷ, οὗτος δὲ τὴν προσήκουσαν ἔλαβε περὶ αὐτοῦ δόξαν, καὶ τῆς διὰ τῶν ἔργων ἐπιδείξεως μειζόνως ἐδόξασε καὶ ἐθαύμασεν. Ἐκεῖνο μὲν οὖν τὸ καύχημα τοῦ κατορθοῦντός ἐστι, τοῦτο δὲ τὸν Θεὸν δοξάζει, καὶ ὅλον ἐστὶν αὐτοῦ· καυχᾶται γὰρ ἐπὶ τῷ περὶ αὐτοῦ μεγάλα φαντάζεσθαι, ἅπερ εἰς τὴν ἐκείνου διαβαίνει δόξαν.

ἀπό τά ἔργα του, ἔχει καύχημα, ὄχι ὅμως ἐνώπιον τοῦ Θεοῦ», ἔδειξε πώς καί ἀπό τήν πίστη μπορεῖ νά ἔχει καύχημα, καί μάλιστα πολύ μεγαλύτερο.

Ἡ μεγάλη λοιπόν δύναμη τοῦ Παύλου σ' αὐτό ἰδιαίτερα φανερώνεται, γιατί ἔστρεψε στό ἀντίθετο τό ζήτημα, καί αὐτό πού εἶχε ἡ σωτηρία ἀπό τά ἔργα, δηλαδή τήν καύχηση καί τήν παρρησία, αὐτό ἔδειξε πώς ἀνήκει πολύ περισσότερο στήν πίστη. Γιατί, αὐτός πού καυχιέται γιά τά ἔργα, μπορεῖ νά προφασίζεται τούς δικούς του κόπους, ἐνῶ ἐκεῖνος πού καυχιέται γιά τήν πίστη του στό Θεό, παρουσιάζει πολύ μεγαλύτερη ἀφορμή γιά καύχηση, ἐπειδή δόξασε καί μεγάλυνε τόν Κύριο. Γιατί ἐκεῖνα πού δέν τοῦ ὑπέδειξε ἡ φύση τῶν ὁρατῶν πραγμάτων, αὐτά ἀφοῦ δέχθηκε ἀπό τήν πίστη σ' αὐτόν , ἔδειξε τήν γνήσια ἀγάπη γι' αὐτόν καί ἔκαμε γνωστή τή δύναμή του μέ λαμπρό τρόπο.

Αὐτό ὅμως εἶναι γνώρισμα γενναιότατης ψυχῆς, φιλοσοφικῆς διάθεσης καί ὑψηλῆς διάνοιας. Γιατί τό νά μήν κλέψει κανείς οὔτε νά φονεύσει τό κατορθώνουν ἀκόμη καί οἱ τυχαῖοι ἄνθρωποι, ἐνῶ τό νά πιστέψει, πώς ὁ Θεός μπορεῖ τά ἀδύνατα, χρειάζεται κάποια εὐγενική ψυχή καί ὑπερβολική ἀφοσίωση σ' αὐτόν· γιατί πραγματικά αὐτό εἶναι ἀπόδειξη γνήσιας ἀγάπης. Τιμάει βέβαια τό Θεό καί ἐκεῖνος πού τηρεῖ τίς ἐντολές, τόν τιμάει ὅμως πολύ περισσότερο αὐτός πού μέ τήν πίστη φιλοσοφεῖ. Γιατί ἐκεῖνος ὑπάκουσε σ' αὐτόν, ἐνῶ αὐτός σχημάτισε τή γνώμη πού πρέπει γι' αὐτόν καί τόν δόξασε καί τόν θαύμασε περισσότερο ἀπό τήν ἐπίδειξη μέ τά ἔργα. Ἐκείνη λοιπόν ἡ καύχηση ἀνήκει σ' αὐτόν πού κατορθώνει, ἐνῶ αὐτή δοξάζει τό Θεό καί ὅλη ἀνήκει σ' αὐτόν. Γιατί καυχιέται γιά τό ὅτι φαντάζεται γι' αὐτόν μεγάλα, τά ὁποῖα συντελοῦν στή δόξα ἐκείνου.

Διὰ τοῦτό φησι, πρὸς τὸν Θεὸν ἔχειν αὐτὸν τὸ καύχημα· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ δι' ἕτερον. Καυχᾶται γὰρ πάλιν ὁ πιστός, οὐχ ὅτι τὸν Θεὸν ἐφίλησε μόνον γνησίως, ἀλλ' ὅτι καὶ πολλῆς παρ' αὐτοῦ τιμῆς ἀπήλαυσε καὶ ἀγάπης. Ὥσπερ γὰρ αὐτὸς αὐτὸν ἠγάπησε μεγάλα περὶ αὐτοῦ φαντασθεὶς (τοῦτο γὰρ ἀγάπης δεῖγμα), οὕτω καὶ ὁ Θεὸς αὐτὸν ἐφίλησε μυρίοις ὑπεύθυνον ὄντα, οὐχὶ κολάσεως ἀπαλλάξας μόνον, ἀλλὰ καὶ δίκαιον ἐργασάμενος. Ἔχει τοίνυν καυχᾶσθαι ὡς μεγάλης καταξιωθεὶς ἀγάπης. «Τί γὰρ ἡ Γραφὴ λέγει; Ἐπίστευσεν Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ ὀφείλημα». Οὐκοῦν τοῦτο μεῖζον, φησίν; Οὐδαμῶς· καὶ γὰρ τῷ πιστεύοντι λογίζεσθαι· οὐκ ἂν δὲ ἐλογίσθη, εἰ μὴ καὶ αὐτός τι εἰσήνεγκεν.

2. Ὥστε καὶ οὗτος ὀφειλέτην ἔχει τὸν Θεόν, καὶ οὐ τῶν τυχόντων ὀφειλέτην, ἀλλὰ μεγάλων καὶ ὑψηλῶν πραγμάτων. Δεικνὺς γὰρ αὐτοῦ τὴν μεγαλόνοιαν καὶ τὴν πνευματικὴν διάνοιαν, οὐχ ἁπλῶς εἶπε, τῷ πιστεύοντι, ἀλλά, «Τῷ πιστεύοντι ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην». Ἐννόησον γὰρ ἡλίκον ἐστὶ πεισθῆναι καὶ πληροφορηθῆναι, ὅτι δύναται ὁ Θεὸς τὸν ἐν ἀσεβείᾳ βεβιωκότα τοῦτο ἐξαίφνης οὐχὶ κολάσεως ἐλευθερῶσαι μόνον, ἀλλὰ καὶ δίκαιον ποιῆσαι, καὶ τῶν ἀθανάτων ἐκείνων ἀξιῶσαι τιμῶν. Μὴ τοίνυν νομίσῃς τοῦτον ἐλαττοῦσθαι, ἐπειδὴ ἐκείνῳ οὐ κατὰ χάριν λογίζεται. Αὐτὸ γὰρ τοῦτο μάλιστα ποιεῖ τὸν πιστὸν εἶναι λαμπρόν, τὸ τοσαύτης ἀπολαῦσαι χάριτος, τὸ τοιαύτην πίστιν ἐπιδείξασθαι. Καὶ ὅρα καὶ τὴν ἀντίδοσιν μείζονα. Ἐκείνῳ μὲν γὰρ μισθὸς δί-

Γι' αὐτό λέγει, ὅτι ἔχει λόγο νά καυχιέται ἐνώπιον τοῦ Θεοῦ. Καί ὄχι μόνο γι' αὐτό, ἀλλά καί γιά κάτι ἄλλο. Γιατί καυχιέται πάλι ὁ πιστός, ὄχι γιατί ἀγάπησε γνήσια τό Θεό μόνο, ἀλλά καί γιατί ἀπόλαυσε ἀπ' αὐτόν πολλή τιμή καί ἀγάπη. Γιατί, ὅπως τόν ἀγάπησε, ἐπειδή φαντάστηκε μεγάλα γι' αὐτόν (καθόσον αὐτό εἶναι ἀπόδειξη ἀγάπης), ἔτσι καί ὁ Θεός τόν ἀγάπησε, ἄν καί ἦταν ὑπεύθυνος γιά πάρα πολλά ἁμαρτήματα, ὄχι μόνο ἀπαλλάσσοντάς τον ἀπό τήν τιμωρία, ἀλλά καί δικαιώνοντάς τον. Ἔχει λοιπόν λόγο νά καυχιέται, ἐπειδή θεωρήθηκε ἄξιος μεγάλης ἀγάπης. «Τί λοιπόν λέγει ἡ Γραφή; Πίστεψε ὁ Ἀβραάμ στό Θεό καί τοῦ λογαριάστηκε σάν δικαιοσύνη. Ἀντίθετα ὅμως σέ κάθε ἐργαζόμενο δέ λογαριάζεται ἡ ἀμοιβή του σαν χάρη, ἀλλά σάν χρέος». Ἐπομένως, λέγει, αὐτό εἶναι μεγαλύτερο; Καθόλου. Γιατί καί σ' αὐτόν πού πιστεύει λογαριάζεται. Δέ θά λογαριαζόταν ὅμως, ἐάν καί αὐτός δέν πρόσφερνε κάτι.

2. Ὥστε καί αὐτός ἔχει ὀφειλέτη τό Θεό, καί ὄχι γιά ἀσήμαντα πράγματα, ἀλλά γιά μεγάλα καί σπουδαῖα. Γιατί δείχνοντας τή μεγαλοφυΐα καί τήν πνευματική του διάνοια, δέν εἶπε ἁπλά, σ' ἐκεῖνον πού πιστεύει, ἀλλά, «Σ' ἐκεῖνον πού πιστεύει σ' αὐτόν πού δικαιώνει τόν ἀσεβή, λογαριάζεται ἡ πίστη του γιά τή δικαίωσή του». Γιατί σκέψου πόσο μεγάλο εἶναι νά πεισθεῖ καί νά πληροφορηθεῖ, πώς ὁ Θεός μπορεῖ ὄχι μόνο νά ἀπαλλάξει ξαφνικά ἀπό τήν τιμωρία ἐκεῖνον πού ζεῖ μέσα στήν ἀσέβεια, ἀλλά καί νά τόν δικαιώσει, καί νά τόν κρίνει ἄξιο γιά τίς ἀθάνατες ἐκεῖνες τιμές. Νά μή νομίσεις λοιπόν πώς αὐτός μειώνεται, ἐπειδή δέ λογαριάζεται σ' ἐκεῖνον σάν χάρη. Γιατί αὐτό ἀκριβῶς κάνει τόν πιστό λαμπρό, τό ὅτι δηλαδή ἀπόλαυσε τόσο μεγάλη χάρη, τό ὅτι ἔδειξε τέτοια πίστη. Καί πρόσεχε πώς ἡ ἀνταπόδοση εἶναι μεγαλύτερη. Γιατί σ' ἐκεῖνον δίνεται ἀμοιβή, ἐνῶ σ'

δοται, τούτῳ δὲ δικαιοσύνη· πολὺ δὲ μείζων μισθοῦ δικαιοσύνη· πολλῶν γάρ ἐστι μισθῶν περιεκτικωτάτη ἀντίδοσις ἡ δικαιοσύνη.

Δείξας τοίνυν ἀπὸ τοῦ Ἀβραὰμ τοῦτο, καὶ τὸν Δαυῒδ ἐπάγει λοιπὸν ψηφιζόμενον τοῖς εἰρημένοις. Τί οὖν φησιν ὁ Δαυῒδ καὶ τίνα μακαρίζει; τὸν ἐν ἔργοις κομῶντα, ἢ τὸν χάριτος ἀπολελαυκότα, τὸν ἀφέσεως καὶ δωρεᾶς τετυχηκότα; Μακαριότητα δὲ ὅταν εἴπω, τὴν κορυφὴν λέγω τῶν ἀγαθῶν ἁπάντων. Ὥσπερ γὰρ μισθοῦ πλέον ἡ δικαιοσύνη, οὕτω δικαιοσύνης πλέον ὁ μακαρισμός. Δείξας τοίνυν τὴν δικαιοσύνην βελτίω, οὐ τῷ τὸν Ἀβραὰμ ταύτην εἰληφέναι μόνον, ἀλλὰ καὶ ἀπὸ λογισμῶν, «Ἔχει γὰρ καύχημα», φησίν, «ἀλλ' οὐ πρὸς τὸν Θεόν», καὶ ἑτέρῳ τρόπῳ πάλιν αὐτὴν ἀποφαίνει σεμνοτέραν, τὸν Δαυῒδ εἰσάγων αὐτῇ ψηφιζόμενον· καὶ γὰρ οὗτος, φησί, τὸν οὕτω δικαιωθέντα μακαρίζει, λέγων, «Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι». Καὶ δοκεῖ μὲν οὐ προσήκουσαν παράγειν μαρτυρίαν· οὐδὲ γὰρ εἶπε, μακάριοι ὧν ἡ πίστις εἰς δικαιοσύνην ἐλογίσθη· ποιεῖ δὲ αὐτὸ ἑκών, οὐκ ἀγνοῶν, ἵνα πλείονα δείξῃ τὴν ὑπερβολήν. Εἰ γὰρ μακάριος οὗτος ὁ λαβὼν ἄφεσιν ἀπὸ χάριτος, πολλῷ μᾶλλον ὁ δικαιωθεὶς καὶ ὁ πίστιν ἐπιδειξάμενος.

Ὅπου δὲ μακαρισμός, αἰσχύνη πᾶσα ἀνῄρηται καὶ πολλὴ δόξα· ἐπίτασις γάρ ἐστι καὶ μισθῶν καὶ δόξης ὁ μακαρισμός. Διὰ τοῦτο, ὃ μέν ἐστιν ἐκείνου πλεονέκτημα, ἄγραφον τίθησιν, εἰπών, «Τῷ γὰρ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χά-

αὐτόν δικαιοσύνη. Ἡ δικαιοσύνη ὅμως εἶναι πολύ μεγαλύτερη ἀπό τήν ἀμοιβή, γιατί ἡ δικαιοσύνη εἶναι ἀνταπόδοση πού περιέχει πολλούς μισθούς.

Ἀφοῦ ἔδειξε λοιπόν ἀπό τόν Ἀβραάμ αὐτό, προσθέτει στή συνέχεια καί τό Δαυΐδ πού ἐπιδοκιμάζει αὐτά πού ἔχουν λεχθεῖ. Τί λοιπόν λέγει ὁ Δαυΐδ καί ποιόν μακαρίζει; Αὐτόν πού καυχιέται γιά τά ἔργα του, ἤ αὐτόν πού ἔχει ἀπολαύσει τή χάρη, αὐτόν πού ἔλαβε τή συγχώρηση καί τή δωρεά; Ὅταν ὅμως πῶ μακαριότητα, ἐννοῶ τήν κορυφή ὅλων τῶν ἀγαθῶν. Γιατί, ὅπως ἀκριβῶς ἡ δικαιοσύνη εἶναι ἀνώτερη ἀπό τό μισθό, ἔτσι ὁ μακαρισμός εἶναι ἀνώτερος ἀπό τή δικαιοσύνη. Ἀφοῦ λοιπόν ἔδειξε τή δικαιοσύνη ἀνώτερη, ὄχι μέ τό ὅτι τήν ἔχει λάβει ὁ Ἀβραάμ μόνο, ἀλλά καί ἀπό συλλογισμούς («Γιατί ἔχει λόγο νά καυχιέται», λέγει, «ὄχι ὅμως ἐνώπιον τοῦ Θεοῦ»), καί μέ ἄλλο τρόπο πάλι παρουσιάζει αὐτήν σπουδαιότερη, παρουσιάζοντας τό Δαυΐδ νά τήν ἐπιδοκαιμάζει. Γιατί καί αὐτός λέγει μακαρίζει ἐκεῖνον πού δικαιώθηκε ἔτσι λέγοντας, «Μακάριοι εἶναι ἐκεῖνοι πού συγχωρήθηκαν οἱ παρανομίες τους». Καί φαίνεται βέβαια πώς δέν ἀναφέρει κατάλληλη μαρτυρία, γιατί δέν εἶπε, μακάριοι ἐκεῖνοι πού ἡ πίστη τούς λογαριάστηκε γιά τή δικαίωσή τους. Καί τό κάνει αὐτό μέ τή θάλησή του, καί ὄχι ἀπό ἄγνοια, γιά νά δείξει μεγαλύτερη τήν ὑπεροχή. Γιατί, ἀφοῦ εἶναι μακάριος αὐτός πού ἔλαβε συγχώρηση ἀπό χάρη, θά εἶναι πολύ περισσότερο ἐκεῖνος πού δικαιώθηκε καί ἐκεῖνος πού ἔδειξε πίστη.

Ὅπου ὅμως ὑπάρχει μακαρισμός, ἔχει ἐξαφανισθεῖ κάθε ντροπή καί ἡ δόξα εἶναι μεγάλη. Γιατί ὁ μακαρισμός εἶναι αὔξηση καί τῶν μισθῶν καί τῆς δόξας. Γι' αὐτό, ἐκεῖνο πού εἶναι πλεονέκτημα ἐκείνου, τό ἀναφέρει χωρίς ἀναφορά

ριν», ὃ δέ ἐστι τοῦ πιστοῦ προτέρημα, τοῦτο δι' ἀγράφου μαρτυρίας κατασκευάζει, λέγων· «Καθὼς εἶπε Δαυΐδ· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἀπεκαλύφθησαν αἱ ἁμαρτίαι». Τί γὰρ λέγεις, φησίν, ὅτι οὐ κατὰ ὀφείλημα, ἀλλὰ κατὰ χάριν λαμβάνεις τὴν ἄφεσιν; Ἀλλ' ἰδού, οὗτός ἐστιν ὁ μακαριζόμενος· οὐκ ἂν δὲ αὐτὸν ἐμακάρισεν, εἰ μὴ καὶ δόξης εἶδεν ἀπολαύοντα πολλῆς. Καὶ οὐ λέγει, ἡ ἄφεσις οὖν αὕτη ἐπὶ τὴν περιτομήν, ἀλλὰ τί; «Ὁ μακαρισμὸς οὖν οὗτος», ὅπερ πλέον ἦν, «ἐπὶ τὴν περιτομὴν ἢ ἐπὶ τὴν ἀκροβυστίαν;». Ζητεῖται γὰρ λοιπὸν τὸ ἀγαθὸν τοῦτο καὶ μέγα μετὰ τίνος ἕστηκεν, ἆρα μετὰ τῆς περιτομῆς, ἢ μετὰ τῆς ἀκροβυστίας;

Καὶ ὅρα τὴν ὑπερβολήν· δείκνυσι γὰρ αὐτὸ οὐ μόνον οὐ φεῦγον τὴν ἀκροβυστίαν, ἀλλὰ καὶ ἐμφιλοχωροῦν αὐτῇ πρὸ τῆς περιτομῆς. Ἐπειδὴ γὰρ ὁ μακαρίζων καὶ αὐτὸς ἐμπερίτομος ἦν ὁ Δαυΐδ, καὶ ἐμπεριτόμοις διελέγετο, ὅρα πῶς ἐφιλονείκησεν ὁ Παῦλος εἰς τὸν ἀκρόβυστον ἀγαγεῖν τὸ εἰρημένον. Συνάψας γὰρ τῇ δικαιοσύνῃ τὸν μακαρισμὸν καὶ δείξας ἀμφότερα ἕν, ζητεῖ πῶς ἐδικαιώθη ὁ Ἀβραάμ. Εἰ γὰρ ὁ μακαρισμὸς τοῦ δικαίου, ἐδικαίωθη δὲ ὁ Ἀββραάμ, ἴδωμεν πῶς ἐδικαιώθη· ἀκρόβυστος ὢν ἢ ἐμπερίτομος. Ἀκρόβυστος, φησί. «Πῶς ουν ἐλογίσθη; ἐν περιτομῇ ἢ ἐν ἀκροβυστίᾳ; Οὐκ ἐν περιτομῇ, ἀλλ' ἐν ἀκροβυστίᾳ· καὶ λέγομεν γάρ, ὅτι ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην». Ἀνωτέρω τὴν Γραφὴν εἰπών, τί γὰρ ἡ Γραφὴ λέγει, φησίν, «Ἐπίστευσεν Ἀβραὰμ τῷ Θεῷ καὶ ἐλογίσθη αὐτῷ

στή Γραφή, λέγοντας, «Γιατί σέ κάθε ἐργαζόμενο δέ λογαριάζεται ὁ μισθός του σάν χάρη», ἐκεῖνο ὅμως πού εἶναι προτέρημα τοῦ πιστοῦ, αὐτό τό ἀποδείχνει μέ μαρτυρία τῆς Γραφῆς, λέγοντας· «Καθώς εἶπε ὁ Δαυΐδ· μακάριοι εἶναι ἐκεῖνοι πού συγχωρήθηκαν οἱ παρανομίες τους, καί πού σκεπάστηκαν οἱ ἁμαρτίες τους». Γιατί λοιπόν ἀπορεῖς, λέγει, πού δέν παίρνεις τή συγχώρηση σάν χρέος, ἀλλά σάν χάρη; Νά ὅμως, αὐτός εἶναι ἐκεῖνος πού μακαρίζεται, καί δέ θά τόν μακάριζε, ἄν δέν ἔβλεπε πώς ἀπολαμβάνει καί δόξα πολλή. Καί δέ λέγει, ἡ συγχώρηση λοιπόν αὐτή ἀνήκει στόν Ἰουδαῖο, ἀλλά τί; «Ὁ μακαρισμός λοιπόν αὐτός», πράγμα πού ἦταν ἀνώτερο, «ἀνήκει στόν Ἰουδαῖο ἤ στόν ἐθνικό;». Ἐξετάζεται δηλαδή στή συνέχεια μέ ποιόν βρίσκεται τό ἀγαθό αὐτό καί σπουδαῖο πράγμα, ἐάν βρίσκεται μέ τόν Ἰουδαῖο ἤ μέ τόν ἐθνικό.

Καί πρόσεχε τήν ὑπεροχή. Γιατί δείχνει πώς τό ἀγαθό αὐτό ὄχι μόνο δέν ἀποφεύγει τόν ἐθνικό, ἀλλά καί ἔρχεται σ' αὐτόν πρίν ἀπό τόν Ἰουδαῖο. Ἐπειδή λοιπόν αὐτός πού μακαρίζει, δηλαδή ὁ Δαυΐδ, ἦταν καί αὐτός περιτμημένος καί μιλοῦσε σέ περιτμημένους, πρόσεχε πῶς προσπάθησε ὁ Παῦλος νά φέρει τό λόγο στόν ἐθνικό. Ἀφοῦ λοιπόν συνένωσε στή δικαιοσύνη τό μακαρισμό, καί ἀφοῦ ἔδειξε πώς καί τά δύο ἦταν ἕνα, ἐξετάζει πῶς δικαιώθηκε ὁ Ἀβραάμ. Γιατί, ἄν ὁ μακαρισμός ἀνήκει στό δίκαιο, καί δικαιώθηκε ὁ Ἀβραάμ, ἄς δοῦμε πῶς δικαιώθηκε, ἀπερίτμητος ἤ περιτμημένος. Ἀπερίτμητος, λέγει. «Πότε λοιπόν τοῦ λογαριάστηκε; Ὅταν εἶχε περιτμηθεῖ, ἤ ὅταν ἦταν ἀπερίτμητος; Ὄχι ὅταν εἶχε περιτμηθεῖ, ἀλλ' ὅταν ἦταν ἀπερίτμητος. Γιατί πραγματικά λέμε, ὅτι λογαριάστηκε στόν Ἀβραάμ ἡ πίστη σάν δικαιοσύνη». Ἀφοῦ ἀνέφερε παραπάνω τή Γραφή (Γιατί, λέγει, τί λέγει ἡ ἁγία Γραφή; «Πίστεψε ὁ Ἀβραάμ στό Θεό καί

εἰς δικαιοσύνη», ἐνταῦθα καὶ τὴν τῶν λεγόντων προσλαμβάνει κρίσιν λοιπόν, καὶ δείκνυσιν ἐν τῇ ἀκροβυστίᾳ τὴν δικαιοσύνην γεγενημένην.

Εἶτα ἀπὸ τούτων ἀντίθεσιν ἑτέραν ἀνακύπτουσαν λύει· εἰ γὰρ ἀκρόβυστος ὤν, φησίν, ἐδικαιώθη, τίνος ἕνεκεν ἐπεισῆλθεν ἡ περιτομή; «Σημεῖον ἔλαβε», φησί, «καὶ σφραγῖδα τῆς δικαιοσύνης τῆς διὰ τῆς πίστεως τῆς, ἡνίκα ἦν ἀκρόβυστος, γενομένης αὐτῷ». Εἶδες πῶς ἔδειξεν ὡς ἐν τάξει παρασίτων τοὺς Ἰουδαίους ὄντας ἢ καὶ τούτους τοὺς ἐν ἐκροβυστίᾳ ἐκείνους προσερριμμένους; Εἰ γὰρ ἐδικαιώθη μὲν ἀκρόβυστος ὢν καὶ ἐστεφανώθη, ὕστερον δὲ τὴν περιτομὴν ἔλαβεν, ὕστερον δὲ ἐπεισῆλθον οἱ Ἰουδαῖοι, οὐκοῦν τῶν ἀκροβύστων πρῶτόν ἐστι πατὴρ ὁ Ἀβραὰμ τῶν διὰ πίστεως αὐτῷ προσηκόντων, καὶ τότε τῶν ἐν περιτομῇ· διπλοῦς γάρ ἐστι πρόγονος. Εἶδες τὴν πίστιν λάμπουσαν; Ἕως γὰρ ἦλθεν αὕτη, οὐκ ἐδικαιώθη ὁ πατριάρχης. Εἶδες τὴν ἀκροβυστίαν οὐδὲν ἐμποδίζουσαν; Καὶ γὰρ ἀκρόβυστος ἦν, καὶ οὐκ ἐκωλύθη δικαιωθῆναι. Ὑστέρα ἄρα τῆς πίστεως ἡ περιτομή.

3. Καὶ τί θαυμάζεις, εἰ τῆς πίστεως ἡ περιτομή, ὅπου γε καὶ τῆς ἀκροβυστίας; Οὐχ ὑστέρα δὲ μόνον τῆς πίστεως, ἀλλὰ καὶ σφόδρα αὐτῆς καταδεεστέρα, καὶ τοσοῦτον, ὅσον σημεῖον τοῦ πράγματος οὗπέρ ἐστι σημεῖον· οἷον, ὅσον ἡ σφραγὶς τοῦ στρατιώτου. Καὶ τίνος ἕνεκεν σφραγῖδος ἐδεῖτο, φησίν; Οὐκ αὐτὸς ἐδεῖτο. Τίνος οὖν ἕνεκεν αὐτὴν ἐδέξατο; Εἰς τὸ γενέσθαι αὐτὸν πατέρα κοινὸν καὶ τῶν πιστευόντων δι᾽ ἀκροβυστίας, καὶ τῶν ἐν περιτομῇ· ἀλλ᾽ οὐχ ἁπλῶς τῶν ἐν περιτομῇ· διὸ καὶ ἐπάγει· «Τοῖς οὐκ ἐκ περιτομῆς μόνον». Εἰ γὰρ τῶν ἀκροβύστων, οὐκ ἐπειδὴ ἀκρόβυστός ἐστι, διὰ τοῦτό ἐστι πατήρ, καίτοι γε ἐν

λογαριάστηκε σάν δικαιοσύνη»), στή συνέχεια ἐδῶ παραδέχεται καί τήν κρίση τῶν προσώπων, καί δείχνει πώς ἡ δικαιοσύνη ἔχει γίνει στόν ἀπερίτμητο.

Ἔπειτα διαλύει καί ἄλλη ἀντίθεση πού προκύπτει ἀπό αὐτά. Ἐάν λοιπόν δικαιώθηκε, λέγει, ὅταν ἦταν ἀπερίτμητος, γιά ποιό λόγο εἰσήχθηκε ἡ περιτομή; «Ἔλαβε σημάδι», λέγει, «καί σφραγίδα τῆς δικαίωσής του ἀπό τήν πίστη πού ἔδειξε, ὅταν ἦταν ἀπερίτμητος». Εἶδες πῶς ἔδειξε ὅτι οἱ Ἰουδαῖοι εἶναι σάν παράσιτα; ἢ πῶς καί αὐτοί οἱ ἀπερίτμητοι ἔχουν περιέλθει στήν ἴδια κατάσταση μ' ἐκείνους; Γιατί, ἄν δικαιώθηκε, βέβαια καί στεφανώθηκε ὅταν ἦταν ἀπερίτμητος, ἐνῶ ὕστερα ἔλαβε τήν περιτομή καί ὕστερα τή δέχθηκαν καί οἱ Ἰουδαῖοι, ἀσφαλῶς ὁ Ἀβραάμ εἶναι πατέρας πρῶτα τῶν ἀπερίτμητων πού μέ τήν πίστη εἶναι συγγενεῖς του, καί ὕστερα αὐτῶν πού ἔχουν περιτμηθεῖ, γιατί εἶναι διπλός πρόγονος. Εἶδες πώς λάμπει ἡ πίστη; Γιατί, μέχρι πού ἦρθε αὐτή, ὁ πατριάρχης δέ δικαιώθηκε. Εἶδες πώς ἡ ἀκροβυστία δέν ἐμποδίζει καθόλου; Γιατί πραγματικά ἦταν ἀπερίτμητος καί δέν ἐμπόδισε νά δικαιωθεῖ. Ἑπομένως ἡ περιτομή εἶναι ὕστερα ἀπό τήν πίστη.

3. Καί γιατί ἀπορεῖς ἐάν ἡ περιτομή εἶναι ὕστερα ἀπό τήν πίστη, ἀφοῦ βέβαια εἶναι καί ὕστερα ἀπό τήν ἀκροβυστία; Καί δέν εἶναι μόνο ὕστερα ἀπό τήν πίστη, ἀλλά καί πάρα πολύ κατώτερη ἀπ' αὐτήν, καί τόσο πολύ, ὅσο εἶναι τό σύμβολο ἀπό τό πράγμα τοῦ ὁποίου εἶναι σύμβολο, καί γιά παράδειγμα ὅσο εἶναι ἡ σφραγίδα ἀπό τό στρατιώτη. Καί γιά ποιό λόγο χρειαζόταν σφραγίδα, λέγει; Δέν τή χρειαζόταν αὐτός. Γιά ποιό λοιπόν λόγο τή δέχθηκε; Γιά νά γίνει αὐτός πατέρας κοινός καί ὅσων πιστεύουν χωρίς νά ἔχουν περιτμηθεῖ καί ὅσων εἶναι περιτμημένοι. Ὄχι ὅμως μόνο ὅσων ἔχουν περιτμηθεῖ· γι' αὐτό καί προσθέτει· «Ἔγινε πατέρας ἐκείνων πού ἔχουν ὄχι μόνο τήν περιτομή». Ἐάν λοιπόν γι' αὐτό εἶναι πατέρας τῶν ἀπερί-

ἀκροβυστίᾳ δικαιωθείς, ἀλλ' ἐπειδὴ τὴν πίστιν αὐτοῦ ἐζήλωσαν, πολλῷ μᾶλλον τῶν ἐμπεριτόμων οὐκ ἔσται διὰ τὴν περιτομὴν πρόγονος, εἰ μὴ προσγένοιτο καὶ ἡ πίστις. Περιτομὴν γὰρ ἔλαβεν, ἵνα ἑκάτεροι, φησίν, αὐτὸν ἔχωμεν πρόγονον, καὶ οἱ ἀκρόβυστοι μὴ ἀπώσωνται τοὺς ἐμπεριτόμους.

Ὁρᾷς πῶς οὗτοι προπάτορα ἔσχον αὐτὸν πρῶτοι; Εἰ δὲ σεμνὸν ἡ περιτομή, ὅτι κηρύττει τὴν δικαιοσύνην, οὐ μικρὰν καὶ ἡ ἀκροβυστία προεδρείαν ἔχει πρὸ τῆς περιτομῆς αὐτὴν δεξαμένη· τότε οὖν αὐτὸν δυνήσῃ προπάτορα ἔχειν, ὅταν στοιχήσῃς τοῖς ἴχνεσι τῆς πίστεως, καὶ μηδὲ φιλονεικῇς μηδὲ στασιάζῃς τὸν νόμον ἐπεισάγων. Ποίας, εἰπέ μοι, πίστεως; «Τῆς ἐν τῇ ἀκροβυστίᾳ». Πάλιν καταστέλλει τὸ φύσημα τὸ ἰουδαϊκόν, ἀναμιμνήσκων τοῦ χρόνου τῆς δικαιοσύνης. Καὶ καλῶς εἶπε, «τοῖς ἴχνεσιν», ἵνα ὁμοίως ἐκείνῳ πιστεύῃς εἰς νεκρῶν ἀνάστασιν σωμάτων. Καὶ γὰρ καὶ ἐκεῖνος περὶ τοῦτο τὴν πίστιν ἐπεδείξατο· ὥστε, εἰ τὴν ἀκροβυστίαν ἐκβάλλεις, μάνθανε σαφῶς, ὅτι οὐδέν σοι οὐδὲ τῆς περιτομῆς ὄφελος. Ἂν γὰρ μὴ τοῖς ἴχνεσιν ἀκολουθήσῃς τῆς πίστεως, κἂν μυριάκις ᾖς ἐμπερίτομος, οὐκ ἔσῃ τοῦ Ἀβραὰμ ἔκγονος· ἐπεὶ καὶ τὴν περιτομὴν διὰ τοῦτο ἔλαβεν, ἵνα σε ὁ ἐν ἀκροβυστίᾳ μὴ ἐκβάλλῃ. Μὴ δὴ καὶ ἐκεῖνον τοῦτο ἀπαίτει· σοὶ γὰρ τὸ πρᾶγμα βοήθεια γέγονεν, οὐκ ἐκείνῳ.

Ἀλλὰ σημεῖον αὐτὸ δικαιοσύνης, φησί. Καὶ τοῦτο διὰ σέ, ἐπεὶ νῦν οὐδὲ τοῦτό ἐστι· τότε γὰρ σὺ τῶν σωματικῶν ἔχρῄζες σημείων, νῦν δὲ οὐ χρεία τούτων. Ἀπὸ γὰρ τῆς πίστεως, φησίν,

τμητων, ὄχι γιατί εἶναι ἀπερίτμητος, ἄν καί βέβαια δικαιώθηκε ὅταν ἦταν ἀπερίτμητος, ἀλλά γιατί μιμήθηκαν τήν πίστη του, πολύ περισσότερο δέ θά εἶναι πρόγονος ὅσων ἔχουν περιτμηθεῖ ἐξ αἰτίας τῆς περιτομῆς, ἐκτός ἐάν προστεθεῖ καί ἡ πίστη. Γιατί ἔλαβε τήν περιτομή, ὥστε καί οἱ δύο, λέγει, νά τόν ἔχουμε πρόγονο, καί οἱ ἀπερίτμητοι νά μήν περιφρονήσουν τούς περιτμημένους.

Βλέπεις πῶς αὐτοί τόν εἶχαν πρῶτοι προπάτορα; Ἀφοῦ ὅμως ἡ περιτομή εἶναι σπουδαῖο πράγμα, γιατί ἀναγγέλλει τή δικαιοσύνη, ἔχει καί ἡ ἀκροβυστία μεγάλη ἀξία, ἀφοῦ τή δέχτηκε πρίν ἀπό τήν περιτομή. Τότε λοιπόν θά μπορέσεις νά ἔχεις προπάτορα αὐτόν, ὅταν ἀκολουθήσεις τά ἀχνάρια τῆς πίστης του, χωρίς νά φιλονικῆς καί νά ἐπαναστατεῖς, ὅταν μιλᾶς γιά τό νόμο. Πές μου, ποιᾶς πίστης; «Ἐκείνης πού ἔδειξε, ὅταν ἦταν στήν κατάσταση τῆς ἀκροβυστίας». Πάλι συγκρατάει τήν ἀλαζονεία τῶν Ἰουδαίων, θυμίζοντας τό χρόνο τῆς δικαιοσύνης. Καί καλά εἶπε, «Τά ἀχνάρια», γιά νά πιστέψεις ὅμοια μ' ἐκεῖνον στήν ἀνάσταση τῶν νεκρῶν σωμάτων. Γιατί καί ἐκεῖνος γι' αὐτό ἔδειξε τήν πίστη. Ἑπομένως, ἐάν ἀπορρίπτεις τήν ἀκροβυστία, μάθαινε καλά, πώς κανένα κέρδος δέν ὑπάρχει γιά σένα οὔτε ἀπό τήν περιτομή. Ἄν λοιπόν δέν ἀκολουθήσεις τά ἀχνάρια τῆς πίστης, καί ἄν ἀκόμη χίλιες φορές ἔχεις περιτμηθεῖ, δέ θά εἶσαι ἀπόγονος τοῦ Ἀβραάμ, ἀφοῦ καί τήν περιτομή γι' αὐτό τήν ἔλαβε, γιά νά μή σέ ἀπορρίψει ὁ ἀπερίτμητος. Νά μήν ἀπαιτεῖς λοιπόν καί ἀπό ἐκεῖνον αὐτό, γιατί γιά σένα τό πράγμα ἔγινε βοήθεια, ὄχι γιά ἐκεῖνον.

Ὅμως ἡ περιτομή, λέγει, εἶναι σημάδι δικαιοσύνης. Καί αὐτό ἔγινε γιά σένα, ἀφοῦ τώρα οὔτε αὐτό ὑπάρχει. Γιατί τότε χρειαζόσουν ἐσύ τά σωματικά σημάδια, τώρα ὅμως δέν ὑπάρχει

οὐκ ἦν δυνατὸν αὐτοῦ καταμαθεῖν τῆς ψυχῆς τὴν ἀρετήν; Δυνατὸν μὲν ἦν, σὺ δὲ καὶ ταύτης ἔχρῃζες τῆς προσθήκης. Ἐπειδὴ γὰρ τῆς ψυχῆς τὴν ἀρετὴν οὐκ ἐζήλωσας οὐδὲ ἰδεῖν ἠδυνήθης, ἐδόθη σοι ἡ αἰσθητὴ περιτομή, ἵνα, ἐμμελετήσας τῷ σωματικῷ τούτῳ, κατὰ μικρὸν χειραγωγηθῇς καὶ ἐπὶ τὴν τῆς ψυχῆς φιλοσοφίαν, καὶ μετὰ πολλῆς αὐτὴν ὑποδεξάμενος τῆς σπουδῆς ὡς ἀξίωμα μέγιστον, παιδευθῇς μιμεῖσθαι καὶ αἰδεῖσθαι τὸν πρόγονον. Καὶ τοῦτο οὐκ ἐν περιτομῇ μόνον ὁ Θεὸς κατεσκεύασεν, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, οἷον θυσίαις λέγω καὶ Σάββασι καὶ ἑορταῖς. Ὅτι γὰρ διὰ σὲ περιτομὴν ἔλαβεν, ἄκουσον τῶν ἑξῆς· εἰπὼν γάρ, ὅτι σημεῖον ἔλαβε καὶ σφραγῖδα, καὶ τὴν αἰτίαν τίθησι, λέγων· «Εἰς τὸ γενέσθαι αὐτὸν πατέρα περιτομῆς», τούτοις τοῖς καὶ τὴν νοητὴν προσλαμβάνουσιν· ὡς, ἐὰν ταύτην μόνον ἔχῃς, οὐδέν σοι γενήσεται πλέον.

Σημεῖον γὰρ τότε τοῦτό ἐστιν, ὅταν τὸ πρᾶγμα, οὗ τοῦτό ἐστι σημεῖον, φαίνηται παρὰ σοί, τουτέστιν, ἡ πίστις· ὡς, ἂν μὴ ταύτην ἔχῃς, οὐδὲ τὸ σημεῖον λοιπὸν εἶναι σημεῖον δύναται. Τίνος γὰρ ἔσται σημεῖον, τίνος δὲ σφραγίς, οὐκ ὄντος τοῦ σφραγιζομένου; ὡς ἂν εἰ καὶ βαλάντιον ἐπιδεικνύεις ἡμῖν σφραγῖδα ἔχον, μηδενὸς ἔνδον ἀποκειμένου· ὥστε καταγέλαστος ἡ περιτομή, τῆς πίστεως ἔνδον οὐκ οὔσης. Εἰ γὰρ δικαιοσύνης ἐστὶ σημεῖον, δικαιοσύνην δὲ οὐκ ἔχεις, οὐδὲ σημεῖον ἔχεις. Διὰ γὰρ τοῦτο ἔλαβες σημεῖον, ἵνα τὸ πρᾶγμα ἐπιζητῇς, οὗ τὸ σημεῖον ἔχεις· ὡς, εἴ γε ἔμελλες αὐτὸ χωρὶς τούτου ἐπιζητεῖν, οὐκ ἂν ἐδέησέ σοι τούτου. Οὐ τοῦτο δὲ κηρύττει μόνον ἡ περιτομή, τὴν δικαιοσύνην, ἀλλὰ καὶ τὴν ἐν ἀκροβυστίᾳ δικαιοσύνην. Οὐδὲν

ἀνάγκη γι' αὐτά. 'Από τήν πίστη δηλαδή, λέγει, δέν ἦταν δυνατό νά μάθουμε τήν ἀρετή τῆς ψυχῆς του; Βέβαια ἦταν δυνατό, ἐσύ ὅμως χρειαζόσουν καί τήν προσθήκη αὐτή. Ἐπειδή λοιπόν δέ μιμήθηκες τήν ἀρετή τῆς ψυχῆς οὔτε μπόρεσες νά τή δεῖς, σοῦ δόθηκε ἡ σαρκική περιτομή, ὥστε, ἀφοῦ ἀσκηθεῖς σ' αὐτό τό σωματικό, νά ὁδηγηθεῖς σιγά σιγά καί στή φιλοσοφία τῆς ψυχῆς, καί, ἀφοῦ μέ πολλή προσπάθεια τή δεχθεῖς σάν πολύ μεγάλο ἀξίωμα, νά μιμεῖσαι καί νά σέβεσαι τόν πρόγονο. Καί αὐτό δέν τό ἔκαμε ὁ Θεός μόνο στήν περιτομή, ἀλλά καί σέ ὅλα τά ἄλλα, ὅπως γιά παράδειγμα στίς θυσίες καί τά σάββατα καί τίς ἑορτές. Ὅτι λοιπόν γιά σένα ἔλαβε τήν περιτομή, ἄκουσε τά ἑπόμενα. Γιατί, ἀφοῦ εἶπε, ὅτι ἔλαβε σημάδι καί σφραγίδα, προσθέτει καί τήν αἰτία, λέγοντας· «Γιά νά γίνει αὐτός πατέρας τῆς περιτομῆς», σ' αὐτούς πού δέχονται καί τήν πνευματική περιτομή, ἀφοῦ, ἐάν ἔχεις τήν περιτομή μόνο, δέ θά κερδίσεις τίποτε περισσότερο.

Γιατί τότε ἡ περιτομή εἶναι σημάδι, ὅταν τό πράγμα, γιά τό ὁποῖο αὐτή εἶναι σημάδι, φαίνεται σέ σένα, δηλαδή ἡ πίστη. Ἔτσι, ἄν δέν ἔχεις τήν πίστη, οὔτε τό σημάδι στή συνέχεια μπορεῖ νά εἶναι σημάδι. Γιατί γιά ποιό πράγμα θά εἶναι σημάδι, καί γιά ποιό θά εἶναι σφραγίδα, ἄν δέν ὑπάρχει αὐτό πού σφραγίζεται; σάν νά μᾶς δείχνεις ἕνα πορτοφόλι πού ἔχει σφραγίδα, ἀλλά δέν ἔχει τίποτε μέσα. Ἑπομένως ἡ περιτομή εἶναι καταγέλαστη, ὅταν δέν ὑπάρχει μέσα ἡ πίστη. Γιατί, ἄν εἶναι σημάδι δικαιοσύνης, σύ ὅμως δέν ἔχεις δικαιοσύνη, οὔτε σημάδι ἔχεις. Γι' αὐτό ἀκριβῶς ἔλαβες τό σημάδι, γιά νά ἐπιζητᾶς τό πράγμα, ἀπό τό ὁποῖο ἔχεις τό σημάδι. Διότι, ἄν βέβαια ἐπρόκειτο νά ἐπιζητᾶς τό πράγμα χωρίς αὐτό, δέ θά σοῦ χρειαζόταν αὐτό. Ἡ περιτομή ὅμως δέν διδάσκει αὐτό μόνο, δηλαδή τή δικαιοσύνη, ἀλλά καί τή δικαιοσύνη στήν κατάσταση τῆς ἀκροβυστίας. Τίποτε λοιπόν ἄλλο δέν διδάσκει ἡ

οὖν ἄλλο κηρύττει ἡ περιτομή, ἀλλ' ὅτι οὐ χρεία περιτομῆς. «Εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις καὶ κατήργηται ἡ ἐπαγγελία».

Ἔδειξεν, ὅτι ἀναγκαία ἡ πίστις, ὅτι πρεσβυτέρα περιτομῆς, ὅτι νόμου ἰσχυροτέρα, ὅτι συνίστησι νόμον. Εἰ γὰρ πάντες ἥμαρτον, ἀναγκαία· εἰ ἀκρόβυστος ὢν ἐδικαιώθη, πρεσβυτέρα· εἰ διὰ νόμου ἐπίγνωσις ἁμαρτίας, χωρὶς δὲ νόμου πεφανέρωται, ἰσχυροτέρα· εἰ μαρτυρεῖται ὑπὸ τοῦ νόμου καὶ τὸν νόμον ἵστησιν, οὐκ ἐναντία, ἀλλὰ φίλη καὶ σύμμαχος. Δείκνυσι πάλιν καὶ ἑτέρωθεν, ὅτι οὐδὲ δυνατὸν ἦν διὰ νόμου τὴν κληρονομίαν λαβεῖν· καὶ παραβαλὼν αὐτὴν τῇ περιτομῇ καὶ λαβὼν τὰ νικητήρια, ἀντεπεξάγει πάλιν αὐτὴν τῷ νόμῳ, οὕτω λέγων· «Εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις». Ἵνα γὰρ μή τις λέγῃ, ὅτι καὶ πίστιν δυνατὸν ἔχειν καὶ νόμον τηρῆσαι, δείκνυσιν ὅτι ἀμήχανον. Ὁ γὰρ ἐχόμενος τοῦ νόμου ὡς σώζοντος, ἀτιμάζει τῆς πίστεως τὴν δύναμιν. Διό φησι, «κεκένωται ἡ πίστις», τουτέστιν, οὐ χρεία τῆς κατὰ χάριν σωτηρίας· οὐδὲ γὰρ δύναται τὴν ἰσχὺν τὴν ἑαυτῆς ἐπιδείξασθαι· «καὶ κατήργηται ἡ ἐπαγγελία». Καὶ γὰρ ὁ Ἰουδαῖος ἴσως ἂν εἴποι· Τί γάρ μοι χρεία πίστεως; Οὐκοῦν, εἰ τοῦτο ἀληθές, μετὰ τῆς πίστεως καὶ τὰ τῆς ἐπαγγελίας ἀνῄρηται.

4. Ὅρα ἐν πᾶσιν αὐτοῖς ἄνωθεν ἀπὸ τοῦ πατριάρχου μαχόμενον. Δείξας γὰρ ἐκεῖθεν τὴν δικαιοσύνην τῇ πίστει συγκεκληρωμένην, δείκνυσι καὶ τὴν ἐπαγγελίαν ὁμοίως. Ἵνα γὰρ μὴ λέγῃ ὁ Ἰουδαῖος, Τί γάρ μοι μέλει, εἰ διὰ πίστεως ἐδικαιώθη Ἀβραάμ; λέγει ὁ Παῦλος, ὅτι οὐδὲ τὸ σοὶ ἐνδιαφέρον, ἡ ἐπαγγε-

περιτομή, παρά ὅτι δέν ὑπάρχει ἀνάγκη περιτομῆς. «Γιατί, ἄν αὐτοί γίνονται ἀπό τό νόμο κληρονόμοι, ἔγινε ἄχρηστη ἡ πίστη καί ἔχει καταργηθεῖ ἡ ὑπόσχεση».

Ἔδειξε, ὅτι ἡ πίστη εἶναι ἀναγκαία, ὅτι εἶναι ἀρχαιότερη ἀπό τήν περιτομή, ὅτι εἶναι ἰσχυρότερη ἀπό τό νόμο, ὅτι διατηρεῖ τό νόμο. Ἐφόσον λοιπόν ὅλοι ἁμάρτησαν εἶναι ἀναγκαία, ἐφόσον δικαιώθηκε ὅταν ἦταν ἀπερίτμητος, εἶναι ἀρχαιότερη· ἐφόσον μέ τό νόμο ἔχει φανερωθεῖ, εἶναι ἰσχυρότερη· ἐφόσον τή βεβαιώνει ὁ νόμος καί διατηρεῖ τό νόμο, δέν εἶναι ἀντίθετη, ἀλλά φίλη καί σύμμαχος. Δείχνει πάλι καί ἀπό ἀλλοῦ, ὅτι δέν ἦταν δυνατό μέ τό νόμο νά λάβουμε τήν κληρονομία. Καί συγκρίνοντάς την μέ τήν περιτομή καί παίρνοντας τά ἔπαθλα τῆς νίκης, τή συγκρίνει πάλι μέ τό νόμο, λέγοντας ἔτσι· «Γιατί, ἄν αὐτοί ἔγιναν ἀπό τό νόμο κληρονόμοι, εἶναι ἄχρηστη ἡ πίστη». Γιά νά μή λέγει λοιπόν κανείς, ὅτι εἶναι δυνατό καί πίστη νά ἔχει και τό νόμο νά τηρήσει, δείχνει ὅτι αὐτό εἶναι ἀδύνατο. Γιατί, ὅποιος στηρίζεται στό νόμο, ὅτι τάχα σώζει, ντροπιάζει τή δύναμη τῆς πίστης. Γι' αὐτό λέγει, «Εἶναι ἄχρηστη ἡ πίστη»· δηλαδή, δέ χρειάζεται ἡ σωτηρία σάν χάρη· οὔτε βέβαια μπορεῖ νά δείξει τή δύναμή της· «καί ἔχει καταργηθεῖ ἡ ὑπόσχεση». Γιατί πραγματικά καί ὁ Ἰουδαῖος ἴσως θά μποροῦσε νά πεῖ· τί λοιπόν μοῦ χρειάζεται ἡ πίστη; Ἐπομένως, ἐάν αὐτό εἶναι ἀλήθεια, μαζί μέ τήν πίστη ἔχει καταργηθεῖ καί ἡ ὑπόσχεση.

4. Πρόσεχε πώς σέ ὅλα τούς μάχεται ἀπό τήν ἀρχή, ἀπό τόν πατριάρχη. Γιατί, ἀφοῦ ἔδειξε ἀπό ἐκεῖ ὅτι ἡ δικαιοσύνη εἶναι ἑνωμένη μέ τήν πίστη, δείχνει ὅτι καί ἡ ὑπόσχεση εἶναι ἑνωμένη μέ τόν ἴδιο τρόπο. Γιά νά μή λέγει λοιπόν ὁ Ἰουδαῖος, τί μέ μέλει ἐμένα, ἄν ἀπό τήν πίστη του δικαιώθηκε ὁ Ἀβραάμ; λέγει ὁ Παῦλος, ὅτι οὔτε ἐκεῖνο πού σ' ἐνδιαφέρει, δηλαδή ἡ ὑπόσχεση τῆς κληρονομίας, μπορεῖ νά πραγματοποιηθεῖ χωρίς αὐ-

λία τῆς κληρονομίας, δύναται εἰς ἔργον ἐλθεῖν ἐκείνης χωρίς, ὃ μάλιστα αὐτοὺς ἐκφοβεῖ. Ποίαν δὲ ἐπαγγελίαν, φησί; Τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου καὶ ἐν αὐτῷ πάντας ἐνευλογεῖσθαι. Καὶ πῶς κατήργηται ἡ ἐπαγγελία αὕτη, φησίν; Ὅτι ὁ νόμος ὀργὴν κατεργάζεται· οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις». Εἰ δὲν ὀργὴν κατεργάζεται καὶ παραβάσει ὑπευθύνους ποιεῖ, εὔδηλον ὅτι καὶ κατάρᾳ· οἱ δὲ κατάρᾳ καὶ τιμωρίᾳ καὶ παραβάσει ὄντες ὑπεύθυνοι, οὗτοι οὐ κληρονομεῖν ἄξιοι, ἀλλὰ τοῦ δίκην διδόναι καὶ ἐκβάλλεσθαι.

Τί οὖν γίνεται; Ἔρχεται ἡ πίστις ἐφελκομένη τῇ χάριτι, ὥστε τὴν ἐπαγγελίαν εἰς ἔργον ἐξελθεῖν. Ὅπου γὰρ χάρις, συγχώρησις, ὅπου δὲ συγχώρησις, οὐδεμία κόλασις· κολάσεως δὲ ἀνῃρημένης καὶ δικαιοσύνης ἐπιγενομένης ἀπὸ τῆς πίστεως, οὐδὲν τὸ κωλῦον κληρονόμους ἡμᾶς γενέσθαι τῆς ἐπαγγελίας τῆς ἀπὸ τῆς πίστεως. «Διὰ τοῦτο οὖν ἐκ πίστεως», φησίν, «ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν τοῦ Θεοῦ παντὶ τῷ σπέρματι, οὐ τῷ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πίστεως Ἀβραάμ, ὅς ἐστι πατὴρ πάντων ἡμῶν». Ὁρᾷς, ὅτι οὐ τὸν νόμον ἵστησι μόνον ἡ πίστις, ἀλλὰ καὶ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐκ ἀφίησι διαπεσεῖν, ὁ δὲ νόμος τοὐναντίον καὶ τὴν πίστιν καταργεῖ παρὰ καιρὸν τηρούμενος, καὶ τὴν ἐπαγγελίαν κωλύει; Διὰ τούτων δείκνυσιν οὐ μόνον οὐ περιττὴν τὴν πίστιν, ἀλλὰ καὶ οὕτως ἀναγκαίαν, ὡς μηδὲ εἶναι ταύτης ἄνευ σωθῆναι. Ὁ μὲν γὰρ νόμος ὀργὴν ποιεῖ (πάντες γὰρ αὐτὸν παρέβησαν), αὕτη δὲ οὐδὲ συστῆναι τὴν ὀργὴν ἀφίησι τὴν ἀρχήν. «Οὗ γὰρ οὐκ ἔστι», φησί, «νόμος, οὐδὲ παράβασις».

τήν, πράγμα πού τούς φοβίζει πάρα πολύ. Ποιά ὅμως ὑπόσχεση, λέγει, ἐννοεῖ; Τό ὅτι εἶναι αὐτός κληρονόμος τοῦ κόσμου καί τό ὅτι μέ αὐτόν θά εὐλογοῦνται ὅλοι. Καί πῶς ἔχει καταργηθεῖ ἡ ὑπόσχεση αὐτή, λέγει· «Γιατί ὁ νόμος προκαλεῖ τήν ὀργή. Ἀντίθετα ὅπου δέν ὑπάρχει νόμος, δέν ὑπάρχει οὔτε παράβαση». Ἐάν ὅμως προκαλεῖ ὀργή καί καθιστᾶ τούς ἀνθρώπους ὑπεύθυνους γιά παραβάσεις, εἶναι ὁλοφάνερο ὅτι καί γιά κατάρα. Ἐκεῖνοι ὅμως πού εἶναι ὑπεύθυνοι γιά κατάρα καί τιμωρία καί παράβαση, αὐτοί δέν εἶναι ἄξιοι νά γίνουν κληρονόμοι, ἀλλά νά τιμωροῦνται καί νά ἀποξενώνονται ἀπό τήν κληρονομία.

Τί λοιπόν γίνεται; Ἔρχεται ἡ πίστη μετά τή χάρη, γιά νά πραγματοποιηθεῖ ἡ ὑπόσχεση. Γιατί, ὅπου ὑπάρχει ἡ χάρη, ὑπάρχει συγχώρηση, καί ὅπου ὑπάρχει συγχώρηση, δέν ὑπάρχει καμιά τιμωρία· ὅταν ὅμως ἔχει καταργηθεῖ ἡ τιμωρία καί ἔρχεται στή συνάχεια ἡ δικαίωση ἀπό τήν πίστη, τίποτε δέν ἐμποδίζει νά γίνουμε κληρονόμοι τῆς ὑπόσχεσης πού προέρχεται ἀπό τήν πίστη. «Γι' αὐτό λοιπόν δίνεται ἀπό τήν πίστη», λέγει, «γιά νά εἶναι δωρεάν, ὥστε ἡ ὑπόσχεση τοῦ Θεοῦ νά πραγματοποιεῖται μέ βεβαιότητα σέ ὅλους τούς ἀπογόνους, ὄχι μόνο σ' ἐκείνους πού μιμήθηκαν τήν πίστη τοῦ Ἀβραάμ, ὁ ὁποῖος εἶναι πατέρας ὅλων μας». Βλέπεις, ὅτι ἡ πίστη δέ στηρίζει μόνο τό νόμο, ἀλλά καί τήν ὑπόσχεση τοῦ Θεοῦ δέν ἀφήνει νά διαψευθεῖ, ἐνῶ ἀντίθετα ὁ νόμος καί τήν πίστη καταργεῖ, ὅταν τηρεῖται σέ ἀκατάλληλο καιρό, καί τήν ὑπόσχεση ἐμποδίζει; Μέ αὐτά δείχνει πώς ἡ πίστη ὄχι μόνο δέν εἶναι περιττή, ἀλλά καί τόσο ἀπαραίτητη, ὥστε χωρίς αὐτή δέν εἶναι δυνατό νά σωθοῦμε. Γιατί ὁ νόμος βέβαια προκαλεῖ ὀργή (ἀφοῦ ὅλοι τόν παρέβηκαν), ἡ πίστη ὅμως δέν ἀφήνει τήν ὀργή νά ἐκδηλώσει τήν ἐξουσία της, «Γιατί ὅπου δέν ὑπάρχει νόμος», λέγει, «δέν ὑπάρχει οὔτε παράβαση».

Εἶδες πῶς οὐ μόνον γενομένην ἀφανίζει τὴν ἁμαρτίαν ἀλλ' οὐδὲ φυῆναι αὐτὴν ἀφίησι; Διὰ τοῦτό φησι, «κατὰ χάριν». Εἰς τὸ τί; Οὐκ εἰς τὸ καταισχυνθῆναι, ἀλλ' «εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι». Διὸ τίθησιν ἐνταῦθα τὰ ἀγαθά, ὅτι καὶ βέβαια τὰ διδόμενα, καὶ παντὶ τῷ σπέρματι, τοὺς ἐξ ἐθνῶν συνεισάγων, καὶ δεικνὺς Ἰουδαίους ἐκτὸς ὄντας, ἂν πρὸς τὴν πίστιν φιλονεικήσωσι. Τοῦτο γὰρ βέβαιον μᾶλλον ἢ ἐκεῖνο· οὐ γὰρ ζημιοῖ ἡ πίστις, μὴ φιλονείκει, ἀλλὰ καὶ κινδυνεύοντά σε ἐκ τοῦ νόμου διασώζει. Εἶτα, ἐπειδὴ εἶπε, «παντὶ τῷ σπέρματι», διορίζει ποίῳ σπέρματι. «Τῷ ἐκ τῆς πίστεως», φησί, συνάπτων τὴν πρὸς τὰ ἔθνη συγγένειεν, καὶ δεικνύς, ὅτι οὐδὲ δύνανται φρονεῖν ἐπὶ τῷ Ἀβραὰμ οἱ μὴ πιστεύοντες ὁμοίως ἐκείνῳ. Ἰδοὺ καὶ τρίτον ἡ πίστις ἄλλο εἰργάσατο· τὴν γὰρ συγγένειαν τὴν πρὸς τὸν δίκαιον ἀκριβεστέραν ἐποίησε καὶ πλειόνων ἐκγόνων ἀπέφηνε πρόγονον· διὸ οὐδὲ ἁπλῶς εἶπεν, «Ἀβραάμ», ἀλλά, «τοῦ πατρὸς ἡμῶν τῶν πιστῶν».

Εἶτα καὶ τῇ μαρτυρίᾳ ἐπισφραγίζων τὸ εἰρημένον, «καθὼς γέγραπται», φησίν, «ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε». Εἶδες ταῦτα ἄνωθεν οἰκονομούμενα; Τί οὖν, φησίν, εἰ περὶ τῶν Ἰσμαηλιτῶν ἢ τῶν Ἀμαληκιτῶν ἢ τῶν Ἀγαρηνῶν ταῦτα λέγει; Τοῦτο μὲν οὖν προϊὼν σαφέστερον δείκνυσιν οὐ περὶ ἐκείνων εἰρημένον· τέως δὲ ἐφ' ἕτερον ἐπείγεται, δι' οὗ καὶ αὐτὸ τοῦτο δείκνυσιν, ὁριζόμενος τῆς τοιαύτης συγγενείας τὸν τρόπον, καὶ μετὰ πολλῆς αὐτὸ τῆς μεγαλονοίας κατασκευάζων. Τί γάρ φησι; «Κατέναντι οὗ ἐπίστευσε Θεοῦ». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὥσπερ ὁ Θεὸς οὐκ ἔστι μερικὸς Θεός, ἀλλὰ πάντων Πα-

3. Γεν. 17,5.

Εἶδες πῶς ὄχι μόνο δέν ἐξαφανίζει τήν ἁμαρτία ὅταν γίνει, ἀλλ' οὔτε τήν ἀφήνει νά γεννηθεῖ; Γι' αὐτό λέγει, «Σάν χάρη». Γιά ποιό πράγμα; Ὄχι γιά νά ντροπιασθοῦμε, ἀλλά, «Γιά νά πραγματοποιεῖται μέ βεβαιότητα ἡ ὑπόσχεση σέ ὅλους τούς ἀπογόνους». Δύο ἀγαθά ἀναφέρει ἐδῶ, ὅτι καί βέβαια εἶναι αὐτά πού δίνονται, καί ὅτι δίνονται σέ ὅλους τούς ἀπογόνους, συγκαταλέγοντας αὐτούς πού προέρχονται ἀπό τούς ἐθνικούς καί ἀποδεικνύοντας πώς οἱ Ἰουδαῖοι βρίσκονται ἔξω, ἄν πολεμήσουν ἐναντίον τῆς πίστης. Γιατί αὐτό εἶναι περισσότερο βέβαιο παρά ἐκεῖνο· μή φιλονικεῖς, γιατί δέ σέ ζημιώνει ἡ πίστη, ἀντίθετα καί ὅταν κινδυνεύεις ἀπό τό νόμο σέ σώζει. Στή συνέχεια ἐπειδή εἶπε, «Σέ ὅλους τούς ἀπογόνους», καθορίζει σέ ποιούς ἀπογόνους. «Σ' ἐκείνους πού μιμήθηκαν τήν πίστη του», λέγει, ἀναφέροντας τή συγγένεια πρός τούς ἐθνικούς καί δείχνοντας πώς δέν μποροῦν νά ὑπερηφανεύονται γιά τόν Ἀβραάμ ὅσοι δέν πιστεύουν ὅμοια μ' ἐκεῖνον. Νά καί ἕνα τρίτο ἔκανε· ἡ πίστη. Δηλαδή ἔκαμε ἀκριβέστερη τή συγγένεια πρός τό δίκαιο Ἀβραάμ καί τόν κατέστησε πρόγονο περισσότερων ἀπογόνων. Γι' αὐτό δέν εἶπε ἁπλά, «Ἀβραάμ», ἀλλά, «τοῦ πατέρα τῶν πιστῶν».

Ἔπειτα ἐπιβεβαιώνοντας αὐτό πού εἶπε καί μέ μαρτυρία, λέγει· «Καθώς εἶναι γραμμένο, ὅτι σέ ἐγκατέστησα πατέρα πολλῶν ἐθνῶν»[3]. Εἶδες πώς αὐτά ρυθμίζονται ἀπό τήν ἀρχή ἀπό τήν πρόνοια τοῦ Θεοῦ; Τί λοιπόν, λέγει, ἄν αὐτά τά λέγει γιά τούς Ἰσμαηλίτες ἤ τούς Ἀμαληκίτες ἤ τούς Ἀγαρηνούς; Αὐτό βέβαια συνεχίζοντας τό δείχνει πιό καθαρά, πώς δηλαδή δέν ἔχει εἰπωθεῖ γι' αὐτούς, ἀλλά πρῶτα βιάζεται νά πάει σέ κάτι ἄλλο, μέ τό ὁποῖο καί αὐτό τό ἴδιο δείχνει, καθορίζοντας τόν τρόπο μιᾶς τέτοιας συγγένειας καί ἀποδείχνοντας αὐτό μέ μεγάλη σύνεση. Τί λοιπόν λέγει; «Ἐνώπιον τοῦ Θεοῦ, στόν ὁποῖο πίστεψε». Αὐτό πού λέγει σημαίνει τό ἑξῆς· ὅπως ἀκριβῶς ὁ

τήρ, οὕτω καὶ αὐτός. Καὶ πάλιν, ὥσπερ ὁ Θεὸς Πατήρ ἐστιν οὐ κατὰ τὴν φυσικὴν συγγένειεν, ἀλλὰ κατ' οἰκείωσιν πίστεως, οὕτω καὶ αὐτός· ἡ γὰρ ὑπακοὴ ποιεῖ πατέρα πάντων ἡμῶν.

Ἐπειδὴ γὰρ οὐδὲν ἐνόμιζον εἶναι ταύτην τὴν συγγένειαν, τὴν παχυτέραν ἐκείνην κατασχόντες, δείκνυσι ταύτην κυριωτέραν, ἐπὶ τὸν Θεὸν τὸν λόγον ἀναγαγών. Καὶ μετὰ τούτων κἀκεῖνο ἐμφαίνει, ὅτι καὶ ἀμοιβὴν τῆς πίστεως ταύτην ἔλαβεν· ὥστε, ἂν μὴ τοῦτο ᾖ, κἂν πάντων ᾖ πατὴρ τῶν τὴν γῆν οἰκούντων, τὸ «κατέναντι» οὐκ ἔχει χώραν, ἀλλ' ἠκρωτηρίασται ἡ τοῦ Θεοῦ δωρεά· τὸ γὰρ κατέναντι, ὁμοίως ἐστί. Ποῦ γὰρ θαυμαστόν, εἰπέ μοι, τῶν ἐξ αὐτοῦ πατέρα εἶναι; Τοῦτο γὰρ ἕκαστος κέκτηται τῶν ἀνθρώπων. Τὸ γὰρ παράδοξον ἐκεῖνό ἐστι, οὓς οὐκ εἶχε ἐκ φύσεως, τούτους ἀπὸ τῆς τοῦ Θεοῦ δωρεᾶς λαβεῖν.

5. Ὥστε, εἰ βούλει πιστεῦσαι, ὅτι ἐτιμήθη ὁ πατριάρχης, πίστευσον, ὅτι πάντων ἐστὶ πατήρ. Εἰπὼν δέ, «κατέναντι οὗ ἐπίστευσε Θεοῦ», οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ καὶ ἐπήγαγε, «τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα», ἤδη τὸν περὶ τῆς ἀναστάσεως προκαταβαλλόμενος λόγον. Καὶ εἰς τὸ προκείμενον δὲ αὐτῷ χρήσιμος ἦν. Εἰ γὰρ δυνατὸν αὐτῷ νεκροὺς ζωοποιῆσαι, καὶ τὰ μὴ ὄντα ὡς ὄντα παραγαγεῖν, δυνατὸν αὐτῷ καὶ τοὺς μὴ τεχθέντας ἐξ αὐτοῦ ποιῆσαι παῖδας αὐτοῦ. Διὰ τοῦτο οὐδὲ εἶπε, καὶ παράγοντος τὰ οὐκ ὄντα ὡς ὄντα, ἀλλά, «καλοῦντος», τὴν πλείονα εὐκολίαν δηλῶν.

4. Ματθ. 5,16.

Θεός δέν εἶναι Θεός γιά μερικούς, ἀλλά πατέρας ὅλων, ἔτσι καί αὐτός. Καί πάλι, ὅπως ἀκριβῶς ὁ Θεός εἶναι πατέρας ὄχι σύμφωνα μέ τή φυσική συγγένεια, ἀλλά σύμφωνα μέ τή συγγένεια τῆς πίστης, ἔτσι καί αὐτός, γιατί ἡ ὑπακοή του τόν κάνει πατέρα ὅλων μας.

Ἐπειδή λοιπόν θεωροῦσαν πώς ἡ συγγένεια αὐτή δέν ἀξίζει τίποτε ἀφοῦ εἶχαν τήν ὑλική ἐκείνη, δείχνει πώς αὐτή εἶναι πιό σπουδαία, φέροντας τό λόγο ψηλά στό Θεό. Καί μαζί μ' αὐτά φανερώνει καί ἐκεῖνο, ὅτι δηλαδή ἔλαβε καί αὐτή τήν ἀμοιβή τῆς πίστης. Ἑπομένως, ἐάν δέν εἶναι αὐτό, καί ἄν ἀκόμη εἶναι πατέρας ὅλων τῶν ἀνθρώπων τῆς γῆς, τό, «Ἐνώπιον», δέν ἔχει θέση, ἀλλ' ἔχει ἀκρωτηριασθεῖ ἡ δωρεά τοῦ Θεοῦ, γιατί τό «Ἐνώπιον», εἶναι τό ἴδιο γιά ὅλους. Ποῦ λοιπόν εἶναι τό θαυμαστό, πές μου, τό νά εἶναι πατέρας ὅσων κατάγονται ἀπ' αὐτόν; γιατί αὐτό τό ἔχει κάθε ἄνθρωπος. Τό παράδοξο λοιπόν ἐκεῖνο εἶναι, ὅσους δέν εἶχε ἀπό τή φύση ἀπογόνους, αὐτούς νά τούς ἀποκτήσει μέ τή χάρη τοῦ Θεοῦ.

5. Ἑπομένως, ἐάν θέλεις νά πιστέψεις πώς τιμήθηκε ὁ πατριάρχης, πίστεψε, ὅτι εἶναι πατέρας ὅλων. Καί ἀφοῦ εἶπε, «Ἐνώπιον τοῦ Θεοῦ στό ὁποῖο πίστεψε», δέ σταμάτησε μέχρις ἐδῶ, ἀλλά καί πρόσθεσε· «Ὁ ὁποῖος δίνει ζωή στούς νεκρούς, καί καλεῖ στήν ὕπαρξη ἐκεῖνα πού δέν ὑπάρχουν», ἀναφέροντας ἤδη ἀπό πρίν τό λόγο γιά τήν ἀνάσταση. Καί στήν περίπτωση αὐτή τοῦ ἦταν χρήσιμος. Γιατί, ἀφοῦ ἦταν δυνατό σ' αὐτόν νά δώσει ζωή στούς νεκρούς, καί ἐκεῖνα πού δέν ὑπάρχουν νά τά φέρει στήν ὕπαρξη, ἦταν δυνατό σ' αὐτόν νά κάμει παιδιά του καί ἐκείνους πού δέ γεννήθηκαν ἀπ' αὐτόν. Γι' αὐτό δέν εἶπε, καί ὁ ὁποῖος φέρει στήν ὕπαρξη ἐκεῖνα πού δέν ὑπάρχουν, ἀλλά, «Ὁ ὁποῖος καλεῖ», φανερώνοντας τήν περισσότερη εὐκολία. Γιατί, ὅπως σ' ἐμᾶς εἶναι εὔκολο νά καλέσομε αὐτά πού

Ὥσπερ γὰρ ἡμῖν εὔκολον τὰ ὄντα καλέσαι, οὕτως αὐτῷ ῥᾴδιον, καὶ πολλῷ ῥᾷον, τὰ μὴ ὄντα ὑποστήσαθαι.

Εἰπὼν δὲ τοῦ Θεοῦ τὴν δωρεὰν μεγάλην οὖσαν καὶ ἄφατον, καὶ περὶ τῆς δυνάμεως αὐτοῦ διαλεχθείς, δείκνυσι καὶ τοῦ Ἀβραὰμ τὴν πίστιν ἀξίαν οὖσαν τῆς δωρεᾶς, ἵνα μὴ νομίσῃς αὐτὸν εἰκῇ τετιμῆσθαι. Καὶ τὸν ἀκροατὴν δὲ ἀναστήσας, ἵνα μὴ θορυβῆται, μηδὲ ἀμφιβάλλῃ ὁ Ἰουδαῖος καὶ λέγῃ, Καὶ πῶς δυνατὸν τοὺς οὐκ ὄντας παῖδας γενέσθαι παῖδας; μετάγει τὸν λόγον ἐπὶ τὸν πατριάρχην, καί φησιν· «ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν, κατὰ τὸ εἰρημένον· οὕτως ἔσται τὸ σπέρμα σου». Πῶς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσε; Παρ' ἐλπίδα τὴν ἀνθρωπίνην, ἐπ' ἐλπίδι τῇ τοῦ Θεοῦ. Δείκνυσι γὰρ καὶ τὸ μεγαλεῖον τοῦ πράγματος, καὶ οὐκ ἀφίησιν ἀπιστηθῆναι τὸ λεγόμενον, ἅπερ ἐναντία ἀλλήλοις ἐστίν, ἀλλ' ἡ πίστις αὐτὰ συνεκέρασεν. Εἰ δὲ περὶ ἐκείνων ἔλεγε τῶν ἐκ τοῦ Ἰσμαήλ, περιττὸς οὗτος ὁ λόγος· ἐκεῖνοι γὰρ οὐ κατὰ πίστιν, ἀλλὰ κατὰ φύσιν ἐτέχθησαν.

Ἀλλὰ καὶ τὸν Ἰσαὰκ εἰς μέσον ἄγει· οὐ γὰρ ὑπὲρ ἐκείνων ἐπίστευσε τῶν ἐθνῶν, ἀλλὰ τοῦ ἀπὸ τῆς στείρας γυναικὸς ἐσομένου. Εἰ τοίνυν μισθός ἐστι τὸ πατέρα πολλῶν ἐθνῶν γενέσθαι, ἐκείνων τῶν ἐθνῶν ὑπὲρ ὧν ἐπίστευσε δῆλον ὅτι. Ἵνα γὰρ μάθῃς, ὅτι περὶ τούτων φησίν, ἄκουσον τῶν ἑξῆς· «Καὶ μὴ ἀσθενήσας τῇ πίστει, οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον, ἑκατονταέτης που ὑπάρχων, καὶ τὴν νέκρωσιν τῆς μήτρας τῆς Σάρρας». Εἶδες πῶς τίθησι καὶ τὰ κωλύματα καὶ τὴν ὑψηλὴν τοῦ δικαίου γνώμην πάντα ὑπερβαίνουσαν; «Παρ' ἐλπίδα», φησί, τὸ ἐπαγγελθέν. Τοῦτο κώλυμα πρῶτον· οὐδὲ γὰρ εἶχεν αὐτὸς ἕτερον Ἀβραὰμ οὕτω λαβόντα παῖδα ἰδεῖν. Οἱ

ὑπάρχουν, ἔτσι εἶναι εὔκολο καί σ' αὐτόν, καί πολύ εὐκολότερο μάλιστα, νά δώσει ὑπόσταση σ' ἐκεῖνα πού δέν ὑπάρχουν.

᾽Αλλ' ἀφοῦ εἶπε ὅτι ἡ δωρεά τοῦ Θεοῦ εἶναι μεγάλη καί ἀνέκφραστη, καί ἀφοῦ μίλησε γιά τήν δύναμή του, δείχνη πώς καί ἡ πίστη τοῦ ᾽Αβραάμ εἶναι ἀντάξια τῆς δωρεᾶς, γιά νά μή νομίσεις ὅτι αὐτός ἔχει τιμηθεῖ στήν τύχη. Καί ἀφοῦ παρότρυνε τόν ἀκροατή, γιά νά μή θορυβεῖται, οὔτε ν' ἀμφιβάλλει ὁ Ἰουδαῖος καί νά λέγει, καί πῶς εἶναι δυνατό αὐτά πού δέν εἶναι παιδιά του νά γίνουν παιδιά του; μεταφέρει τό λόγο στόν πατριάρχη καί λέγει· «Ὁ ὁποῖος χωρίς ἐλπίδα πίστεψε, στηριγμένος στήν ἐλπίδα, στό ὅτι θά γινόταν αὐτός πατέρας πολλῶν ἐθνῶν, σύμφωνα μ' ἐκεῖνο πού τοῦ εἶχε πεῖ ὁ Θεός· τόσο πολλοί θά εἶναι οἱ ἀπόγονοί σου». Πῶς χωρίς ἐλπίδα πίστεψε στηριγμένος στήν ἐλπίδα; Χωρίς τήν ἀνθρώπινη ἐλπίδα, ἀλλά μέ τήν ἐλπίδα στό Θεό. Δείχνει λοιπόν καί τό μεγαλεῖο τοῦ πράγματος καί δέν ἀφήνει νά θεωρηθεῖ ἀναξιόπιστο τό λεγόμενο, πράγματα πού εἶναι ἀντίθετα μεταξύ τους, ἀλλά τά συνένωσε ἡ πίστη. Ἐάν ὅμως μιλοῦσε γιά τούς ἀπογόνους τοῦ Ἰσμαήλ, ἦταν περιττός αὐτός ὁ λόγος. Γιατί ἐκεῖνοι γεννήθηκαν ὄχι κατά πίστη, ἀλλά κατά φύση.

᾽Αλλ' ἀναφέρει καί τόν Ἰσαάκ, γιατί δέν πίστεψε γιά χάρη ἐκείνων τῶν ἐθνῶν, ἀλλά γιά χάρη ἐκείνου πού θά γινόταν ἀπό τή στείρα γυναίκα. ᾽Αφοῦ λοιπόν εἶναι μισθός τό ὅτι ἔγινε πατέρας πολλῶν ἐθνῶν, εἶναι φανερό πώς ἔγινε πατέρας ἐκείνων τῶν ἐθνῶν πού γιά χάρη τους πίστεψε. Γιά νά μάθεις λοιπόν ὅτι γι' αὐτά ὁμιλεῖ, ἄκουσε τά ἑπόμενα· «Καί ἐπειδή δέν κλονίστηκε στήν πίστη του, δέ σκέφτηκε τό σῶμα του πού ἦταν νεκρό, γιατί ἦταν περίπου ἑκατό χρόνων, οὔτε καί τή νέκρωση τῆς μήτρας τῆς Σάρρας». Εἶδες πῶς ἀναφέρει καί τά ἐμπόδια καί τήν ὑψηλή διάθεση τοῦ δικαίου πού ξεπερνάει τά πάντα; Χωρίς

μὲν γὰρ μετ' αὐτόν, εἰς αὐτὸν ἔβλεπον, ἐκεῖνος δὲ εἰς οὐδένα, ἀλλ' εἰς τὸν Θεὸν μόνον· διὸ καὶ «παρ' ἐλπίδα» ἔλεγεν. Εἶτα τὸ σῶμα νενεκρωμένον· δεύτερον τοῦτο· καὶ ἡ νέκρωσις τῆς μήτρας Σάρρας· τοῦτο καὶ τρίτον καὶ τέταρτον.

«Εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ». Οὐδὲ γὰρ ἀπόδειξιν ἔδωκεν, οὔτε σημεῖον ἐποίησεν ὁ Θεός, ἀλλὰ ῥήματα ἦν ψιλὰ μόνον, ἐπαγγελλόμενα ἅπερ ὑπισχνεῖτο ἡ φύσις. Ἀλλ' ὅμως «οὐ διεκρίθη», φησίν. Οὐκ εἶπεν, ὅτι οὐκ ἐπίστευσεν, ἀλλ, «οὐ διεκρίθη»· τουτέστιν, οὐδὲ ἐνεδοίασεν οὐδὲ ἀμφέβαλε, καὶ τοσούτων ὄντων τῶν κωλυμάτων. Ἀπὸ τούτων μανθάνομεν, ὅτι κἂν μυρία ὁ Θεὸς ἀδύνατα ἐπαγγέλληται, μὴ καταδέξηται δὲ ὁ ἀκούων, οὐ τῆς τῶν πραγμάτων φύσεώς ἐστιν ἡ ἀσθένεια, ἀλλὰ τῆς ἀνοίας τῆς τοῦ μὴ δεχομένου. «Ἀλλ' ἐνεδυναμώθη τῇ πίστει». Ὅρα Παύλου φιλοσοφίαν. Ἐπειδὴ γὰρ περὶ τῶν ἐργαζομένων καὶ τῶν πιστευόντων ἦν ὁ λόγος, δείκνυσι τὸν πιστεύοντα ἐργαζόμενον μᾶλλον ἢ ἐκεῖνον, καὶ πλείονος δεόμενον δυνάμεως καὶ πολλῆς τῆς ἰσχύος, καὶ οὐ τὸν τυχόντα ὑπομένοντα πόνον. Καὶ γὰρ ἐξευτέλιζον τὴν πίστιν ὡς οὐκ ἔχουσαν πόνον.

Πρὸς τοῦτο τοίνυν ἱστάμενος δείκνυσιν, ὅτι οὐ μόνον ὁ σωφροσύνην κατορθῶν ἢ ἄλλο τι τῶν τοιούτων, ἀλλὰ καὶ ὁ πίστιν ἐπιδεικνύμενος δυνάμεως δεῖται πλείονος. Ὥσπερ γὰρ ἐκεῖνος χρείαν ἔχει ἰσχύος, ἵνα τοὺς τῆς ἀκολασίας διακρούσηται λογισμούς, οὕτω καὶ οὗτος χρείαν ἔχει δυνατῆς ψυχῆς, ἵνα τὰς τῆς ἀπιστίας ἐξωθήσηται ἐννοίας. Πῶς οὖν ἐγένετο ἰσχυ-

ἐλπίδα, λέγει, αὐτό πού τοῦ ὑποσχέθηκε. Αὐτό ἦταν τό πρῶτο ἐμπόδιο· γιατί αὐτός δέν μποροῦσε νά δεῖ ἄλλον Ἀβραάμ πού νά ἀπέκτησε ἔτσι παιδί. Γιατί οἱ μεταγενέστεροί του ἔβλεπαν σ' αὐτόν, ἐνῶ ἐκεῖνος σέ κανέναν, ἀλλά μόνο στό Θεό· γι' αὐτό καί εἶπε «Χωρίς ἐλπίδα». Ἔπειτα τό σῶμα πού ἦταν νεκρό, δεύτερο ἐμπόδιο αὐτό καί ἡ νέκρωση τῆς μήτρας τῆς Σάρρας· αὐτό καί τρίτο καί τέταρτο ἐμπόδιο.

«Στήν ὑπόσχεση ὅμως τοῦ Θεοῦ δέ διακρίθηκε γιά ἀπιστία». Γιατί οὔτε ἀπόδειξη ἔδωσε ὁ Θεός, οὔτε θαῦμα ἔκαμε , ἀλλ' ἁπλά λόγια ἦταν μόνο, πού ὑπόσχονταν ἐκεῖνα πού δέν ὑποσχόταν ἡ φύση. Ἀλλ' ὅμως «Δέ διακρίθηκε», λέγει. Δέν εἶπε, ὅτι δέν ἀπίστησε, ἀλλά, «Δέ διακρίθηκε γιά ἀπστία». Δηλαδή, οὔτε δίστασε, οὔτε ἀμφέβαλε, ἄν καί ἦταν τόσο πολλά τά ἐμπόδια. Ἀπ' αὐτά μαθαίνομε, ὅτι, καί ἄν ἀκόμη ὁ Θεός δίνει ἄπειρες ἀδύνατες ὑποσχέσεις, δέν τίς δεχθεῖ ὅμως αὐτός πού ἀκούει, ἡ ἀδυναμία δέν ἀνήκει στή φύση τῶν πραγμάτων, ἀλλά στήν ἀνοησία ἐκείνου πού δεν τά δέχεται. «Ἀλλά δυνάμωσε τόν ἑαυτό του στήν πίστη». Βλέπε τή φιλοσοφία τοῦ Παύλου. Ἐπειδή λοιπόν ὁ λόγος ἦταν γιά ἐκείνους πού ἐργάζονται καί γιά ἐκείνους πού πιστεύουν, δείχνει πώς αὐτός πού πιστεύει ἐργάζεται περισσότερο παρά ἐκεῖνος, καί πώς χρειάζεται περισσότερη ἱκανότητα καί πολλή δύναμη, καί πώς δέν ὑπομένει τόν συνηθισμένο κόπο. Γιατί πραγματικά ξευτέλιζαν τήν πίστη ὅτι τάχα δέν ἔχει κόπο.

Σταματώντας λοιπόν γιά τό σκοπό αὐτό δείχνει, ὅτι ὄχι μόνο ἐκεῖνος πού κατορθώνει τή σωφροσύνη ἤ κάτι ἄλλο ἀπό τά παρόμοια, ἀλλά καί ἐκεῖνος πού ἐπιδείχνει πίστη χρειάζεται δύναμη. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνος χρειάζεται δύναμη, γιά νά ἀποκρούσει τούς λογισμούς τῆς ἀκολασίας, ἔτσι καί αὐτός χρειάζεται δυνατή ψυχή, γιά νά ἀπομακρύνει τίς σκέψεις τῆς

ρός; Τῇ πίστει, φησίν, οὐ λογισμοῖς τὸ πρᾶγμα ἐπιτρέψας· ἐπεὶ ἂν κατέπεσε. Πῶς δὲ αὐτὴν τὴν πίστιν κατῴρθωσε; «Δοὺς δόξαν τῷ Θεῷ», φησί, «καὶ πληροφορηθείς, ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι». Ἄρα τὸ μὴ περιεργάζεσθαι, δοξάζειν ἐστὶ τὸν Θεόν, ὥσπερ οὖν τὸ περιεργάζεσθαι, πλημμελεῖν. Εἰ δὲ τὰ κάτω περιεργαζόμενοι καὶ ζητοῦντες οὐ δοξάζομεν, πολλῷ μᾶλλον τὴν τοῦ Δεσπότου γέννησιν πολυπραγμονοῦντες, ὡς ὑβρίζοντες τὰ ἔσχατα πεισόμεθα. Εἰ γὰρ τὸν τύπον τῆς ἀναστάσεως οὐ χρὴ ζητεῖν, πολλῷ μᾶλλον τὰ ἀπόρρητα ἐκεῖνα καὶ φρικτά.

Καὶ οὐκ εἶπε πιστεύσας ἁπλῶς, ἀλλὰ «πληροφορηθείς». Τοιοῦτον γὰρ ἡ πίστις, τῆς ἀπὸ λογισμῶν ἀποδείξεως σαφεστέρα, καὶ μᾶλλον πείθει· οὐ γὰρ ἔστι λογισμὸν ἕτερον ἐπεισελθόντα αὐτῇ διασαλεῦσαι λοιπόν. Ὁ μὲν γὰρ λόγοις πειθόμενος καὶ μεταπεισθῆναι δύναται, ὁ δὲ τῇ πίστει βεβαιούμενος ἀπετείχισε λοιπὸν αὐτοῦ τὴν ἀκοὴν τοῖς λυμαινομένοις αὐτὴν λόγοις. Εἰπὼν τοίνυν, ὅτι ἀπὸ πίστεως ἐδικαιώθη, δείκνυσιν, ὅτι καὶ ἐδόξασε τὸν Θεὸν ἀπὸ τῆς πίστεως, ὃ βίου μάλιστά ἐστιν ἴδιον. «Λαμψάτω γὰρ ὑμῶν τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν οὐρανοῖς». Ἰδοὺ τοῦτο τῆς πίστεως ὂν ἐφάνη. Πάλιν δὲ ὥσπερ τὰ ἔργα δεῖται δυνάμεως, οὕτω καὶ ἡ πίστις. Ἐνταῦθα μὲν γὰρ πολλάκις καὶ τὸ σῶμα μερίζεται τὸν ἱδρῶτα, ἐκεῖ δὲ

ἀπιστίας. Πῶς λοιπόν ἔγινε δυνατός; Μέ τήν πίστη, λέγει, χωρίς ν' ἀφήσει τό πράγμα στούς λογισμούς, γιατί θά ἔχανε τό θάρρος του. Πῶς ὅμως κατόρθωσε αὐτή τήν πίστη; «Δοξάζοντας τό Θεό», λέγει, «καί σχηματίζοντας τήν πεποίθηση, ὅτι ἐκεῖνο πού ὑπόσχεται ὁ Θεός, εἶναι δυνατός καί νά τό ἐκτελέσει». Ἑπομένως τό νά μή ἐξετάζουμε μέ προσοχή, σημαίνει πώς δοξάζομε τό Θεό, ὅπως ἀκριβῶς λοιπόν τό νά ἐξετάζομε, σημαίνει πώς κάνομε ἁμαρτία. Ἐάν ὅμως δέ δοξάζομε, ὅταν περιεργαζόμαστε καί ζητᾶμε τά ἐπίγεια, πολύ περισσότερο, ὅταν ἀσχολούμαστε μέ τή γέννηση τοῦ Κυρίου, θά πάθομε τά χειρότερα, ἐπειδή φερόμαστε μέ ὑβριστικό τρόπο. Γιατί, ἄν δέν πρέπει νά ἐξετάζομε τόν τύπο τῆς ἀνάστασης, πολύ περισσότερο δέν πρέπει νά ἐξετάζομε τά ἀνέκφραστα καί φοβερά ἐκεῖνα πράγματα.

Καί δέν εἶπε ἁπλά πιστεύοντας, ἀλλά «Σχηματίζοντας τήν πεποίθηση». Γιατί τέτοια εἶναι ἡ πίστη, σαφέστερη ἀπό τήν απόδειξη τῶν λογισμῶν, καί περισσότερο πείθει. Γιατί δέν μπορεῖ πλέον ἄλλος λογισμός, εἰσχωρώντας σ' αὐτήν, νά τήν κλονίσει. Γιατί ἐκεῖνος πού πείθεται μέ λόγους, μπορεῖ καί νά ἀλλάξει γνώμη, ἐνῶ ἐκεῖνος πού πείθεται ἀπόλυτα μέ τήν πίστη, ἔφραξε στή συνέχεια μέ τεῖχος τήν ἀκοή του στούς λόγους πού τήν καταστρέφουν. Ἀφοῦ εἶπε λοιπόν, ὅτι δικαιώθηκε ἀπό τήν πίστη, δείχνει ὅτι καί τό Θεό δόξασε ἀπό τήν πίστη, πράγμα πού εἶναι ἰδιαίτερα χαρακτηριστικό γνώρισμα τοῦ σωστοῦ τρόπου ζωῆς. «Ἄς λαμψει λοιπόν τό φῶς τῆς ἀρετῆς σας μπροστά στούς ἀνθρώπους, γιά νά δοῦν τά καλά σας ἔργα καί νά δοξάσουν τόν Πατέρα σας πού εἶναι στούς οὐρανούς»[4]. Νά, αὐτό φάνηκε νά ἀνήκει στήν πίστη. Πάλι ὅμως, ὅπως ἀκριβῶς τά ἔργα χρειάζονται δύναμη, ἔτσι καί ἡ πίστη. Γιατί ἐδῶ πολλές φορές συμμετέχει καί τό σῶμα στήν προσπάθεια, ἐνῶ ἐκεῖ τό κατόρθωμα ἀνήκει μόνο στήν ψυχή. Ἑπομένως ὁ κόπος εἶ-

τῆς ψυχῆς γυμνῆς ἐστι τὸ κατόρθωμα. Ὥστε μείζων ὁ πόνος, ὅταν μηδὲ τὸν διανεμόμενον πρὸς αὐτὴν ἔχῃ τοὺς ἀγῶνας.

6. Εἶδες πῶς πάντα, ἅπερ ἦν ἔργων, ἔδειξε μετὰ πλείονος περιουσίας τῇ πίστει προσόντα, οἷον τὸ καυχᾶσθαι πρὸς τὸν Θεόν, τὸ δυνάμεως δεῖσθαι καὶ πόνου, τὸ δοξάζειν πάλιν τὸν Θεόν; Εἰπὼν δέ, «ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι», δοκεῖ μοι καὶ περὶ τῶν μελλόντων προαναφωνεῖν· οὐ γὰρ τὰ παρόντα ἐπηγγείλατο μόνον, ἀλλὰ καὶ τὰ μέλλοντα· ταῦτα γὰρ τύπος ἐκείνων. Ἄρα ἀσθενοῦς διανοίας τὸ μὴ πιστεύειν, καὶ μικρᾶς καὶ ταλαιπώρου. Ὥστε, ὅταν ἡμῖν ἐγκαλῶσι τὴν πίστιν τινές, ἀντεγκαλῶμεν ἡμεῖς τὴν ἀπιστίαν αὐτοῖς, ὡς ταλαιπώροις καὶ μικροψύχοις καὶ ἀνοήτοις καὶ ἀσθενέσιν καὶ ὄνων οὐδὲν ἄμεινον διακειμένοις. Ὥσπερ γὰρ τὸ πιστεύειν ὑψηλῆς καὶ μεγαλοφυοῦς ψυχῆς, οὕτω τὸ ἀπιστεῖν ἀλογωτάτης καὶ εὐτελοῦς καὶ πρὸς τὴν τῶν κτηνῶν ἄνοιαν κατενηνεγμένης.

Διόπερ ἐκείνους ἀφέντες, τὸν πατριάρχην ζηλώσωμεν, καὶ δοξάσωμεν τὸν Θεόν, καθάπερ ἐκεῖνος ἔδωκεν αὐτῷ δόξαν. Τί δέ ἐστιν, «ἔδωκεν αὐτῷ δόξαν»; Ἐνενόησεν αὐτοῦ τὴν δικαιοσύνην, τὴν ἄπειρον δύναμιν· καὶ τὴν προσήκουσαν περὶ αὐτοῦ ἔννοιαν λαβών, οὕτως ἐπληροφορήθη περὶ τῶν ὑποσχέσεων. Δοξάσωμεν τοίνυν αὐτὸν καὶ ἡμεῖς καὶ διὰ πίστεως καὶ διὰ ἔργων, ἵνα καὶ μισθὸν λάβωμεν τὸ παρ' αὐτοῦ δοξασθῆναι· «τοὺς δοξάζοντας γάρ με δοξάσω», φησί. Καίτοι, εἰ καὶ μηδεὶς ἔκειτο μισθός, αὐτὸ τοῦτο δόξα ἦν τὸ καταξιωθῆναι δοξάσαι Θεόν. Εἰ γὰρ εἰς βασιλέας εὐφημίας λέγοντες ἄνθρωποι αὐτῷ τούτῳ καλλωπίζονται μόνῳ, κἂν μηδὲν ᾖ καρπώσασθαι ἕτερον, ἐννόησον πόσης ἂν εἴη δόξης τὸ δι' ἡμᾶς τὸν Δεσπότην δοξάζε-

---

5. Α' Βασ. 2,30.

ναι μεγαλύτερος, ὅταν δέν ἔχει ἐκεῖνον πού μοιράζονται μαζί της τούς ἀγῶνες.

6. Εἶδες πῶς ὅλα ἐκεῖνα, πού ἦταν ἀποτελέσματα τῶν ἔργων, ἔδειξε ὅτι προστίθενται μέ μεγαλύτερη ἀφθονία στήν πίστη, ὅπως τό νά καυχιέται κανείς ἐνώπιον τοῦ Θεοῦ, τό ὅτι χρειάζεται δύναμη καί κόπος, τό ὅτι δοξάζει πάλι τό Θεό; Μ' αὐτό πού λέγει, «Ὅτι ἐκεῖνο πού ὑπόσχεται, ἔχει τή δυναμη καί νά τό ἐκτελέσει», μοῦ φαίνεται πώς προλέγει καί τά μελλοντικά. Γιατί δέν ὑποσχέθηκε μόνο τά παρόντα, ἀλλά καί τά μελλοντικά, ἀφοῦ αὐτά ἦταν τύπος ἐκείνων. Ἑπομένως ἡ ἀπιστία εἶναι γνώρισμα ψυχῆς ἄρρωστης, μικρῆς καί δυστυχισμένης. Ὥστε, ὅταν μᾶς κατηγοροῦν τήν πίστη μερικοί, ἄς κατηγοροῦμε καί ἐμεῖς τήν ἀπιστία τους, σάν δυστυχισμένους, μικρόψυχους, ἀνόητους, ἄρρωστους καί πού δέν συμπεριφέρονται καθόλου καλύτερα ἀπό τούς ὄνους. Γιατί, ὅπως ἀκριβῶς ἡ πίστη εἶναι γνώρισμα ἀνώτερης καί μεγάλης ψυχῆς, ἔτσι ἡ ἀπιστία εἶναι γνώρισμα ψυχῆς πολύ ἀνόητης καί ἀσήμαντης καί πού ἔχει κατεβεῖ στήν ἀνοησία τῶν ζώων.

Γι' αὐτό λοιπόν, ἀφοῦ ἐγκαταλείψομε ἐκείνους, ἄς μιμηθοῦμε τόν πατριάρχη καί ἄς δοξάσομε τό Θεό, ὅπως ἀκριβῶς τόν δόξασε ἐκεῖνος. Τί ὅμως σημαίνει, τόν δόξασε; Κατανόησε τή δικαιοσύνη του, τήν ἄπειρη δύναμή του, καί, ἀφοῦ κατανόησε τό Θεό ὅπως ἔπρεπε, τότε πληροφορήθηκε γιά τίς ὑποσχέσεις. Ἄς δοξάσομε λοιπόν αὐτόν καί ἐμεῖς καί μέ τήν πίστη καί μέ τά ἔργα, γιά νά λάβομε καί μισθό, τό νά δοξασθοῦμε ἀπ' αὐτόν· γιατί λέγει· «Ἐγώ θά δοξάζω ἐκείνους πού μέ δοξάζουν»[5]. Μολονότι βέβαια καί ἄν ἀκόμη δέν ὑπῆρχε κανένας μισθός αὐτό ἀκριβῶς ἦταν δόξα, τό νά καταξιωθοῦμε νά δοξάσουμε τό Θεό. Διότι, ἐάν οἱ ἄνθρωποι, λέγοντας ἐπαινετικά λόγια στυύς βασιλεῖς, καμαρώνουν μέ αὐτό μόνο, καί ἄν ἀκόμη

σθαι τὸν ἡμέτερον, ὥσπερ οὖν καὶ κολάσεως τὸ ποιεῖν αὐτὸν βλασφημεῖσθαι δι' ἡμᾶς· καίτοι καὶ τοῦτο αὐτὸ τὸ δοξάζεσθαι, δι' ἡμᾶς βούλεται γίνεσθαι· αὐτὸς γὰρ οὐ δεῖται τοῦ πράγματος.

Πόσον γὰρ οἴει τὸ μέσον εἶναι Θεοῦ καὶ ἀνθρώπων; ἆρα ὅσον ἀνθρώπων καὶ σκωλήκων; Ἀλλ' οὐδὲν οὐδέπω εἴρηκα καὶ τοσοῦτον τὸ μέσον θείς· οὐδὲ γὰρ εἰπεῖν δυνατὸν ὅσον. Ἆρ' οὖν θελήσεις σὺ παρὰ σκώληξιν δόξαν ἔχειν μεγάλην καὶ λαμπράν; Οὐδαμῶς. Εἰ τοίνυν ὁ δόξης ἐρῶν σὺ οὐκ ἂν θελήσαις τοῦτο, ὁ τοῦ πάθους ἀπηλλαγμένος τούτου, καὶ τοσοῦτον ἀνώτερος ὤν, πῶς ἂν ἐδεήθη τῆς παρὰ σοῦ δόξης; Ἀλλ' ὅμως καὶ μὴ δεόμενος, φησὶν αὐτῆς ἐφίεσθαι διὰ σέ. Εἰ γὰρ γενέσθαι δοῦλος ὑπέμεινε διὰ σέ, τί θαυμάζεις, εἰ καὶ τῶν ἄλλων ἀντέχεται τῆς αὐτῆς ἕνεκεν ὑποθέσεως; Οὐδὲν γὰρ ἡγεῖται ἀνάξιον ἑαυτοῦ, ὅπερ ἂν πρὸς τὴν σωτηρίαν φέρῃ τὴν ἡμετέραν. Ταῦτα οὖν εἰδότες, φεύγομεν ἁμαρτίαν πᾶσαν, δι' ἧς αὐτὸς βλασφημεῖται. «Ὡς γὰρ ἀπὸ προσώπου ὄφεως», φησί, «φεῦγε ἀπὸ ἁμαρτίας. Ἐὰν προσέλθῃς πρὸς αὐτήν, δήξεταί σε»· οὐδὲ γὰρ αὐτὴ πρὸς ἡμᾶς ἔρχεται, ἀλλ' ἡμεῖς πρὸς αὐτὴν αὐτομολοῦμεν.

Ὁ γὰρ Θεὸς καὶ τοῦτο κατεσκεύασεν ὥστε μὴ τυραννίδι περιγίνεσθαι τὸν διάβολον· ἢ γὰρ ἂν οὐδεὶς ἔστη πρὸς τὴν ἰσχὺν ἐκείνου. Διὰ τοῦτον αὐτὸν ἀπῴκισεν ὥσπερ λῃστήν τινα καὶ τύραννον· κἂν μή τινα λάβῃ γυμνὸν καὶ ἔρημον εἰς τὰς αὐτοῦ καταδύσεις, οὐ τολμᾷ ἐπελθεῖν· ἂν μὴ τὴν ἔρημον ὁδεύοντας

---

6. Σοφ. Σειρὰχ 21,2.

δέν ὑπάρχει τίποτε ἄλλο νά κερδίσουν, σκέψου πόση δόξα μπορεῖ νά εἶναι τό νά δοξάζεται μέ μᾶς ὁ δικός μας Κύριος, ὅπως ἀκριβῶς καί πόση τιμωρία μπορεῖ νά εἶναι τό νά βλασφημεῖται ἐξ αἰτίας μας. Ἄν καί βέβαια καί αὐτήν ἀκριβῶς τή δόξα τή θέλει νά γίνεται γιά μᾶς, γιατί αὐτός δέν ἔχει ἀνάγκη ἀπ' αὐτήν.

Πόση λοιπόν νομίζεις πώς εἶναι ἡ διαφορά μεταξύ Θεοῦ καί ἀνθρώπων; μήπως ὅση μεταξύ ἀνθρώπων καί σκουληκιῶν; Ἀλλά τίποτε δέν ἔχω πεῖ ἀκόμη, ἄν καί ὑπολόγισα τόσο μεγάλη τήν διαφορά, γιατί δέν εἶναι δυνατό νά πεῖ κανείς πόση εἶναι. Ἄραγε λοιπόν θά θελήσεις νά ἔχεις μεγάλη καί λαμπρή δόξα ἀπό τά σκουλήκια; Καθόλου. Ἐάν λοιπόν ἐσύ, πού ἐπιθυμεῖς τόσο πολύ τή δόξα, δέ θά τό θελήσεις αὐτό, ἐκεῖνος πού εἶναι ἀπαλλαγμένος ἀπό τό πάθος αὐτό καί πού εἶναι τόσο ἀνώτερος, πῶς θά χρειαζόταν τή δόξα ἀπό σένα; Ἀλλ' ὅμως καί ἄν ἀκόμη δέν τήν χρειάζεται, λέγει πώς τήν ἐπιθυμεῖ γιά σένα. Γιατί, ἄν δέχτηκε νά γίνει δοῦλος γιά σένα, τί ἀπορεῖς, ἐάν ὑπομένει καί τά ἄλλα ἐξ αἰτίας τῆς ἴδιας αἰτίας; Γιατί τίποτε δέ θεωρεῖ ἀνάξιο τοῦ ἑαυτοῦ του, πού μπορεῖ νά ὁδηγήσει πρός τή δική μας σωτηρία. Γνωρίζοντας λοιπόν αὐτά, ἄς ἀποφεύγουμε κάθε ἁμαρτία, μέ τήν ὁποία βλασφημεῖται αὐτός. «Ὅπως ἀποφεύγεις τό φίδι», λέγει, «ἔτσι ν' ἀποφεύγεις τήν ἁμαρτία. Γιατί, ἄν τήν πλησιάσεις, θά σέ δαγκώσει»[6]. Γιατί δέν ἔρχεται αὐτή σ' ἐμᾶς, ἀλλ' ἐμεῖς πηγαίνουμε σ' αὐτήν μόνοι μας.

Ὁ Θεός λοιπόν ἔκαμε καί αὐτό, ὥστε νά μή νικάει ὁ διάβολος μέ τήν ἐξουσία, γιατί πραγματικά κανείς δέ θά μποροῦσε νά ἀντισταθεῖ στή δύναμή του. Γι' αὐτό τόν ἀπομάκρυνε σάν κάποιο ληστή καί τύραννο. Καί ἄν δέ βρεῖ κάποιο γυμνό καί ἔρημο στούς κρυψῶνες του, δέν τολμάει νά ἐπιτεθεῖ ἐναντίον του. Ἄν δέ μᾶς δεῖ νά βαδίζουμε τήν ἔρημο, δέν ἔχει

ἡμᾶς ἴδῃ, οὐ θαρρεῖ προσελθεῖν· ἔρημος δὲ καὶ διαβόλου τόπος οὐδὲν ἕτερον ἢ ἡ ἁμαρτία. Δεῖ τοίνυν ἡμῖν τοῦ θυρεοῦ τῆς πίστεως, τῆς περικεφαλαίας τοῦ σωτηρίου, τῆς μαχαίρας τοῦ πνεύματος· οὐχ ἵνα μὴ πάθωμεν μόνον κακῶς, ἀλλ' ἵνα, κἂν ἐπιπηδῆσαι θελήσῃ, τὴν κεφαλὴν ἀποτέμωμεν ἐκείνου· δεῖ συνεχῶν ἡμῖν εὐχῶν, ἵνα συντριβῇ ὑπὸ τοὺς πόδας ἡμῶν. Ἀναίσχυντος γάρ ἐστι καὶ μιαρός, καὶ ταῦτα κάτωθεν μαχόμενος· ἀλλ' ὅμως καὶ οὕτω νικᾷ. Τὸ δὲ αἴτιον, ὅτι οὐ σπουδάζομεν ἡμεῖς ὑψηλότεροι τῶν ἐκείνου γενέσθαι πληγῶν· οὐδὲ γὰρ οἷός τέ ἐστιν ἐπαρθῆναι μέγα, ἀλλὰ κάτω σύρεται. Καὶ τούτου τύπος ὁ ὄφις. Εἰ δὲ ἐξ ἀρχῆς οὕτως αὐτὸν ἔταξεν ὁ Θεός, πολλῷ μᾶλλον νῦν.

Εἰ δὲ ἀγνοεῖς τί ποτέ ἐστι τὸ κάτωθεν μάχεσθαι, ἐγώ σοι καὶ ἑρμηνεῦσαι τοῦ πολέμου τούτου τὸν τρόπον πειράσομαι. Τί ποτ' οὖν ἐστι τὸ κάτωθεν μάχεσθαι; Τὸ ἀπὸ τῶν κάτω πυκτεύειν πραγμάτων, ἀπὸ τῆς ἡδονῆς, ἀπὸ τοῦ πλούτου, ἀπὸ τῶν βιωτικῶν ἁπάντων. Διὰ τοῦτο, ἂν ἴδῃ τινὰ πρὸς τὸν οὐρανὸν πετόμενον, πρῶτον μὲν οὐδὲ ἐπιπηδῆσαι πρὸς αὐτὸν δυνήσεται· δεύτερον δέ, κἂν ἐπιχειρήσῃ, ταχέως πεσεῖται· οὐ γὰρ ἔχει πόδας, μὴ φοβηθῇς· οὐκ ἔχει πτερά, μὴ δείσῃς· ἐπὶ τῆς γῆς σύρεται καὶ τοῖς ἐν τῇ γῇ πράγμασιν. Μηδὲν οὖν σοι πρὸς τὴν γῆν ἔστω κοινόν, καὶ οὐδὲν πόνου δεήσει. Οὐδὲ γὰρ οἶδε τὴν ἐξ ἐναντίας μάχην, ἀλλ' ὥσπερ ὄφις ταῖς ἀκάνθαις ἐγκρύπτεται τῇ ἀπάτῃ τοῦ πλούτου συνεχῶς ἐμφωλεύων. Κἂν ἐκτέμῃς τὰς ἀκάνθας, φεύξεται ῥᾳδίως δειλὸς γενόμενος, κἂν ἐπᾴδειν εἰδῇς αὐτῷ τὰς θείας ἐπῳδάς, τρωθήσεται εὐθέως. Εἰσὶ γὰρ ἡμῖν, εἰσὶν ἐπῳδαὶ πνευματικαί, τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ τοῦ σταυροῦ δύναμις. Αὕτη ἡ ἐπῳδὴ οὐχὶ τῶν

θάρρος νά μᾶς πλησιάσει. Ἔρημος ὅμως καί τόπος τοῦ διαβόλου δέν εἶναι τίποτε ἄλλο, παρά ἡ ἁμαρτία. Μᾶς χρειάζεται λοιπόν ἡ ἀσπίδα τῆς σωτηρίας, τό ξίφος τοῦ Πνεύματος, ὄχι μόνο γιά νά μή κακοπαθήσομε, ἀλλά καί γιά νά κόψομε τό κεφάλι του, ἄν θελήσει νά μᾶς ἐπιτεθεῖ. Πρέπει νά προσευχόμαστε συνέχεια, γιά νά συντριβεῖ κάτω ἀπό τά πόδια μας. Γιατί εἶναι ἀδιάντροπος καί ἄχρεῖος, ἄν καί βέβαια ἀγωνίζεται ἀπό κάτω· ἀλλ' ὅμως καί ἔτσι νικάει. Καί ἡ αἰτία εἶναι ὅτι δέν προσπαθοῦμε ἐμεῖς νά βρεθοῦμε πιό ψηλά ἀπό τά κτυπήματά του. Γιατί δέν εἶναι σέ θέση νά σηκωθεῖ πολύ, ἀλλά σέρνεται κάτω. Καί ὁ τύπος τοῦ διαβόλου εἶναι τό φίδι. Καί ἄν ἔτσι τόν ὅρισε ἀπό τήν ἀρχή ὁ Θεός, πολύ περισσότερο τώρα.

Ἐάν ὅμως δέ γνωρίζεις τί τέλος πάντων σημαίνει τό νά μάχεται ἀπό κάτω, θά προσπαθήσω ἐγώ νά σοῦ ἐξηγήσω τόν τρόπο καί τοῦ πολέμου αὐτοῦ. Τί λοιπόν σημαίνει τό νά μάχεται ἀπό κάτω; Τό νά δίνει τά κτυπήματα ἀπό τά πράγματα τῆς γῆς, ἀπό τήν ἡδονή, ἀπό τόν πλοῦτο, ἀπ' ὅλα τά βιοτικά. Γι' αὐτό, ἄν δεῖ κάποιον νά πετάει πρός τόν οὐρανό, πρῶτο δέ θά μπορέσει νά πηδήσει πρός αὐτόν· δεύτερο, καί ἄν ἀκόμη ἐπιχειρήσει, γρήγορα θά πέσει· γιατί δέν ἔχει πόδια, μή φοβηθεῖς· δέν ἔχει φτερά, μήν τρομάξεις· ἐπάνω στή γῆ σέρνεται καί στά πράγματα τῆς γῆς. Ἄς μήν ἔχεις λοιπόν τίποτε κοινό μέ τή γῆ καί δέ θά χρειασθεῖς κόπο. Γιατί δέ γνωρίζει τήν κατά μέτωπο μάχη, ἀλλά σάν τό φίδι κρύβεται στά ἀγκάθια, παραμονεύοντας συνέχεια στήν ἀπάτη τοῦ πλούτου. Καί ἄν κόψεις τά ἀγκάθια, θά φύγει γρήγορα, γιατί εἶναι δειλός, καί ἄν ξέρεις νά μεταχειρίζεσαι πρός αὐτόν τά θεῖα ξόρκια, θά πληγωθεῖ ἀμέσως. Γιατί ὑπάρχουν σ' ἐμᾶς, ὑπάρχουν ξόρκια πνευματικά, τό ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ καί ἡ δύναμη τοῦ σταυροῦ. Αὐτό τό ξόρκι ὄχι μόνο

χηραμῶν ἐξάγει μόνον καὶ εἰς πῦρ ἐμβάλλει τὸν δράκοντα, ἀλλὰ καὶ τραύματα.

7. *Εἰ δὲ καὶ πολλοὶ λέγοντες οὐκ ἰαθησαν, παρὰ τὴν αὐτῶν ὀλιγοπιστίαν, οὐ παρὰ τὴν ἀσθένειαν τοῦ λεχθέντος· ἐπεὶ καὶ τὸν Ἰησοῦν οἱ μὲν ὤθουν καὶ ἔθλιβον καὶ οὐδὲν ἐκέρδανον, ἡ δὲ αἱμορροοῦσα οὐδὲ τοῦ σώματος ἀψαμένη, ἀλλ' αὐτοῦ τοῦ κρασπέδου μόνον, χρονίους ἔστησεν αἱμάτων πηγάς. Τοῦτο τὸ ὄνομα καὶ δαίμοσι φοβερὸν καὶ πάθεσι καὶ νοσήμασι. Τούτῳ τοίνυν καλλωπιζώμεθα, τούτῳ τειχίζωμεν ἑαυτούς. Οὕτω καὶ ὁ Παῦλος ἐγένετο μέγας, καίτοι τῆς αὐτῆς φύσεως ἡμῖν κἀκεῖνος ἦν· ἀλλ' ἡ πίστις αὐτὸν ἄλλον ἀντ' ἄλλου πεποίηκε, καὶ τοσαύτη ἦν ἡ περιουσία, ὡς καὶ τὰ ἱμάτια αὐτοῦ πολλὴν ἔχειν ἰσχύν. Ποίας ἂν οὖν εἴημεν ἀπολογίας ἄξιοι, εἴ γε ἐκείνων μὲν καὶ αἱ σκιαὶ καὶ τὰ ἱμάτια θάνατον ἤλαυνον, ἡμῶν δὲ οὐδὲ αἱ εὐχαὶ τὰ πάθη καταστέλλουσι; Τί οὖν τὸ αἴτιον; Πολλὴ τῆς γνώμης ἡ διαφορα· ὡς τά γε τῆς φύσεως ἴσα καὶ κοινά· καὶ γὰρ ὁμοίως ἡμῖν ἐτέχθη καὶ ἐτράφη, καὶ τὴν γῆν ᾤκησε, καὶ ἀέρα ἀνέπνευσεν, ἀλλὰ τὰ ἄλλα πολὺ μείζων ἡμῶν ἦν καὶ βελτίων, τὸν ζῆλον, τὴν πίστιν, τὴν ἀγάπην.*

Μιμησώμεθα τοίνυν αὐτόν, δῶμεν καὶ δι' ἡμῶν φθέγξασθαι τῷ Χριστῷ· ἐπιθυμεῖ μᾶλλον τοῦτο ἡμῶν αὐτός, καὶ διὰ τοῦτο τὸ ὄργανον κατεσκεύασε τοῦτο, καὶ οὐ θέλει μένειν ἄχρηστον αὐτὸ καὶ ἀργόν, ἀλλ' ἀεὶ μετὰ χεῖρας ἔχειν αὐτὸ βούλεται. Τί τοίνυν οὐ παρασκευάζεις ἕτοιμον αὐτὸ τῇ τοῦ τεχνίτου χειρί,

---

7. Γιὰ τὴ θεραπεία τῆς γυναίκας ποὺ ἔπασχε ἀπὸ αἱμορραγία βλ. Ματθ. 9,20–22 καὶ Λουκᾶ 8,43–48.

8. Βλ. Πράξ. 19,12.

βγάζει τό φίδι ἀπό τή φωλιά του καί τό ρίχνει στή φωτιά, ἀλλά καί τά τραύματα θεραπεύει.

7. Ἐάν ὅμως ὑπάρχουν καί πολλοί πού λέγουν ὅτι δέ θεραπεύτηκαν, αὐτό ἔγινε ἀπό τήν ὀλιγοπιστία τους, ὄχι ἀπό τήν ἀδυναμία ἐκείνου πού ἀναφέραμε. Γιατί καί τόν Ἰησοῦ ἄλλοι τόν ἔσπρωχναν καί τόν συνέθλιβαν ἀπό παντοῦ, καί δέν κέρδιζαν τίποτε, ἡ γυναίκα ὅμως πού ἔπασχε ἀπό αἱμορραγία, χωρίς νά ἀγγίσει τό σῶμα του, ἀλλά μόνο τήν ἄκρη τοῦ ἐνδύματος, σταμάτησε χρόνιες πληγές αἱμάτων[7]. Αὐτό τό ὄνομα εἶναι φοβερό καί στούς δαίμονες καί στά πάθη καί στίς ἀσθένειες. Γιά τό ὄνομα αὐτό λοιπόν ἄς καμαρώνομε, μέ αὐτό ἄς ὀχυρώνομε τόν ἑαυτό μας. Ἔτσι καί ὁ Παῦλος ἔγινε μεγάλος, μολονότι καί ἐκεῖνος εἶχε τήν ἴδια φύση μ' ἐμᾶς, ἀλλά ἡ πίστη τόν ἔκαμε τελείως διαφορετικό, καί τόσο μεγάλη ἦταν ἡ ὑπεροχή τῆς δύναμής του, ὥστε καί τά ἐνδύματά του εἶχαν πολλή δύναμη[8]. Γιά ποιά λοιπόν ἀπολογία μπορεῖ νά εἴμαστε ἄξιοι, ὅταν βέβαια καί οἱ σκιές καί τά ἐνδύματα ἐκείνων ἔδιωχναν τό θάνατο, ἐνῶ οἱ δικές μας προσευχές δέ σταματοῦν οὔτε τά πάθη; Ποιά λοιπόν εἶναι ἡ αἰτία; Εἶναι μεγάλη ἡ διαφορά τῆς διάθεσης· βέβαια τά φυσικά δῶρα εἶναι ἴσα καί κοινά, ἀφοῦ ὅμοια μ' ἐμᾶς καί γεννήθηκε καί μεγάλωσε καί ἔζησε στή γῆ καί ἀνέπνευσε ἀέρα, ἐνῶ στά ἄλλα ἦταν πολύ μεγαλύτερος καί καλύτερος ἀπό μᾶς, δηλαδή στήν προθυμία, στήν πίστη, στήν ἀγάπη.

Ἄς μιμηθοῦμε λοιπόν τόν Παῦλο, ἄς ἐπιτρέψομε στό Χριστό νά μιλήσει καί μ' ἐμᾶς. Τό ἐπιθυμεῖ αὐτό περισσότερο ἀπό μᾶς καί γι' αὐτό ἔκαμε τό ὄργανο αὐτό καί δέ θέλει νά μείνει ἄχρηστο καί ἀργό, ἀλλά πάντοτε θέλει νά τό χρησιμοποιοῦμε. Γιατί λοιπόν δέν τό ἑτοιμάζεις γιά τό χέρι τοῦ τεχνίτη, ἀλλά χαλαρώνεις τίς χορδές καί τίς κάνεις πιό μαλακές μέ τήν

ἀλλὰ χαλᾷς τὰς νευρὰς καὶ μαλακωτέρας ποιεῖς τῇ τρυφῇ καὶ ἄχρηστον ὅλην κατασκευάζεις αὐτῷ τὴν κιθάραν, δέον ἐπισφίγγειν καὶ νευροῦν τὰ μέλη καὶ ἐπιστύφειν τῷ ἅλατι τῷ πνευματικῷ; Ἂν γὰρ οὕτως ἡρμοσμένην αὐτὴν ἴδῃ, ἠχήσει καὶ διὰ τῆς ἡμετέρας ψυχῆς ὁ Χριστός. Τοιούτου δὲ γενομένου, καὶ ἀγγέλους ὄψει σκιρτῶντας καὶ ἀρχαγγέλους καὶ τὰ χερουβίμ. Γενώμεθα ἄξιοι τῶν χειρῶν τῶν ἀμώμων· παρακαλέσωμεν αὐτὸν καὶ εἰς τὴν ἡμετέραν κροῦσαι καρδίαν· μᾶλλον δὲ οὐδὲ παρακλήσεως δεῖται· μόνον ἀξίαν αὐτὴν κατασκεύασον τῆς ἀφῆς ἐκείνης, καὶ αὐτὸς ἐπιδραμεῖταί σοι πρότερος.

Εἰ γὰρ ὑπὲρ τῶν μελλόντων ἐπιτρέχει (οὔπω γὰρ τῷ Παύλῳ τοιούτῳ γεγενημένῳ τὸ ἐγκώμιον ὕφανεν), ὅταν ἀπηρτισμένον ἴδῃ, τί οὐκ ἐργάσεται; Ἂν δὲ Χριστὸς ἠχήσῃ, καὶ τὸ Πνεῦμα ἐπιπτήσεται πάντως, καὶ ἐσόμεθα τοῦ οὐρανου βελτίους, οὐχ ἥλιον ἔχοντες ἐνεστιγμένον τῷ σώματι καὶ σελήνην, ἀλλὰ τὸν ἡλίου καὶ σελήνης καὶ ἀγγέλων Δεσπότην ἐνοικοῦντα καὶ ἐμπεριπατοῦντα ἡμῖν. Ταῦτα δὲ λέγω, οὐχ ἵνα νεκροὺς ἀναστήσωμεν, οὐδὲ λεπροὺς ἵνα καθάρωμεν, ἀλλ' ἵνα τὸ πάντων τούτων σημεῖον μεῖζον ἐπιδειξώμεθα τὴν ἀγάπην. Ὅπου γὰρ ἂν ᾖ τοῦτο τὸ καλόν, εὐθέως καὶ ὁ Υἱὸς ἐφίσταται μετὰ τοῦ Πατρός, καὶ ἡ τοῦ Πνεύματος ἐπιφοιτᾷ χάρις. «Οὗ γὰρ ἐὰν ὦσι», φησί, «δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν». Ὃ πολλῆς διαθέσεώς ἐστι καὶ τῶν σφόδρα φιλούντων, τοὺς φιλουμένους ἑκατέρωθεν ἔχειν.

Καὶ τίς οὕτως ἄθλιος, φησίν, ὡς μὴ βούλεσθαι τὸν Χριστὸν ἔχειν μέσον; Ἡμεῖς οἱ πρὸς ἀλλήλους στασιάζοντες. Καὶ τάχα μου καταγελάσεταί τις καὶ ἐρεῖ· Τί λέγεις; ὁρᾷς πάντας

---

9. Ματθ. 18,20.

ἀπόλαυση, καί κάνεις ἄχρηστη γι' αὐτόν ὅλη τήν κιθάρα, ἐνῶ πρέπει νά σφίγγεις καί νά ἐνισχύεις τά μέλη καί νά τά διατηρεῖς ἔτσι μέ τό πνευματικό ἅλας; Γιατί, ἄν τή δεῖ ἔτσι συναρμολογημένη, θ' ἀκουσθεῖ καί μέσα ἀπό τή δική μας ψυχή ὁ Χριστός. Ὅταν ὅμως γίνει αὐτό, θά δεῖς καί τούς ἀγγέλους καί τούς ἀρχαγγέλους καί τά Χερουβίμ νά σκιρτοῦν ἀπό χαρά. Ἄς γίνομε λοιπόν ἄξιοι γιά τά ἄμωμα χέρια. Ἄς τόν παρακαλέσομε νά κτυπήσει καί στή δική μας καρδιά, ἤ καλύτερα οὔτε παράκληση χρειάζεται· μόνο νά τήν ἑτοιμάσεις ὅπως ἀξίζει στό ἄγγιγμα ἐκεῖνο καί αὐτός θά τρέξει πρῶτος σέ σένα.

Ἐάν λοιπόν γιά χάρη τῶν μελλοντικῶν τρέχει (γιατί ἔπλεκε τό ἐγκώμιο, ἐνῶ ὁ Παῦλος δέν εἶχε γίνει ἀκόμη τέτοιος), ὅταν δεῖ κάποιον νά εἶναι τέλειος, τί δέ θά κάνει; Ἄν ὅμως ἀκουσθεῖ ὁ Χριστός καί τό ἅγιο Πνεῦμα θά πετάξει ὁπωσδήποτε, καί θά γίνομε καλύτεροι ἀπό τόν οὐρανό, ἔχοντας χαραγμένο στό σῶμα μας ὄχι τόν ἥλιο καί τή σελήνη, ἀλλά τόν Κύριο τοῦ ἥλιου καί τῆς σελήνης καί τῶν ἀγγέλων νά κατοικεῖ καί νά περιπατεῖ μέσα μας. Αὐτά ὅμως τά λέγω, ὄχι γιά νά ἀναστήσομε νεκρούς, οὔτε γιά νά καθαρίσομε λεπρούς, ἀλλά γιά νά δείξομε τό μεγαλύτερο θαῦμα ἀπ' ὅλα αὐτά, τήν ἀγάπη. Γιατί, ὅπου ὑπάρχει αὐτό τό καλό, ἀμέσως καί ὁ Υἱός παραβρίσκεται μαζί μέ τόν Πατέρα καί ἡ χάρη τοῦ ἁγίου Πνεύματος κατεβαίνει ἀπό τόν οὐρανό. «Γιατί, ὅπου», λέγει, εἶναι δύο ἤ τρεῖς συγκεντρωμένοι στό δικό μου ὄνομα, ἐκεῖ εἶμαι καί ἐγώ ἀνάμεσά τους»[9]. Αὐτό εἶναι ἀπόδειξη μεγάλης διάθεσης καί γνώρισμα ἐκείνων πού ἀγαποῦν ὑπερβολικά, νά ἔχουν δηλαδή καί ἀπό τίς δύο μεριές τά ἀγαπημένα πρόσωπα.

Καί ποιός, λέγει, εἶναι τόσο ἄθλιος, ὥστε νά μή θέλει νά ἔχει τό Χριστό στή μέση; Ἐμεῖς πού ἐπαναστατοῦμε μεταξύ μας. Καί ἴσως θά μέ περιγελάσει κάποιος καί θά πεῖ· τί λές;

ἡμᾶς ὑπὸ τοῖς αὐτοῖς τείχισιν ὄντας, ὑπὸ τὸν αὐτὸν τῆς ἐκκλησίας σηκόν, ὑπὸ τὴν αὐτὴν μάνδραν μεθ' ὁμονοίας ἑστῶτας, οὐδένα μαχόμενον, ὑπὸ τῷ αὐτῷ ποιμένι κοινῇ βοῶντας, κοινῇ τῶν λεγομένων ἀκροωμένους, κοινῇ τὰς εὐχὰς ἀναπέμποντας, καὶ μάχης μέμνησαι καὶ στάσεως; Μάχης μέμνημαι, καὶ οὐ μαίνομαι οὐδὲ ἐξέστηκα. Ὁρῶ μὲν γὰρ ἃ ὁρῶ, καὶ οἶδα ὅτι ὑπὸ τὸν σηκὸν τὸν αὐτόν ἐσμεν καὶ τὸν ποιμένα· διὰ τοῦτο δὲ μάλιστα θρηνῶ, ὅτι τοσούτων ἡμᾶς συναγόντων πραγμάτων, στασιάζομεν. Καὶ ποίαν στάσιν, φησίν, εἶδες ἐνταῦθα; Ἐνταῦθα μὲν οὐδεμίαν, ἐπειδὰν δὲ διαλυθῶμεν, ὁ δεῖνα τὸν δεῖνα κατηγορεῖ, ἕτερος ὑβρίζει φανερῶς, ἄλλος ἐρᾷ κακῶς, ἄλλος μυρίοις ράπτει δόλους. Καὶ εἰ τὰς ψυχὰς ἡμῶν ἐκκαλῦψαι ἐνῆν, τότε ἂν εἴδετε ταῦτα πάντα ἀκριβῶς καὶ ἔγνωτε ὅτι οὐ μαίνομαι.

8. Οὐχ ὁρᾶτε ἐν τοῖς στρατοπέδοις, ὅτι, εἰρήνης μὲν οὔσης, τὰ ὅπλα ἀποθέμενοι, γυμνοὶ καὶ ἄφρακτοι εἰς τὸ τῶν πολεμίων στρατόπεδον διαβαίνουσιν, ὅταν δὲ φράττωνται ὅπλοις, καὶ φυλακαὶ καὶ προφυλακαὶ καὶ ἄγρυπνοι νύκτες, καὶ πυρὰ καίεται διηνεκής· οὐκέτι εἰρήνη τὸ τοιοῦτον, ἀλλὰ πόλεμος. Τοῦτο καὶ ἐφ' ἡμῶν ἔστιν ἰδεῖν· καὶ γὰρ ἀλλήλους φυλαττόμεθα καὶ δεδοίκαμεν καὶ πρὸς τὸ οὖς ἕκαστος τῷ πλησίον διαλεγόμεθα, κἂν παραγενόμενον ἕτερον ἴδωμεν, σιγῶμεν καὶ ἐκ τοῦ μέσου συστέλλομεν ἅπαντα, ὅπερ οὐκ ἔστι θαρρούντων, ἀλλὰ σφόδρα φυλαττομένων. Ἀλλὰ ταῦτα ποιοῦμεν, φησίν, οὐχ ὥστε ἀδικῆσαι, ἀλλ' ὥστε μὴ ἀδικηθῆναι. Διὰ τοῦτο πενθῶ, ὅτι μεταξὺ ζῶντας ἀδελφῶν, φυλακῆς δεόμεθα πρὸς τὸ μὴ ἀδικηθῆναι,

βλέπεις ὅτι ὅλοι μας βρισκόμαστε κάτω ἀπό τά ἴδια τείχη, κάτω ἀπό τήν ἴδια στέγη τῆς Ἐκκλησίας, ὅτι στεκόμαστε μέ ὁμόνοια μέσα στήν ἴδια μάνδρα, ὅτι κανείς δέ μάχεται, ὅτι μαζί μιλᾶμε κάτω ἀπό τόν ἴδιο ποιμένα, ὅτι μαζί ἀκοῦμε τά λεγόμενα, ὅτι μαζί ἀναπέμπομε τίς εὐχές, καί θυμᾶσαι μάχη καί ἐπανάσταση; Θυμᾶμαι μάχη καί δέν εἶμαι παράφρονας οὔτε ἔχασα τά λογικά μου. Γιατί βλεπω βέβαια αὐτά πού βλέπω καί ξέρω πώς βρισκόμαστε κάτω ἀπό τόν ἴδιο ναό καί τόν ἴδιο ποιμένα· γι' αὐτό ὅμως κυρίως θρηνῶ, ἐπειδή φιλονικοῦμε ἐνῶ μᾶς ἑνώνουν τόσα πράγματα. Καί ποιά φιλονικία, λέγει, εἶδες ἐδῶ; Ἐδῶ βέβαια καμία, ὅταν ὅμως διαλυθοῦμε, ὁ τάδε κατηγορεῖ τόν τάδε, ἄλλος βρίζει φανερά, ἄλλος γίνεται φθονερός καί πλεονέκτης καί ἅρπαγας, ἄλλος χρησιμοποιεῖ βία, ἄλλος ἀγαπάει μέ κακό τρόπο, καί ἄλλος πλέκει ἄπειρες μηχανορραφίες. Καί ἄν ἦταν δυνατό νά ξεσκεπάσομε τίς ψυχές μας, τότε θά μπορούσατε νά δεῖτε ὅλα αὐτά μέ ἀκρίβεια, καί θά γνωρίζατε ὅτι δέν εἶμαι παράφρονας.

8. Δέ βλέπετε τούς στρατιῶτες, πώς, ὅταν εἶναι εἰρήνη, παρατώντας τά ὅπλα, περνοῦν στό στρατόπεδο τῶν ἐχθρῶν γυμνοί καί ἄοπλοι, ἐνῶ ὅταν εἶναι ὁπλισμένοι, καί φρουρές ὑπάρχουν καί ἐμπροσθοφυλακές καί ἄγρυπνες νύχτες, καί φωτιά εἶναι ἀναμμένη συνέχεια, πράγμα πού δέν εἶναι καθόλου εἰρήνη, ἀλλά πόλεμος. Αὐτό μπορεῖ νά δεῖ κανείς καί σ' ἐμᾶς. Γιατί καί φυλαγόμαστε ὁ ἕνας ἀπό τόν ἄλλο, καί φοβόμαστε, καί ὁ καθένας μιλάει μέ τόν πλησίον του ψιθυριστά, καί ὅταν δοῦμε νά πλησιάζει ἄλλος, σιωπᾶμε καί ὅλα τά κόβουμε στή μέση, πράγμα πού δέν εἶναι γνώρισμα ἀνθρώπων πού ἔχουν θάρρος, ἀλλ' ἀνθρώπων πού φυλάγονται πάρα πολύ. Ἀλλ' αὐτά τά κάνομε, λέγει, ὄχι γιά ν' ἀδικήσομε, ἀλλά γιά νά μή ἀδικηθοῦμε. Γι' αὐτό πενθῶ, γιατί, ζώντας ἀνάμεσα σέ ἀδελφούς, χρειαζόμαστε προφύλαξη γιά νά μήν ἀδικηθοῦμε, καίον-

καὶ πυρὰ καίομεν τοσαῦτα, καὶ φυλακὰς καὶ προφυλακὰς τίθεμεν. Τὸ δὲ αἴτιον, πολὺ τὸ ψεῦδος, πολὺς ὁ δόλος, πολλὴ τῆς ἀγάπης ἡ ἀναίρεσις, καὶ πόλεμος ἄσπονδος.

Διά τοι τοῦτο πολλοὺς εὕροι τις ἂν Ἕλλησι θαρροῦντας μᾶλλον ἢ Χριστιανοῖς· καίτοι πόσης ἂν εἴη αἰσχύνης ἄξια ταῦτα; πόσων δακρύων, πόσων οἰμωγῶν; Καὶ τί πάθω, φησί; δύστροπός ἐστιν ὁ δεῖνα καὶ μοχθηρός. Καὶ ποῦ τὰ τῆς φιλοσοφίας τῆς σῆς; ποῦ δὲ οἱ νόμοι οἱ ἀποστολικοί, οἱ κελεύοντες ἀλλήλων τὰ βάρη βαστάζειν; Εἰ γὰρ ἀδελφῷ χρήσαθαι οὐκ οἶδας, πότε δυνήσῃ χρήσασθαι ἀλλοτρίῳ καλῶς; Εἰ τὸ μέλος τὸ σὸν οὐκ ἐπίστασαι μεταχειρίσασθαι, πότε τὸ ἔξωθεν ἐπισπάσασθαι δυνήσῃ καὶ συνάψαι ἑαυτῷ; Ἀλλὰ τί πάθω; Σφόδρα δυσχερῶς ἔχω πρὸς δακρύων ἐπιρροήν, ἐπεὶ πηγὰς ἂν ἀφῆκα δαψιλεῖς ἀπὸ τῶν ὀφθαλμῶν, κατὰ τὸν προφήτην ἐκεῖνον, μυρίους πολέμους ἐπὶ τοῦ πεδίου τούτου βλέπων ἐκείνων χαλεπωτέρους. Ὁ μὲν γὰρ βαρβάρους ἐπιόντας ὁρῶν, ἔλεγε, «τὴν κοιλίαν μου ἀλγῶ», ἐγὼ δὲ ὑφ' ἑνὶ στρατηγῷ παραταττομένους βλέπων, εἶτα κατ' ἀλλήλων μέλη, τοὺς μὲν διὰ χρήματα, τοὺς δὲ διὰ δόξαν, τοὺς δὲ ἁπλῶς καὶ εἰκῇ καταγελῶντας καὶ καταχλευάζοντας, καὶ μυρία τραύματα ἀλλήλοις ἐπάγοντας, καὶ νεκροὺς τῶν ἐν πολέμῳ χαλεπωτέρους, καὶ τὸ τῶν ἀδελφῶν ὄνομα ψιλὸν μόνον λοιπὸν ὄν, ουδὲ ἔχω τινὰ ἄξιον τῆς τραγῳδία ταύτης ἐπινοῆσαι θρῆνον.

---

10. Ἰερ. 4,19.

τας τόσες φωτιές, καί τοποθετώντας φρουρές καί ἐμπροσθοφυλακές. Καί ἡ αἰτία εἶναι τό πολύ ψέμα, ὁ πολύς δόλος, ἡ μεγάλη ἔλλειψη τῆς ἀγάπης, καί ὁ ἄσπονδος πόλεμος.

Γι' αὐτό ἀκριβῶς μπορεῖ νά βρεῖ κανείς πολλούς ἀπό τούς εἰδωλολάτρες νά ἔχουν περισσότερο θάρρος, παρά ἀπό τούς Χριστιανούς. Ἄν καί αὐτά πόσης ντροπῆς θά μποροῦσαν νά εἶναι ἄξια; πόσων δακρύων, πόσων θρήνων; Καί τί νά κάνω; λέγει· ὁ τάδε εἶναι δύστροπος καί μοχθηρός. Καί ποῦ εἶναι ἡ δική σου ὑπομονή; ποῦ οἱ ἀποστολικοί νόμοι πού προτρέπουν νά βαστάζομε ὁ ἕνας τά βάρη τοῦ ἄλλου; Γιατί, ἄν δέ γνωρίζεις νά συμπεριφέρεσαι σωστά στόν ἀδελφό σου, πότε θά μπορέσεις νά φερθεῖς καλά στό ξένο; ἄν δέν ξέρεις νά χρησιμοποιεῖς τό δικό σου μέλος, πότε θά μπορέσεις νά προσελκύσεις αὐτόν πού εἶναι ἔξω ἀπό τήν Ἐκκλησία καί νά τόν ἑνώσεις μέ τόν ἑαυτό σου; Ἀλλά τί νά κάνω; Δυσκολεύομαι πάρα πολύ νά χύσω δάκρυα, ἐπειδή θά ἄφηνα ἄφθονες πηγές ἀπό τά μάτια μου, σύμφωνα μέ τόν προφήτη ἐκεῖνο, βλέποντας στό πεδίο αὐτό ἄπειρους πολέμους πιό φοβερούς ἀπό ἐκείνους. Γιατί ἐκεῖνος, βλέποντας τούς ἐχθρούς νά κάνουν ἐπίθεση, ἔλεγε, «Πονοῦν τά σπλάχνα μου»[10], ἐνῶ ἐγώ, βλέποντας νά εἶστε παραταγμένοι κάτω ἀπό ἕνα στρατηγό, καί στή συνέχεια νά ἐπαναστατεῖτε ὁ ἕνας ἐναντίον τοῦ ἄλλου, καί νά τρώγετε καί νά κατασπαράζετε ὁ ἕνας τά μέλη τοῦ ἄλλου, ἄλλοι γιά χρήματα, ἄλλοι γιά δόξα, καί ἄλλοι ἁπλά καί χωρίς λόγο νά περιγελοῦν καί νά χλευάζουν, καί νά προκαλεῖτε ἔτσι πάρα πολλά τραύματα μεταξύ σας, καί νεκρούς πιό φοβερούς ἀπό τούς νεκρούς τοῦ πολέμου, καί τό ὄνομα τῶν ἀδελφῶν νά εἶναι πιά ἕνα ἁπλό μόνο ὄνομα, δέν μπορῶ νά σκεφθῶ κάποιο θρῆνο ἄξιο τῆς τραγωδίας αὐτῆς.

Αἰδέσθητε τοίνυν, αἰδέσθητε τὴν τράπεζαν ταύτην, ἧς κοινωνοῦμεν ἅπαντες, τὸν δι' ἡμᾶς σφαγέντα Χριστόν, τὸ θῦμα τὸ ἐπ' αὐτῆς κείμενον. Λῃσταὶ κοινωνοῦντες ἁλῶν, οὐκέτι εἰσὶ λῃσταὶ πρὸς οὓς ἂν κοινωνήσωσιν, ἀλλὰ μεταβάλλει τὸν τρόπον ἡ τράπεζα, καὶ τοὺς τῶν θηρίων ἀγριωτέρους προβάτων ἡμερωτέρους ποιεῖ, ἡμεῖς δὲ τοιαύτης τραπέζης μετέχοντες, τοιαύτης κοινωνοῦντες τροφῆς, ὁπλιζόμεθα κατ' ἀλλήλων, δέον κατὰ τοῦ πᾶσιν ἡμῖν πολεμοῦντος διαβόλου τοῦτο ποιεῖν. Διά τοι τοῦτο ἡμεῖς μὲν ἀσθενέστεροι, ἐκεῖνος δὲ ἰσχυρότερος καθ' ἑκάστην γίνεται τὴν ἡμέραν. Οὐ γὰρ μετ' ἀλλήλων φραττόμεθα κατ' ἐκείνου, ἀλλὰ μετ' ἐκείνου κατ' ἀλλήλων ἱστάμεθα, καὶ αὐτῷ στρατηγῷ πρὸς τὰς τοιαύτας χρώμεθα παρατάξεις, δέον αὐτῷ μόνῳ πολεμεῖν. Νυνὶ δὲ ἐκεῖνον ἀφέντες, κατὰ τῶν ἀδελφῶν τὰ τόξα τείνομεν. Ποῖα τόξα, φησί; Τὰ ἀπὸ γλώττης καὶ στόματος. Οὐδὲ γὰρ ἀκόντια καὶ βέλη μόνον, ἀλλὰ καὶ ῥήματα πολὺ τῶν βελῶν πικρότερα ἐργάζεται τραύματα.

Καὶ πῶς δυνησόμεθα τοῦτον καταλῦσαι τὸν πόλεμον, φησίν; Ἂν ἐννοήσῃς, ὅτι τὸν ἀδελφὸν λέγων κακῶς, βορβόρον ἀπὸ τοῦ στόματός σου προχέεις, ἂν ἐννοήσῃς, ὅτι τὸ μέλος τοῦ Χριστοῦ διαβάλλεις, ὅτι τὰς σάρκας κατεσθίεις τὰς σάς, ὅτι τὸ δικαστήριόν σοι πικρότερον ποιεῖς τὸ φοβερὸν ἐκεῖνο καὶ ἀδέκαστον, ὅτι τὸ βέλος οὐ τὸν πληγέντα, ἀλλὰ σὲ τὸν τοξεύοντα ἀναιρεῖ. Ἀλλ' ἠδίκησέ τι καὶ κακῶς ἐποίησε; Στέναξον, μὴ κακῶς εἴπῃς· δάκρυσον, μὴ διὰ τὴν σὴν ἀδικίαν, ἀλλὰ διὰ τὴν ἀπώλειαν τὴν ἐκείνου, καθὼς καὶ ὁ σὸς Δεσπότης τὸν Ἰούδαν ἐδάκρυσεν, οὐκ ἐπειδὴ αὐτὸς ἐσταυροῦτο, ἀλλ' ἐπειδὴ ἐκεῖνος προεδίδου. Ὕβρισέ σε καὶ ἐλοιδόρησε; Παρακάλεσον τὸν Θεόν, ὥστε ἵλεων αὐτῷ γενέσθαι ταχέως. Ἀδελφός ἐστι σός,

Σεβασθεῖτε λοιπόν, σεβασθεῖτε τό τραπέζι αὐτό, στό ὁποῖο συμμετέχομε ὅλοι, τό Χριστό πού θυσιάστηκε γιά μᾶς, τό θύμα πού βρίσκεται πάνω σ' αὐτό. Ληστές πού τρώγουν ψωμί καί ἁλάτι μέ ἄλλους, δέν εἶναι πιά ληστές γιά ἐκείνους μέ τούς ὁποίους θά φάγουν μαζί, ἀλλά ἀλλάζει τό χαρακτήρα τους τό τραπέζι, καί αὐτούς πού ἦταν πιό ἄγριοι ἀπό τά θηρία τούς κάνει πιό ἥμερους ἀπό τά πρόβατα, ἐνῶ ἐμεῖς, ἄν καί μετέχομε σέ τέτοιο τραπέζι καί τρῶμε τέτοια τροφή, ὁπλιζόμαστε ὁ ἕνας ἐναντίον τοῦ ἄλλου, ἐνῶ ἔπρεπε νά κάνομε αὐτό ἐναντίον τοῦ διαβόλου πού μᾶς πολεμάει ὅλους. Γι' αὐτό ἀκριβῶς ἐμεῖς γινόμαστε καθημερινά πιό ἀδύνατοι, ἐνῶ ἐκεῖνος γίνεται δυνατός. Γιατί δέν ἐνισχυόμαστε μεταξύ μας ἐναντίον του, ἀλλά παρατασσόμαστε μαζί του ὁ ἕνας ἐναντίον τοῦ ἄλλου καί τόν ἔχουμε στρατηγό σ' αὐτές τίς παρατάξεις, ἐνῶ ἔπρεπε μόνο νά τόν πολεμοῦμε. Τώρα ὅμως, ἀφήνοντας αὐτόν, τεντώνουμε τά τόξα ἐναντίον τῶν ἀδελφῶν. Ποιά τόξα; λέγει. Τά τόξα πού βγαίνουν ἀπό τή γλώσσα καί τό στόμα. Γιατί ὄχι μόνο τά ἀκόντια καί τά βέλη, ἀλλά καί τά λόγια προκαλοῦν τραύματα πολύ πιό πικρά ἀπό τά βέλη.

Καί πῶς, λέγει θά μπορέσομε νά τελειώσομε αὐτόν τόν πόλεμο; Ἄν κατανοήσεις, ὅτι, κακολογώντας τόν ἀδελφό σου, βγάζεις βόβορο ἀπό τό στόμα σου, ἄν κατανοήσεις, ὅτι συκοφαντεῖς τό μέλος τοῦ Χριστοῦ, ὅτι κατατρώγεις τίς δικές σου σάρκες, ὅτι κάνεις πιό πικρό γιά σένα ἐκεῖνο τό φοβερό καί ἀδέκαστο δικαστήριο, ὅτι τό βέλος δέ σκοτώνει ἐκεῖνον πού χτυπάει, ἀλλά σένα πού τόξευσες. Ἀλλά σέ ἀδίκησε κάπως καί σοῦ ἔκαμε κακό; Ἀναστέναξε, μήν κακολογήσεις· κλάψε, ὄχι γιά τή δική σου ἀδικία, ἀλλά τή δική του καταστροφή, ὅπως καί ὁ δικός σου Κύριος ἔκλαψε γιά τόν Ἰούδα, ὄχι γιατί σταυρωνόταν, ἀλλά γιατί ἐκεῖνος τόν πρόδινε. Σ' ἔβρισε καί σέ χλεύασε; Παρακάλεσε τό Θεό, γιά νά γίνει γρήγορα εὐσπλαχνι-

ἐπὶ τὴν αὐτὴν ἐκλήθη τράπεζαν. Ἀλλὰ πλέον ἐπεμβαίνει μοι, φησίν. Οὐκοῦν μείζων καὶ πλείων ὁ μισθός. Ταύτῃ μάλιστα τὸ θυμὸν ἀφεῖναι δίκαιον, ἐπειδὴ καιρίαν ἐδέξατο τὴν πληγήν, ἐπειδὴ ἔτρωσεν αὐτὸν ὁ διάβολος.

9. Μὴ τοίνυν ἐπιπλήξῃς καὶ σύ, μηδὲ καταβάλῃς σαυτὸν μετ' ἐκείνου· ἕως μὲν γὰρ ἂν ἕστηκας, δύνασαι κἀκεῖνον διασῶσαι, ἂν δὲ σαυτὸν καταρρήξῃς διὰ τοῦ ἀνθυβρίσαι, τίς ὑμᾶς ἀναστήσει λοιπόν; ἐκεῖνος ὁ τρωθείς; Ἀλλ' οὐ δυνήσεται κείμενος. Ἀλλὰ σὺ ὁ πεσὼν μετ' ἐκείνου; Καὶ πῶς, οὐκ ἀρκέσας σεαυτῷ χεῖρα δοῦναι, ἰσχύσεις ἑτέρῳ; Στῆθι τοίνυν γενναίως, καὶ τὴν ἀσπίδα προβαλλόμενος, καὶ νεκρὸν ὄντα ἕλκυσον ἀπὸ τῆς μάχης τὸν σὸν ἀδελφὸν διὰ τῆς μακροθυμίας. Ἔτρωσεν αὐτὸν ὁ θυμός; Μὴ τρώσῃ καὶ σύ, ἀλλὰ καὶ τὸ πρότερον ἔκβαλε βέλος. Ἂν γὰρ οὕτως ἀλλήλοις ὁμιλῶμεν, ταχέως πάντες ὑγιεῖς ἐσόμεθα· ἂν δὲ κατ' ἀλλήλων ὁπλιζώμεθα, οὐδὲ τοῦ διαβόλου χρεία λοιπὸν πρὸς τὴν ἡμετέραν ἀπώλειαν. Ἅπας μὲν γὰρ ὁ πόλεμος χαλεπός, μάλιστα δὲ ὁ ἐμφύλιος. Οὗτος δὲ καὶ τοῦ ἐμφυλίου χαλεπώτερος, ὅσῳ μείζονα τῆς πολιτείας ἡμῖν τὰ δικαιώματα, μᾶλλον δὲ καὶ τῆς συγγενείας αὐτῆς. Ἀπέκτεινέ ποτε τὸν Ἄβελ ὁ ἀδελφὸς καὶ αἷμα ἐξέχεε συγγενικόν, ἀλλ' οὗτος ἐκείνου παρανομώτερος ὁ φόνος, ὅσῳ καὶ τὰ τῆς ἀγχιστείας μείζω καὶ τὰ τοῦ θανάτου χαλεπώτερα. Ἐκεῖνος μὲν γὰρ τὸ σῶμα ἔτρωσε, σὺ δὲ κατὰ τῆς ψυχῆς τὸ ξίφος ᾐκόνισας. Ἀλλ' ἔπαθες πρῶτος κακῶς; Ἀλλ' οὐ τὸ παθεῖν, ἀλλὰ τὸ ποιῆσαι κακῶς, τοῦτό ἐστι τὸ παθεῖν κακῶς. Σκόπει δέ· ἔσφαξεν ὁ

κός γι' αὐτόν. Εἶναι δικός σου ἀδελφός, γεννήθηκε ἀπό τήν ἴδια μητέρα μ' ἐσένα. Εἶναι δικό σου μέλος, εἶναι καλεσμένος στό ἴδιο τραπέζι. Ἀλλά, λέγει, μέ προσβάλλει περισσότερο. Λοιπόν καί ὁ μισθός σου θά εἶναι μεγαλύτερος καί περισσότερος. Γι' αὐτό μάλιστα εἶναι δίκαιο ν' ἀφήσεις τό θυμό, ἐπειδή δέχτηκε θανάσιμο χτύπημα, ἐπειδή τόν πλήγωσε ὁ διάβολος.

9. Μή λοιπόν τοῦ φέρεις χτύπημα καί ἐσύ, οὔτε νά ρίξεις κάτω τόν ἑαυτό σου μαζί μ' ἐκεῖνον. Γιατί ὅσο θά εἶσαι ὄρθιος, μπορεῖς καί ἐκεῖνον νά σώσεις, ἐάν ὅμως καταστρέψεις τόν ἑαυτό σου, ἀνταποδίδοντας τήν προσβολή, ποιός θά σᾶς σηκώσει στή συνέχεια; Ἐκεῖνος πού πληγώθηκε; Ἀλλά δέ θά μπορέσει ἀφοῦ εἶναι πεσμένος κάτω. Μήπως ἐσύ πού ἔπεσες μαζί του; Καί πῶς, ἀφοῦ δέν μπόρεσες νά βοηθήσεις τόν ἑαυτό σου, θά κατορθώσεις νά βοηθήσεις ἄλλον; Στάσου λοιπόν γενναῖα, καί, προβάλλοντας τήν ἀσπίδα, καί ἐνῶ εἶναι νεκρός, τράβηξε ἀπό τή μάχη τόν ἀδελφό σου μέ τή μακροθυμία. Τόν πλήγωσε ὁ θυμός; Μήν τόν πληγώσεις καί ἐσύ, ἀλλά βγάλε καί τό προηγούμενο βέλος. Γιατί, ἄν συναναστρεφόμαστε ἔτσι μεταξύ μας, γρήγορα ὅλοι θά γίνομε ὑγιεῖς. Ἐάν ὅμως ὁπλιζόμαστε ὁ ἕνας ἐναντίον τοῦ ἄλλου, δέ χρειάζεται στή συνέχεια ὁ διάβολος γιά τή δική μας καταστροφή. Γιατί ὁ πόλεμος γενικά εἶναι φοβερός, καί ἰδιαίτερα ὁ ἐμφύλιος. Αὐτός ὅμως εἶναι πιό φοβερός ἀπό τόν ἐμφύλιο, ὅσο μεγαλύτερα εἶναι τά δικαιώματα ἀπό τή συμπεριφορά μας, ἤ μᾶλλον καί ἀπό τή συγγένειά της. Σκότωσε κάποτε τόν Ἄβελ ὁ ἀδέλφός καί ἔχυσε αἷμα συγγενικό, ἀλλ' αὐτός ὁ φόνος εἶναι τόσο πιό παράνομος ἀπό ἐκεῖνον, ὅσο μεγαλύτερη εἶναι ἡ πνευματική συγγένεια καί φοβερότερος ὁ θάνατος. Γιατί ἐκεῖνος πλήγωσε τό σῶμα, ἐσύ ὅμως ἀκόνισες τό ξίφος ἐναντίον τῆς ψυχῆς. Ἀλλ' ἔπαθες πρῶτος κακό; Ὅμως ὄχι τό νά ἔπαθες κακό, ἀλλά τό νά κάμεις κακό, αὐτό εἶναι πραγματικό κακό πού παθαίνει κανείς. Πρόσεξε ὅμως·

Κάϊν, ἐσφάγη ὁ Ἄβελ· τίς οὖν ἦν ὁ νεκρός; Ὁ μετὰ τὸν θάνατον βοῶν, «φωνή», γάρ, φησί, «τοῦ αἵματος Ἄβελ τοῦ ἀδελφοῦ σου βοᾷ πρός με», ἢ ὁ ἐν τῷ ζῆν τρέμων καὶ δεδοικώς; Οὗτος γάρ, οὗτος νεκροῦ παντὸς ἐλεεινότερος ἦν.

Εἶδες πῶς βέλτιον τὸ ἀδικεῖσθαι, κἂν μέχρι φόνου τις χωρῇ; Μάθε πῶς χεῖρον τὸ ἀδικεῖν, κἂν μέχρις αἵματός τις ἰσχύσῃ. Ἔπληξε καὶ κατέβαλε τὸν ἀδελφὸν ἐκεῖνος, ἀλλ' ὁ μὲν ἐστεφανοῦτο, ὁ δὲ ἐκολάζετο· ἀνῃρέθη καὶ ἐσφάγη παρὰ τὸ δίκαιον ὁ Ἄβελ, ἀλλ' ὁ μὲν τελευτῶν κατηγόρει καὶ ἀνῄρει καὶ ἐχειροῦτο, ὁ δὲ καὶ ζῶν ἐσίγα καὶ ᾐσχύνετο καὶ ἡλίσκετο καὶ τοὐναντίον οὗπερ ἤθελε κατεσκεύαζεν. Ἀνῄρει γάρ, ἐπειδὴ ἀγαπώμενον εἶδε, προσδοκῶν καὶ τῆς ἀγάπης ἐκβάλλειν αὐτόν, ἐπέτεινε δὲ τὸ φίλτρον μειζόνως, καὶ ἀποθανόντα μᾶλλον ὁ Θεὸς αὐτὸν ἐπεζήτει. «Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου;», λέγων. Οὐ γὰρ ἔσβεσας τὸν πόθον τῷ φθόνῳ, ἀλλ' ἀνῆψας μᾶλλον· οὐκ ἠλάττωσας τὴν τιμὴν τῇ σφαγῇ, ἀλλ' ἐπέτεινας πλέον. Πρὸ τούτου μὲν γάρ σοι καὶ ὑπέταξεν αὐτὸν ὁ Θεός, ἐπειδὴ δὲ αὐτὸν ἀνεῖλες, καὶ τετελευτηκώς σε τιμωρήσεται· τοσοῦτον ἐμοὶ παρ' αὐτοῦ τὸ φίλτρον. Τίς οὖν ἦν ὁ καταδικασθείς; ὁ κολάζων ἢ ὁ κολαζόμενος; ὁ τοσαύτης ἀπολαύων παρὰ τῷ Θεῷ τιμῆς ἢ ὁ καινῇ τινι καὶ παραδόξῳ διδόμενος τιμωρίᾳ; Οὐκ ἐφοβήθης αὐτὸν ζῶντα, φησίν· οὐκοῦν φοβήθητι τελευτήσαντα· οὐκ ἔτρεμες μέλλων ἐπάγειν τὸ ξίφος, ληφθήσῃ τρόμῳ μετὰ τὸ ἐκχέαι τὸ αἷμα διηνεκεῖ· ζῶν σοι δοῦλος ἦν καὶ οὐκ ἠνείχου· διὰ τοῦτο τελευτήσας, δεσπότης σοι γέγονε φοβερός.

---

1. Γεν. 4,10. 12. Γεν. 4,9.

ἔσφαξε ὁ Κάιν, σφάγηκε ὁ Ἄβελ· ποιός ἦταν ὁ νεκρός; Ἐκεῖνος πού μετά τό θάνατο φώναζε, «Γιατί τό αἷμα τοῦ ἀδελφοῦ σου Ἄβελ», λέγει, «φωνάζει σ' ἐμένα»[11], ἤ ἐκεῖνος πού στή ζωή του ἔτρεμε καί φοβόταν; Γιατί αὐτός ἦταν πραγματικά πιό ἄθλιος ἀπό κάθε νεκρό.

Εἶδες πῶς εἶναι καλύτερο τό νά ἀδικεῖται κανείς, ἔστω καί ἄν κάποιος φθάνει μέχρι τό φόνο; Μάθε πῶς εἶναι χειρότερο τό νά ἀδικεῖ κανείς, ἔστω καί ἄν κάποιος κατορθώσει νά κάνει φόνο. Χτύπησε καί φόνευσε τόν ἀδελφό του ἐκεῖνος, ἀλλά ὁ ἕνας στεφανωνόταν καί ὁ ἄλλος τιμωροῦνταν. Φονεύθηκε καί σφάγηκε ἀντίθετα ἀπό τό δίκαιο ὁ Ἄβελ, ἀλλ' αὐτός πεθαίνοντας κατηγοροῦσε καί φόνευε καί αἰχμαλώτιζε, ἐνῶ ὁ ἄλλος, ἄν καί ζοῦσε, σιωποῦσε καί ντρεπόταν καί αἰχμαλωτιζόταν, καί προετοίμαζε τό ἀντίθετο ἀπό ἐκεῖνο πού ἤθελε. Γιατί τόν φόνευσε, ἐπειδή τόν εἶδε νά ἀγαπιέται, προσδοκώντας νά τόν ἀπομακρύνει ἀπό τήν ἀγάπη, ὅμως μεγάλωσε πιό πολύ τήν ἀγάπη, καί ὅταν πέθανε τόν ζητοῦσε περισσότερο ὁ Θεός, λέγοντας, «Ποῦ εἶναι ὁ ἀδέλφός σου Ἄβελ;»[12]. Γιατί δέν ἔσβησες τόν πόθο μέ φθόνο, ἀλλά τόν ἄναψες περισσότερο· δέ μείωσες τήν τιμή μέ τήν σφαγή, ἀλλά τήν αὔξησες περισσότερο. Γιατί πρίν ἀπ' αὐτό σ' ἐσένα τόν ὑπέταξε ὁ Θεός· ἐπειδή ὅμως τόν φόνευσες, θά σέ τιμωρήσει ἄν καί ἔχει πεθάνει. Τόσο μεγάλη εἶναι ἡ ἀγάπη του γιά μένα. Ποιός λοιπόν ἦταν ἐκεῖνος πού καταδικάστηκε; ποιός ἐκεῖνος πού τιμωροῦσε ἤ ἐκεῖνος πού τιμωροῦνταν; ἐκεῖνος πού ἀπολάμβανε τόση τιμή ἀπό τό Θεό ἤ ἐκεῖνος πού παραδινόταν σέ κάποια καινούρια καί παράξενη τιμωρία; Δέν τόν φοβήθηκες, λέγει, ὅταν ζοῦσε, νά τόν φοβηθεῖς λοιπόν τώρα πού πέθανε. Δέν ἔτρεμες ὅταν ἐπρόκειτο νά τραβήξεις τό ξίφος, θά σέ καταλάβει διαρκής τρόμος μετά τό χύσιμο τοῦ αἵματος. Ὅταν ζοῦσε ἦταν δοῦλος σου, καί δέν ἄντεχες ἕνα τέτοιο πράγμα, γι' αὐτό, τώρα πού

Ταῦτ' οὖν ἐννοοῦντες, ἀγαπητοί, φύγωμεν φθόνον, σβέσωμεν κακίαν, ἀγάπην ἀντιδιδόντες ἀλλήλοις, ἵνα τὰ ἐκ ταύτης καρπωσώμεθα ἀγαθά, καὶ κατὰ τὸν παρόντα βίον καὶ κατὰ τὴν μέλλουσαν ζωήν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

πέθανε, ἔγινε φοβερός κύριος γιά σένα. Σκεπτόμενοι λοιπόν αὐτά, ἀγαπητοί, ἄς ἀποφεύγουμε τό φθόνο, ἄς σβήσομε τήν κακία, ἀνταποδίδοντας ἀγάπη μεταξύ μας, γιά νά κερδίσομε τά ἀγαθά πού προέρχονται ἀπ' αὐτήν, καί κατά τήν παρούσα ζωή καί κατά τή μέλλουσα, μέ τή χάρη καί φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στόν ὁποῖο ἀνήκει ἡ δόξα καί ἡ δύναμη στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ι'

(Ρωμ. 4,23–5,11)

«Οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ὅτι ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι, τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείροντα Ἰησοῦν τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν».

1. Πολλὰ καὶ μεγάλα περὶ τοῦ Ἀβραὰμ εἰπών, καὶ περὶ τῆς πίστεως αὐτοῦ καὶ τῆς δικαιοσύνης καὶ τῆς παρὰ τοῦ Θεοῦ τιμῆς, ἵνα μὴ λέγῃ ὁ ἀκροατής, Καὶ τί πρὸς ἡμᾶς; ἐκεῖνος γάρ ἐστι ὁ δικαιωθείς, ἵστησιν ἡμᾶς ἐγγὺς τοῦ πατριάρχου πάλιν. Τοσαύτη τῶν πνευματικῶν λόγων ἡ δύναμις. Τὸν γὰρ ἐξ ἐθνῶν, τὸν ἄρτι προσελθόντα, τὸν οὐδὲν ἐργασάμανον, οὐ μόνον τοῦ Ἰουδαίου τοῦ πιστοῦ οὐδὲν ἔφησεν ἔλαττον ἔχειν, ἀλλ' οὐδὲ τοῦ πατριάρχου· μᾶλλον δέ, εἰ χρή τι θαυμαστὸν εἰπεῖν, καὶ πολλῷ πλέον. Τοσαύτη γὰρ ἡμῶν ἡ εὐγένεια, ὡς τὴν ἐκείνου πίστιν τῆς ἡμετέρας τύπον εἶναι. Καὶ οὐκ εἶπεν, εἰ δὲ ἐκείνῳ ἐλογίσθη, εἰκὸς ὅτι καὶ ἡμῖν, ἵνα μὴ ποιήσῃ αὐτὸ συλλογισμόν· ἐξ αὐθεντίας δὲ τῶν θείων φθέγγεται νόμων, καὶ τῆς Γραφῆς ἀπόφασιν αὐτὸ ὅλον ποιεῖ. Διὰ τί γὰρ ἐγράφη, φησίν, ἀλλ' ἢ ἵνα μάθωμεν, ὅτι καὶ ἡμεῖς οὕτω δικαιούμεθα; Τῷ γὰρ αὐτῷ Θεῷ πεπιστεύκαμεν ὑπὲρ τῶν αὐτῶν πραγμάτων, εἰ καὶ μὴ ἐπὶ τῶν αὐτῶν προσώπων.

ΟΜΙΛΙΑ Ι'

(Ρωμ. 4,23 – 5,11)

«Δέ γράφτηκε ὅμως γι' αὐτόν μόνο, ὅτι λογαριάστηκε σ' αὐτόν ἡ πίστη σάν δικαιοσύνη, ἀλλά γράφτηκε καί γιά μᾶς, στούς ὁποίους πρόκειταιι νά λογαριασθεῖ, γιά μᾶς πού πιστεύουμε σ' αὐτόν πού ἀνέστησε τόν Ἰησοῦ τόν Κύριό μας ἀπό τούς νεκρούς».

1. Ἀφοῦ εἶπε πολλά καί μεγάλα γιά τόν Ἀβραάμ, καί γιά τήν πίστη του καί γιά τή δικαιοσαύνη του καί γιά τήν τιμή του ἀπό τό Θεό, γιά νά μή λέγει ὁ ἀκροατής, καί τί σχέση ἔχει αὐτό μέ μᾶς; γιατί ἐκεῖνος εἶναι πού δικαιώθηκε, μᾶς τοποθετεῖ πάλι κοντά στόν πατριάρχη. Τόσο μεγάλη εἶναι ἡ δύναμη τῶν πνευματικῶν λόγων. Γιατί γιά ἐκεῖνον πού προέρχεται ἀπό τούς ἐθνικούς, γιά ἐκεῖνον πού προσῆλθε στήν πίστη πρίν ἀπό λίγο, γιά ἐκεῖνον πού δέν ἔκαμε τίποτε, ὄχι μόνο εἶπε πώς δέν ἔχει τίποτε λιγότερο ἀπό τόν πιστό Ἰουδαῖο, ἀλλά καί ἀπό τόν πατριάρχη. Ἤ καλύτερα, ἄν πρέπει νά ποῦμε κάτι θαυμαστό, ἔχει καί πολύ περισσότερο. Γιατί τόσο εὐγενική εἶναι ἡ καταγωγή μας, ὥστε ἡ πίστη του εἶναι τύπος τῆς δικῆς μας πίστης. Καί δέν εἶπε, ἄν ὅμως λογαριάστηκε σ' ἐκεῖνον, εἶναι φυσικό πώς θά λογαριασθεῖ καί σ' ἐμᾶς, γιά νά μήν κάνει αὐτό συλλογισμό, ἀλλά μιλάει ἀπό τήν αὐθεντία τῶν θείων νόμων καί παρουσιάζει αὐτό ὅλο ἀπόφαση τῆς ἁγίας Γραφῆς. Γιατί λοιπόν, λέγει, γράφτηκε παρά γιά νά μάθουμε, ὅτι καί ἐμεῖς δικαιωνόμαστε ἔτσι; Γιατί στόν ἴδιο Θεό ἔχουμε πιστέψει γιά τά ἴδια πράγματα, ἄν καί ὄχι στά ἴδια πρόσωπα.

Εἰπὼν δὲ τὴν πίστιν ἡμῶν, λέγει καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν τὴν ἄφατον, ἣν ἀεὶ περιστρέφει, τὸν σταυρὸν εἰς μέσον φέρων, ὃ καὶ νῦν ἐδήλωσεν εἰπών· «ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν». Ὅρα πῶς τὴν αἰτίαν εἰπὼν τοῦ θανάτου, τὴν αὐτὴν καὶ ἀπόδειξιν ἀναστάσεως ποιεῖται. Διὰ τί γὰρ ἐσταυρώθη, φησίν; Οὐ δι' οἰκείαν ἁμαρτίαν· καὶ δῆλον ἐκ τῆς ἀναστάσεως. Εἰ γὰρ ἦν ἁμαρτωλός, πῶς ἀνέστη; εἰ δὲ ἀνέστη, εὔδηλον ὅτι ἁμαρτωλὸς οὐκ ἦν· εἰ δὲ ἁμαρτωλὸς οὐκ ἦν, πῶς ἐσταυρώθη; Δι' ἑτέρους. Εἰ δὲ δι' ἑτέρους, πάντως ἀνέστη. Ἵνα γὰρ μὴ λέγῃς, Πῶς τοσούτοις ἁμαρτήμασιν ὄντες ὑπεύθυνοι δυνάμεθα δικαιωθῆναι; ἔδειξε τὸν πάντα ἀπαλείψαντα τὰ ἁμαρτήματα, ἵνα καὶ ἐκ τῆς πίστεως τοῦ Ἀβραάμ, δι' ἧς ἐδικαιώθη, καὶ ἐκ τῆς τοῦ πάθους τοῦ σωτηρίου, δι' οὗ τῶν ἁμαρτημάτων ἀπηλλάγημεν, βεβαιώσῃ τὸν λόγον. Εἰπὼν δὲ αὐτοῦ τὸν θάνατον, λέγει καὶ τὴν ἀνάστασιν. Οὐ γὰρ διὰ τοῦτο ἀπέθανεν, ἵνα ὑπευθύνους ἔχῃ κολάσει καὶ καταδίκους, ἀλλ' ἵνα εὐεργετήσῃ· ἐπὶ τούτῳ γὰρ ἀπέθανε καὶ ἀνέστη, ἵνα δικαίως ἐργάσηται.

«Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχωμεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Τί ἐστιν, «εἰρήνην ἔχωμεν»; Τινὲς μέν φασιν ὅτι, μὴ δὴ στασιάζωμεν φιλονεικοῦντες τὸν νόμον εἰσαγαγεῖν, ἐμοὶ δὲ δοκεῖ περὶ πολιτείας ἡμῖν λοιπὸν διαλέγεσθαι. Ἐπειδὴ γὰρ πολλὰ περὶ πίστεως διαλεχθεὶς καὶ τῆς διὰ τῶν ἔργων δικαιοσύνης, αὐτὴν προὔθηκεν· ἵνα μή τις νομίσῃ ῥᾳθυμίας ὑπόθεσιν εἶναι τὰ λεγόμενα, φησίν· «εἰρήνην ἔχωμεν»· τουτέστι, μηκέτι ἁμαρτάνωμεν, μηδὲ πρὸς τὰ πρότερα ἐπανερχώμεθα· τοῦτο γάρ ἐστι πόλεμον ἔχειν πρὸς τὸν Θεόν. Καὶ πῶς δυνατόν, φησί, τὸ μηκέτι ἁμαρτάνειν; Πῶς τὸ πρότερον ἐγένετο δυνατὸν; Εἰ γὰρ τοσούτων ὄντες ὑπεύθυνοι,

Ἀφοῦ εἶπε ὅμως γιά τήν πίστη μας, ἀναφέρει καί τήν ἀνέκφραστη φιλανθρωπία τοῦ Θεοῦ, πού πάντοτε ἀναφέρει, φέρνοντας στή μέση τό σταυρό, πράγμα πού καί τώρα παρουσίασε λέγοντας· «Ὁ ὁποῖος παραδόθηκε στό θάνατο γιά τά δικά μας ἁμαρτήματα καί ἀναστήθηκε γιά τή δικαίωσή μας». Βλέπε πῶς, ἀφοῦ ἀνέφερε τήν αἰτία τοῦ θανάτου, τήν ἴδια κάνει καί ἀπόδειξη τῆς ἀνάστασης. Γιατί, ἄν ἦταν ἁμαρτωλός, πῶς ἀναστήθηκε; Ἄν ὅμως ἀναστήθηκε, εἶναι ὁλοφάνερο πώς δέν ἦταν ἁμαρτωλός. Ἄν ὅμως δέν ἦταν ἁμαρτωλός, πῶς σταυρώθηκε; Γιά ἄλλους. Ἄν ὅμως σταυρώθηκε γιά ἄλλους, ὁπωσδήποτε ἀναστήθηκε. Γιά νά μή λέγεις λοιπόν, πῶς μποροῦμε νά δικαιωθοῦμε, ἐνῶ εἴμαστε ὑπεύθυνοι γιά τόσα πολλά ἁμαρτήματα; ἔδειξε ἐκεῖνον πού ἐξάλειψε ὅλα τά ἁμαρτήματα, γιά νά ἐπιβεβαιώσει τό λόγο καί ἀπό τήν πίστη τοῦ Ἀβραάμ, μέ τήν ὁποία δικαιώθηκε, καί ἀπό τήν πίστη στό σωτήριο πάθος, μέ τό ὁποῖο ἔχουμε ἀπαλλαγεῖ ἀπό τά ἁμαρτήματα. Ἀφοῦ ἀνέφερε ὅμως τό θάνατό του, ἀναφέρει καί τήν ἀνάσταση. Γιατί δέν πέθανε γι' αὐτό, γιά νά ἔχει ὑπεύθυνους γιά τιμωρία καί κατάδικους, ἀλλά γιά νά εὐεργετήσει. Γι' αὐτό λοιπόν καί πέθανε καί ἀναστήθηκε, γιά νά μᾶς κάνει δικαίους.

«Ἀφοῦ λοιπόν γίναμε δίκαιοι ἀπό τήν πίστη, ἄς ἔχουμε εἰρήνη μέ τό Θεό μέ τή βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ». Τί σημαίνει, «Ἄς ἔχουμε εἰρήνη»; Μερικοί λέγουν νά προβάλομε τό νόμο, ἐμένα ὅμως μοῦ φαίνεται ὅπως μᾶς μιλάει τώρα γιά τή συμπεριφορά. Ἐπειδή λοιπόν εἶπε πολλά γιά τήν πίστη καί τή δικαίωση ἀπό τά ἔργα, αὐτήν πρῶτα ἔβαλε. Γιά νά μή νομίσει κανείς πώς τά λόγια αὐτά εἶναι ὑπόθεση ἀδιαφορίας, λέγει· «Ἄς ἔχουμε εἰρήνη». Δηλαδή, ἄς μήν ἁμαρτάνομε ποτέ πιά, οὔτε νά ἐπιστρέφομε πρός τά προηγούμενα, γιατί αὐτό σημαίνει ὅτι ἔχουμε πόλεμο μέ τό Θεό. Καί πῶς εἶναι δυνατό, λέγει, τό νά μήν ἁμαρτάνομε ποτέ πιά; Πῶς ἔγινε δυνατό τό προηγούμενο; Γιατί ἄν, ἐνῶ ἤμασταν ὑπεύθυνοι γιά τόσα ἁμαρ-

πάντων ἀπηλλάγημεν διὰ τοῦ Χριστοῦ, πολλῷ μᾶλλον ἐν οἷς ἐσμεν μεῖναι δι' αὐτοῦ δυνησόμεθα.

Οὐ γάρ ἐστιν ἴσον μὴ οὖσαν εἰρήνην λαβεῖν, καὶ δοθεῖσαν κατασχεῖν, ἐπειδήπερ ἡ κτῆσις τῆς φυλακῆς χαλεπώτερον· ἀλλ' ὅμως γέγονε τὸ χαλεπώτερον εὔκολον καὶ εἰς ἔργον ἐξέβη. Οὐκοῦν ἔσται καὶ τὸ εὐκολώτερον ἡμῖν εὐκατόρθωτον, ἂν ἐχώμεθα τοῦ καὶ ἐκεῖνα ἡμῖν ἠνυκότος. Ἐνταῦθα δὲ οὐ τὸ εὔκολον αἰνίττεσθαί μοι δοκεῖ μόνον, ἀλλὰ καὶ τὸ εὔλογον. Εἰ γὰρ αὐτὸς ἡμᾶς ἀπήλλαξεν ἐκπολεμωμένους, εὔλογον μένειν ἐπὶ τῆς καταλλαγῆς, καὶ ταύτην ἀποδοῦναι αὐτῷ τὴν ἀμοιβήν, ἵνα μὴ δόξῃ σκαιοὺς καὶ ἀγνώμονας κατηλλαχέναι τῷ Πατρί. «Δι' αὐτοῦ γάρ», φησί, «καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει». Εἰ τοίνυν μακρὰν ὄντας προσήγαγε, πολλῷ μᾶλλον ἐγγὺς γενομένους καθέξει.

2. Σὺ δέ μοι σκόπει πῶς πανταχοῦ τὰ δύο τίθησι, καὶ τὰ παρ' αὐτοῦ καὶ τὰ παρ' ἡμῶν. Ἀλλὰ τὰ μὲν αὐτοῦ ποικίλα καὶ πολλὰ καὶ διάφορα· καὶ γὰρ ἀπέθανε δι' ἡμᾶς, καὶ κατήλλαξεν ἡμᾶς, καὶ προσήγαγε, καὶ χάριν ἔδωκεν ἄφατον· ἡμεῖς δὲ τὴν πίστιν εἰσηνέγκαμεν μόνον· διό φησιν, «ἐν τῇ πίστει εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν». Ποίαν, εἰπέ μοι, χάριν; Τὸ καταξιωθῆναι τῆς τοῦ Θεοῦ γνώσεως, τὸ τῆς πλάνης ἀπαλλαγῆναι, τὸν τὴν ἀλήθειαν ἐπιγνῶναι, τὸ πάντων ἐπιτυχεῖν τῶν διὰ τοῦ βαπτίσματος ἀγαθῶν· εἰς τοῦτο γὰρ ἡμᾶς προσήγαγεν, ἵνα ταῦτα λάβωμεν τὰ δῶρα· οὐδὲ γὰρ ἁπλῶς ἵνα ἁμαρτημάτων ἄφεσις γένηται καὶ ἀπαλλαγὴ μόνον, ἀλλ' ἵνα καὶ μυρίων ἀπολαύσωμεν ἀξιωμάτων.

τήματα, ἀπαλλαχτήκαμε μέ τό Χριστό ἀπ' ὅλα, πολύ περισσότερο θά μπορέσομε μέ αὐτόν νά μείνομε σ' ἐκεῖνα πού εἴμαστε.

Γιατί δέν εἶναι τό ἴδιο ν' ἀποκτήσομε εἰρήνη πού δέν ὑπῆρχε, καί νά κρατήσομε αὐτήν πού δόθηκε, ἐπειδή βέβαια ἡ ἀπόκτηση εἶναι πιό δύσκολο πράγμα ἀπό τή φύλαξη. Ἀλλ' ὅμως τό πιό δύσκΟλο ἔγινε εὔκολο καί πραγματοποιήθηκε. Ἑπομένως καί τό πιό εὔκολο θά εἶναι εὐκολοκατόρθωτο σ' ἐμᾶς, ἄν ἀκολουθοῦμε ἐκεῖνον πού γιά χάρη μας κατόρθωσε καί ἐκεῖνα. Ἐδῶ ὅμως μοῦ φαίνεται πώς δέν ὑπονοεῖ μόνο τό εὔκολο, ἀλλά καί τό εὔλογο. Γιατί, ἄν αὐτός μᾶς συμφιλίωσε, ἐνῶ ἤμασταν ἐχθροί του, εἶναι εὔλογο νά παραμένομε στή συμφιλίωση καί νά τοῦ ἀποδώσομε αὐτήν τήν ἀμοιβή, γιά νά μή φανεῖ πώς ἔχει συμφιλιώσει μέ τόν Πατέρα σκαιούς καί ἀχάριστους. «Γιατί ὁ Χριστός», λέγει, «μᾶς ἔφερε μέ τήν πίστη μας στήν κατάσταση αὐτή». Ἐάν λοιπόν, ἐνῶ βρισκόμασταν μακριά, μᾶς ἔφερε κοντά, πολύ περισσότερο θά μᾶς κρατήσει, ἄν πλησιάσομε κοντά.

2. Ἐσύ ὅμως πρόσεχε, παρακαλῶ, πῶς παντοῦ ἀναφέρει τά δύο, καί τά δικά του καί τά δικά μας. Ἀλλά τά δικά του βέβαια εἶναι ποικίλα καί πολλά καί διαφορετικά, γιατί καί πέθανε γιά χάρη μας, καί μᾶς συμφιλίωσε, καί μᾶς ὁδήγησε κοντά, καί μᾶς ἔδωσε χάρη ἀνέκφραστη, ἐνῶ ἐμεῖς προσφέραμε τή πίστη μόνο. Γι' αὐτό λέγει, «Μέ τήν πίστη στή χάρη αὐτή, στήν ὁποία στεκόμαστε σταθερά». Πές μου, ποιά χάρη; Τό νά καταξιωθοῦμε νά γνωρίσομε τό Θεό, τό νά ἀπαλλαχθοῦμε ἀπό τήν πλάνη, τό νά γνωρίσομε καλά τήν ἀλήθεια, τό νά ἐπιτύχομε μέ βάπτισμα ὅλα τά ἀγαθά. Σ' αὐτό λοιπόν μᾶς ὁδήγησε, γιά νά λάβομε αὐτά τά δῶρα· οὔτε βέβαια ἁπλά γιά νά γίνει συγχώρηση καί ἀπαλλαγή ἀπό τά ἁμαρτήματα μόνο, ἀλλά γιά νά ἀπολαύσομε καί ἄπειρα ἀξιώματα.

Καὶ οὐδὲν ἐν τούτοις ἔστη, ἀλλὰ καὶ ἕτερα ἐπηγγείλατο, τὰ ἀπόρρητα ἐκεῖνα καὶ νοῦν καὶ λόγον ὑπερβαίνοντα ἀγαθά. Ὥσπερ ἀμφότερα τέθεικε· τῷ μὲν γὰρ εἰπεῖν, «τὴν χάριν», τὰ παρόντα ἐδήλωσεν, ἅπερ ἐλάβομεν, τῷ δὲ εἰπεῖν, «καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ», τὰ μέλλοντα ἐξεκάλυψεν ἅπαντα. Καὶ καλῶς εἶπεν, «ἐν ᾗ ἑστήκαμεν». Τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ χάρις· οὐκ ἔχει τέλος, οὐκ οἶδε πέρας, ἀλλὰ καὶ ἐπὶ μείζονα ἀεὶ πρόεισιν, ὅπερ ἐπ' ἀνθρώπων οὐκ ἔνι. Οἷόν τι λέγω· ἔλαβέ τις ἀρχὴν καὶ δόξαν καὶ δυναστείαν, ἀλλ' οὐχ ἕστηκεν ἐπὶ ταύτης διηνεκῶς, ἀλλὰ ταχέως αὐτῆς ἐκπίπτει, κἂν μὴ ἄνθρωπος ἀφέληται, θάνατος ἐπελθὼν ἀφαιρήσεται πάντως. Τὰ δὲ τοῦ Θεοῦ οὐ τοιαῦτα· οὔτε γὰρ ἄνθρωπος, οὐ χρόνος, οὐ περίστασις πραγμάτων, οὐκ αὐτὸς ὁ διάβολος, οὐχ ὁ θάνατος ἐπελθὼν ἐκβαλεῖν αὐτῶν ἡμᾶς δυνήσεται, ἀλλ' ὅταν ἀποθάνωμεν, τότε ἀκριβέστερον αὐτὰ κατέχομεν, καὶ πλειόνων ἀεὶ προϊόντες ἀπολαύομεν.

Ὥστε, εἰ διαπιστεῖς τοῖς μέλλουσιν, ἀπὸ τῶν παρόντων καὶ ὧν ἔλαβες ἤδη, καὶ ἐκείνοις πίστευε. Διὰ γὰρ τοῦτο εἶπε, «καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ», ἵνα μάθῃς οἵαν ψυχὴν τὸν πιστὸν ἔχειν δεῖ. Οὐδὲ γὰρ ὑπὲρ τῶν δεδομένων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν μελλόντων ὡς δεδομένων πεπληροφορῆσθαι χρή· καυχᾶται γάρ τις ἐπὶ τοῖς ἤδη παρασχεθεῖσιν. Ἐπεὶ οὖν καὶ ἡ τῶν μελλόντων ἐλπὶς οὕτω βεβαία καὶ σαφής, ὡς ἡ τῶν δεδομένων, καὶ ἐν ἐκείνῃ, φησίν, ὁμοίως καυχώμεθα· διὰ τοῦτο καὶ δόξαν αὐτὰ ἐκάλεσεν. Εἰ γὰρ εἰς τὴν τοῦ Θεοῦ συντελεῖ δόξαν, πάντως ἐκβήσεται, εἰ καὶ μὴ δι' ἡμᾶς, ἀλλὰ δι' αὐτόν. Καὶ τί λέγω, φησίν, ὅτι τὰ μέλλοντα ἄγαθὰ ἄξια

Καί οὔτε σ' αὐτά σταμάτησε, ἀλλ' ὑποσχέθηκε καί ἄλλα, ἐκεῖνα τά ἀπόρρητα ἀγαθά πού ξεπερνοῦν καί νοῦ καί λόγο. Γι' αὐτό ἀκριβῶς ἀνέφερε καί τά δύο. Γιατί μέ τό νά πεῖ, «Τή χάρη», δήλωσε τά παρόντα πού λάβαμε, ἐνῶ μέ τό νά πεῖ, «Καί καυχιόμαστε ἐλπίζοντας ν' ἀπολαύσουμε τή δόξα τοῦ Θεοῦ», ἀποκάλυψε ὅλα τά μελλοντικά. Καί καλά εἶπε, «Στήν ὁποία στεκόμαστε σταθερά». Γιατί τέτοια εἶναι ἡ χάρη τοῦ Θεοῦ. Δέν ἔχει τέλος, δέ γνωρίζει πέρας, ἀλλά καί σέ μεγαλύτερα πάντοτε προχωράει, πράγμα πού δέν εἶναι δυνατό στούς ἀνθρώπους. Τί θέλω νά πῶ· ἀπέκτησε κάποιος ἀρχή καί δόξα καί ἐξουσία, ὅμως δέ στάθηκε πάνω σ' αὐτήν παντοτινά, ἀλλά γρήγορα τή χάνει, καί ἄν ἀκόμη δέν τοῦ τήν ἀφαιρέσει ἄνθρωπος, ὁπωσδήποτε θά τήν ἀφαιρέσει ὁ θάνατος, ὅταν ἔρθει. Ἐκεῖνα ὅμως πού ἀνήκουν στό Θεό δέν εἶναι τέτοια. Γιατί οὔτε ὁ ἄνθρωπος, οὔτε ὁ χρόνος, οὔτε ἡ συγκυρία τῶν πραγμάτων, οὔτε ὁ ἴδιος ὁ διάβολος, οὔτε ὁ θάνατος, ὅταν ἔρθει, θά μπορέσει νά μᾶς ἀπομακρύνει ἀπ' αὐτά. Ἀλλ' ὅταν πεθάνονε, τότε μέ περισσότερη ἀκρίβεια τά κατέχομε, καί ἀπολαμβάνομε περισσότερα, καθώς προχωροῦμε πάντοτε.

Ἐπομένως, ἐάν δυσπιστεῖς στά μελλοντικά ἀγαθά, ἀπό τά παρόντα καί ἀπό ἐκεῖνα πού ἔλαβες ἤδη, νά πιστεύεις καί σ' ἐκεῖνα. Γιατί γι' αὐτό εἶπε, «Καί καυχιόμαστε ἐλπίζοντας νά ἀπολαύσομε τή δόξα τοῦ Θεοῦ», γιά νά μάθεις ποιά ψυχή πρέπει νά ἔχει ὁ πιστός. Γιατί ὄχι μόνο γι' αὐτά πού ἔχουν δοθεῖ, ἀλλά καί γιά τά μελλοντικά σάν νά ἔχουν δοθεῖ, πρέπει νά ἔχουμε βεβαιωθεῖ, γιατί καυχιέται κανείς γι' αὐτά πού ἔχουν ἤδη δοθεῖ. Ἀφοῦ λοιπόν καί ἡ ἐλπίδα τῶν μελλοντικῶν εἶναι τόσο βέβαιη καί σαφής, ὅπως ἡ ἐλπίδα ἐκείνων πού ἔχουν δοθεῖ, καί γιά ἐκείνη, λέγει, μέ ὅμοιο τρόπο καυχιόμαστε. Γι' αὐτό καί δόξα τά ὀνόμασε αὐτά. Γιατί, ἄν συντελοῦν στή δόξα τοῦ Θεοῦ, ὁπωσδήποτε θά πραγματοποιηθοῦν, καί ἄν ἀκόμη

καυχήσεως; Αὐτὰ μὲν οὖν τὰ παρόντα κακὰ ἱκανὰ ἡμᾶς καλλωπίσαι καὶ ποιῆσαι ἐν αὐτοῖς ἐναβρύνεσθαι· διὸ καὶ ἐπήγαγεν· «οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν».

Ἐννόησον τοίνυν ἡλίκα τὰ μέλλοντα, ὅταν καὶ ἐπὶ τοῖς δοκοῦσιν εἶναι λυπηροῖς μέγα φρονῶμεν. Τοσαύτη ἡ τοῦ Θεοῦ δωρεά, καὶ οὕτως οὐδὲν αὐτῆς ἀηδές. Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν πραγμάτων οἱ μὲν ἀγῶνες πόνον ἔχουσι καὶ ὀδύνην καὶ ταλαιπωρίαν, οἱ δὲ στέφανοι καὶ τὰ ἔπαθλα τὴν ἡδονὴν κομίζουσιν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ τῶν ἐπάθλων τὰ παλαίσματα οὐχ ἧττον ἡμῖν ἡδίω. Ἐπειδὴ γὰρ πολλοὶ μὲν οἱ πειρασμοὶ τότε ἦσαν, ἡ δὲ βασιλεία ἐν ἐλπίσι, καὶ τὰ μὲν δεινὰ ἐν χερσί, τὰ δὲ χρηστὰ ἐν προσδοκίᾳ, τοῦτο δὲ τοὺς ἀσθενεστέρους ἐξέλυσε, καὶ πρὸ τῶν στεφάνων ἤδη δίδωσιν αὐτοῖς τὰ βραβεῖα, λέγων ὅτι καὶ ἐν ταῖς θλίψεσι δεῖ καυχᾶσθαι. Καὶ οὐκ εἶπε, δεῖ καυχᾶσθαι ὑμᾶς, ἀλλά, «καυχώμεθα», φησίν, ἡμεῖς, ἐν τῷ οἰκείῳ προσώπῳ παραίνεσιν εἰσάγων. Εἶτα, ἐπειδὴ ἐδόκει ξένον εἶναι καὶ παράδοξον τὸ εἰρημένον, εἰ τὸν λιμῷ παλαίοντα καὶ ἐν ἁλύσει καὶ ἐν βασάνοις ὄντα, καὶ ὑβριζόμενον καὶ ὀνειδιζόμενον καυχᾶσθαι δεῖ, εἶναί φησιν, οὐ δι᾽ ἐκεῖνα τὰ μέλλοντα μόνον, ἀλλὰ καὶ δι᾽ αὐτὰ τὰ παρόντα· καὶ γὰρ αὐταὶ καθ᾽ ἑαυτὰς αἱ θλίψεις ἀγαθὸν πρᾶγμά ἐστι.

Τίνος ἕνεκεν; Ὅτι εἰς ὑπομονὴν ἀλείφουσι. Διόπερ εἰπών, «καυχώμεθα ἐν ταῖς θλίψεσι», καὶ τὴν αἰτίαν προσέθηκε, λέγων· «εἰδότες, ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται». Ὅρα πά-

ὄχι γιά μᾶς, ἀλλά γι' αὐτόν. Καί τί λέγω, λέγει,ὅτι τά μελλοντικά ἀγαθά εἶναι ἄξια γιά καύχηση; Ἀλλά καί τά παρόντα κακά εἶναι ἱκανά νά γίνουν ἐγκαλώπισμά μας καί νά μᾶς κάνουν νά ὑπερηφανευόμαστε γι' αὐτά. Γι' αὐτό καί πρόσθεσε· «Καί ὄχι μόνο γιά τή δόξα, ἀλλά καυχιόμαστε καί γιά τίς θλίψεις».

Σκέψου λοιπόν πόσο σπουδαῖα εἶναι τά μελλοντικά, ὅταν μεγαλοφρονοῦμε καί γιά ἐκεῖνα πού φαίνονται πώς εἶναι λυπηρά. Τόσο μεγάλη εἶναι ἡ δωρεά τοῦ Θεοῦ, καί ἔτσι τίποτε δικό της δέν εἶναι δυσάρεστο. Γιατί στά ἔξω πράγματα οἱ ἀγῶνες ἔχουν κόπο καί πόνο καί ταλαιπωρία, ἐνῶ τά στεφάνια καί τά βραβεῖα φέρνουν τήν εὐχαρίστηση. Ἐδῶ ὅμως δέ συμβαίνει τό ἴδιο, ἀλλ' οἱ ἀγῶνες δέν μᾶς εἶναι λιγότερο εὐχάριστοι ἀπό τά βραβεῖα. Ἐπειδή λοιπόν πολλοί ἦταν τότε οἱ πειρασμοί, ἐνῶ ἡ βασιλεία βρισκόταν στίς ἐλπίδες, καί τά κακά πάλι ἦτα πραγματικότητα, ἐνῶ τά ἀγαθά βρίσκονταν στήν προσδοκία, καί αὐτό ἦταν ἐκεῖνο πού παρέλυε τούς ἀσθενέστερους, δίνει σ' αὐτούς τά βραβεῖα, ἤδη καί πρίν ἀπό τά στεφάνια, λέγοντας ὅτι καί στίς θλίψεις πρέπει νά καυχιόμαστε. Καί δέν εἶπε, πρέπει νά καυχιέστε, ἀλλά «Καυχιόμαστε», λέγει, παρουσιάζοντας τήν παραίνεση στό δικό του πρόσωπο. Ἔπειτα, ἐπειδή ὁ λόγος φαινόταν πώς εἶναι ἀσυνήθιστος καί παράξενος, ἐάν πρέπει νά καυχιέται ἐκεῖνος πού ἀγωνίζεται μέ πείνα, καί πού εἶναι σέ δεσμά καί σέ βάσανα, καί πού περιφρονεῖται καί χλευάζεται, ἐξηγεῖ στή συνέχεια αὐτό. Καί τό πιό σημαντικό βέβαια εἶναι, ὅτι ἄξια γιά καύχηση λέγει πώς εἶναι, ὄχι γιά ἐκεῖνα τά μέλλοντικά μόνο, ἀλλά καί γι' αὐτά τά παρόντα. Γιατί πραγματικά οἱ ἴδιες οἱ θλίψεις εἶναι ἀπό μόνες τους ἀγαθό πράγμα.

Γιά ποιό λόγο; Γιατί ἀσκοῦν σέ ὑπομονή. Γι' αὐτό ἀκριβῶς, ἀφοῦ εἶπε, «Καυχιόμαστε στίς θλίψεις», πρόσθεσε καί τήν αἰτία, λέγοντας· «Γιατί γνωρίζομε, ὅτι ἡ θλίψη ἀσκεῖ σιγά

λιν τὴν φιλονεικίαν Παύλου, πῶς εἰς τὸ ἐναντίον περιτρέπει τὸν λόγον. Ἐπειδὴ γὰρ αἱ θλίψεις μάλιστα ἀπαγορεύειν ἐποίουν ὑπὲρ τῶν μελλόντων αὐτοὺς καὶ εἰς ἀπόγνωσιν ἐνέβαλλον, λέγει ὅτι δι' αὐτὰς μὲν τοι ταύτας χρὴ θαρρεῖν καὶ μὴ ἀπογινώσκειν τὰ μέλλοντα. «Ἡ γὰρ θλῖψις ὑπομονὴν κατεργάζεται», φησίν, «ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει». Οὐ γὰρ μόνον οὐκ ἀναιρετικαὶ τῆς τοιαύτης ἐλπίδος αἱ θλίψεις, ἀλλὰ καὶ κατασκευαστικαί. Ἔχει μὲν γὰρ καὶ πρὸ τῶν μελλόντων μέγιστον καρπὸν τὴν ὑπομονὴν ἡ θλῖψις καὶ τὸ δόκιμον ποιεῖν τὸν πειραζόμενον, συντελεῖ δέ τι καὶ πρὸς τὰ μέλλοντα, τὴν γὰρ ἐλπίδα ἀκμάζειν ἐν ἡμῖν ποιεῖ. Οὐδὲν γὰρ οὕτω χρηστὰ ἐλπίζειν παρασκευάζει, ὡς ἀγαθὸν συνειδός.

3. Οὐδεὶς γὰρ τῶν ὀρθῶς βεβιωκότων ἀπιστεῖ περὶ τῶν μελλόντων, ὥσπερ οὖν τῶν ἠμελημένων πολλοὶ πονηρῷ πιεζόμενοι συνειδότι οὐδὲ κρίσιν οὐδὲ ἀντίδοσιν εἶναι βούλονται. Τί οὖν; ἐν ἐλπίσιν ἡμῖν τὰ ἀγαθά; Ἐν ἐλπίσι μέν, ἀλλ' οὐκ ἀνθρωπίναις, αἳ διαπίπτουσι καὶ καταισχύνουσι πολλάκις τὸν ἐλπίσαντα, τοῦ προσδοκηθέντος προΐστασθαι τελευτήσαντος, ἢ ζῶντος μεταβληθέντος. Ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἀλλὰ βεβαία καὶ ἀκίνητος ἡ ἐλπίς. Ὁ γὰρ ἐπαγγειλάμενος ἀεὶ ζῇ, ἡμεῖς τε οἱ μέλλοντες αὐτῶν ἀπολαύσεσθαι, κἂν ἀποθάνωμεν, ἀναστησόμεθα πάλιν, καὶ οὐδὲν ὅλως ἐστὶν ὃ δύναται ἡμᾶς καταισχῦναι, ὡς εἰκῇ καὶ μάτην καὶ ἐπὶ σαθραῖς ἐπαρθέντας ἐλπίσιν. Ἀπαλλάξας τοίνυν αὐτοὺς ἱκανῶς ἀμφισβητήσεως ἁπάσης διὰ τούτων τῶν ρημάτων, οὐχ ἵστησι μέχρι τῶν παρόντων τὸν λόγον, ἀλλὰ καὶ τὰ μέλλοντα πάλιν ἐπάγει, εἰδὼς τοὺς ἀσθενεστέ-

σιγά τήν ὑπομονή». Βλέπε πάλι τήν ἐπιμονή τοῦ Παύλου, πῶς στό ἀντίθετο στρέφει τό λόγο. Ἐπειδή δηλαδή οἱ θλίψεις ἔκαναν προπάντων αὐτούς νά κουράζονται γιά τά μελλοντικά καί τούς ὁδηγοῦσαν σέ ἀπόγνωση, λέγει ὅτι γι' αὐτές λοιπόν πρέπει νά ἔχουμε θάρρος καί νά μήν ἀπελπιζόμαστε γιά τά μελλοντικά. «Γιατί ἡ θλίψη ἀσκεῖ σιγά σιγά τήν ὑπομονή», λέγει, «καί ἡ ὑπομονή τήν ἀρετή, καί ἡ ἀρετή τήν ἐλπίδα, καί ἡ ἐλπίδα δέν ντροπιάζει». Οἱ θλίψεις λοιπόν ὄχι μόνο δέν ἐξαφανίζουν αὐτήν τήν ἐλπίδα, ἀλλά καί τήν αὐξάνουν. Γιατί ἡ θλίψη ἔχει βέβαια καί πρίν ἀπό τά μελλοντικά ἀγαθά μέγιστο καρπό τήν ὑπομονή καί τό ὅτι κάνει τέλειον ἐκεῖνον πού δοκιμάζεται, συντελεῖ ὅμως κάπως καί πρός τά μελλοντικά ἀγαθά, ἀφοῦ κάνει ἀκμαία μέσα μας τήν ἐλπίδα. Γιατί τίποτε δέν μᾶς κάνει τόσο νά ἐλπίζουμε γιά τά ἀγαθά, ὅσο ἡ ἀγαθή συνείδησ.

3. Κανείς ἀπό ἐκείνους πού ἔχουν ζήσει σωστά δέ δυσπιστεῖ γιά τά μελλοντικά, ὅπως ἀκριβῶς βέβαια ἀπό ἐκείνους πού ἔχουν παραμελήσει πολλοί, ἐπειδή πιέζονται ἀπό πονηρή συνείδηση, δέ θέλουν νά ὑπάρχει οὔτε κρίση οὔτε ἀνταπόδοση. Τί λοιπόν συμβαίνει; σ' ἐλπίδες βρίσκονται τά ἀγαθά μας; Σ' ἐλπίδες βέβαια, ἀλλ' ὄχι σ' ἀνθρώπινες, πού διαψεύδονται καί ντροπιάζουν πολλές φορές ἐκεῖνον πού ἔχει ἐλπίσει, ἀφοῦ ἐκεῖνος πού ἀναμενόταν νά πραγματοποιήσει αὐτό πέθανε, ἤ ἐνῶ ζοῦσε ἄλλαξε. Ὅμως τά δικά μας δέν εἶναι τέτοια, ἀλλ' ἡ ἐλπίδα εἶναι βέβαιη καί σταθερή. Γιατί ἐκεῖνος πού ὑποσχέθηκε πάντοτε ζεῖ, καί ἐμεῖς, πού πρόκειται ν' ἀπολαύσουμε αὐτά, καί ἄν ἀκόμη πεθάνουμε, θά ἀναστηθοῦμε πάλι, καί τίποτε γενικά δέν ὑπάρχει πού νά μπορεῖ νά μᾶς ντροπιάσει, σάν δηλαδή νά ὑπερηφανευθήκαμε χωρίς λόγο καί στά χαμένα καί μέ σαθρές ἐλπίδες. Ἀφοῦ λοιπόν τούς ἀπομάκρυνε ἀρκετά κάθε ἀμφιβολία μ' αὐτά τά λόγια δέ σταματάει τό λόγο μέχρι τά παρόντα, ἀλλά προσθέτει πάλι τά μελλοντικά, γνωρίζοντας πώς οἱ ἀσθενέστε-

ρους καὶ τὰ παρόντα ζητοῦντας καὶ οὐκ ἀρκουμένους τούτοις. Καὶ πιστοῦται αὐτὰ ἀπὸ τῶν ἤδη δοθέντων.

Ἵνα γὰρ μή τις λέγῃ, Τί οὖν, εἰ μὴ βούλεται ἡμῖν χαρίσασθαι ὁ Θεός; Ὅτι μὲν γὰρ δύναται καὶ μένει καὶ ζῇ, πάντες ἴσμεν· πόθεν δέ, ὅτι καὶ βουλήσεται; Ἀπὸ τῶν ἤδη γεγενημένων. Ποίων γεγενημένων! Τῆς ἀγάπης, ἣν περὶ ἡμᾶς ἐπεδείξατο. Τί ποιήσας, φησί; Πνεῦμα ἅγιον δούς. Διόπερ εἰπών, «ἡ ἐλπὶς οὐ καταισχύνει», ἐπήγαγε τὴν ἀπόδειξιν τούτου, λέγων, «ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν». Καὶ οὐκ εἶπε, δέδοται, ἀλλ', «ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν», τὸ δαψιλὲς ἐμφαίνων. Ὃ γὰρ μέγιστον ἦν δῶρον, τοῦτο ἔδωκεν, οὐκ οὐρανὸν καὶ γῆν καὶ θάλατταν, ἀλλ' ὃ τούτων ἁπάντων τιμιώτερον ἦν, καὶ ἀγγέλους ἐξ ἀνθρώπων, καὶ υἱοὺς Θεοῦ, καὶ ἀδελφοὺς τοῦ Χριστοῦ κατεσκεύαζε. Τί δέ ἐστι τοῦτο; Τὸ Πνεῦμα τὸ ἅγιον. Εἰ δὲ οὐκ ἐβούλετο μεγάλοις ἡμᾶς μετὰ τοὺς πόνους στεφάνοις δωρήσασθαι, οὐκ ἂν πρὸ τῶν πόνων τοσαῦτα ἔδωκεν ἀγαθά· νῦν δὲ τὸ θερμὸν αὐτοῦ τῆς ἀγάπης δείκνυται ἐντεῦθεν, ὅτι οὐκ ἠρέμᾳ καὶ κατὰ μικρὸν ἡμᾶς ἐτίμησεν, ἀλλ' ἀθρόον τὴν πηγὴν τῶν ἀγαθῶν ἐξέχεε, καὶ ταῦτα πρὸ τῶν ἀγώνων.

Ὥστε, κἂν μὴ σφόδρα ᾖς ἄξιος, μὴ ἀπογίνωσκε, ἔχων μεγάλην συνήγορον τοῦ δικάζοντος τὴν ἀγάπην. Διὰ γὰρ τοῦτο καὶ αὐτὸς εἰπών, «ἡ ἐλπὶς οὐ καταισχύνει», οὐ τοῖς ἡμετέροις κατορθώμασιν, ἀλλὰ τῇ ἀγάπῃ τοῦ Θεοῦ τὸ πᾶν ἀνέθηκεν. Εἰπὼν δὲ τοῦ Πνεύματος τὴν δόσιν, μεταβαίνει πάλιν ἐπὶ τὸν σταυρόν, λέγων οὕτως· «ἔτι γὰρ ὁ Χριστός, ὄντων ἡμῶν ἀσθενῶν, κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε. Μόλις γὰρ ὑπὲρ δικαίου τις

ροι στήν πίστη καί τά παρόντα ζητοῦν καί δέν ἀρκοῦνται σ' αὐτά. Καί ἐπιβεβαιώνει αὐτά ἀπό ἐκεῖνα πού δόθηκαν ἤδη.

Γιά νά μή λέγει δηλαδή κάποιος, τί λοιπόν, ἄν δέ θέλει νά μᾶς τά χαρίσει ὁ Θεός; γιατί τό ὅτι μπορεῖ καί μένει καί ζεῖ, ὅλοι τό γνωρίζομε, ἀπό ποῦ ὅμως θά μάθουμε, ὅτι καί θά θελήσει; Ἀπό αὐτά πού ἔχουν ἤδη γίνει. Ἀπό πού ἔχουν γίνει; Ἀπό τήν ἀγάπη, πού ἔδειξε γιά μᾶς. Τί, λέγει κάνοντας; Δίνοντας Πνεῦμα ἅγιο. Γι' αὐτό, ἀφοῦ εἶπε, «Ἡ ἐλπίδα δέν ντροπιάζει», πρόσθεσε τήν ἀπόδειξη αὐτοῦ, λέγοντας, «Γιατί ἡ ἀγάπη τοῦ Θεοῦ ἔχει χυθεῖ μέσα στίς καρδιές μας». Καί δέν εἶπε, ἔχει δοθεῖ, ἀλλά «Ἔχει χυθεῖ μέσα στίς καρδιές μας», γιά νά δείξει τήν ἀφθονία της. Γιατί ἐκεῖνο πού ἦταν μέγιστο δῶρο, αὐτό ἔδωσε, ὄχι τόν οὐρανό καί τή γῆ καί τή θάλασσα, ἀλλ' αὐτό πού ἦταν πιό πολύτιμο ἀπ' ὅλα αὐτά, καί ἔκανε ἀπό ἀνθρώπους ἀγγέλους καί υἱούς Θεοῦ καί ἀδελφούς τοῦ Χριστοῦ. Καί ποιό εἶναι αὐτό; Τό Πνεῦμα τό ἅγιο. Ἐάν ὅμως δέν ἤθελε νά μᾶς δωρίσει μεγάλα στεφάνια ὕστερα ἀπό τούς κόπους, δέ θά μᾶς ἔδινε τόσα ἀγαθά πρίν ἀπό τούς κόπους. Τώρα ὅμως δείχνει τή θερμότητα τῆς ἀγάπης του ἀπό ἐδῶ, γιατί δέ μᾶς τίμησε σιγά σιγά καί λίγο λίγο, ἀλλά ἔχυσε ὅλη τήν πηγή τῶν ἀγαθῶν, καί αὐτά ἔγιναν πρίν ἀπό τούς ἀγῶνες.

Ἐπομένως καί ἄν ἀκόμη δέν εἶσαι πάρα πολύ ἄξιος, μήν ἀπελπίζεσαι, γιατί ἔχεις μεγάλο συνήγορο τήν ἀγάπη τοῦ κριτῆ. Γι' αὐτό λοιπόν, ἀφοῦ εἶπε καί αὐτός, «Ἡ ἐλπίδα δέν ντροπιάζει», ἀπέδωσε τό καθετί ὄχι στά δικά μας κατορθώματα, ἀλλά στήν ἀγάπη τοῦ Θεοῦ. Ἀφοῦ ἀνέφερε ὅμως τή χορήγηση τοῦ ἁγίου Πνεύματος, μεταβαίνει πάλι στή συνέχεια στό σταυρό, λέγοντας τά ἑξῆς· «Γιατί, ὅταν ἀκόμη ἐμεῖς ἤμασταν ἀσθενεῖς, ὁ Χριστός πέθανε γιά τούς ἀσθενεῖς στόν κατάλληλο καιρό. Βέβαια πολύ δύσκολα θά βρεθεῖ κάποιος νά πεθάνει γιά ἕνα

ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν. Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεός». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰ γὰρ ὑπὲρ ἀνδρὸς ἐναρέτου οὐκ ἂν ἕλοιτό τις ταχέως ἀποθανεῖν, ἐννόησον τοῦ Δεσπότου σου τὴν ἀγάπην, ὅταν μὴ ὑπὲρ ἐναρέτων αὐτός, ἀλλ' ὑπὲρ ἁμαρτωλῶν καὶ ἐχθρῶν φαίνηται σταυρωθείς, ὅπερ καὶ μετὰ ταῦτά φησιν· «ὅτι, εἰ ἁμαρτωλῶν ἡμῶν ὄντων, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε, πολλῷ οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς. Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ.

Καὶ δοκεῖ μὲν ταυτολογία εἶναι τὰ εἰρημένα, οὐκ ἔστι δὲ τῷ μετὰ ἀκριβείας προσέχοντι. Σκόπει δέ· βούλεται πιστώσασθαι περὶ τῶν μελλόντων αὐτούς· καὶ πρῶτον μὲν ἀπὸ τῆς τοῦ δικαίου γνώμης ἐντρέπει, εἰπών, ὅτι ἐπληροφορήθη κἀκεῖνος, «ὅτι, ὃ ἐπήγγελται Θεός, δυνατός ἐστι καὶ ποιῆσαι»· ἔπειτα ἀπὸ τῆς χάριτος τῆς δοθείσης, εἶτα ἀπὸ τῶν θλίψεων, ὅτι ἱκαναὶ εἰς ἐλπίδα ἡμᾶς ἀγαγεῖν· καὶ ἀπὸ τοῦ Πνεύματος πάλιν οὗπερ ἐλάβομεν· λοιπὸν δὲ καὶ ἀπὸ τοῦ θανάτου καὶ τῆς ἡμετέρας κακίας τῆς ἔμπροσθεν τοῦτο κατασκευάζει. Καὶ δοκεῖ μέν, ὅπερ ἔφθην εἰπών, ἓν εἶναι τὸ εἰρημένον, εὑρίσκεται δὲ καὶ δύο καὶ τρία καὶ πολλῷ πλείονα ὄντα· πρῶτον μέν, ὅτι ἀπέθανε· δεύτερον δέ, ὅτι ὑπὲρ ἀσεβῶν· τρίτον δέ, ὅτι κατήλλαξεν, ὅτι ἔσωσεν, ὅτι ἐδικαίωσεν, ὅτι ἀθανάτους ἐποίησεν ὅτι υἱοὺς εἰργάσατο καὶ κληρονόμους.

δίκαιο· γιά τόν ἀγαθό ἴσως καί τολμήσει νά πεθάνει. Ὁ Θεός ὅμως δείχνει τήν ἀγάπη του σ' ἐμᾶς». Αὐτό πού λέγει σημαίνει τό ἑξῆς· ἐάν λοιπόν γιά κάποιον ἐνάρετο ἄνθρωπο δέ θά προτιμήσει κανείς νά πεθάνει ἀμέσως, σκέψου τήν ἀγάπη τοῦ Κυρίου, ὅταν φαίνεται πώς αὐτός δέ σταυρώθηκε γιά ἐνάρετους, ἀλλά γιά ἁμαρτωλούς καί ἐχθρούς, πράγμα πού καί ὕστερα ἀπ' αὐτά λέγει· «Γιατί, ἄν ὁ Χριστός πέθανε γιά μᾶς, ἐνώ ἤμασταν ἁμαρτωλοί, πολύ περισσότερο λοιπόν τώρα, πού δικαιωθήκαμε μέ τό αἷμα του, θά σωθοῦμε μέ τή βοήθειά του ἀπό τήν ὀργή. Γιατί, ἄν συμφιλιωθήκαμε μέ τό Θεό μέ τό θάνατο τοῦ Υἱοῦ του, ὅταν ἤμασταν ἐχθροί, πολύ περισσότερο τώρα, πού συμφιλιωθήκαμε, θά σωθοῦμε μέ τή ζωή του».

Καί φαίνεται βέβαια τά λεγόμενα πώς εἶναι τά ἴδια, δέν εἶναι ὅμως γιά ἐκεῖνον πού τά ἐξετάζει μέ προσοχή. Ἀλλά πρόσεχε · θέλει νά τούς βεβαιώσει γιά τά μελλοντικά. Καί πρῶτα τά παρουσιάζει ἀπό τή διάθεση τοῦ δικαίου, λέγοντας, ὅτι βεβαιώθηκε ἐκεῖνος, «Ὅτι ἐκεῖνο πού ὑποσχέθηκε ὁ Θεός, εἶναι δυνατός καί νά τό ἐκτελέσει». Ἔπειτα ἀπό τή χάρη πού μᾶς δόθηκε, καί ἔπειτα ἀπό τίς θλίψεις, γιατί μποροῦν νά μᾶς ὁδηγήσουν στήν ἐλπίδα, καί ἀπό τό ἅγιο Πνεῦμα πάλι πού λάβαμε. Στή συνέχεια ὅμως ἀποδεικνύει αὐτό καί ἀπό τό θάνατο καί ἀπό τή δική μας προηγούμενη κακία. Καί φαίνεται βέβαια, πράγμα πού εἶπα προηγουμένως, πώς ἕνα εἶναι τό λεγόμενο, στήν πραγματικότητα ὅμως νά εἶναι δύο καί τρία καί πολύ περισσότερα. Πρῶτο, ὅτι πέθανε· δεύτερο, ὅτι πέθανε γιά χάρη τῶν ἀσεβῶν· καί τρίτο, ὅτι μᾶς συμφιλίωσε, ὅτι μᾶς ἔσωσε, ὅτι μᾶς δικαίωσε, ὅτι μᾶς ἔκανε ἀνθρώπους, ὅτι μᾶς ἔκανε υἱούς καί κληρονόμους.

Οὐ τοίνυν ἀπὸ τοῦ θανάτου μόνον ἰσχυρίζεσθαι χρή, φησίν, ἀλλὰ καὶ ἀπὸ τοῦ δοθέντος ἡμῖν διὰ τοῦ θανάτου· καίτοι γε, εἰ καὶ τεθνήκει μόνον ὑπὲρ ἡμῶν τοιούτων ὄντων, μέγιστον ἦν δεῖγμα ἀγάπης τὸ γεγενημένον, ὅταν δὲ φαίνηται καὶ ἀποθνήσκων δωρούμενος, καὶ τοιαῦτα δωρούμενος, καὶ τοιούτοις οὖσι, πᾶσαν ὑπερβολὴν ἀποκρύπτει τὰ γεγενημένα, καὶ τὸν σφόδρα ἀναίσθητον εἰς πίστιν ἄγει. Οὐδὲ γὰρ ἄλλος ἐστὶν ὁ μέλλων σώζειν ἡμᾶς, ἀλλ' ἐκεῖνος ὁ οὕτω φιλήσας ἁμαρτωλοὺς ὄντας, ὡς καὶ ἑαυτὸν ἐκδοῦναι. Εἶδες πόσην ἔχει τὸ χωρίον τοῦτο κατασκευὴν πρὸς τὴν τῶν μελλόντων ἐλπίδα; Πρὸ μὲν γὰρ τούτου δύο δύσκολα ἦν πρὸς σωτηρίαν ἡμῖν, τὸ ἁμαρτωλοὺς εἶναι, καὶ διὰ τοῦ θανάτου τοῦ Δεσπότου δεῖν σωθῆναι, ὅπερ καὶ ἀπίθανον ἦν πρὶν ἢ γενέσθαι καὶ πολλῆς δεόμενον τῆς ἀγάπης ἵνα γένηται· νυνὶ δέ, ἐπειδὴ ταῦτα ἐξέβη, τὰ λειπόμενα εὐκολώτερα· καὶ γὰρ φίλοι γεγόναμεν, καὶ θανάτου λοιπὸν οὐ δεῖ.

Ὁ τοίνυν τῶν ἐχθρῶν οὕτω φεισάμενος, ὥστε μὴ φείσασθαι τοῦ Παιδός, φίλων ὄντων οὐ προστήσεται, ὅτε λοιπὸν οὐδὲ τοῦ τὸν Παῖδα ἐκδοῦναι χρεία; Ἢ γὰρ διὰ τὸ μὴ βούλεσθαί τις, ἢ διὰ τὸ μὴ δύνασθαι, κἂν βούληται, πολλάκις οὐ σώζει, ὧν οὐδὲν ἔστιν εἰπεῖν ἐπὶ τοῦ Θεοῦ, ἐξ ὧν τὸν Υἱὸν ἐξέδωκεν. Ὅτι δὲ καὶ δύναται, καὶ αὐτὸ ὁμοίως ἀπέδειξεν ἐξ ὧν ἁμαρτωλοὺς ὄντας ἐδικαίωσε. Τί οὖν λοιπὸν τὸ κωλῦόν ἐστι τυχεῖν τῶν μελλόντων ἡμᾶς; Οὐδέν. Εἶτα πάλιν, ἵνα μὴ ἁμαρτωλοὺς καὶ ἐχθροὺς καὶ ἀσθενεῖς ἀκούσας καὶ ἀσεβεῖς, μέλλῃ

῞Οχι λοιπόν μόνο ἀπό τό θάνατο πρέπει νά γινόμασε ἰσχυροί, ἀλλά καί ἀπό ἐκεῖνο πού μᾶς δόθηκε μέ τό θάνατο. ῞Αν καί βέβαια καί ἄν ἀκόμη εἶχε πεθάνει μόνο γιά χάρη μας, ἐνῶ ἤμασταν τέτοιοι, αὐτό τό πράγμα θά ἦταν μέγιστη ἀπόδειξη ἀγάπης, ὅταν ὅμως φαίνεται πώς, καί πεθαίνοντας, δίνει δῶρα, καί μάλιστα τέτοια δῶρα, καί ἐνῶ ἤμασταν τέτοιοι, αὐτά τά πράγματα ξεπερνοῦν κάθε ὑπεροχή καί ὁδηγοῦν στήν πίστη καί αὐτόν πού εἶναι ὑπερβολικά ἀναίσθητος. Γιατί δέν εἶναι ἄλλος αὐτός πού πρόκειται νά μᾶς σώσει, ἀλλ' ἐκεῖνος πού τόσο μᾶς ἀγάπησε, ἄν καί ἤμασταν ἁμαρτωλοί, ὥστε νά παραδώσει καί τόν ἑαυτό του στό θάνατο. Εἶδες πόσο συμβάλλει τό χωρίο αὐτό στήν ἐλπίδα τῶν μελλοντικῶν ἀγαθῶν; Γιατί πρίν ἀπό αὐτό δύο δύσκολα πράγματα ὑπῆρχαν γιά τή σωτηρία μας, τό ὅτι καί ἁμαρτωλοί ἤμασταν, καί ὅτι ἔπρεπε νά σωθοῦμε μέ τό θάνατο τοῦ Κυρίου, πράγμα πού ἦταν καί ἀπίθανο προτοῦ νά γίνει, καί χρειαζόταν πολλή ἀγάπη γιά νά πραγματοποιηθεῖ. Τώρα ἐπειδή ἔγιναν αὐτά, τά ὑπόλοιπα εἶναι εὔκολα, γιατί καί φίλοι ἔχουμε γίνει, καί ὁ θάνατος δέ χρειάζεται στή συνέχεια.

Αὐτός λοιπόν πού λυπήθηκε τόσο πολύ τούς ἐχθρούς, ὥστε νά μή λυπηθεῖ τό παιδί του, τώρα πού εἴμαστε φίλοι δέ θά βοηθήσει, τή στιγμή πού δέ χρειάζεται πιά νά παραδώσει τόν Υἱό του; Γιατί πολλές φορές κάποιος δέ σώζει ἤ γιατί δέ θέλει ἤ γιατί δέν μπορεῖ, ἔστω καί ἄν θέλει, ἀπό τά ὁποῖα τίποτε δέν μποροῦμε νά ποῦμε γιά τό Θεό, ἀπό τό γεγονός ὅτι παρέδωσε τόν Υἱό του. ῞Οτι ὅμως καί μπορεῖ, καί αὐτό τό ἀπέδειξε ὁμοίως ἀπό τό γεγονός ὅτι μᾶς δικαίωσε, ἐνῶ ἤμασταν ἁμαρτωλοί. Ποιό λοιπόν μπορεῖ νά εἶναι στή συνέχεια τό ἐμπόδιο γιά νά ἐπιτύχουμε τά μελλοντικά ἀγαθά; Κανένα.

αἰσχύνεσθαι καὶ ἐρυθριᾶν, ἄκουσον τί φησιν· «οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν». Τί ἐστιν, «οὐ μόνον δέ»; Οὐ μόνον ἐσώθημεν, φησίν, ἀλλὰ καὶ καυχώμεθα δι' αὐτὸ τοῦτο, δι' ὃ νομίζει τις ἡμᾶς ἐγκαλύπτεσθαι.

Τὸ γὰρ ἐν τοσαύτῃ πονηρίᾳ ζῶντας ἡμᾶς σωθῆναι, τοῦ σφόδρα ἀγαπηθῆναι παρὰ τοῦ σώζοντος μέγιστον σημεῖόν ἐστιν. Οὐ γὰρ δι' ἀγγέλων ἢ ἀρχαγγέλων, ἀλλὰ δι' αὐτοῦ τοῦ Μονογενοῦς ἔσωσεν. Ὥστε καὶ τὸ σῶσαι, καὶ τὸ τοιούτους ὄντας σῶσαι, καὶ τὸ διὰ τοῦ Μονογενοῦς τοῦτο ποιῆσαι, καὶ οὐδὲ ἁπλῶς διὰ τοῦ Μονογενοῦς, ἀλλὰ διὰ τοῦ αἵματος αὐτοῦ, μυρίους ἡμῖν καυχήσεως πλέκει στεφάνους. Οὐδὲν γὰρ ἴσον εἰς δόξης λόγον καὶ παρρησίας τοῦ φιλεῖσθαι παρὰ τοῦ Θεοῦ καὶ τοῦ φιλεῖν αὐτὸν τὸν ἀγαπῶντα. Τοῦτο τοὺς ἀγγέλους ποιεῖ λαμπρούς, τοῦτο τὰς ἀρχὰς καὶ τὰς δυνάμεις, τοῦτο βασιλείας μεῖζον· διὰ τοῦτο καὶ Παῦλος πρὸ τῆς βασιλείας τοῦτο ἐτίθει· διὰ τοῦτο καὶ τὰς ἀσωμάτους μακαρίζω δυνάμεις, ὅτι καὶ φιλοῦσιν αὐτὸν καὶ πάντα ὑπακούουσιν. Ἐντεῦθεν γοῦν αὐτοὺς καὶ ὁ προφήτης ἐθαύμαζε λέγων· «δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ»· ἐντεῦθεν καὶ τὰ Σεραφὶμ ὁ Ἡσαΐας ἀνεκήρυττε, τὴν μεγάλην αὐτῶν ἐνδεικνύμενος ἀρετὴν ἐκ τοῦ ἑστάναι πλησίον τῆς δόξης ἐκείνης, ὅπερ μεγίστης ἀγάπης σημεῖον ἦν.

34. Ζηλώσωμεν τοίνυν καὶ ἡμεῖς τὰς ἄνω δυνάμεις, καὶ μὴ μόνον ἐγγὺς τοῦ θρόνου στῆναι σπουδάσωμεν, ἀλλὰ καὶ ἐνοι-

1. Ψαλμ. 102,20. 2. Βλ. Ἡσ. 5,1-7.

Ἔπειτα πάλι, γιά νά μήν ντρέπεσαι καί κοκκινίζεις στό μέλλον, ἐπειδή ἄκουσες ἁμαρτωλούς καί ἐχθρούς, ἀσθενεῖς καί ἀσεβεῖς, ἄκουσε τί λέγει· «Καί ὄχι μόνο, ἀλλά καί καυχιόμαστε γιά τίς εὐεργεσίες τοῦ Θεοῦ, μέ τή βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέ τόν ὁποῖο τώρα λάβαμε τή συμφιλίωση». Τί σημαίνει, «Καί ὄχι μόνο»; Ὄχι μόνο σωθήκαμε, λέγει, ἀλλά καί καυχιόμαστε γι' αὐτό ἀκριβῶς, γιά τό ὁποῖο νομίζει κανείς πώς ντρεπόμαστε.

Γιατί τό νά σωθοῦμε, ἐνῶ ζούσαμε μέσα σέ τόση κακία, εἶναι μέγιστη ἀπόδειξη τοῦ ὅτι μᾶς ἀγάπησε ὑπερβολικά ἐκεῖνος πού μᾶς σώζει. Γιατί δέ μᾶς ἔσωσε μέ ἀγγέλους ἤ ἀρχαγγέλους, ἀλλά μέ τό Μονογενή Υἱό του. Ἑπομένως, καί τό ὅτι μᾶς ἔσωσε, καί τό ὅτι ἄν καί ἤμασταν τέτοιοι μᾶς ἔσωσε, καί τό ὅτι ἔκαμε αὐτό μέ τό Μονογενή Υἱό του, καί ὄχι ἁπλά μέ τό Μονογενή Υἱό του, ἀλλά μέ τό αἷμα του, μᾶς πλέκει πάρα πολλά στεφάνια καύχησης. Γιατί δέν εἶναι τίποτε ἴσο γιά αἰτία δόξας καί παρρησίας ἀπό τό νά ἀγαπιόμαστε ἀπό τό Θεό καί νά ἀγαπᾶμε αὐτόν πού μᾶς ἀγαπάει. Αὐτό κάνει τούς ἀγγέλους λαμπρούς, αὐτό τίς ἀρχές καί τίς δυνάμεις, αὐτό εἶναι μεγαλύτερο ἀπό τή βασιλεία. Γι' αὐτό καί ὁ Παῦλος τό τοποθετοῦσε πρίν ἀπό τή βασιλεία. Γι' αὐτό καί τίς ἀσώματες δυνάμεις μακαρίζω, γιατί καί ἀγαποῦν αὐτόν καί ὑπακούουν σ' ὅλα. Γιά τό λόγο αὐτόν λοιπόν καί ὁ προφήτης τούς θαύμαζε, λέγοντας· «Ἐσεῖς πού εἶστε δυνατοί, ὥστε νά κάνετε τό θέλημά του»[1]. Γιά τό λόγο αὐτόν καί ὁ Ἠσαΐας ἐξυμνοῦσε τά Σεραφείμ[2], παρουσιάζοντας τή μεγάλη τους ἀρετή ἀπό τό ὅτι στέκονται κοντά στή δόξα ἐκείνη, πράγμα πού ἦταν ἀπόδειξη πολύ μεγάλης ἀγάπης.

4. Ἄς μιμηθοῦμε λοιπόν καί ἐμεῖς τίς οὐράνιες δυνάμεις καί ἄς φροντίσομε ὄχι μόνο νά σταθοῦμε κοντά στό θρόνο, ἀλλά

κον αὐτὸν ἔχειν τὸν ἐπὶ τοῦ θρόνου καθήμενον. Ἐκεῖνος μὲν γὰρ καὶ μισοῦντας ἐφίλησε καὶ φιλῶν διατελεῖ· καὶ γὰρ «τὸν ἥλιον ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Σὺ δὲ φιλοῦντα γοῦν ἀγάπησον· φιλεῖ γάρ· Καὶ πῶς, φησίν, ὁ φιλῶν γέενναν καὶ κόλασιν καὶ τιμωρίαν ἠπείλησε; Δι' αὐτὸ τοῦτο τὸ φιλεῖν· καὶ γὰρ ἐκκόπτων σου τὴν πονηρίαν, καὶ ὥσπερ τινὶ χαλινῷ τῷ φόβῳ κατέχων σου τὴν ἐπὶ τὰ χείρω ῥύμην, πάντα ποιεῖ καὶ πραγματεύεται, καὶ διὰ τῶν χρηστῶν καὶ διὰ τῶν λυπηρῶν ἀναστέλλων σε τῆς ἐπὶ τὰ κάτω φορᾶς, καὶ πρὸς ἑαυτὸν ἐπανάγων καὶ ἀπάγων κακίας πάσης, ἣ γεέννης ἐστὶ χαλεπωτέρα.

Εἰ δὲ γελᾷς ἐπὶ τοῖς εἰρημένοις καὶ μυριάκις ἐν πονηρίᾳ ζῆν ἐθέλεις, ἢ μίαν κολάζεσθαι ἡμέραν, θαυμαστὸν οὐδέν· καὶ γὰρ καὶ τοῦτό σου τῆς ἀτελοῦς γνώμης σημεῖον καὶ τῆς μέθης καὶ τῆς ἀνιάτου νόσου· ἐπεὶ καὶ τὰ παιδία τὰ μικρὰ ὅταν ἴδῃ τὸν ἰατρὸν ἢ πῦρ ἢ τομὴν ἐπάγοντα, φεύγει καὶ ἀποπηδᾷ ὀλολύζοντα καὶ σπαραττόμενα, καὶ μᾶλλον αἱρεῖται διηνεκεῖ σηπεδόνι σώματος ἐναπολέσθαι, ἢ πρόσκαιρον ὑπομείναντα πόνον, τῆς μετὰ ταῦτα ἀπολαύειν ὑγιείας. Οἱ δὲ νοῦν ἔχοντες ἴσασιν, ὅτι τὸ νοσεῖν τοῦ τέμνεσθαι χαλεπώτερον, ὥσπερ οὖν τὸ κακῶς εἶναι τοῦ κολάζεσθαι χεῖρον· τὸ μὲν γὰρ θεραπεύεσθαι καὶ ὑγιαίνειν ἐστί, τὸ δὲ ἀπόλλυσθαι καὶ ἐν ἀρρωστίᾳ εἶναι διηνεκεῖ.

Ὅτι δὲ ἀρρωστίας ὑγίεια βέλτιον, παντί που δῆλον· ἐπεὶ καὶ τοὺς λῃστάς, οὐχ ὅταν διορύττωνται τὰς πλευράς, δακρύειν ἄξιον, ἀλλ' ὅταν διορύττωσι τοίχους καὶ φονεύωσιν. Εἰ γὰρ βέλτιον ψυχὴ σώματος, ὥσπερ οὖν καὶ βέλτιον, ταύτης ἀπολ-

3. Ματθ. 5,45.

καί νά ἔχομε μέσα μας αὐτόν πού κάθεται πάνω στό θρόνο. Γιατί ἐκεῖνος ἀγάπησε ἀκόμη καί αὐτούς πού τόν μισοῦσαν, καί ἐξακολουθεῖ νά τούς ἀγαπάει, ἀφοῦ «Τόν ἥλιο ἀνατέλλει σέ πονηρούς καί ἀγαθούς, καί βρέχει σέ δίκαιους καί ἄδικους»[3]. Ἐσύ ὅμως ἀγάπησέ τον τουλάχιστο, ἀφοῦ σέ ἀγαπάει· γιατί ἀγαπάει. Καί πῶς, λέγει, αὐτός πού ἀγαπάει, ἀπείλησε γέεννα καί κόλαση καί τιμωρία; Γι' αὐτή τήν ἴδια τήν ἀγάπη. Γιατί ξερριζώνοντας τήν κακία σου καί μέ τό φόβο σάν μέ κάποιο χαλινάρι συγκρατώντας τήν ὁρμή σου πρός τά χειρότερα, τά πάντα κάνει καί ἐπιχειρεῖ, ἀναχαιτίζοντάς σε καί μέ τά ἀγαθά καί μέ τά λυπηρά ἀπό τόν κατήφορο, ἐπαναφέροντάς σε πρός τόν ἑαυτό του, καί ἀπομακρύνοντας ἀπό κάθε κακία, ἡ ὁποία εἶναι πιό φοβερή ἀπό τή γέεννα.

Ἐάν ὅμως γελᾶς γι' αὐτά πού λέγω, καί θέλεις χίλιες φορές νά ζεῖς μέσα στήν κακία, παρά νά τιμωρεῖσαι μία ἡμέρα, δέν εἶναι καθόλου παράξενο. Γιατί πραγματικά καί αὐτό εἶναι ἀπόδειξη τῆς ἀτέλειας τῆς διάθεσής σου καί τῆς μέθης καί τῆς ἀθεράπευτης ἀσθένειάς σου. Ἐπειδή καί τά μικρά παιδιά, ὅταν δοῦν τόν ἰατρό νά κάνει καυτηριασμούς ἤ νά ἐγχειρίζει, φεύγουν καί ἀπομακρύνονται μέ δυνατές φωνές καί σπαραγμούς, καί προτιμοῦν πιό πολύ νά ὑποφέρουν ἀπό τή διαρκή σήψη τοῦ σώματος, παρά, ἀφοῦ ὑπομείνουν προσωρινό πόνο, νά ἀπολαμβάνουν στή συνέχεια τήν ὑγεία. Ἐκεῖνοι ὅμως πού εἶναι συνετοί γνωρίζουν, ὅτι ἡ ἀσθένεια εἶναι πιό φοβερή ἀπό τήν ἐγχείριση, ὅπως ἀκριβῶς βέβαια εἶναι χειρότερη ἡ κακία ἀπό τήν τιμωρία. Γιατί ἡ μία σημαίνει θεραπεία καί ὑγεία, ἐνῶ ἡ ἄλλη καταστροφή καί παντοτινή ἀσθένεια.

Ὅτι ὅμως ἡ ὑγεία εἶναι καλύτερη ἀπό τήν ἀσθένεια, εἶναι στόν καθένα φανερό. Καθόσον καί τούς ληστές ἀξίζει νά τούς θρηνοῦμε, ὄχι ὅταν ξεσχίζονται τά πλευρά τους, ἀλλ' ὅταν τρυποῦν τοίχους καί σκοτώνουν. Γιατί, ἄν ἡ ψυχή εἶναι

λυμένης, μᾶλλον στένειν δίκαιον καὶ ὀδύρεσθαι· εἰ δὲ μὴ αἰσθάνοιτο, καὶ ταύτῃ μειζόνως αὐτὴν πενθεῖν δεῖ. Καὶ γὰρ τοὺς ἐρῶντας ἀκόλαστον ἔρωτα τῶν πυρεττόντων χαλεπῶς μᾶλλον ἐλεεῖν ἄξιον, καὶ τοὺς μεθύοντας τῶν βασανιζομένων. Καὶ εἰ ταῦτα χαλεπώτερα, φησί, διὰ τί μᾶλλον αὐτὰ αἱρούμεθα; Ὅτι πολλοῖς τῶν ἀνθρώπων, κατὰ τὴν παροιμίαν, ἀρέσκει τὰ χείρω, καὶ ταῦτα αἱροῦνται, τὰ ἀμείνω παρατρέχοντες. Ὅπερ καὶ ἐν ἐδέσμασιν ὁρᾶν ἔστι καὶ ἐν πολιτείαις καὶ ἐν ζήλοις βίων καὶ ἐν ἡδονῆς ἀπολαύσει καὶ ἐν γυναιξὶ καὶ ἐν οἰκίαις καὶ ἐν ἀνδραπόδοις καὶ ἐν ἀγροῖς καὶ ἐπὶ πάντων τῶν ἄλλων ἁπάντων γινόμενον.

Τί γὰρ ἥδιον, εἰπέ μοι, γυναιξὶν ἢ ἄρρεσι μίγνυσθαι; γυναιξὶν ἢ ἡμιόνοις; Ἀλλ' ὅμως πολλοὺς εὑρήσομεν γυναῖκας μὲν παρατρέχοντας, ἀλόγοις δὲ μιγνυμένους, καὶ ἀρρένων σώμασιν ἐνυβρίζοντας, καίτοι τὰ κατὰ φύσιν τῶν παρὰ φύσιν ἡδίω· ἀλλ' ὅμως εἰσὶ πολλοὶ τὰ καταγέλαστα καὶ ἀηδῆ καὶ κόλασιν ἔχοντα ὡς ἡδέα διώκοντας. Ἐκείνοις γὰρ ἡδέα ταῦτα εἶναι δοκεῖ, φησίν. Ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο ἂν εἶεν ἄθλιοι, ὅτι καὶ ἡδέα νομίζουσιν εἶναι τὰ οὐχ ἡδέα. Οὕτω καὶ τὴν κόλασιν τῆς ἁμαρτίας χείρω τίθενται· οὐκ ἔστι δέ, ἀλλὰ τοὐναντίον ἅπαν. Εἰ γὰρ κακὸν ἦν τοῖς ἁμαρτάνουσιν, οὐκ ἂν αὐτοὺς ποιῆσαι ἐθέλησεν· ὁ γὰρ πάντα ποιῶν, ὥστε σβεσθῆναι τὴν κακίαν, οὐκ ἂν αὐτὴν ηὔξησεν. Οὐκ ἄρα τὸ κολάζεσθαι κακὸν τῷ πλημμελοῦντι,

καλύτερη ἀπό τό σῶμα, ὅπως ἀκριβῶς βέβαια καί εἶναι, ὅταν αὐτή καταστρέφεται, εἶναι περισσότερο δίκαιο νά στενάζομε καί νά ὀδυρόμαστε· ἄν ὅμως δέν αἰσθάνεται, γιά τό λόγο αὐτό πρέπει νά τή θρηνοῦμε περισσότερο. Γιατί πραγματικά ἀξίζει νά λυπούμαστε περισσότερο ἐκείνους πού ἐπιθυμοῦν τόν ἀκόλαστο ἔρωτα, ἀλλ' ἐκείνους πού μεθοῦν, ἀπό ἐκείνους πού βασανίζονται. Καί ἄν αὐτά εἶναι πιό φοβερά, λέγει, κάποιος, γιατί προτιμοῦμε αὐτά περισσότερο; Γιατί σέ ἄλλους ἀνθρώπους, σύμφωνα μέ τήν παροιμία, ἀρέσουν τά χειρότερα, καί αὐτά προτιμοῦν, πειρφρονώντας τά καλύτερα. Αὐτό τό πράγμα εἶναι δυνατό νά τό δοῦμε νά συμβαίνει καί στά φαγητά καί στίς πολιτεῖες καί στίς μιμήσεις τρόπων ζωῆς καί στήν ἀπόλαυση τῆς ἡδονῆς καί στίς γυναῖκες καί στά σπίτια καί στούς αἰχμαλώτους καί στά χωράφια καί σέ ὅλα τά ἄλλα.

Γιατί, πές μου, τί εἶναι πιό εὐχάριστο, νά ἐρχόμαστε σέ συνουσία μέ γυναῖκες ἤ μέ ἄνδρες; μέ γυναῖκες ἤ μέ ἡμίονους; Ἀλλ' ὅμως θά βροῦμε πολλούς νά περιφρονοῦν βέβαια τίς γυναῖκες, ὅμως νά ἔρχονται σέ σαρκική σχέση μέ τά ζῶα καί νά ἀσελγοῦν σέ σώματα ἀνδρῶν, μολονότι βέβαια τά φυσικά εἶναι πιό εὐχάριστα ἀπό τά παρά φύση. Ἀλλ' ὅμως ὑπάρχουν πολλοί πού ἐπιδιώκουν σάν εὐχάριστα ἐκεῖνα πού εἶναι καταγέλαστα καί ἀηδή καί προκαλοῦν τήν τιμωρία. Γιατί, λέγει, σ' ἐκείνους αὐτά φαίνονται πώς εἶναι εὐχάριστα. Ἀλλά γι' αὐτό ἀκριβῶς συμβαίνει νά εἶναι δυστυχισμένοι, ἐπειδή νομίζουν πώς εἶναι εὐχάριστα ἐκεῖνα πού δέν εἶναι εὐχάριστα. Ἔτσι θεωροῦν καί τήν τιμωρία χειρότερη ἀπό τήν ἁμαρτία. Δέν εἶναι ὅμως ἔτσι, ἀλλά τό ἐντελῶς ἀντίθετο. Γιατί, ἄν ἦταν κακό σ' ἐκείνους πού ἁμαρτάνουν, δέ θά πρόσθετε κακά ὁ Θεός στά κακά, οὔτε θά ἤθελε νά τούς κάνει χειρότερους αὐτούς. Γιατί ἐκεῖνος πού κάνει τά πάντα, γιά νά ἐξαφανισθεῖ ἡ κακία, δέ θά ἦταν δυνατό νά τήν αὐξήσει. Δέν εἶναι ἐπομένως κακό σ' αὐτόν

ἀλλὰ τὸ οὕτως ἔχοντα μὴ κολάζεσθαι, ὥσπερ οὖν τὸ τὸν ἀρρωστοῦντα μὴ θεραπεύεσθαι.

Οὐδὲν γὰρ οὕτω κακόν, ὡς ἐπιθυμία ἄτοπος· ἄτοπον δὲ ὅταν εἴπω, καὶ τὴν τῆς τρυφῆς λέγω, καὶ τὴν τῆς δόξης τῆς ἀκαίρου, καὶ τὴν τῆς δυναστείας, καὶ τὴν ἁπάντων ἁπλῶς τῶν ὑπὲρ τὴν χρείαν πραγμάτων. Ὁ γὰρ τοιοῦτο ὁ τὸν ὑγρὸν καὶ διαλελυμένον ζῶν βίον, δοκεῖ μὲν πάντων εἶναι μακαριώτερος, πάντων δέ ἐστιν ἀθλιώτερος, δεσποίνας χαλεπὰς καὶ τυράννους ἐπεισάγων αὐτοῦ τῇ ψυχῇ. Διὰ τοῦτο ἐπίπονον ὁ Θεὸς ἡμῖν τὸν παρόντα ἐποίησε βίον, ἵνα ἐκείνης ἡμᾶς ἀπαλλάξῃ τῆς δουλείας, καὶ εἰς καθαρὰν ἐλευθερίαν ἀγάγῃ· διὰ τοῦτο καὶ κόλασιν ἠπείλησε καὶ πόνους συνεκλήρωσεν ἡμῶν τῇ ζωῇ, τὸ χαῦνον ἐπισφίγγων. Οὕτω γοῦν καὶ οἱ Ἰουδαῖοι, ὅτε μὲν τῷ πηλῷ καὶ τῇ πλινθουργίᾳ προσδεδεμένοι ἦσαν καὶ ἐπιεικεῖς ἦσαν, καὶ τὸν Θεὸν ἐκάλουν συνεχῶς, ὅτε δὲ ἐλευθερίας ἀπήλαυσαν, καὶ ἐγόγγυζον, καὶ παρώξυναν τὸν Δεσπότην, καὶ μυρίοις ἑαυτοὺς περιέπειρον κακοῖς.

Τί οὖν, φησίν, ἂν εἴποις πρὸς τοὺς ὑπὸ θλίψεως περιτραπέντας πολλάκις; Ὅτι οὐ τῆς θλίψεως ἔργον ἡ περιτροπή, ἀλλὰ τῆς ἀσθενείας τῆς ἐκείνων. Οὐδὲ γάρ, εἴ τις στόμαχον ἄρρωστον ἔχων, μὴ δέχοιτο πικρὸν φάρμακον δυνάμενον αὐτὸν καθᾶραι, ἀλλὰ καὶ ἐπιτρίβοιτο, οὐ τὸ φάρμακον αἰτιασόμεθα, ἀλλὰ τὴν ἀρρωστίαν τοῦ μέλους, ὥσπερ οὖν καὶ ἐνταῦθα τὴν εὐκολίαν τῆς γνώμης. Καὶ γὰρ ὁ ὑπὸ θλίψεως περιτρεπόμενος, πολλῷ μᾶλλον ὑπὸ ἀνέσεως τοῦτο πείσεται· εἰ γὰρ δεδεμένος πίπτει (τοῦτο γὰρ ἡ θλῖψις), πολλῷ μᾶλλον λελυμένος· εἰ σφιγγόμενος περιτρέπε-

πού άμαρτάνει ή τιμωρία, άλλά στήν κατάσταση πού βρίσκεται τό νά μήν τιμωρεῖται, ὅπως ἀκριβῶς βέβαια τό νά μή θεραπεύεται ὁ ἄρρωστος.

Τίποτε λοιπόν δέν εἶναι τόσο κακό ὅσο ἡ παράλογη ἐπιθυμία. Καί ὅταν λέγω παράλογη, ἐννοῶ καί τήν ἐπιθυμία τῆς ἀπόλαυσης, καί τήν ἐπιθυμία τῆς ἄκαιρης δόξας, καί τήν ἐπιθυμία τῆς ἐξουσίας, καί τήν ἐπιθυμία ὅλων γενικά τῶν πραγμάτων πού δέν εἶναι ἀπαραίτητα. Γιατί ἕνας τέτοιος ἄνθρωπος, πού ζεῖ φιλήδονη καί χαλαρή ζωή, νομίζει βέβαια πώς εἶναι πιό εὐτυχισμένος ἀπ' ὅλους, στήν πραγματικότητα ὅμως εἶναι πιό δυστυχισμένος ἀπ' ὅλους, τοποθετώντας στήν ψυχή του φοβερές κυρίες καί τυράννους. Γι' αὐτό ὁ Θεός μᾶς ἔκαμε δύσκολη τήν παρούσα ζωή, γιά νά μᾶς ἀπαλλάξει ἀπό τή δουλεία ἐκείνη καί νά μᾶς ὁδηγήσει στήν καθαρή ἐλευθερία. Γι' αὐτό καί ἀπείλησε τιμωρία καί ἕνωσε μέ κόπους τή ζωή μας, περιορίζοντας τή νωθρότητά μας. Ἔτσι λοιπόν καί οἱ Ἰουδαῖοι, ὅταν ἦταν προσηλωμένοι στόν πηλό καί στήν κατασκευή πλιθιῶν, καί δίκαιοι ἦταν, καί τό Θεό καλοῦσαν συνέχεια, ὅταν ὅμως κέρδισαν τήν ἐλευθερία, καί γόγγυζαν, καί ἐξόργιζαν τόν Κύριο, καί καταπλήγωναν τόν ἑαυτό τους μέ ἄπειρα κακά.

Τί λοιπόν, λέγει, μπορεῖς νά πεῖς σ' ἐκείνους πού ἀλλάζουν πολλές φορές γνώμη ἐξ αἰτίας τῆς θλίψης; Ὅτι ἡ ἀλλαγή δέν εἶναι ἔργο τῆς θλίψης, ἀλλά τῆς ἀσθένειάς τους. Γιατί, ἄν κάποιος, πού ἔχει ἄρρωστο στομάχι, δέ δεχόταν πικρό φάρμακο πού θά μποροῦσε νά τό καθαρίσει, ἀλλά καί κατέστρεφε αὐτό, δέ θά κατηγορήσομε τό φάρμακο, ἀλλά τήν ἀρρώστια τοῦ μέλους, ὅπως ἀκριβῶς βέβαια καί ἐδῶ θά κατηγορήσομε τήν εὐκολία τῆς γνώμης. Γιατί ἐκεῖνος πού ἀλλάζει εὔκολα γνώμη ἐξ αἰτίας τῆς θλίψης πολύ εὔκολα θά πάθει αὐτό ἀπό τίς ἀνέσεις. Ἀφοῦ λοιπόν δεμένος πέφτει (γιατί αὐτό εἶναι ἡ

ται, πολλῷ μᾶλλον χαυνούμενος. Καὶ πῶς δυνήσομαι, φησί, μὴ περιτραπῆναι θλιβόμενος; Ἂν ἐννοήσῃς ὅτι, κἂν θέλῃς κἂν μὴ θέλῃς, οἴσεις τὸ ἐπενεχθέν· ἀλλ' ἂν μὲν εὐχαρίστως, κερδανεῖς τὰ μέγιστα, ἂν δὲ ἀποδυσπετῶν καὶ ἀλύων καὶ δυσφημῶν, οὔτε τὴν συμφορὰν ἐλάττω ταύτῃ ποιήσεις, καὶ μεῖζον ἐργάσῃ τὸ κλυδώνιον.

Ταῦτα οὖν ἐννοοῦντες, ὃ τῆς ἀνάγκης ἐστί, ποιῶμεν τῆς προαιρέσεως εἶναι τῆς ἡμετέρας. Οἷόν τι λέγω· παῖδά τις ἀπέβαλε γνήσιον, τὴν οὐσίαν ἕτερος ἅπασαν· ἂν ἐννοήσῃς, ὅτι λυθῆναι μὲν τὸ γεγενημένον οὐκ ἔνι, ἔνι δέ τι καρπώσασθαι καὶ ἐκ τῆς ἀνιάτου συμφορᾶς, τὸ γενναίως ἐνεγκεῖν τὸ συμβάν, καὶ ἀντὶ τῶν ρημάτων τῶν δυσφήμων εὐφημίαν ἀνενέγκῃς τῷ Δεσπότῃ, οὕτω τὰ ἀβουλήτως ἐπενεχθέντα κακά, προαιρέσεως ἔσται σοι κατορθώματα. Εἶδες υἱὸν ἁρπαγέντα ἄωρον; Εἰπέ, «ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο». Εἶδες οὐσίαν κενωθεῖσαν; Εἰπέ, «γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι». Εἶδες πονηροὺς εὐπραγοῦντας, καὶ δικαίους δυσημεροῦντας καὶ μυρία πάσχοντας δεινά, οὐκ ἔγνως δὲ τῶν γενομένων εὑρεῖν τὴν αἰτίαν; Εἰπέ, «κτηνώδης ἐγενόμην παρὰ σοί, πλὴν ἐγὼ διαπαντὸς μετὰ σοῦ».

Εἰ δὲ καὶ τὴν αἰτίαν ζητεῖς, ἐννόησον ὅτι ἔστησεν ἡμέραν, καθ' ἣν μέλλει κρίνειν τὴν οἰκουμένην, καὶ πᾶσαν ἐκβαλεῖς ἀπορίαν· τὴν γὰρ ἀξίαν τότε ἕκαστος ἀπολήψεται, ὥσπερ ὁ Λάζαρος καὶ ὁ πλούσιος. Ἀναμνήσθητι τῶν ἀποστόλων· καὶ γὰρ ἐκεῖνοι μαστιζόμενοι καὶ ἐλαυνόμενοι καὶ μυρία πάσχοντες ἔχι-

4. Ἰὼβ 1,21. 5. Ἰὼβ 1,21. 6. Ψαλμ. 72,22.

θλίψη), πολύ περισσότερο θά πέσει λυμένος· ἄν ἀλλάζει γνώμη ἐνῶ θλίβεται, πολύ περισσότερο θ' ἀλλάζει, ὅταν εἶναι ἀποχαυνομένος. Καί πῶς θά μπορέσω, λέγει, νά μήν ἀλλάζω γνώμη ὅταν θλίβομαι; Ἄν κατανοήσεις ὅτι, εἴτε θέλεις εἴτε δέ θέλεις, θά ὑποφέρεις τό κακό· ἀλλ' ἄν τό ὑποφέρεις μέ εὐχαρίστηση, θά κερδίσεις πάρα πολλά, ἄν ὅμως τό ὑποφέρεις μέ ἀπελπισία καί ἀνησυχία καί βλασφημίες, οὔτε τή συμφορά θά κάμεις ἔτσι μικρότερη, ἀλλά θά κάνεις μεγαλύτερο τόν καταποντισμό.

Σκεπτόμενοι λοιπόν αὐτά, ἐκεῖνο πού εἶναι ἀποτέλεσμα τῆς ἀνάγκης, ἄς τό κάνομε νά εἶναι ἀποτέλεσμα τῆς προέραισής μας. Ἐννοῶ τό ἑξῆς μ' αὐτό πού λέγω· ἔχασε κάποιος γνήσιο παιδί του, ἄλλος ὁλόκληρη τήν περιουσία του· ἄν κατανοήσεις ὅτι δέν εἶναι δυνατό νά διορθωθεῖ αὐτό πού ἔγινε, ἐνῶ εἶναι δυνατό νά κερδίσεις κάτι καί ἀπό τήν ἀνίατη συμφορά, τό νά ἀντέξεις δηλαδή μέ γενναιότητα αὐτό πού συνέβηκε, καί ἄν ἀντί γιά βλάσφημα λόγια ἀπευθύνεις δοξολογία στόν Κύριο, τότε τά κακά πού ἦρθαν σέ σένα χωρίς νά τό θέλεις, θά γίνουν κατορθώματα τῆς προαίρεσής σου. Εἶδες πώς πέθανε σέ μικρή ἡλικία ὁ υἱός σου; Πές, «Ὁ Κύριος τόν ἔδωσε, ὁ Κύριος τόν πῆρε»[4]. Εἶδες πώς χάθηκε ἡ περιουσία σου; Πές, «Ἐγώ γυμνός βγῆκα ἀπό τήν κοιλιά τῆς μητέρας μου, καί γυμνός θά φύγω ἀπό τόν κόσμο αὐτόν»[5]. Εἶδες πώς οἱ κακοί εὐημεροῦν, ἐνῶ οἱ δίκαιοι δυστυχοῦν καί ὑποφέρουν ἄπειρα κακά, καί δέ γνωρίζεις νά βρεῖς τήν αἰτία τῶν ὅσων ἔγιναν; Πές, «Σάν ζῶο ἔγινα ἐνώπιόν σου, ἀλλά ἐγώ θά εἶμαι πάντοτε μαζί σου»[6].

Ἐάν ὅμως ζητᾶς καί τήν αἰτία, σκέψου ὅτι ὅρισε ἡμέρα, κατά τήν ὁποία πρόκειται νά κρίνει τήν οἰκουμένη, καί θά διώξεις κάθε ἀπορία, γιατί ὁ καθένας τότε θά λάβει τό τί ἀξίζει, ὅπως ἀκριβῶς ὁ Λάζαρος καί ὁ πλούσιος. Θυμήσου τούς ἀποστόλους, γιατί καί ἐκεῖνοι, ἐνῶ μαστιγώνονταν καί διώκονταν καί ὑπέφεραν ἄπειρα δεινά, χαίρονταν, ἐπειδή ἀξιώθηκαν

ρον, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. Καὶ σὺ τοίνυν ἂν ἀρρωστήσῃς, φέρε γενναίως καὶ τῷ Θεῷ χάριτας ὁμολόγει, καὶ οὕτω τὸν αὐτὸν ἐκείνοις λήψῃ μισθόν. Πῶς δὲ ἐν ἀρρωστίᾳ ὢν καὶ ὀδύναις δυνήσῃ τῷ Δεσπότῃ χάριν εἰδέναι; Ἂν φιλῇς αὐτὸν γνησίως. Εἰ γὰρ εἰς κάμινον ἐμπεσόντες οἱ παῖδες οἱ τρεῖς, καὶ ἐν δεσμωτηρίοις ὄντες ἕτεροι καὶ ἐν μυρίοις ἄλλοις κακοῖς, οὐ διέλιπον εὐχαριστοῦντες, πολλῷ μᾶλλον οἱ ἐν νόσοις ὄντες καὶ ἐν ἀρρωστίαις χαλεπαῖς κατεχόμενοι τοῦτο δυνήσονται ποιεῖν.

Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδέν, ὃ μὴ νικᾷ πόθος· ὅταν δὲ καὶ Θεοῦ πόθος ᾖ, πάντων ἐστὶν ὑψηλότερος, καὶ οὔτε πῦρ, οὐ σίδηρος, οὐ πενία, οὐκ ἀρρωστία, οὐ θάνατος, οὐκ ἄλλο τι τῶν τοιούτων φανεῖται δεινὸν τῷ τοιοῦτον κεκτημένῳ τὸν ἔρωτα, ἀλλὰ πάντων καταγελάσας, πρὸς τὸν οὐρανὸν πτήσεται καὶ τῶν ἐκεῖ διατριβόντων οὐδὲν ἔλατον διακείσεται, οὐδὲν ἕτερον ὁρῶν, οὐκ οὐρανόν, οὐ γῆν, οὐ θάλατταν, ἀλλὰ πρὸς ἓν μόνον κάλλος τεταμένος τὸ τῆς δόξης ἐκείνης· καὶ οὔτε τὰ λυπηρὰ αὐτὸν τοῦ παρόντος ταπεινῶσαι δυνήσεται βίου, οὔτε ἐπᾶραι καὶ φυσῆσαι τὰ χρηστὰ καὶ ἡδονὴν ἔχοντα.

Ἐρασθῶμεν τοίνυν τοῦτον τὸν ἔρωτα (τούτου γὰρ ἴσον οὐδὲν) καὶ διὰ τὰ παρόντα καὶ διὰ τὰ μέλλοντα· μᾶλλον δὲ πρὸ τούτων, δι' αὐτὴν τὴν τοῦ ἔρωτος φύσιν· ἀπαλλαγησόμεθα γὰρ καὶ τῶν κατὰ τὸν παρόντα βίον καὶ τῶν κατὰ τὸν μέλλοντα αἰῶνα κολαστηρίων, καὶ τῆς βασιλείας ἀπολαυσόμεθα. Πλὴν

νά ἀτιμασθοῦν γιά χάρη τοῦ ὀνόματος τοῦ Χριστοῦ. Καί ἐσύ λοιπόν ἄν ἀρρωστήσεις νά ὑποφέρεις γενναῖα, καί νά εὐχαριστεῖς τό Θεό, καί ἔτσι θά λάβεις τόν ἴδιο μ' ἐκείνους μισθό. Πῶς ὅμως, ἐνῶ εἶσαι ἄρρωστος καί ὑποφέρεις, θά μπορέσεις νά εὐγνωμονεῖς τόν Κύριο; Ἐάν τόν ἀγαπᾶς γνήσια. Γιατί, ἄν οἱ τρεῖς νέοι πού εἶχαν πέσει στό καμίνι καί ἄλλοι πού βρίσκονταν στίς φυλακές καί σέ ἄπειρα ἄλλα κακά δέ σταμάτησαν νά εὐχαριστοῦν, πολύ περισσότερο θά μπορέσουν νά κάνουν αὐτό ὅσοι εἶναι ἄρρωστοι καί κατέχονται ἀπό φοβερές ἀσθένειες.

Γιατί δέν ὑπάρχει, πραγματικά δέν ὑπάρχει τίποτε, πού νά μήν τό νικάει ὁ πόθος. Ὅταν ὅμως ὑπάρχει καί πόθος τοῦ Θεοῦ, εἶναι ὑψηλότερος ἀπ' ὅλα, καί οὔτε φωτιά, οὔτε σίδερο, οὔτε φτώχεια, οὔτε ἀρρώστια, οὔτε θάνατος, οὔτε τίποτε ἄλλο ἀπό αὐτά τά κακά θά κάνει τήν ἐμφάνισή του σ' ἐκεῖνον πού ἔχει ἀποκτήσει αὐτόν τόν ἔρωτα, ἀλλ', ἀφοῦ τά περιφρονήσει ὅλα, θά πετάξει πρός τόν οὐρανό καί δέ θά εἶναι καθόλου χειρότερα ἀπό ἐκείνους πού ζοῦν ἐκεῖ, βλέποντας ὄχι τίποτε ἄλλο, οὔτε οὐρανό, οὔτε γῆ, οὔτε θάλασσα, ἀλλ' ἔχοντας στραμμένο τό βλέμμα του σέ μιά μόνο ὀμορφιά, τήν ὀμορφιά ἐκείνης τῆς δόξας. Καί οὔτε τά λυπηρά θά μπορέσουν νά τόν ταπεινώσουν στήν παρούσα ζωή, οὔτε τά ἀγαθά καί ἐκεῖνα πού περιέχουν ἡδονή θά μπορέσουν νά τόν κάνουν ἀλαζόνα καί ὑπερήφανο. Ἄς ἀγαπήσουμε λοιπόν αὐτόν τόν ἔρωτα (γιατί τίποτε δέν εἶναι ἴσο μ' αὐτόν) καί γιά τά παρόντα καί γιά τά μελλοντικά ἀγαθά, ἤ καλύτερα πρίν ἀπ' αὐτά, γιά τήν ἴδια τή φύση τοῦ ἔρωτα. Γιατί θ' ἀπαλλαγοῦμε καί ἀπό τίς τιμωρίες στήν παρούσα ζωή καί ἀπό τίς τιμωρίες στήν ἄλλη ζωή, καί θ' ἀπολαύσουμε τή βασιλεία. Πλήν ὅμως οὔτε ἡ ἀπαλλαγή ἀπό τή γέεννα, οὔτε ἡ ἀπόλαυση τῆς βασιλείας εἶναι κάτι μεγάλο σχετικά μ' ἐκεῖνο πού πρόκειται νά εἰπωθεῖ. Γιατί ἀπ' ὅλα αὐτά

οὔτε γεέννης ἀπαλλαγή, οὔτε βασιλείας ἀπόλαυσις, μέγα τι πρὸς τὸ λεχθήσεσθαι μέλλον· τούτων γὰρ ἁπάντων μεῖζον τὸ τὸν Χριστὸν ἐρώμενον ἔχειν ὁμοῦ καὶ ἐραστήν. Εἰ γὰρ ἐπ' ἀνθρώπων τοῦτο συμβαῖνον πάσης ἡδονῆς ἐστιν ἀνώτερον, ὅταν ἐπὶ Θεοῦ τὰ ἀμφότερα ἐκβαίνῃ, ποῖος λόγος, ποία διάνοια παραστῆσαι δυνήσεται τὴν μακαριότητα ταύτης τῆς ψυχῆς; Οὐκ ἔστιν οὐδεμία ἄλλη, ἀλλ' ἡ πεῖρα μόνη.

Ἵν' οὖν διὰ τῆς πείρας μάθωμεν τὴν πνευματικὴν ταύτην εὐφροσύνην καὶ τὸν μακάριον βίον καὶ τὸν θησαυρὸν τῶν μυρίων ἀγαθῶν, πάντα ἀφέντες ἐκείνης ἐχώμεθα τῆς ἀγάπης, καὶ εἰς εὐφροσύνην ἡμετέραν καὶ εἰς δόξαν τοῦ ποθουμένου Θεοῦ, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Μονογενεῖ καὶ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μεγαλύτερο εἶναι τό ν' ἀγαπάει κανείς τό Χριστό καί συγχρόνως νά τόν ἀγαπάει καί ἐκεῖνος. Ἐάν λοιπόν ὅταν συμβαίνει αὐτό στούς ἀνθρώπους εἶναι ἀνώτερο ἀπό κάθε ἡδονή, ὅταν στό Θεό πραγματοποιοῦνται καί τά δύο, ποιός λόγος, ποιά σκέψη θά μπορέσει νά παραστήσει τή μακαριότητα αὐτῆς τῆς ψυχῆς; Δέν ὑπάρχει καμιά ἄλλη, παρά μόνο ἡ πείρα.

Γιά νά μάθουμε λοιπόν μέ τήν πείρα τήν πνευματική αὐτή εὐφροσύνη καί τήν εὐτυχισμένη ζωή καί τό θησαυρό τῶν ἄπειρων ἀγαθῶν, ἀφοῦ ἐγκαταλείψουμε τά πάντα, ἄς ἀφοσιωνόμαστε στήν ἀγάπη ἐκείνη καί γιά τή δική μας εὐφροσύνη καί γιά τή δόξα τοῦ Θεοῦ πού ποθοῦμε, γιατί σ' αὐτόν ἀνήκει ἡ δόξα καί ἡ δύναμη μαζί μέ τό Μονογενή Υἱό του καί τό ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί σ' ὅλους τούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ τὰ χωρία τῆς Γραφῆς στὸ κεφάλαιο, τὸ στίχο καὶ τὴ σελίδα ποὺ βρίσκονται, ἐνῶ γιὰ τὰ ὀνόματα καὶ πράγματα ἁπλῶς στὴ σελίδα ποὺ βρίσκονται.

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

Α

Β

Ι

Κ

Λ

Μ

Ν

Τ

Υ

Φ

Χ

Ψ

Ω

ΠΕΡΙΕΧΟΜΕΝΑ

Φωτοστοιχειοθεσία: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ» ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡ.
Μενελάου 3 – Τηλ. 283 880 – Θεσσαλονίκη

Εκτυπώσεις Θωμά Μονοπρόσωπη Ε.Π.Ε.
Λητή, Τηλ.: 23940 72394

Βιβλιοδεσία: Άφοὶ ΒΑΡΟΥΣΙΑΔΗ
Λαχανᾶ 17 – Τηλ. 839 414 – Θεσσαλονίκη

Κεντρικὴ διάθεση: Βιβλιοπωλεῖο Ε. ΜΕΡΕΤΑΚΗ
Μενελάου 3 – Θεσσαλονίκη – Τηλ. 283 880